K125-52
J179(G)
:2 (B)

# DIE FRAGMENTE

DER

# GRIECHISCHEN HISTORIKER

(F GR HIST)

VON

FELIX JACOBY

ZWEITER TEIL

## ZEITGESCHICHTE

B

SPEZIALGESCHICHTEN, AUTOBIOGRAPHIEN UND
MEMOIREN. ZEITTAFELN

PHOTOMECHANISCHER NACHDRUCK

希腊历史学家残篇
第2部分 B
之文
古代史 古代希腊

LEIDEN
E. J. BRILL
1962

00715

*Copyright 1962 by E. J. Brill, Leiden, Netherlands*

*All rights reserved. No part of this book may be reproduced or translated in any form, by print, photoprint, microfilm or any other means without written permission from the publisher*

PRINTED IN THE NETHERLANDS

# INHALTSVERZEICHNIS

## B. SPEZIALGESCHICHTEN UND MONOGRAPHIEN


Seite

a) ÜBER DIE ZEIT BIS AUF PHILIPPOS UND ALEXANDROS . . 509

Nr.

106. Myron von Priene . . . . . 509
107. Stesimbrotos von Thasos . . . . . 515
108. Themistogenes von Syrakus . . . . . 522
109. Sophainetos von Stymphalos . . . . . 523
110. Hegemon von Alexandreia (Troas) . . . . . 523
111. Xenophon von Athen . . . . . 524
112. Kephisodoros (von Athen o. Theben) . . . . . 524
113. Theodektes von Phaselis . . . . . 525

b) PHILIPPIKA . . . . . 526

114. Antipatros . . . . . 526
115. Theopompos von Chios . . . . . 526
116. Lamachos von Smyrna(?) . . . . . 617

c) ALEXANDERGESCHICHTE . . . . . 618

117. Die königlichen Ephemeriden . . . . . 618
118. Strattis von Olynth . . . . . 622
119-123. Die Bematisten . . . . . 622
119. Baiton . . . . . 622
120. Diognetos (von Erythrai?) . . . . . 626
121. Philonides von Kreta . . . . . 627
122. Amyntas . . . . . 627
123. Archelaos von Kappadokien . . . . . 629
124. Kallisthenes von Olynth . . . . . 631
125. Chares von Mitylene . . . . . 657
126. Ephippos von Olynth . . . . . 665
127. Nikobule . . . . . 667
128. Polykleitos von Larissa . . . . . 667
129. Medeios von Larissa . . . . . 670
130. Kyrsilos von Pharsalos . . . . . 673

Nr. Seite

131. Menaichmos von Sikyon . . . . . 673
132. Leon von Byzanz . . . . . 676
133. Nearchos von Kreta . . . . . 677
134. Onesikritos von Astypalaia . . . . . 723
135-136. Marsyas von Pella und Marsyas von Philippi . . 736
137. Kleitarchos (von Alexandreia) . . . . . 741
138. Ptolemaios Lagu . . . . . 752
139. Aristobulos von Kassandreia . . . . . 769
140. Antikleides von Athen . . . . . 799
141. Antigenes . . . . . 804
142. Hegesias von Magnesia (Sipylos) . . . . . 804
143. Aristos von Salamis (Kypros) . . . . . 812
144. Asklepiades . . . . . 813
145. Dorotheos von Athen . . . . . 813
146. Nikanor . . . . . 814
147. Potamon von Mytilene . . . . . 815
148. Anonyme Alexandergeschichte (P. Ox. 1798) . . . . 816
149. Varro . . . . . 818
150. Amyntianos . . . . . 818
151. Anonyme Alexandergeschichte (Fragm. Sabbaiticum) 819
152. Antidamas von Hierakleopolis . . . . . 822
153. Zur Alexandergeschichte . . . . . 823

d) DIE DIADOCHEN. PYRRHOS . . . . . 829

154. Hieronymos von Kardia . . . . . 829
155. Anonyme diadochengeschichte(?) (Heidelberger epitome) . . . . . 835
156. Arrianos von Nikomedeia . . . . . 837
157. Asklepiades Areiu . . . . . 883
158. Zenon . . . . . 883
159. Historiker über Pyrrhos . . . . . 884

e) PTOLEMAIER . . . . . 885

160. Bulletin aus dem 3. syrischen krieg . . . . . 885
161. Ptolemaios von Megalopolis . . . . . 887

f) GALATERKRIEGE SELEUKIDEN . . . . . 889

162. Demetrios von Byzanz . . . . . 889
163. Simonides von Magnesia (Sipylos) . . . . . 889

Nr. Seite

164. Mnesiptolemos von Kyme . . . . . 890
165. Timochares . . . . . 891
166. Athenaios von Naukratis . . . . . 891

g) DIE KÖNIGE VON MAKEDONIEN . . . . . 893

167. Herakleitos von Lesbos . . . . . 893
168. Straton . . . . . 893
169. Poseidonios . . . . . 893

h) ATTALIDEN . . . . . 895

170. Lysimachos . . . . . 895
171. Neanthes d. j. von Kyzikos . . . . . 895
172. Leschides . . . . . 895

i) GRIECHISCHE BUNDE . . . . . 896

173. Polybios von Megalopolis . . . . . 896

k) PUNISCHE KRIEGE HIERONYMOS VON SYRAKUS . . . . . 897

174. Philinos von Agrigent . . . . . 897
175. Silenos von Kaleakte(?) . . . . . 900
176. Sosylos von Lakedaimon . . . . . 903
177. Chaireas . . . . . 906
178. Eumachos von Neapel . . . . . 906
179. Xenophon . . . . . 906
180. Unbestimmbare hannibalhistoriker . . . . . 907
181. Hannibal . . . . . 909

l) GESCHICHTE DER JAHRHUNDERTE II-I BIS AUF AUGUSTUS 910

182. Iason von Kyrene . . . . . 910
183. Caecilius von Kaleakte . . . . . 911
184. Metrodoros von Skepsis . . . . . 912
185. L. Licinius Lucullus . . . . . 917
186. (A. Licinius) Archias von Antiocheia . . . . . 918
187. Herakleides von Magnesia . . . . . 918
187a. Aisopos . . . . . 918
188. Theophanes von Mytilene . . . . . 919
189. T. Pomponius Atticus . . . . . 923
190. Hypsikrates von Amisos . . . . . 923
191. Empylos von Rhodos . . . . . 926

| Nr. | | Seite |
|---|---|---|
| 192. | Sokrates von Rhodos | 927 |
| 193. | Asinius Pollio von Tralles | 928 |
| 194. | Boethos von Tarsos | 928 |
| 195. | Theodoros | 929 |
| 196. | (C.) Julius Polyainos von Sardes | 929 |
| 197. | Q. Dellius | 929 |
| 198. | Olympos | 929 |
| 199. | Ptolemaios | 930 |
| m) | KAISERZEIT | 931 |
| 200. | Kriton | 931 |
| 201. | Ariston von Pella | 933 |
| 202. | Schriftsteller über M. Aurelius Antoninus | 934 |
| 203. | Historiker über L. Verus' partherkrieg | 934 |
| 204. | Anonymos von Korinth | 938 |
| 205. | Anonymos von Milet | 939 |
| 206. | Anonymer philosoph | 940 |
| 207. | Antiochianos | 940 |
| 208. | Crepereius Calpurnianus von Pompeiopolis | 940 |
| 209. | Demetrios von Sagalassos | 941 |
| 210. | Kallimorphos | 941 |
| 211. | Schriftsteller über Septimius Severus. Antipatros von Hierapolis | 942 |
| 212. | Ephoros der jüngere | 943 |
| 213-215. | Schriftsteller über Aurelian | 944 |
| | 213. Kallikrates von Tyros | 944 |
| | 214. Theoklios(?) | 945 |
| | 215. Nikomachos | 946 |
| 216. | Onasimos von Kypros (O. Sparta) | 946 |
| 217. | Fabius Ceryllianus | 947 |
| 218. | Claudius Eusthenius | 948 |
| 219. | Praxagoras von Athen | 948 |
| 220. | Bemarchios von Kaisareia | 950 |
| 221. | Oreibasios von Pergamon | 950 |
| 222. | Kyllenios | 950 |
| 223. | Kallistion | 951 |
| 224. | Khor 'Ohbut Eleazar | 951 |
| 225. | Magnus von Karrhai | 951 |
| 226. | Eutychianos von Kappadokien | 954 |

## C. AUTOBIOGRAPHIEEN, MEMOIREN UND MEMOIRENHAFTES


| Nr. | | Seite |
|---|---|---|
| 227. | Demades von Athen | 955 |
| 228. | Demetrios von Phaleron | 956 |
| 229. | Pyrrhos von Epeiros? | 973 |
| 230. | Theodoros (von Rhodos?) ? | 974 |
| 231. | Aratos von Sikyon | 974 |
| 232. | P. Cornelius Scipio Africanus Maior | 979 |
| 233. | P. Cornelius Scipio Nasica Corculum | 981 |
| 234. | Ptolemaios VIII Euergetes II | 983 |
| 235. | M. Tullius Cicero | 987 |
| 236. | Herodes I von Judaea | 988 |
| 237. | Appianos von Alexandreia | 990 |
| 238. | Kaiser Julianos | 990 |


## D. ZEITTAFELN


| | | |
|---|---|---|
| 239. | Marmor parium | 992 |
| 240. | Xenagoras (von Herakleia?) | 1005 |
| 241. | Eratosthenes von Kyrene | 1010 |
| 242. | Eretes(?) | 1021 |
| 243. | Euthymenes | 1021 |
| 244. | Apollodoros von Athen | 1022 |
| 245. | Stesikleides (Ktesikles) von Athen | 1128 |
| 246. | Andron von Alexandreia | 1129 |
| 247. | Antileon | 1130 |
| 248. | Xenokrates | 1130 |
| 249. | Autocharis (?) | 1130 |
| 250. | Kastor von Rhodos | 1130 |
| 251. | Dionysios von Halikarnass | 1146 |
| 252. | Chronikon romanum (IG XIV 1297) | 1151 |
| 253. | Thrasyllos | 1152 |
| 254. | (Ti. Claudius) Polybios | 1153 |
| 255. | Chronik von Oxyrhynchos (P. Ox. 12) | 1153 |
| 256. | Thallos | 1156 |
| 257. | (P. Aelius) Phlegon von Tralles | 1159 |
| 257a. | Anonyme olympiadenchronik (Phlegon?) (P. Ox. 2082) | 1194 |
| 258. | Anonyme Chronik (P. Ox. 1613) | 1197 |
| 259. | Cassius Longinus | 1197 |

Nr. Seite
260. Porphyrios von Tyros . . . . . 1197
261. Judas . . . . . 1229

## ADDENDA UND CORRIGENDA

Zu bd. I . . . . . 1230
Zu bd. II AB . . . . . 1234

## KONKORDANZ DER FRAGMENTENZAHLEN

Konkordanz der fragmentzahlen zwischen F Gr Hist II (Jac) und C Muellers Fragm. Hist. Graec. (Mü) . . . . . 1237

## INDEX AUCTORUM

Index auctorum für I-II . . . . . 1251

# B. SPEZIALGESCHICHTEN UND MONOGRAPHIEN.

(*ΚΑΤΑ ΜΕΡΟΣ ΣΥΝΤΑΞΕΙΣ*)

## a) ÜBER DIE ZEIT BIS AUF PHILIPPOS UND ALEXANDROS.

### 106. MYRON VON PRIENE.

T

1 PAUSAN. IV 6, 1: ..... *τοῦτον τῶν Μεσσηνίων τὸν πόλεμον Ῥιανός τε ἐν τοῖς ἔπεσιν ἐποίησεν ὁ Βηναῖος* (III) *καὶ ὁ Πριηνεὺς Μύρων· λόγοι δὲ πεζοὶ Μύρωνός ἐστιν ἡ συγγραφή.* (2) *συνεχῶς μὲν δὴ τὰ πάντα ἐξ ἀρχῆς ἐς τοῦ πολέμου τὴν τελευτὴν οὐδετέρωι διήνυσται· μέρος δὲ ὧι ἑκάτερος ἠρέσκετο, ὁ μὲν τῆς τε Ἀμφείας τὴν ἅλωσιν καὶ τὰ ἐφεξῆς συνέθηκεν οὐ πρόσω τῆς Ἀριστοδήμου τελευτῆς, Ῥιανὸς δὲ τοῦδε μὲν τοῦ πρώτου τῶν πολέμων οὐδὲ ἥψατο ἀρχήν. ὁπόσα δὲ χρόνωι συνέβη τοῖς Μεσσηνίοις ἀποστᾶσιν ἀπὸ Λακεδαιμονίων, ὁ δὲ καὶ ταῦτα μὲν οὐ. τὰ πάντα ἔγραψε, τῆς μάχης δὲ τὰ ὕστερα ἣν ἐμαχέσαντο ἐπὶ τῆι τάφρωι τῆι καλουμένηι Μεγάληι.* (3) *ἄνδρα † ὅσον οὐ Μεσσήνιον — τούτου γὰρ δὴ ἕνεκα τὸν πάντα ἐποιησάμην Ῥιανοῦ καὶ Μύρωνος λόγον — Ἀριστομένην .... τοῦτον τὸν ἄνδρα ἐπεισήγαγε μὲν ὁ Πριηνεὺς ἐς τὴν συγγραφήν, Ῥιανῶι δὲ ἐν τοῖς ἔπεσιν οὐδὲν Ἀριστομένης ἐστὶν ἀφανέστερος ἢ Ἀχιλλεὺς ἐν Ἰλιάδι Ὁμήρωι* (folgt F 3).

F

*ΜΕΣΣΗΝΙΑΚΑ.*

(F 8—15).

$\overline{B}$

1 (IV 461, 2) ATHEN. VI 102 p. 271 F: *Μύρων δὲ ὁ Πριηνεὺς ἐν δευτέρωι Μεσσηνιακῶν «πολλάκις» φησίν «ἠλευθέρωσαν Λακεδαιμόνιοι δούλους καὶ οὓς μὲν ἀφέτας ἐκάλεσαν, οὓς δὲ*

---

10 ὧι Bekker ὡς Paus πρῶτον Μεσσηνίων E Schwartz ... καὶ ἀπολελυμένοι

16 ὅσον οὐ $P^1y^1$ τε Ἀριστομένην $L^1$ ὅ' ὅσον οὐ

17 Ἀριστομένην om $L^1$

27 Hesych. ἄφετοι·

ἀδεσπότους, οὓς δὲ ἐρυκτῆρας, δεσποσιοναύτας δ' ἄλλους, οὓς εἰς τοὺς στόλους κατέτασσον, ἄλλους δὲ νεοδαμώδεις ἑτέρους ὄντας τῶν εἱλώτων.»

2 (1) ATHEN. XIV 74 p. 657 CD: ὅτι δὲ τοῖς εἵλωσιν ὑβρισιικῶς πάνυ ἐχρῶντο Λακεδαιμόνιοι καὶ Μύρων ὁ Πριηνεὺς ἱστορεῖ ἐν δευτέρωι Μεσσηνιακῶν γράφων οὕτως· «τοῖς δ' εἵλωσι πᾶν ὑβριστικὸν ἔργον ἐπιτάττουσι πρὸς πᾶσαν ἄγον ἀτιμίαν. κυνῆν τε γὰρ ἕκαστον φορεῖν ἐπάναγκες ὥρισαν καὶ διφθέραν περιβεβλῆσθαι πληγάς τε τεταγμένας λαμβάνειν κατ' ἐνιαυτὸν ἀδικήματος χωρίς, ἵνα μήποτε δουλεύειν ἀπομάθωσιν. πρὸς δὲ τούτοις εἴ τινες ὑπερακμάζοιεν τὴν οἰκετικὴν ἐπιφάνειαν, ἐπέθηκαν ζημίαν θάνατον καὶ τοῖς κεκτημένοις ἐπιτίμιον, εἰ μὴ ἐπικόπτοιεν τοὺς ἀδρυνομένους. καὶ παραδόντες αὐτοῖς τὴν χώραν ἔταξαν μοῖραν ἣν αὐτοῖς ἀνοίσουσιν ἀεί.»

## OHNE BUCHZAHL.

3 (IV 460) PAUSAN. IV 6, 3: (T 1) διάφορα οὖν ἐπὶ τοσοῦτον εἰρηκότων, προσέσθαι μὲν τὸν ἕτερόν μοι τῶν λόγων καὶ οὐχ ἅμα ἀμφοτέρους ὑπελείπετο· Ῥιανὸς δέ μοι ποιῆσαι μᾶλλον ἐφαίνετο εἰκότα ἐς τὴν Ἀριστομένους ἡλικίαν. (4) Μύρωνα δὲ ἐπί τε ἄλλοις καταμαθεῖν ἔστιν οὐ προορώμενον εἰ ψευδῆ τε καὶ οὐ πιθανὰ δόξει λέγειν καὶ οὐχ ἥκιστα ἐν τῆιδε τῆι Μεσσηνίαι συγγραφῆι· πεποίηκε γὰρ ὡς ἀποκτείνειε Θεόπομπον τῶν Λακεδαιμονίων τὸν βασιλέα Ἀριστομένης ὀλίγον πρὸ τῆς Ἀριστοδήμου τελευτῆς. Θεόπομπον δὲ οὔτε μάχης γινομένης οὔτε ἄλλως προαποθανόντα ἴσμεν πρὶν ἢ διαπολεμηθῆναι τὸν πόλεμον.

## *ΡΟΔΟΥ ΕΓΚΩΜΙΟΝ.*

$\overline{4}$

4 (—) TEMPELCHRONIK VON LINDOS C 65—68: . . . . . . . . . . . . . . . . στ]ραταγὸς τοῦ Περσᾶν βασιλέως | . . . . . .α καὶ στρεπτὸν καὶ τιάραν καὶ ψέ[λια καὶ ἀκινάκαν κα]ὶ ἀναξυρίδας, ὥς φατι Εὔδημος | [ἐν τῶι Λινδιακῶι (III), Μί]ρων ἐν τᾶι ᾱ τοῦ Ῥόδου ἐγκωμίου . . . . .

14 ἀόρυμένους Casaubonus ἀνό— AE 18 προσέσθαι Bekker προέσθαι Paus 22 τῆι Μεσσηνίαι Sylburg τῆς —ας Paus 23 τὸν Λακεδαιμονίων βασιλέα L¹ 28—29 Ἀρταφέρνης ὁ στ]ραταγὸς Bl(inkenberg) Δᾶτις ὁ Δαρείου στ]ραταγὸς Rehm 29 [Δαρείου ἐνωτίδι]α Holleaux πορφυρίδ]α o. πορφυρέαν χλαμύδ]α Boissevain [τῶν περὶ τὸ σῶμ]α (p. 511, 20) o. τὴν αὐτοῦ ἁρμαμάξα]ν? Jac 30 ψέλια — καὶ Bl

5 (—) — D 1: *Δαρείου τοῦ Περσᾶν βασιλέως ἐπὶ καταδουλώσει τᾶς Ἑλλάδος ἐκπέμψαντος μεγάλας δυνάμεις ὁ ναυτικὸς αὐτοῦ στόλος ταύται ποτεπέλασε | πράται τᾶν νάσων. καταπλαγέντων δὲ τῶν κατὰ τὰν χώραν τὰν ἔφοδον τῶν Περσᾶν καὶ συνφυγόντων μὲν ἐς πάντα τὰ ὀχυρώματα, τῶν πλείστων δὲ ἐς Λίνδον ἀθροισθέντων, ποθεὐρεύσαντες ἐπολιόρκευν αὐτοὺς τοὶ | βάρβαροι, ἔστε οὗ διὰ τὰν σπάνιν τοῦ ὕδατος τοὶ Λίνδιοι θλιβόμενοι διενοεῦντο παραδιδόμειν τοῖς ἐναντίοις τὰν πόλιν. καθ' ὃν δὴ χρόνον ἁ μὲν θεὸς ἐνὶ τῶν ἀρχόντων ἐπισᾶσα καθ' ὕπνον παρεκάλει | θαρσεῖν ὡς αὐτὰ παρὰ τοῦ πατρὸς αἰτησευμένα τὸ κατεπεῖγον αὐτοὺς ὕδωρ, ὁ δὲ τὰν ὄψιν ἰδὼν ἀνάγγειλε τοῖς πολίταις τὰν ποτίταξιν τᾶς Ἀθάνας. οἱ δὲ ἐξετάξαντες, ὅτι εἰς πέντε ἁμέρας μόνον ἔχοντι διαρ|κεῖν, ἐπὶ τοσαύτας μόνον αἰτήσαντο παρὰ τῶν βαρβάρων τὰς ἀνοχάς, λέγοντες ἀπεστάλκειν τὰν Ἀθάναν ποτὶ τὸν αὐτᾶς πατέρα περὶ βοαθείας, καὶ εἴ κα μὴ παραγένηται κατὰ τὸν ὡρισμένον χρόνον, παρα|δώσειν ἔφασαν αὐτοῖς τὴν πόλιν. Δᾶτις δὲ ὁ Δαρείου ναύαρχος παραχρῆμα μὲν ἀκούσας ἐγέλασε, ἐπεὶ δὲ ἐν τᾶι ἐχομέναι ἁμέραι γνόφου μείζονος περὶ τὰν ἀκρόπολιν συστάντος καὶ πολ|λοῦ καταραγέντος ὄμβρου κατὰ μέσον οὕτως παραδόξως τοὶ μὲν πολιορκεύμενοι δαψιλὲς ἔσχον ὕδωρ, ἁ δὲ Περσικὰ δύναμις ἐσπάνιζε, καταπλαγεὶς ὁ βάρβαρος τὰν τᾶς θεοῦ ἐπιφάνειαν [καὶ ἀφελ]όμε|νος αὐτοῦ τὸν περὶ τ[ὸ σ]ῶμα κόσμον εἰσέπεμψε ἀναθέμειν τύν τε φάρεον καὶ στρεπτὸν καὶ ψέλια, ποτὶ δὲ τούτοις τιάραν τε καὶ ἀκινάκαν, ἔτι δὲ ἁρμάμαξαν, ἃ πρότερον μὲν διεσώιζετο, ἐπὶ δὲ τοῦ ἱερέως | τοῦ Ἁλίου Εὐκλεῦς τοῦ Ἀστυανακτίδα ἐμπυρισθέντος τοῦ ναοῦ κατεκαύσθη μετὰ τῶν πλείστων ἀναθεμάτων. αὐτὸς δὲ ὁ Δᾶτις ἀνέζευξε ἐπὶ τὰς προκειμένας πράξεις, φιλίαν ποτὶ τοὺς πολιορ|κηθέντας συνθέμενος καὶ ποταποφωνήσας ὅτι τοὺς ἀνθρώπους τούτους θεοὶ φυλάσσουσι. περὶ τούτων ἀποφαίνεται Εὔδημος ἐν τῶι Λινδιακῶι (III), Ἐργίας ἐν τᾶι δ̄ τᾶν Ἱστοριᾶν (III), Πολύζαλος ἐν τᾶι δ̄ | τᾶν Ἱστοριᾶν (III), Ἱερώνυμος ἐν τῶι β̄ τῶν Ἡλιακῶν (IV), Μύρων ἐν τῶι ᾱ τοῦ Ῥόδου ἐγκωμίου . . . . . Ξεναγόρας δὲ λέγει ἐν τᾶι δ̄ | τᾶς χρονικᾶς συντάξιος (240 F 24) τὰν μὲν ἐπιφάνειαν γεγόνειν, Μαρδονίου μέντοι ἐξαποσταλέντος ὑπὸ Δάτιος.*

---

12 [μόνον]? Jac 17 οὕτως Bl οὕτος J 20 ἀφελόμενος Bl περιελόμενος Drachmann 29 ᾱ: *A* o. *Δ*, nicht *Δ* (Bl)

## RHETORISCHES.

6 (IV 461) RUTIL. LUPUS De fig. I 20: *Ἀναγκαῖον ..... Myron: «amicus meus fuit Cremonides et opinione omnium magis familiaris, et pro salute eius quaecumque potui feci. sed posteaquam maior vis legis nostrum auxilium ab illius periculo removit, calamitatis ac luctus eius particeps eram. nam opitulandi facultas omnis erepta iam fuerat.»*

7 (IV 461) — — II 1: *Μετάβασις .... Myron: «haec mulier nuper fuit locuples, potens, in amore atque deliciis necessariorum; ornatus eius opibus abundabat; magnus ancillarum quoquo sequebatur comitatus; * * appellabatur. nunc contra subito et gravi casu adflicta vix mediocris ancillulae dignitatem retinet. o Fortuna, quam vehementer te rerum varietas oblectat, et quam magno odio est tibi beatae vitae perpetuus et constans fructus.*

## Anhang.

8 (—) DIOD. VIII 7 (EXC. DE VIRT. I 213, 16): *ὅτι Πολυχάρη Μεσσήνιον πλούτωι καὶ γένει διαφέροντα συνθέσθαι μεθ⟨ορί⟩ων κοινωνίαν πρὸς Εὔαιφνον Σπαρτιάτην· ὃν εἰς ἐπιμέλειαν καὶ φυλακὴν παραλαβόντα τάς τε ἀγέλας καὶ τοὺς νομεῖς ἐπιχειρῆσαι μὲν πλεονεκτεῖν, καταφανῆ δὲ γενέσθαι. (2) πωλήσαντα γὰρ ἐμπόροις τῶν τε βοῶν καὶ τῶν νομέων τινὰς ⟨ἐπ'⟩ ἐξαγωγῆι προσποιηθῆναι τὴν ἀπώλειαν αὐτῶν ὑπὸ λῃστῶν γεγονέναι βιαίως. τοὺς δὲ ἐμπόρους εἰς Σικελίαν πλέοντας κομίζεσθαι παρὰ τὴν Πελοπόννησον. γενομένου δὲ χειμῶνος προορμισθῆναι τῆι γῆι, καὶ τοὺς νομεῖς νυκτὸς ἀποβάντας διαδρᾶναι τῆι τῶν τόπων ἐμπειρίαι πιστεύσαντας. (3) παραγενηθέντων δὲ αὐτῶν εἰς Μεσσήνην καὶ τῶι κυρίωι πᾶσαν τὴν ἀλήθειαν εἰπόντων, τὸν Πολυχάρη τούτους μὲν κρύψαι, τὸν δὲ κοινωνὸν ἐκ τῆς Σπάρτης μεταπέμψασθαι. (4) διαβεβαιουμένου δὲ αὐτοῦ καὶ λέγοντος τῶν νομέων τοὺς μὲν ὑπὸ λῃστῶν ἁφηρπάσθαι, τοὺς δὲ τετελευτηκέναι, τὸν δὲ Πολυχάρη προάγειν τοὺς ἄνδρας· οὓς ἰδόντα τὸν Εὔαιφνον καταπλαγῆναι καὶ φανερῶς ἐλεγχόμενον τραπῆναι πρὸς δέησιν καὶ τάς τε βοῦς ἀποκαταστήσειν ἐπαγγελέσθαι καὶ πᾶσαν προέσθαι φωνὴν εἰς τὸ σωθῆναι. (5) τὸν δὲ Πολυχάρη ἐντραπέντα τὴν ξενίαν κρύψαι τὴν πρᾶξιν καὶ τὸν υἱὸν συναποστεῖλαι τῶι Σπαρτιάτηι πρὸς τὸ τυχεῖν τῶν δικαίων. Εὔαιφνον ⟨δὲ⟩ καὶ τῶν ἐπαγγελιῶν ἐπιλαθέσθαι, τὸν δὲ εἰς Σπάρτην συνεκπεμφθέντα νεανίσκον ἀνελεῖν. (6) οὐ συντελεσθέντος τὸν Πολυχάρη ὡς ἐπὶ τηλικούτοις ἀνομήμασιν ἀγανακτεῖν καὶ τὸν αἴτιον ἐξαιτεῖν. τοὺς δὲ Λακεδαιμονίους τούτωι μὴ προσέχειν, τὸν δὲ υἱὸν Εὐαίφνου μετ' ἐπιστολῆς εἰς Μεσσήνην ἀποστεῖλαι δηλοῦντα διότι 'Πολυχάρης εἰς Σπάρτην κατηγορείτω περὶ ὧν ἔπαθεν ἐπί τε τῶν ἐφόρων καὶ τῶν βασιλέων'. τὸν δὲ Πολυχάρη ⟨μὴ⟩ τυχόντα τῶν ἴσων τόν τε νεανίσκον ἀνελεῖν καὶ τὴν πόλιν φυσιάζειν.*

---

2 *miron* AV 3 *Chremonides* Halm 7 *miron* V 8 *et potens* BV *ei ex opibus* F Jacob 9 *quoquo sequebatur* Jac *quo sequebantur* BV *quae s.* A [*quae s.*] Halm ⟨*ab omnibus beata*⟩ *appellabatur* Meiser 15 *μεθορίων* Jac *μεθῶν* P *ἀγελῶν* Krebs 16 *τοὺς* Va(lesius) *τῆς* P 18 ⟨*ἐπ'*⟩ Va 19 *βιαίως* Din(dorf) —*ων* P *βιασαμένους αὐτὸν* Paus. IV 4, 6 25 *τὸν* [*δὲ*] Din *μὴ* Reiske 34 *κατηγορείτω* Reiske —*το* (*o* in ras.) P *τόν τε* Va 33 ⟨*μὲν*⟩ *ευαιφνον* P ⟨*μὴ*⟩ Jac 35—36 *φασὶ δὲ τὸν νεανίσκον — φυσιάζειν* Suid *s. φύσια* 36 *πόλιν*: *ἐπανῆλιν o. ποινὴν* Vogel

9 (—) DIOD. VIII 8, 1—2 (EXC. DE SENT. 275, 16): *ὅτι τῶν κυνῶν ὠρυομένων καὶ τῶν Μεσσηνίων ἀπελπιζόντων προσελθών τις τῶν πρεσβυτέρων παρεκάλει τὰ πλήθη μὴ προσέχειν τοῖς μάντεσι σχεδιάζουσι· καὶ γὰρ καὶ ἐπὶ τῶν ἰδίων βίων αὐτοὺς πλείστοις ἁμαρτήμασι περιπίπτειν μὴ δυναμένους προιδέσθαι τὸ μέλλον, καὶ νῦν ὑπὲρ ὧν εἰκὸς μόνους τοὺς θεοὺς γινώσκειν ἀδύνατον ἀνθρώπους ὄντας ἐπίστασθαι. (2) παρεκελεύετο οὖν πέμπειν εἰς Δελφούς. ἡ δὲ Πυθία ἀνεῖλεν οὕτως· 'ἐκ τοῦ Αἰπυτιδῶν γένους θῦσαι κόρην τὴν τυχοῦσαν· ἐὰν δὲ ἡ λαχοῦσα ἀδυνατῇ καθοσιωθῆναι, θῦσαι τότε παρθένον τὴν τοῦ διὸντος ἑκουσίως ἐκ τοῦ αὐτοῦ γένους. καὶ ταῦτα πράξαντες ἕξετε νίκην τοῦ πολέμου καὶ κράτος.'*

10 (—) — VIII 8, 3 (EXC. DE SENT. 275, 27): *οὐδεμιᾶς γὰρ τιμῆς μέγεθος ἰσόρροπον ἐφαίνειτο τοῖς γονεῦσιν πρὸς τὴν τῶν τέκνων σωτηρίαν, ἀλλ' ἅμα μὲν ὁ τῆς συγγενείας ἔλεος ἑκάστοις ὑπεδύετο πρὸ ὀφθαλμῶν λαμβάνοντι τὴν σφαγήν, ἅμα δὲ ἐνετρέπετο προδότης γενέσθαι τέκνου πρὸς ὁμολογούμενον ὄλεθρον.*

11 (—) — VIII 9 (EXC. DE SENT. 276, 1): *προέπιπτεν εἰς ἀνάξια τῆς περὶ αὐτὸν δόξης ἁμαρτήματα· δεινὸς γὰρ ὁ ἔρως σφῆλαι τοὺς νέους, καὶ μάλιστα τοὺς μεγαλοφρονοῦντας ἐπὶ τῇι τοῦ σώματος ῥώμηι. διὸ καὶ παρεισήγαγον οἱ παλαιοὶ τῶν μυθογράφων τὸν ὑπὸ τῶν ἄλλων ἀνίκητον Ἡρακλέα ὑπὸ τῆς τούτου δυνάμεως νικώμενον.*

12 (—) — VIII 12 (COD. VATIC. 1354): *περὶ δύο ἀνδρῶν ἀριστευσάντων ἐν πολέμωι καὶ ἀγωνιζομένων περὶ πρωτείων. μετὰ ταῦθ' ὁ μὲν βασιλεὺς ἀναλαβὼν ἑαυτὸν ἐκ τῶν τραυμάτων προέθηκε κρίσιν ἀριστείου. κατέβησαν μὲν οὖν ἐπὶ τὸν ἀγῶνα δύο, Κλέοννίς τε καὶ Ἀριστομένης, ὧν ἑκάτερος εἶχεν ἰδιόν τι πρὸς δόξαν. (2) ὁ γὰρ Κλέοννις ὑπερασπίσας τὸν βασιλέα πεπτωκότα τῶν ἐπιφερομένων Σπαρτιατῶν ὀκτὼ νεκροὺς ἐπεποιήκει· καὶ τούτων ἦσαν δύο ἡγεμόνες ἐπιφανεῖς. πάντων δὲ τῶν ἀναιρεθέντων ὑπ' αὐτοῦ τὰς πανοπλίας ἐσκυλευκὼς ἐδεδώκει τοῖς ὑπασπισταῖς, ἵνα ἔχηι σημεῖα τῆς ἰδίας ἀρετῆς πρὸς τὴν κρίσιν. πολλοῖς δὲ περιπεσὼν τραύμασιν ἅπαντ' ἔσχεν ἐναντία, μέγιστον παρεχόμενος τεκμήριον τοῦ μηδενὶ τῶν πολεμίων εἴξαι. (3) ὁ δ' Ἀριστομένης ἐν τῶι περὶ τοῦ βασιλέως ἀγῶνι πέντε μὲν ἀνηιρήκει τῶν Λακεδαιμονίων καὶ τὰς πανοπλίας ἐσκυλεύκει τῶν πολεμίων ἐπικειμένων. καὶ τὸ μὲν ἑαυτοῦ σῶμα διεφύλαξεν ἀτρωτον, ἐκ δὲ τῆς μάχης ἀπερχόμενος εἰς τὴν πόλιν ἔργον ἐπαινούμενον ἔπραξεν. (4) ὁ μὲν γὰρ Κλέοννις ἀσθενὼς ἐκ τῶν τραυμάτων διακείμενος οὔτε βαδίζειν καθ' αὑτὸν οὔτε χειραγωγεῖσθαι δυνατὸς ἦν· ὁ δ' Ἀριστομένης ἀράμενος αὐτὸν ἐπὶ τοὺς ὤμους ἀπήνεγκεν εἰς τὴν πόλιν, οὐδὲν δὲ ἧττον κομίζων τὴν ἰδίαν πανοπλίαν, καὶ ταῦτα τοῦ Κλεόννιδος προέχοντος τῶν ἄλλων μεγέθει τε καὶ ῥώμηι σώματος.*

*(5) τοιαύτας δ' ἐχόντων ἀφορμὰς εἰς τὴν ὑπὲρ τῶν ἀριστείων κρίσιν, ὁ βασιλεὺς ἐκάθισε μετὰ τῶν ταξιάρχων κατὰ τὸν νόμον. προλαβὼν οὖν τὸν λόγον ὁ Κλέοννις τοιούτοις ἐχρήσατο λόγοις· (6) 'βραχὺς μέν ἐστιν ὁ περὶ τῶν ἀριστείων λόγος· κριταὶ γὰρ εἰσιν οἱ θεώμενοι τὰς ἑκάστων ἀρετάς. ὑπομνῆσαι δὲ δεῖ με, διότι πρὸς τοὺς αὐτοὺς ἄνδρας ἑκατέρων διαγωνισαμένων ὑφ' ἕνα καιρὸν καὶ τόπον ἐγὼ πλείους ἀπέκτεινα. δῆλον οὖν ὡς κατὰ τὴν αὐτὴν περίστασιν ὁ πρότερος ἐν ἀριθμῶι τῶν ἀναιρεθέντων προτερεῖ καὶ τοῖς εἰς τὸ πρωτεῖον δικαίοις. (7) ἀλλὰ μὴν καὶ τὰ σώματα ἑκατέρων ἐμφανεστάτας ἀποδείξεις ἔχει τῆς ὑπεροχῆς· ὁ μὲν*

---

4 αὐτοὺς Din αὐτοῖς V 5 ἀδυνατεῖν Din 7 *τὴν λαχοῦσαν* Krebs (Paus. IV 9, 4) 8 αὐτοῦ Krebs (*καὶ παρ' ἄλλοίου τότε θύειν* Paus) 10 *μέγεθος* Mai *μεγέθεσιν* V 21 *⟨περὶ⟩ ἀριστείου*? 33 *ἐπὶ τοὺς ὤμους* Her(werden) *ἐπὶ τοῦ σώματος* Diod 41 ὁ *πρότερος* Bekker *ὁπότερος* Diod

γὰρ πλήρης ὢν τραυμάτων ἐναντίων ἀπελύετο τῆς μάχης, ὁ δ' ὥσπερ ἐκ πανηγύρεως ἀλλ' οὐ τηλικαύτης παρατάξεως ἐξιὼν οὐκ ἐπειράθη, τί δύναται πολεμίων σίδηρος. (8) εὐτυχέστερος μὲν οὖν ἴσως Ἀριστομένης, ἀγαθώτερος δ' ἡμῶν οὐκ ἂν δικαίως κριθείη. πρόδηλος γὰρ ὁ ὑπομείνας τοσαύτας διαιρέσεις τοῦ σώματος ὡς ἀφειδῶς ἑαυτὸν ἐπέδωκεν ὑπὲρ τῆς πατρίδος· ὁ δ' ἐν πολεμίων συμπλοκῇ καὶ τοιούτων κινδύνων τηρήσας ἑαυτὸν ἄτρωτον εὐλαβείαι τοῦ παθεῖν τι τοῦτ' ἐνήργησεν. (9) ἄτοπον οὖν εἰ παρὰ τοῖς ἑωρακόσι τὴν μάχην ὁ τῶν πολεμίων μὲν ἐλάττους ἀνελών, τῶι δ' ἰδίωι σώματι κινδυνεύσας ἧττον, προκριθήσεται τοῦ πρωτεύοντος ἐν ἀμφοτέροις. ἀλλὰ μὴν καὶ τὸ μηδενὸς ἔτι κινδύνου ὑπάρχοντος βαστάσαι τὸ σῶμα καταπεπονημένον ὑπὸ τῶν τραυμάτων ἀνδρείαν μὲν οὐδεμίαν ἔχει, σώματος δ' ἴσως ἰσχὺν ἐπιδείκνυται. ἱκανά μοι ταῦτα εἴρηται πρὸς ὑμᾶς· πρόκειται γὰρ ἀγὼν οὐ λόγων ἀλλ' ἔργων.'

(10) παραλαβὼν δ' ἐν μέρει τὸν λόγον Ἀριστομένης 'θαυμάζω' φησίν 'εἰ μέλλει περὶ ἀριστείων ἀμφισβητεῖν ὁ σωθεὶς τῶι σώσαντι. ἀναγκαῖον γὰρ ἢ τῶν δικαζόντων αὐτὸν ἄνοιαν καταγινώσκειν ἢ τὴν κρίσιν δοκεῖν ἐκ τῶν νῦν λεγομένων ἀλλ' οὐκ ἐκ τῶν τότε πεπραγμένων ἔσεσθαι. οὐ μόνον δὲ Κλέοννις διεψεύσηται κατ' ἀρετὴν λειπόμενος ἀλλὰ καὶ τελέως ἀχάριστος. (11) ἀφεὶς γὰρ τὸ τὰ συντελεσθέντα ὑπ' αὐτοῦ καλῶς διαπορεύεσθαι, διέσυρε τὰς ἐμὰς πράξεις, φιλοτιμότερος ὢν ἢ δίκαιον· δι γὰρ καὶ ἰδίας σωτηρίας τὰς μεγίστας ὀφείλει χάριτας, τούτου τὸν ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινον διὰ φθόνον ἀφήιρηται. ἐγὼ δὲ ὁμολογῶ μὲν ἐν τοῖς τότε γεγενημένοις κινδύνοις εὐτυχὴς ὑπάρξαι, φημὶ δὲ πρότερον ἀγαθὸς γενέσθαι. (12) εἰ μὲν γὰρ ἐκκλίνας τὴν τῶν πολεμίων ἐπιφορὰν ἄτρωτος ἐγενόμην, οὐκ εὐτυχῆ με προσῆκεν ὀνομάζειν ἀλλὰ δειλόν, οὐδ' ὑπὲρ ἀριστείων λέγειν κρίσιν ἀλλὰ ταῖς ἐκ τῶν νόμων τιμωρίαις περιπεπτωκέναι· ἐπεὶ δ' ἐν πρώτοις μαχόμενος καὶ τοὺς ὑφισταμένους ἀναιρῶν οὐκ ἔπαθον ἅπερ ἔπραξα, ῥητέον οὐκ εὐτυχῆ με μόνον ἀλλὰ καὶ ἀγαθόν. (13) εἴτε γὰρ οἱ πολέμιοι καταπλαγέντες τὴν ἀρετὴν οὐκ ἐτόλμησαν ἀμύνασθαι, μεγάλων ἐπαίνων ἄξιος ὢν ἐφοβήθησαν· εἴτ' ἐκείνων ἀγωνιζομένων εὐθύμως ἐγὼ φονεύων τοὺς ἀνθεστηκότας καὶ τοῦ σώματος ἐποιούμην πρόνοιαν, ἀνδρεῖος ἅμα καὶ συνετός. (14) ὁ γὰρ ἐν αὐτῶι ⟨τῶι⟩ θυμομαχεῖν ἐμφρόνως ὑπομένων τὸ δεινὸν ἑκατέρας ἔχει τὰς ἀρετάς, σώματός τε καὶ ψυχῆς. καίτοι γε ταῦτα ⟨τὰ⟩ δίκαια πρὸς ἑτέρους ἦν μοι ῥητέον ἀμείνους τούτου· ὅτε γὰρ Κλέοννιν παραλελυμένον ἐκ τῆς μάχης εἰς τὴν πόλιν ἀπήνεγκα τἀμαυτοῦ σώζων ὅπλα, καὶ ὑπ' αὐτοῦ κεκρίσθαι νομίζω τὸ δίκαιον. (15) καίτοι γε παροραθεὶς τόθ' ὑφ' ἡμῶν ἴσως οὐκ ἂν ἤριζε νῦν ὑπὲρ ἀριστείων, οὐδὲ διασύρων τηλικοῦτον μέγεθος εὐεργεσίας ἔλεγε μηθὲν εἶναι μέγα τὸ πραχθὲν διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποχωρεῖν ἐκ τῆς μάχης τοὺς πολεμίους. τίς γὰρ οὐκ οἶδεν, ὅτι πολλάκις οἱ διαλυθέντες ἐκ τῆς μάχης ἐξ ὑποσιροφῆς εἰώθασιν ἐπιτίθεσθαι καὶ στρατηγίαι ταύτηι χρησάμενοι τυγχάνειν τῆς νίκης; ἱκανά μοι τὰ ῥηθέντα· λόγων γὰρ πλειόνων οὐκ οἶμαι ὑμᾶς προσδεῖσθαι.'

(16) τούτων ῥηθέντων οἱ δικάζοντες ὁμογνώμονες γενόμενοι προέκριναν τὸν Ἀριστομένην.

18 (—) Diod. VIII 18, 1 (Exc. De sent. p. 276, 6): καὶ ταῖς προθυμίαις ἐπερρώσθησαν· τοὺς γὰρ ἐκ παίδων ἀνδρείαν καὶ καρτερίαν ἀσκοῦντας, κἂν ἡ τύχη που ταπεινώσηι, βραχὺς λόγος ἐφ' ὃ δεῖ παρίστησιν. οὐ μὴν οὐδὲ οἱ Μεσσήνιοι τούτων ἀπελείποντο ταῖς προθυμίαις, ἀλλὰ ταῖς σφῶν ἀρεταῖς πιστεύσαντες * *

---

6 τοῦ ⟨μὴ⟩ παθεῖν Her  29 ⟨τῶι⟩ Din  30 ⟨τὰ⟩ Din  44 ἀπε-λείποντο Din ἀπελίποντο V

14 (—) — VIII 13, 2 (Exc. De sent. p. 276, 11): *ὅτι οἱ Λακεδαιμόνιοι καταπονούμενοι ὑπὸ Μεσσηνίων ἔπεμψαν εἰς Δελφούς· ἡ δὲ ἔχρησεν·*

*οὔ σε μάχης μόνον ἔργ' ἐφέπειν χερὶ Φοῖβος ἄνωγεν,*
*ἀλλ' ἀπάτηι μὲν ἔχει γαῖαν Μεσσηνίδα λαός,*
*ταῖς δ' αὐταῖς τέχναισιν ἁλώσεται αἴσπερ ὑπῆρξεν.*

*ἔστι δὲ τὸ νοούμενον μὴ μόνον τοῖς ἐκ βίας ἔργοις ἁλλὰ καὶ τοῖς ἐκ δόλου* * *

15 (—) — XV 66, 3: *ὕστερον δὲ δουλευόντων Μεσσηνίων τοῖς Λακεδαιμονίοις, Ἀριστομένης ἔπεισε τοὺς Μεσσηνίους ἀποστῆναι τῶν Σπαρτιατῶν· καὶ πολλὰ κακὰ διειργάσατο τοὺς Σπαρτιάτας, ὅτε καὶ Τυρταῖος ὁ ποιητὴς ὑπὸ Ἀθηναίων ἡγεμὼν ἐδόθη τοῖς Σπαρτιάταις. (4) ἔνιοι δὲ τὸν Ἀριστομένη γεγονέναι φασὶ κατὰ τὸν εἰκοσαετῆ πόλεμον.*

## —. RHIANOS VON BENE. ca. 500

*ΜΕΣΣΗΝΙΑΚΑ*

s. III.

## —. AISCHYLOS VON ALEXANDREIA.

*ΜΕΣΣΗΝΙΑΚΑ*

s. IV.

## —. SKYLAX VON KARYANDA. ca. 496

*ΤΑ ΚΑΤΑ ΤΟΝ ΗΡΑΚΛΕΙΔΗΝ ΤΟΝ ΜΥΛΑΣΣΩΝ ΒΑΣΙΛΕΑ*

s. V.

## —. CHOIRILOS VON SAMOS. a. 480

*ΠΕΡΣΙΚΑ (ΠΕΡΣΗΙΣ) ο. ΑΘΗΝΑΙΩΝ ΝΙΚΗ ΚΑΤΑ ΞΕΡΞΟΥ*

—

## 107. STESIMBROTOS VON THASOS.

T

1 PLUT. Kimon 4, 5: *Στησίμβροτος δ' ὁ Θάσιος περὶ τὸν αὐτὸν δμοῦ τι χρόνον τῶι Κίμωνι γεγονώς* (F 4).

2 ATHEN. XIII 56 p. 589 D: *Στησίμβροτος ὁ Θάσιος . . . κατὰ τοὺς αὐτοὺς αὐτῶι* (sc. *Περικλεῖ*) *χρόνους γενόμενος καὶ ἑωρακὼς αὐτόν* (F 10 a).

3 PLAT. Ion 530 CD: *οἶμαι κάλλιστα ἀνθρώπων λέγειν περὶ Ὁμήρου, ὡς οὔτε Μητρόδωρος ὁ Λαμψακηνὸς οὔτε Στησίμβροτος ὁ Θάσιος οὔτε Γλαύκων* (IV) *οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων ἔσχεν εἰπεῖν οὕτω πολλὰς καὶ καλὰς διανοίας περὶ Ὁμήρου ὅσας ἐγώ.*

---

3 οὔ σε Paus. IV 12, 1 Euseb. PE V 27 οὔτε V ἔργ' Paus Eus ἔργον V ἄνωγεν Paus Eus ἀνώγει V 4 ἀπάτηι Paus Eus —ης V 5 τέχναισιν Paus τεχνεσιν V τέχναις τις Eus αἴσπερ Paus Eus ὥσπερ V 32 Γλαῦκος Sydenham

4 XENOPH. Symp. 3, 6: *οἶσθά τι οὖν ἔθνος . . . ἠλιθιώτερον ῥαψωιδῶν; . . . σὺ δὲ* (sc. *Νικήρατε*) *Στησιμβρότωι τε καὶ Ἀναξιμάνδρωι* (9 T 3) *καὶ ἄλλοις πολλοῖς πολὺ δέδωκας ἀργύριον, ὥστε οὐδέν σε τῶν πολλοῦ ἀξίων λέληθε.*

5 SUID. s. *Ἀντίμαχος· Κολοφώνιος . . . τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι· ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου.*

## F

## *ΠΕΡΙ ΘΕΜΙΣΤΟΚΛΕΟΥΣ ΚΑΙ ΘΟΥΚΥΔΙΔΟΥ ΚΑΙ ΠΕΡΙΚΛΕΟΥΣ.*

*1 (II 53, 1) PLUT. Them. 2, 3: (musische unbildung des Themistokles) *καίτοι Στησίμβροτος Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικόν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος· Περικλεῖ γάρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε.* (4) *μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς Μνησιφίλου τὸν Θεμιστοκλέα τοῦ Φρεαρρίου ζηλωτὴν γενέσθαι λέγουσιν . . . .*

*2 (—) — — 4, 3: (verwendung des ertrags von Laurion zum kriegsschiffbau) *ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων καὶ καταβιβάζων τὴν πόλιν πρὸς τὴν θάλατταν, ὡς τὰ πεζὰ μὲν οὐδὲ τοῖς ὁμόροις ἀξιομάχους ὄντας, τῆι δ' ἀπὸ τῶν νεῶν ἀλκῆι καὶ τοὺς βαρβάρους ἀμύνασθαι καὶ τῆς Ἑλλάδος ἄρχειν δυναμένους, ἀντὶ μονίμων ὁπλιτῶν, ὡς φησιν ὁ Πλάτων* (Legg. IV 706 C), *ναυβάτας καὶ θαλασσίους ἐποίησε, καὶ διαβολὴν καθ' αὑτοῦ παρέσχεν, ὡς ἄρα Θεμιστοκλῆς τὸ δόρυ καὶ τὴν ἀσπίδα τῶν πολιτῶν παρελόμενος εἰς ὑπηρέσιον καὶ κώπην συνέστειλε τὸν Ἀθηναίων δῆμον.* (4) *ἔπραξε δὲ ταῦτα Μιλτιάδου κρατήσας ἀντιλέγοντος, ὡς ἱστορεῖ Στησίμβροτος.*

*3 (2) PLUT. Them. 24, 5: (Themistokles' flucht zu Admetos) *ἐκεῖ δ' αὐτῶι τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν, ὃν ἐπὶ τούτωι Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος.* (6) *εἴτ' οὐκ οἶδ' ὅπως ἐπιλαθόμενος τούτων ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον πλεῦσαί φησιν εἰς Σικελίαν καὶ παρ' Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον, ὑπισχνούμενον αὐτῶι τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν· ἀποτριψαμένου δὲ τοῦ Ἱέρωνος οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι.* (25) *ταῦτα δ' οὐκ οἰκός ἐστιν οὕτω γενέσθαι . . . . .*

*4 (3) — Kimon 4, 4: *Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὀφλὼν δίκην καὶ πρὸς τὴν ἔκτισιν εἱρχθεὶς ἐτελεύτησεν ἐν τῶι δεσμωτηρίωι, Κίμων δὲ μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης

9 s. F 10a 32 ἀποτριψαμένου S ἀποτρε— Y

οὔσης καὶ ἀγάμου τὸν πρῶτον ἠδόξει χρόνον ἐν τῇι πόλει καὶ κακῶς ἤκουεν ὡς ἄτακτος καὶ πολυπότης καὶ τῶι πάππωι Κίμωνι προσεοικὼς τὴν φύσιν, ὃν δι' εὐήθειάν φασι Κοάλεμον προσαγορευθῆναι. (5) Στησίμβροτος δ' ὁ Θάσιος περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῶι Κίμωνι γεγονὼς φησιν αὐτὸν οὔτε μουσικὴν οὔτε ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι, δεινότητός τε καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι, καὶ τῶι τρόπωι πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν, καὶ μᾶλλον εἶναι Πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρός — ‘φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν' κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα (F 473 N²)· ταῦτα γάρ ἐστι τοῖς ὑπὸ τοῦ Στησιμβρότου γεγραμμένοις ἐπειπεῖν. (6) ἔτι δὲ νέος ὢν αἰτίαν ἔσχε πλησιάζειν τῆι ἀδελφῆι. καὶ γὰρ οὐδ' ἄλλως τὴν Ἐλπινίκην εὔτακτόν τινα γεγονέναι λέγουσιν (ihr verhältnis mit Polygnotos 6—7). εἰσὶ δ' οἳ τὴν Ἐλπινίκην οὐ κρύφα τῶι Κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν .... (ihre ehe; Kimons verhältnisse zu frauen 9—10).

*5 (4) — — 14, 3: (Kimon säubert die Chersonnes und unterwirft Thasos) ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι Μακεδονίας καὶ πολλὴν ἀποτεμέσθαι παρασχὸν, ὡς ἐδόκει, μὴ θελήσας αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου συμπεπεῖσθαι καὶ δίκην ἔφυγε τῶν ἐχθρῶν συστάντων ἐπ' αὐτόν. (4) ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς οὐκ Ἰώνων ἔφη προξενεῖν οὐδὲ Θεσσαλῶν πλουσίων ὄντων, ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ Λακεδαιμονίων, μιμούμενος καὶ ἀγαπῶν τὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην, ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι. (5) μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτός φησι τὴν Ἐλπινίκην ὑπὲρ τοῦ Κίμωνος δεομένην ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ Περικλέους — οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος —, τὸν δὲ μειδιάσαντα ‘γραῦς εἶ' φάναι ‘γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα'· πλὴν ἔν γε τῇι δίκηι πραιότατον γενέσθαι τῶι Κίμωνι καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον.

*6 (5) — — 16, 1: ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων (sc. Κίμων), καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον Ἠλεῖον, ἐκ γυναικὸς αὐτῶι Κλειτορίας γενομένους, ὡς Στησίμβροτος ἱστορεῖ· διὸ πολλάκις τὸν

23 Λακεδαιμονίων Muretus Λακεδαιμονίους, Μακεδονίους Plut 36 Κλειτορίας Corais κλιτ— Plut 37 τὸν om S

*Περικλέα τὸ μητρῶιον αὐτοῖς γένος ὀνειδίζειν. Διόδωρος δ' ὁ Περιηγητὴς* (III) *καὶ τούτους φησὶ καὶ τὸν τρίτον τῶν Κίμωνος υἱῶν Θεσσαλὸν ἐξ Ἰσοδίκης γεγονέναι τῆς Εὐρυπτολέμου τοῦ Μεγακλέους.* (2) *ηὐξήθη δ' ὑπὸ τῶν Λακεδαιμονίων ἤδη τῶι Θεμιστοκλεῖ προσπολεμούντων* .....

*7 (6) PLUT. Kimon 16, 3: (wachsende abneigung in Athen gegen den durch Kimon wirksamen spartanischen einfluss) *καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους, καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς ἢ παροξύνων, ὡς φησι Στησίμβροτος, εἰώθει λέγειν Ἀλλ' οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι. ὅθεν φθόνον ἑαυτῶι συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν.* (folgt geschichte der hilfeleistung an Sparta mit zitaten aus Kritias und Ion).

*8 (7) — Perikl. 26, 1: *ἐπεὶ δὲ μείζων ἕτερος στόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν καὶ παντελῶς κατεκλείσθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα τριήρεις ἔπλευσεν εἰς τὸν ἔξω πόντον, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Φοινισσῶν νεῶν ἐπικούρων τοῖς Σαμίοις προσφερομένων ἁπαντῆσαι καὶ διαγωνίσασθαι πορρωτάτω βουλόμενος, ὡς δὲ Στησίμβροτος, ἐπὶ Κύπρον στελλόμενος,* ὅπερ οὐ δοκεῖ πιθανὸν εἶναι.

*9 (8) — — 8, 9: *ὁ δὲ Στησίμβροτός φησιν, ὅτι τοὺς ἐν Σάμωι τεθνηκότας ἐγκωμιάζων ἐπὶ τοῦ βήματος* (sc. Περικλῆς) *ἀθανάτους ἔλεγε γεγονέναι καθάπερ τοὺς θεούς· οὐδὲ γὰρ ἐκείνους αὐτοὺς ὁρῶμεν, ἀλλὰ ταῖς τιμαῖς ἃς ἔχουσι καὶ τοῖς ἀγαθοῖς ἃ παρέχουσι, ἀθανάτους εἶναι τεκμαιρόμεθα'. ταῦτ' οὖν ὑπάρχειν καὶ τοῖς ὑπὲρ τῆς πατρίδος ἀποθανοῦσιν.*

10 (9; 10) a) ATHEN. XIII 56 p. 589 DE: *ἦν δ' οὗτος ἀνὴρ* (sc. Περικλῆς) *πρὸς ἀφροδίσια πάνυ καταφερής, ὅστις καὶ τῆι τοῦ υἱοῦ γυναικὶ συνῆν, ὡς Στησίμβροτος ὁ Θάσιος ἱστορεῖ, κατὰ τοὺς αὐτοὺς αὐτῶι χρόνους γενόμενος καὶ ἑωρακὼς αὐτόν, ἐν τῶι ἐπιγραφομένωι Περὶ Θεμιστοκλέους καὶ Θουκυδίδου καὶ Περικλέους.* b) PLUT. Perikl. 13, 15: *δεξάμενοι δὲ τὸν λόγον οἱ κωμικοὶ πολλὴν ἀσέλγειαν αὐτοῦ κατεσκέδασαν, εἴς τε τὴν Μενίππου γυναῖκα διαβάλλοντες* ..... (16) *καὶ τί ἄν τις ἀνθρώπους σατυρικοὺς τοῖς βίοις καὶ τὰς κατὰ τῶν κρειττόνων βλασφημίας ὥσπερ δαίμονι κακῶι τῶι φθόνωι τῶν πολλῶν ἀποθύοντας ἑκάστοτε θαυμάσειεν, ὅπου καὶ Στησίμβροτος ὁ Θάσιος δεινὸν ἀσέβημα καὶ μυθώδες ἐξενεγκεῖν ἐτόλμησεν εἰς τὴν γυναῖκα τοῦ υἱοῦ κατὰ τοῦ Περικλέους. οὕτως ἔοικε πάντη χαλεπὸν εἶναι καὶ δυσθήρατον ἱστορίαι τἀληθές, ὅταν οἱ μὲν ὕστερον γεγονότες τὸν χρόνον ἔχωσιν ἐπιπροσθοῦντα τῆι γνώσει τῶν*

21 οὐδὲ S οὐ Y 22 ἃ παρέχουσιν Bryan ἅπερ ἔχουσι Plut 24 οὗτος ⟨ὁ⟩ Kaibel 37 ἐπιπροσθεν ὄντα Y

πραγμάτων, ἡ δὲ τῶν πράξεων καὶ τῶν βίων ἡλικιῶτις ἱστορία τὰ μὲν φθόνοις καὶ δυσμενείαις, τὰ δὲ χαριζομένη καὶ κολακεύουσα λυμαίνηται καὶ διαστρέφηι τὴν ἀλήθειαν.

*11 (11) PLUT. Perikl. 36, 1: τὰ δ' οἰκεῖα μοχθηρῶς εἶχεν αὐτῶι (sc. *Περικλεῖ*) κατά τε τὸν λοιμὸν οὐκ ὀλίγους ἀποβαλόντι τῶν ἐπιτηδείων καὶ στάσει διατεταραγμένωι πόρρωθεν. (2) ὁ γὰρ πρεσβύτατος αὐτοῦ τῶν γνησίων υἱῶν Ξάνθιππος φύσει τε δαπανηρὸς ὢν καὶ γυναικὶ νέαι καὶ πολυτελεῖ συνοικῶν, Τεισάνδρου θυγατρὶ τοῦ Ἐπιλύκου, χαλεπῶς ἔφερε τὴν τοῦ πατρὸς ἀκρίβειαν γλίσχρα καὶ κατὰ μικρὸν αὐτῶι χορηγοῦντος. (3) πέμψας οὖν πρός τινα τῶν φίλων ἔλαβεν ἀργύριον ὡς τοῦ Περικλέους κελεύσαντος. (4) ἐκείνου δ' ὕστερον ἀπαιτοῦντος, ὁ μὲν Περικλῆς καὶ δίκην αὐτῶι προσέλαχε. τὸ δὲ μειράκιον ὁ Ξάνθιππος ἐπὶ τούτωι χαλεπῶς διατεθεὶς ἐλοιδόρει τὸν πατέρα, πρῶτον μὲν ἐκφέρων ἐπὶ γέλωτι τὰς οἴκοι διατριβὰς αὐτοῦ καὶ τοὺς λόγους, οὓς ἐποιεῖτο μετὰ τῶν σοφιστῶν. (5) πεντάθλου γάρ τινος ἀκοντίωι πατάξαντος Ἐπίτιμον τὸν Φαρσάλιον ἀκουσίως καὶ κτείναντος, ἡμέραν ὅλην ἀναλῶσαι μετὰ Πρωταγόρου διαποροῦντα, πότερον τὸ ἀκόντιον ἢ τὸν βαλόντα μᾶλλον ἢ τοὺς ἀγωνοθέτας κατὰ τὸν ὀρθότατον λόγον αἰτίους χρὴ τοῦ πάθους ἡγεῖσθαι. (6) πρὸς δὲ τούτοις καὶ τὴν περὶ τῆς γυναικὸς διαβολὴν ὑπὸ τοῦ Ξανθίππου φησὶν ὁ Στησίμβροτος εἰς τοὺς πολλοὺς διασπαρῆναι, καὶ ὅλως ἀνήκεστον ἄχρι τῆς τελευτῆς τῶι νεανίσκωι πρὸς τὸν πατέρα διαμεῖναι τὴν διαφοράν· ἀπέθανε γὰρ ὁ Ξάνθιππος ἐν τῶι λοιμῶι νοσήσας.

*ΠΕΡΙ ΤΕΛΕΤΩΝ.*

(F 13—20; 26—27).

12 (13) a) ET. M. p. 465, 27 (SCHOL. PAUS. V 7, 6): Ἰδαῖοι· Δάκτυλοι Ἰδαῖοι Κρηταιέες, οὕς ποτε νύμφη Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος ἀμφοτέρησι δραξαμένη γαίης Οἰαξίδος ἐβλάστησεν (Apoll. Rhod. I 1129 ff.). εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα· διὸ καὶ Δάκτυλοι προσηγορεύθησαν ἀπὸ τῶν ἡμετέρων δακτύλων· ἢ ἐπειδὴ ἐν τοῖς δακτύλοις ἐρρίφησαν. Ἰδαῖοι δέ, ἐπειδὴ ἐν Ἴδηι ὄρει τῆς Κρήτης ἐγεννήθησαν· ἢ ὅτι ἡ κόνις, ἣν ἔρριψαν, ἐξ Ἴδης τοῦ ὄρους ἦν. Στησίμβροτος δὲ ἐν τῶι Περὶ τελετῶν Διὸς καὶ Ἴδης νύμφης αὐτοὺς λέγει † φησὶν ὅτι Ζεὺς ἐκέλευσε τὰς ἰδίας τροφοὺς λαβεῖν κόνιν καὶ ῥῖψαι εἰς τοὐπίσω, καὶ ἐκ τῆς κόνεως

5 τε om S 6 διατεταραγμένωι S —ων Y —να Sauppe 8 Τισάνδρου Sintenis Ἰσάνδρου Y οἰσ— S 14 ἔποιεῖτο Y 15 τινος S ἵππον Y ἐπιτιμίου τοῦ Φαρσαλίου Y 17 μᾶλλον om Y 18 ἡγεῖσθαι Y γενέσθαι S λέγεσθαι? Fuhr 22 παραμεῖναι Y 32 Στησίχορος V Schol Paus 33 λε' φη' DM λέγει Ἴδης δὲ νύμφης φησὶν V Schol Paus λέγων φησὶν Cobet * * (καὶ o. autorname) Lobeck Aglaoph. 1158

*γενέσθαι τοὺς Ἰδαίους Δακτύλους.* **b)** SCHOL. APOLL. RH. I 1126 (1129): *ὅτι δὲ νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου εἴληφε· † καὶ ὅτι διὰ τῶν χειρῶν διερρύησαν, Δακτύλους κληθῆναι.*

## Ohne Buchtitel.

Aus *ΠΕΡΙ ΤΕΛΕΤΩΝ.*

**13** (16) ET. M. 277, 35: *Διόνυσος· οἱ μὲν Διόνυξον αὐτὸν ὀνομάζουσιν, ὅτι σὺν κέρασι γεννώμενος ἔνυξε τὸν Διὸς μηρόν, ὡς Στησίμβροτος.*

**14** (—) PHILODEM. *π. εὐσ.* 50,1 p. 22 Gomp.: (gleichungen von göttern) . . . . . *Ἄμμωνα* | . . . . . *εἶναι τὸν* | . . . . . *Ἀπόλ*|[*λω Στη*]*σίμβροτος.* | [*Αἰσχύλος*] *δ' ἐν Ἠλιά*|[*σιν* (F 70 N²) *τὸν*] *Δία καὶ αἰθέ*|[*ρα λέγει κ*]*αὶ γῆν καὶ* | [*οὐρανὸ*]*ν καὶ τὰ πάν*|[*τα καὶ ὑ*]*πὲρ τὰ πάν*|[*τα*].

**15** (—) — — 90, 27 p. 41: (fesselungen von göttern) *καὶ Στησίμ*-[*βρ*|*ο*]*τος τεκοῦσάν* [*φη*|*σ*]*κ τὴν* [*Γ*]*ῆν Ἄρτε*|[*μιν* — —

**16** (—) — — 91, 21 p. 42: (dienstverhältnisse unter den göttern) [*πα*]|*ρὰ δὲ τῶι ποή*[*σαν*]*τι τὴν Δανα*[*ίδα*] (F 3 p. 313 Ki) | *μητρὸς τῶν Θ*[*εῶν* | *Θ*]*εράποντες* [*οἱ Κου*]|*ρῆτες· Στησ*[*ίμβρο*]|*τος δὲ Ἄρτεμ*[*ιν αὐ*]|*τῆς καὶ Ἀθην*[*ᾶν*] | *ὀπαδοὺ*[*ς πε*]*π*[*οίηκε* — —

**17** (—) — — 94, 14 p. 45: [*Στη*]*σίμ*|*βροτος δ*[*ὲ λέγ*]*ει τὸν* | *Δία παρὰ* [*Ῥέας*] *τῆς* ! *μητρὸς* [*τὴν*] *ἀρχὴν* | *λαβόντα* [*τὴ*]*ν ἀρ*|*χὴν πάλ*[*ιν ὑ*]*π' αὐτῆς* | *ἀφαιρεθῆναι, τῆι Ἀρ*|*τέμιδί τε καὶ Ἀ*|*θηνᾶι τὴν βασιλεί*|*αν δούσης.*

**18** (15) PHOT. SUID. s. *τυφλότερος σπάλακος· τοῦτο τὸ γένος οὐκ ἔχει ὀφθαλμούς. φησί δ' αὐτοὺς Στησίμβροτος ὑπὸ τῆς Γῆς τυφλωθῆναι διὰ τὸ φθείρειν τοὺς καρπούς. ἔχει γὰρ ὀδόντας μιαρωτάτους καὶ ῥύγχος ὡς μυγαλῆς καὶ πόδας ὡς ἄρκτου.*

**19** (17) SCHOL. APOLL. RHOD. I 1304: *ὅτι Ἡρακλῆς ἀνεῖλε τοὺς Βορεάδας διὰ τὸ κωλῦσαι τὴν ναῦν ὑποστρέψαι πάλιν εἰς τὴν Μυσίαν φησὶν Ἀπολλώνιος. Σῆμος* (III) *δέ φησι διὰ τὸ ληφθῆναι δρόμωι τὸν Ἡρακλέα ὑπὸ τῶν Βορεαδῶν· Στησίμβροτος δέ φησιν ὅτι διαφορὰν ἔσχον πρὸς τὸν Ἡρακλέα περὶ τῶν δεδομένων ὡρῶν ὑπὸ Ἰάσονος τοῖς ἀριστεῦσι.*

---

2 *νύμφη Ἀγχιάλη τις* p (?) 3 *εἴληφε* * * *καὶ* Keil 7—8 *ὀνομάζουσιν διὰ τοῦ ξ* V 10 *τὸν μὲν Ἄμμωνα* [*Διόνυσ*]*ον εἶναι, τὸν* [*δὲ Φιλ*]*άμμωνα Ἀπόλ*[*λω*]? Go(mperz) *γέγραφ*]*εν* Schober *τὸν* [*δὲ ἐν τῆι*] *ἄμμω*⟨*ι*⟩ Schmidt 14 *Γῆν* oder [*τὴν*] Go 17 *οἱ Κουρῆτες* Go Schober 18 *πε*]*π*[*οίηκε*] Philippson *εἰσ*]*ήγαγε*? Go *μαργάλης* Phot *γαλῆς* Suid 20 *Στησίχορος* E Schwartz De Dion. Scytobr. (1880) 11, 2 *φησιν* om L

*Νίκανδρος δὲ ὁ Κολοφώνιος ἐν τῇι πρώτηι τῶν Οἰταικῶν* (F 15 Schn) *φησὶ Βορέαν αἴτιον γεγονέναι τοῦ θανάτου τῶν προειρημένων διὰ τὸ χειμάσαι τὸν Ἡρακλέα ἐν Κῶι ὑποστρέφοντα.*

**20 (14)** STRAB. X 3, 19—20: *ἄλλοι δὲ Διὸς καὶ Καλλιόπης φασὶ τοὺς Κορύβαντας, τοὺς αὐτοὺς τοῖς Καβείροις ὄντας· ἀπελθεῖν δὲ τούτους εἰς Σαμοθράικην, καλουμένην πρότερον Μελίτην· τὰς δὲ πράξεις αὐτῶν μυστικὰς εἶναι.* (20) *ταῦτα δ' οὐκ ἀποδεξάμενος ὁ Σκήψιος* (V) ...., *ὡς μηδενὸς ἐν Σαμοθράικηι μυστικοῦ λόγου περὶ Καβείρων λεγομένου, παρατίθησιν ὁμοίως καὶ Στησιμβρότου τοῦ Θασίου δόξαν, ὡς τὰ ἐν Σαμοθράικηι ἱερὰ τοῖς Καβείροις ἐπιτελοῖτο. καλεῖσθαι δέ φησιν αὐτοὺς ἐκεῖνος ἀπὸ τοῦ ὄρους τοῦ ἐν τῇι Βερεκυντίαι Καβείρου.*

## AUS EINEM BUCH ÜBER HOMERISCHE PROBLEME.

**21 (II 52)** TATIAN. *πρ. Ἑλλ.* 31 p. 31, 16 Schw.: *περὶ γὰρ τῆς Ὁμήρου ποιήσεως γένους τε αὐτοῦ καὶ χρόνου καθ' ὃν ἠκμασεν προηρεύνησαν πρεσβύτατοι μὲν Θεαγένης τε ὁ Ῥηγῖνος κατὰ Καμβύσην γεγονὼς καὶ Στησίμβροτος ὁ Θάσιος καὶ Ἀντίμαχος ὁ Κολοφώνιος Ἡρόδοτός τε ὁ Ἁλικαρνασσεὺς* (II 53; 116 f.) *καὶ Διονύσιος ὁ Ὀλύνθιος* (VI), *μετὰ δὲ ἐκείνους Ἔφορος* (70 F 98) .....

**22 (18)** HOMER. VIT. ROM. p. 30, 30 Wil.: *κατὰ δ' Ἀντίμαχον Κολοφώνιος, κατὰ δὲ Στησίμβροτον τὸν Θάσιον Σμυρναῖος* .....

**23 (18)** PORPHYR. SCHOL. HOM. Il. *Λ* 636 p. 168, 10 Schrader: *Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν*] *διὰ τί πεποίηκε μόνον τὸν Νέστορα αἴροντα τὸ ἔκπωμα· οὐ γὰρ εἰκὸς ῥᾴιον αἴρειν νεωτέρων. καὶ Στησίμβροτος οὖν φησιν, ἵνα δοκῆι εἰκότως πολλὰ ἔτη βεβιωκέναι· εἰ γὰρ παράμονος ἡ ἰσχὺς καὶ οὐχ ὑπὸ γήρως μεμάραται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Ἀντιοθένης δέ· οὐ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγει, ἀλλ' ὅτι οὐκ ἐμεθύσκετο σημαίνει· ἀλλ' ἔφερε ῥᾳδίως τὸν οἶνον. Γλαῦκος δέ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα· ἐκ μέσου δὲ πᾶν εὔφορον. Ἀριστοτέλης δὲ τὸ Νέστωρ ὁ γέρων ἀπὸ κοινοῦ ἔφη δεῖν ἀκούειν ἐπὶ τοῦ ἄλλος, ἵν' ἦι· ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν· πρὸς γὰρ τοὺς καθ' ἡλικίαν ὁμοίους γενέσθαι τὴν σύγκρισιν.*

**24 (18)** SCHOL. A HOM. Il. *Ο* 193 *Ζεὺς δ' ἕλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι· γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος*] *πῶς δέ φησιν 'γαῖα — Ὄλυμπος'; Κράτης ἐν δευτέρωι Ὁμηρικῶν καὶ Στησιμβρότος·* † *πάντα οὕτως δέδασται.*

**25 (18)** PORPHYR. SCHOL. HOM. Il. *Φ* 76 p. 248, 14 Schrader: *ἀποροῦσι πῶς ὁ ἱκετεύων πρὸς τὸν Ἀχιλλέα ἔφη 'πὰρ γὰρ σοὶ πρώτωι πασάμην Δημήτερος ἀκτήν'. τὸ γὰρ λέγειν, καθάπερ Στησίμβροτος, ὅτι οἱ βάρβαροι ἄλφιτα οὐκ ἐσθίουσιν ἀλλ' ἄρτους κριθίνους, ψευδὸς· ἤσθιε γὰρ ὡς ἂν βασιλέως ὢν υἱός, καὶ οὐδαμῶς τοῦτο ὁ ποιητὴς ἐπεσημήνατο. ἡ δὲ λύσις, ὅτι παρ' Ἕλλησι πρώτωι καὶ ξένωι τῶι Ἀχιλλεῖ γεγονέναι φησί.*

---

3 *ἐν* Lp *εἰς* Keil 9 *ὅμως* Xylander 16 *Ἀντίμαχος*: *Καλλίμαχος* Euseb 24 al. *Ἀντιφάνης* 26 *Γλαύκων*? Heitz *Σωσίβιος ὁ λυτικός* Athen. XI 84 p. 493 C—E 27 *Ἀριστοτέλης*: *ἔνιοι* Schol. B 32 *ὅτι κατὰ στοιχεῖα πάντα οὕ. ὁ.* C Wachsmuth

## Zweifelhaftes.

26 (—) EUSTATH. HOM. Il. *I* 525 p. 772, 4: *Στησίχορος δέ, φασί, τὰς Κῆρας* [*καὶ τὰς σκοτώσεις*] *Τελχῖνας προσηγόρευσε.*

27 (—) PHILODEM. *π. εὐσ.* 51, 11 p. 23 Gomp.: *Μελανιπ*[*πί*]*|δης δὲ Δήμητρ*[*α* [*καί*] | *Μητέρα θεῶν φ*[*η*]*|σιν μίαν ὑπάρχ*[*ειν*] | *καὶ Τελέο*[*της ἐν Δι*|*ὸ*]*ς γονα*〈*ῖ*〉*ς τὸ* [*αὐτὸ* | *κ*]*αὶ Ῥέαν. Σ*[*τησίμβροτος δὲ — —*]

28 (—) — 56, 11 p. 28: [*ἐπ*]*ολέμη*[*σα*]*ν το*[*ἰν*]*υν πολλάκις π*[*ρὸς ἀλ*]*λήλους, ὡς Στ*[*ησιμβ*]*ρο*[*τος λ*]*έγε*[*ι — —*

## Unechtes.

29 (12) FULGENT. Exp. serm. ant. 1 p. 111, 7 Helm: *sandapilam antiqui dici voluerunt feretrum mortuorum, id est loculum, non in quo nobilium corpora, sed in quo plebeiorum atque damnatorum cadavera portabantur; sicut Stesimbrotus Tasius de morte Policratis regis Samiorum scripsit dicens: «posteaquam de cruce depositus sandapila etiam deportatus est.»*

## 108. THEMISTOGENES VON SYRAKUS.

a. 401/0

### T

1 (II 74) SUID. *s. Θεμιστογένης· Συρακούσιος, ἱστορικός. Κύρου Ἀνάβασιν, ἥτις ἐν τοῖς Ξενοφῶντος φέρεται· καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.*

2 XENOPH. Hell. III 1, 2: *ὡς μὲν οὖν Κῦρος στράτευμά τε συνέλεξε καὶ τοῦτ' ἔχων ἀνέβη ἐπὶ τὸν ἀδελφόν, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς ἀπέθανε, καὶ ὡς ἐκ τούτου ἀπεσώθησαν οἱ Ἕλληνες ἐπὶ θάλατταν, Θεμιστογένει τῶι Συρακοσίωι γέγραπται.*

3 PLUT. De glor. Ath. 1 p. 345 E: *Ξενοφῶν μὲν γὰρ αὐτὸς ἑαυτοῦ γέγονεν ἱστορία, γράψας ἃ ἐστρατήγησε καὶ κατώρθωσε † καὶ Θεμιστογένη περὶ τούτων συντίθη τῶν λόγων δόξαν χαριζόμενος.*

4 TZETZ. Chil. VII 937: *ταὐτὸ ποιεῖ καὶ Ξενοφῶν τῆι Κύρου Ἀναβάσει· ἐπέγραψε καὶ οὗτος γὰρ τοῦ ἐρωμένου χάριν — Κύρου μὲν ἡ Ἀνάβασις ὑπάρχει τὸ βιβλίον, Θεμιστογένους δέ ἐστι τοῦτο Συρακουσίου —, κἂν πάλιν ἐπεκράτησε καλεῖσθαι Ξενοφῶντος.*

*ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ*

*ΠΕΡΙ ΤΗΣ ΕΑΥΤΟΥ ΠΑΤΡΙΔΟΣ*

2 *Στησίμβροτος* Blinkenberg Herm. L 293, 1 3 [*καὶ τ. σκ.*] 'glossem des Eust.' Crusius Rosch. Lex. II 1145 4—6 erg. Wilamowitz 6 *Στησίμβροτος δέ*? Philippson *ξ*[*ι* Wilamowitz 7—8 erg. Gomperz 13 *T*(*h*)*asius* edd *stasius* Fulg 23 *ἑαυτῶι* Wilamowitz 24—25 [*καί*] (del. Wilam) *Θεμιστογένει — τῶι Συρακουσίωι* Turnebus

## 109. SOPHAINETOS VON STYMPHALOS. a. 401/0

T

1 a) XENOPH. ANAB. I 1, 11: *Σοφαίνετον δὲ τὸν Στυμφάλιον . . . ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν* (sc. *Κῦρος*) . . . . b) — 2, 9: καὶ *Σοφαίνετος Ἀρκὰς ἔχων ὁπλίτας χιλίους . . .* c) — V 3, 1: *Φιλήσιον καὶ Σοφαίνετον τοὺς πρεσβυτάτους τῶν στρατηγῶν.* s. II 5, 37; IV 4, 19; VI 5, 13.

F

*ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ.*

1 (II 75, 3) STEPH. BYZ. s. *Καρδοῦχοι· ἔθνος Μηδίας, ὡς Ξενοφῶν ἐν Ἀναβάσεως* $\overline{\gamma}$ (5, 15)· *'ἐς Καρδούχους ἄγει'. τούτους δέ φησι .... πολεμικοὺς εἶναι καὶ βασιλέως οὐκ ἀκούειν. καὶ Σοφαίνετος ἐν Κύρου Ἀναβάσει φησὶ περὶ αὐτῶν.*

2 (4) — s. *Τάοχοι· ἔθνος ἐνδοτέρω τοῦ Πόντου. καὶ ἡ χώρα οὕτω. τούτους τινὲς Τάους καλοῦσιν, ὡς Σοφαίνετος ἐν τῇι Ἀναβάσει φησί.*

3 (2) — s. *Φύσκος· πόλις .... ἔστι καὶ ποταμὸς Φύσκος, καθά φησι Σοφαίνετος ἐν Κύρου Ἀναβάσει.*

4 (1) — s. *Χαρμάνδη· πόλις πέραν τοῦ Εὐφράτου. Σοφαίνετος ἐν Κύρου Ἀναβάσει· «ἐπὶ δὲ ταῖς Βαβυλωνίαις πύλαις πέραν τοῦ Εὐφράτου ποταμοῦ πόλις ὠικιστο ὄνομα Χαρμάνδη.»*

## 110. HEGEMON VON ALEXANDREIA (TROAS). a. 371

T

1 STEPH. BYZ. s. *Ἀλεξάνδρεια· .... $\overline{\beta}$ ἔστι πόλις Τροίας, ἐν ἧι ἐγένετο Ἡγήμων ἐποποιός, ὃς ἔγραψε τὸν Λευκτρικὸν πόλεμον τῶν Θηβαίων καὶ Λακεδαιμονίων.*

F

*ΛΕΥΚΤΡΙΚΟΣ ΠΟΛΕΜΟΣ.*

---

*ΔΑΡΔΑΝΙΚΑ.*

1 (IV 412) AELIAN. NA VIII 11: *Ἡγήμων ἐν τοῖς Δαρδανικοῖς μέτροις περὶ Ἀλεύα τοῦ Θετταλοῦ φησι καὶ ἄλλα μέν, ἐν δὲ τοῖς καὶ ὅτι ἠράσθη δράκων αὐτοῦ. καὶ ὅτι μὲν εἶχε κόμην χρυσῆν ὅδε ὁ Ἀλεύας λέγων τερατεύεται [ὁ Ἡγήμων ὀηλονότι],*

5 ὁ Ἀρκὰς dett Ἀγίας ὁ Ἀρκὰς Koechly 10 *Μηδείας* RV 11 *εἰς Κ. ἀγοι* Xen 12 *βασιλέως* P Xen *βασιλέα* RV 18—20 *Σοφαίνετος — ποταμοῦ* om V 20 *Χαρμάνδη ὄνομα* V 31 [ὁ *Ἡ. ὀ.*] Hercher

ἐμοὶ δὲ ἔστω ξανθή. καὶ βουκολεῖν μὲν αὐτὸν ἐν τῇ Ὄσσῃ φησὶν ὡς ἐν τῇ Ἴδῃ τὸν Ἀγχίσην, παρὰ δὲ τῇ κρήνῃ νέμειν τὰς βοῦς τῇ καλουμένῃ Αἱμονίαι. Θετταλὴ δ' ἂν καὶ ἡ κρήνη εἴη. δράκοντα οὖν μεγέθει μέγιστον ἐρασθῆναι τοῦ Ἀλεύα καὶ ἀνέρπειν ἐς αὐτὸν καὶ τὴν κόμην οἱ καταφιλεῖν καὶ τῇ γλώττῃ περιλιχμώμενον τὸ πρόσωπον τοῦ ἐρωμένου καθαίρειν καὶ ὠροφορεῖν αὐτῷ θηρῶντα πάμπολλα.

## 111. XENOPHON VON ATHEN.

T

1 (III 101) DIOG. LAERT. II 59: *γεγόνασι δὲ Ξενοφῶντες ἑπτά· πρῶτος αὐτὸς οὗτος· δεύτερος Ἀθηναῖος, ἀδελφὸς Πυθοστράτου τοῦ τὴν Θησηίδα πεποιηκότος, γεγραφὼς ἄλλα τε καὶ Βίον Ἐπαμεινώνδου καὶ Πελοπίδου.*

F

*ΒΙΟΣ ΕΠΑΜΕΙΝΩΝΔΟΥ ΚΑΙ ΠΕΛΟΠΙΔΟΥ.*

---

## —. KALLISTHENES VON OLYNTH.

s. no. 124.

*ΠΕΡΙ ΤΟΥ ΙΕΡΟΥ ΠΟΛΕΜΟΥ.*

a. 356—346

## 112. KEPHISODOROS (VON ATHEN o. THEBEN.)

*ΠΕΡΙ ΤΟΥ ΙΕΡΟΥ ΠΟΛΕΜΟΥ.*

$\overline{IB}$ (?)

1 (II 85) ANON. I. ARISTOT. Eth. Nic. III 11 p. 1116 b 6 [Comm. i. Arist. Gr. XX 166, 2]: *ἱστοροῦσι περὶ τῆς μάχης ταύτης* (in Koroneia) *Κηφισόδωρος ἐν τῇ ιβ̄* (?) ⟨*τῶν*⟩ *Περὶ τοῦ ἱεροῦ πολέμου καὶ Ἀναξιμένης ἐν τῇ τετάρτῃ τῶν Περὶ Φίλιππον* (72 F 8) *καὶ Ἔφορος ἐν τῇ τριακοστῇ* (70 F 94).] a. 353/2

### Unsicheres.

2 (II 85) ATHEN. XII 71 p. 548 EF: *Καρύστιος δ' ὁ Περγαμηνὸς ἐν Ἱστορικοῖς Ὑπομνήμασιν* (IV) *Κηφισόδωρος φησὶν ὁ Θηβαῖος Πολύδωρον τὸν Τήιον ἰατρὸν Ἀντιπάτρῳ συσσιτεῖν ψιλοτάπιδα ἔχοντι κριῳτὴν καθάπερ τοὺς στρωματεῖς εὐτελῆ, ἐφ' ἧς κατακεῖσθαι, κάδους δὲ χαλκοῦς καὶ ποτήρια ὀλίγα· γεγονέναι γὰρ ὀλιγοδίαιτον καὶ τρυφῆς ἀλλότριον.*

22 *ἐν τῇ* [*ι*]*β̄*? ⟨*τῶν*⟩ Aldina 28 *ἔχοντι* Duthell —*τα* A

## —. LEON VON BYZANZ.

*ΙΕΡΟΣ ΠΟΛΕΜΟΣ.*

s. no. 132.

## 113. THEODEKTES VON PHASELIS.

ca. 342—330

T

1 (II 369) Suid. s. *Θεοδέκτης· Φασηλίτης, ῥήτωρ, υἱὸς τοῦ προτέρου* (des Isokrateers und Aristotelikers). *ἔγραψεν Ἐγκώμιον Ἀλεξάνδρου τοῦ Ἠπειρώτου* (342—330)· *Ἱστορικὰ Ὑπομνήματα· Νόμιμα Βαρβαρικά· Τέχνην ῥητορικὴν ἐν βιβλίοις ἑπτά· καὶ ἄλλα πολλὰ ὑπομνήματα.*

F

*ΕΓΚΩΜΙΟΝ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΗΠΕΙΡΩΤΟΥ.*

## —. LYKOS VON RHEGION.

*ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ.*

s. III u. Sicilien.

7 *ἐγκώμιον*: *Ἀλεξάνδῳ τοῦ Πριαμ* *ἐγκώμιον* add A *πριαμ'* praemisit * V
9 *ἑπτά*: *κ'* aus *ἑνί* E *ἄλλα πολλὰ* AV *ἄ. τινά* rell

## b) PHILIPPIKA.

### 114. ANTIPATROS.

T

1 (Π 338) SUID. s. *Ἀντίπατρος· Ἰολάου· πόλεως δὲ † Παλιούρας τῆς Μακεδονίας, στρατηγὸς Φιλίππου, εἶτα Ἀλεξάνδρου καὶ διάδοχος βασιλείας· μαθητὴς Ἀριστοτέλους. κατέλιπεν Ἐπιστολῶν σύγγραμμα ἐν βιβλίοις δυσί· καὶ ἱστορίαν, τὰς Περδίκκου Πράξεις Ἰλλυρικάς.*

F

*ΠΕΡΔΙΚΚΟΥ ΠΡΑΞΕΙΣ ΙΛΛΥΡΙΚΑΙ.*

---

### 115. THEOPOMPOS VON CHIOS.

T

1 SUID. s. *Θεόπομπος Χῖος ῥήτωρ· υἱὸς Δαμασιστράτου· γεγονὼς τοῖς χρόνοις κατὰ τὴν ἀναρχίαν Ἀθηναίων* (404/3), *ἐπὶ τῆς ἐνενηκοστῆς τρίτης ὀλυμπιάδος* (408/5), *ὅτε καὶ Ἔφορος* (70 T 1). *Ἰσοκράτους ἀκουστὴς ἅμα Ἐφόρῳ* (T 5). *ἔγραψεν Ἐπιτομὴν τῶν Ἡροδότου Ἱστοριῶν ἐν βιβλίοις β̄· Φιλιππικὰ ἐν βιβλίοις οβ̄· Ἑλληνικὰς Ἱστορίας — ἔπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος, καί εἰσιν ἐν βιβλίοις ιᾱ, ἔχουσαι τὰ ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου —· καὶ λοιπά·* [*ἔγραψε καὶ ἕτερα πλεῖστα*].

2 PHOT. Bibl. 176 p. 120 b 19: (F 103) *ἔστι δὲ Θεόπομπος Χῖος μὲν τὸ γένος, υἱὸς Δαμοστράτου. φυγεῖν δὲ λέγεται τῆς πατρίδος ἅμα τῷ πατρί, ἐπὶ λακωνισμῷ τοῦ πατρὸς ἁλόντος, ἀνασωθῆναι δὲ τῇ πατρίδι τελευτήσαντος αὐτῷ τοῦ πατρός, τὴν* [*δὲ*] *κάθοδον Ἀλεξάνδρου*

---

4 Τόλλου C Mueller s. Hoffmann Maked. 207 *Παλαιοτρίου* o. *Ποτειδείας* Reinesius *Παλαιωρίου*? Pape 7 *δυσί*: *εἴκοσι* Eudok *πράξας* A 12 *Δαμασιστράτου*: T 10; F 312 *Δαμοστράτου* T 2 13—14 *ἐν. τρίτης*: *οϛ̄* Eudok 16 *οβ̄*: = 2 + 58 + 12 (T 13—14) 17 *καί*: *καθάπερ αἱ Ξενοφῶντος*? A Schäfer *ιᾱ*: l. *ιβ̄* 18 [*ἔγραψε — πλεῖστα*] Jac *πολέμου καὶ λοιπά. ἔγραψε* vulg 19 die lesungen der Marciani A M verdanke ich Martini 20 *Δαμασιστράτου* T 1 22 [*δὲ*] Jac

*τοῦ Μακεδόνων βασιλέως δι' ἐπιστολῶν τῶν πρὸς τοὺς Χίους καταπραξαμένου* (a. 333/2)· *ἐτῶν δὲ εἶναι τότε τὸν Θεόπομπον ε̄ καὶ μ̄. μετὰ δὲ τὸν Ἀλεξάνδρου θάνατον πανταχόθεν ἐκπεσόντα* (T 8) *εἰς Αἴγυπτον ἀφικέσθαι, Πτολεμαῖον δὲ τὸν ταύτης βασιλέα οὐ προσίεσθαι τὸν ἄνδρα, ἀλλὰ καὶ ὡς πολυπράγμονα ἀνελεῖν ἐθελῆσαι, εἰ μή τινες τῶν φίλων παραιτησάμενοι διεσώσαντο* (folgt F 25).

**3** a) PHOT. Bibl. 176 p. 120 b 30: *συνακμάσαι δὲ λέγει αὐτὸς ἑαυτὸν Ἰσοκράτει . . . καὶ Θεοδέκτῃ . . . καὶ Ναυκράτει κτλ.* (s. F 25). b) CORNEL. NEP. VII 11, 1: *Theopompus, post* (sc. Alcibiadem) *aliquanto natus* (F 288).

**4** ATHEN. X 2 p. 412 B: *ὁ Χῖος ῥήτωρ Καύκαλος* (38), *ὁ Θεοπόμπου τοῦ ἱστοριογράφου ἀδελφός.*

**5** a) PHOT. Bibl. 176 p. 121 a 23: *φασὶ δὲ αὐτόν τε καὶ Ἔφορον Ἰσοκράτους γενέσθαι μαθητάς. δῆλον δὲ τοῦτο ποιοῦσι καὶ οἱ λόγοι· πολὺ γὰρ ἐν τοῖς Θεοπόμπου ἡ κατὰ μίμησιν ἰδέα τῶν παρ' Ἰσοκράτει, εἰ καὶ λείπεται τῆς κατὰ τὴν ἐργασίαν ἀκριβείας κτλ.* s. T 1; 20; 24; F 25; 345; 70 T 3; VIT. X or. 837 C (= PHOT. Bibl. 260 p. 486 b 37); VIT. Isokr. III (Zosimos?) p. 256, 92 West; PHILOSTR. Vit. Soph. I 17, 4; CIC. De or. II 57; 94; III 36 (= QUINTIL. Inst. II 8, 11); GELL. X 18, 6; MENAND. *π. ἐπιδ.* III 398, 9 Sp. b) SUID. s. *Δημοσθένης*· . . . . . *συνεφιλολόγησε δὲ Αἰσίωνι τῶι Ἀθηναίωι καὶ Θεοπόμπωι τῶι Χίωι φιλοσόφωι.*

**6** a) SUID. s. *Θεοδέκτης Ἀριστάνδρου Φασηλίτης ἐκ Λυκίας*· *ῥήτωρ, τραπεὶς δὲ ἐπὶ τραγωιδίας . . . . οὗτος καὶ ὁ Ἐρυθραῖος Ναυκράτης καὶ Ἰσοκράτης ὁ ῥήτωρ ὁ Ἀπολλωνιάτης καὶ Θεόπομπος ἐπὶ τῆς ϙ̄ς̄ ὀλυμπιάδος* (356/2) *εἶπον ἐπιτάφιον ἐπὶ Μαυσώλωι, Ἀρτεμισίας τῆς γυναικὸς αὐτοῦ προτρεψαμένης. καὶ ἐνίκησε μάλιστα εὐδοκιμήσας ἐν ἧι εἶπε τραγωιδίαι· ἄλλοι δέ φασι Θεόπομπον ἔχειν τὰ πρωτεῖα.* SUID. s. *Ἰσοκράτης Ἀμύκλα.* b) GELL. X 18: Artemisia veranstaltet den agon für Maussollos. (6) *ad eas laudes decertandas venisse dicuntur viri nobiles ingenio atque lingua praestabili, Theopompus Theodectes Naucrates; sunt etiam qui Isocratem ipsum cum his certavisse memoriae mandaverint. sed eo certamine vicisse Theopompum iudicatum est. is fuit Isocratis discipulus.* — Vit. X or. 838 B; T 48; F 345.

**7** EPIST. SOCRAT. 30, 12 (*Σπεύσιππος Φιλίππωι*): *πυνθάνομαι δὲ καὶ Θεόπομπον παρ' ὑμῖν μὲν εἶναι πάνυ ψυχρόν, περὶ δὲ Πλάτωνος*

2 *τότε* om M 3 vor *Αἴγυπτον* scheint *τὴν* ausradiert in A 9 *post* Leid. P *qui post* A B *qui fuit post* M R 10 *natus* om R 25 ϙ̄ς̄ (Diod. XVI 36, 2 ol. 106, 4; 353/2) Jac ϙ̄ζ̄ Clinton ϙ̄γ̄ Suid 28 *σχεῖν* Bernhardy

βλασφημεῖν, καὶ ταῦτα ὥσπερ οὐ Πλάτωνος τὴν ἀρχὴν τῆς ἀρχῆς ἐπὶ Περδίκκαι κατασκευάσαντος .... ἵνα οὖν Θεόπομπος παύσηται τραχὺς ὤν, κέλευσον Ἀντίπατρον (69 T 1) παραναγνῶναι τῶν Ἑλληνικῶν πράξεων αὐτῶι, καὶ γνώσεται Θεόπομπος δικαίως μὲν ὑπὸ πάντων ἐξαλειφόμενος, ἀδίκως δὲ τῆς παρὰ σοῦ χορηγίας τυγχάνων.

8 SUID. s. Ἔφορος· φυγὰς δὲ γενόμενος ὁ Θεόπομπος ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος· ἐπέστελλέ τε πολλὰ κατὰ Χίων Ἀλεξάνδρωι (F 251—254), καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας (F 257) πολλά. λέγεται δὲ καὶ ψόγον αὐτοῦ γεγραφέναι, ὃς οὐ φέρεται.

9 — s. Θεόκριτος Χῖος ῥήτωρ· ..... ἀντεπολιτεύσατο δὲ Θεοπόμπωι τῶι ἱστορικῶι. — STRAB. XIV 1, 35. s. F 252.

10 PAUS. VI 18, 5: ὡς δέ οἱ (sc. Ἀναξιμένει 72 T 6) διαφορὰ ἐς Θεόπομπον ἐγεγόνει τὸν Δαμασιστράτου .....

11 ARISTEAS Epist. 313—315 (JOSEPH. AJ XII 111—112; SYMEON LOGOTH. Cram. An Par I 14): ὁ δὲ Δημήτριος μηδένα τολμῆσαι τῆς τῶν νόμων τούτων ἀναγραφῆς ἅψασθαι διὰ τὸ θείαν αὐτὴν εἶναι καὶ σεμνὴν ἐφασκεν, καὶ ὅτι βλαβεῖεν ἤδη τινὲς τούτοις ἐγχειρήσαντες ὑπὸ τοῦ θεοῦ, δηλῶν ὡς Θεόπομπός τε βουληθεὶς ἱστορῆσαί τι περὶ τούτων ἐταράχθη τὴν διάνοιαν πλείοσιν ἢ τριάκοντα ἡμέραις καὶ παρὰ τὰς ἀνέσεις ἐξιλάσκετο τὸν θεόν, ἐντεῦθεν αὐτῶι γενέσθαι τὴν παραφροσύνην ὑπονοῶν· οὐ μὴν ἀλλὰ καὶ ὄναρ εἰδεν ὅτι τοῦτ' αὐτῶι συμβαίη περιεργαζομένωι τὰ θεῖα καὶ ταῦτ' ἐκφέρειν εἰς κοινοὺς ἀνθρώπους θελήσαντι, καὶ ἀποσχόμενος κατέστη τὴν διάνοιαν..

12 DIOD. IV 1, 3: ὁμοίως δὲ τούτωι (sc. Ἐφόρωι 70 T 8) Καλλισθένης (124 T 24) καὶ Θεόπομπος, κατὰ τὴν αὐτὴν ἡλικίαν γεγονότες, ἀπέστησαν τῶν παλαιῶν μύθων.

13 — XIII 42, 5 (a. 411/0): τῶν δὲ συγγραφέων Θουκυδίδης μὲν τὴν ἱστορίαν κατέστροφε .... Ξενοφῶν δὲ καὶ Θεόπομπος ἀφ' ὧν ἀπέλιπε Θουκυδίδης τὴν ἀρχὴν πεποίηνται· καὶ Ξενοφῶν μὲν περιέλαβε χρόνον ἐτῶν τεσσαράκοντα καὶ ὀκτώ, Θεόπομπος δὲ τὰς Ἑλληνικὰς πράξεις διελθὼν ἐπ' ἔτη ἑπτακαίδεκα καταλήγει τὴν ἱστορίαν εἰς τὴν περὶ Κνίδον ναυμαχίαν (a. 394) ἐν βύβλοις δώδεκα.

14 — XIV 84, 7 (a. 395/4): Θεόπομπος δ' ὁ Χῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν κατέστροφεν εἰς τοῦτον τὸν ἐνιαυτόν καὶ εἰς τὴν περὶ Κνίδον ναυμαχίαν, γράψας βύβλους δώδεκα. ὁ δὲ συγγραφεὺς οὗτος ἤρκται μὲν ἀπὸ τῆς περὶ Κυνὸς σῆμα ναυμαχίας (a. 411/0), εἰς ἣν Θουκυδίδης κατέληξε ⟨τὴν⟩ πραγματείαν, ἔγραψε δὲ χρόνον ἐτῶν δεκαεπτά.

15 MARCELLIN. vit. Thuc. 45: ἀπέθανε δὲ (sc. Θουκυδίδης) μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν .... συγγράφων τὰ πράγματα τοῦ

---

9 πολλά, λέγεται [δὲ] καὶ Bernhardy καὶ om A φαίνεται V 27 (u. v. 33) κατέστροφε Dindorf κατέστρεψε Di 36 ⟨τὴν⟩ Reiske

εἰκοστοῦ καὶ πρώτου ἐνιαυτοῦ· .... τὰ δὲ τῶν ἄλλων ἓξ ἐτῶν πράγματα ἀναπληροῖ ὅ τε Θεόπομπος καὶ ὁ Ξενοφῶν, οἷς συνάπτει τὴν Ἑλληνικὴν ἱστορίαν.

16 — — 43: ὅτι δὲ οὐδὲ Ξενοφῶντός ἐστιν (sc. Thukydides' 8. Buch), ὁ χαρακτὴρ μόνον οὐχὶ βοᾶι ..... οὐ μὴν οὐδὲ Θεοπόμπου, καθά τινες ἠξίωσαν.

17 DIOD. XVI 3, 8 (a. 360/59): τῶν δὲ συγγραφέων Θεόπομπος ὁ Χῖος τὴν ἀρχὴν τῶν Περὶ Φίλιππον ἱστοριῶν ἐντεῦθεν ποιησάμενος γέγραφεν βύβλους ὀκτὼ πρὸς ταῖς πεντήκοντα, ἐξ ὧν πέντε διαφωνοῦσιν.

18 PHOT. Bibl. 176 p. 120 a 6: ἀνεγνώσθησαν Θεοπόμπου λόγοι ἱστορικοί. ᾱ δὲ καὶ γ̄ εἰσὶν οἱ σωζόμενοι αὐτοῦ τῶν ἱστορικῶν λόγοι· διαπεπτωκέναι δὲ καὶ τῶν παλαιῶν τινὲς ἔφησαν τὴν τε ἕκτην καὶ ἑβδόμην, καὶ δὴ καὶ τὴν ⟨ἑνδεκάτην καὶ τὴν⟩ ἑνάτην καὶ εἰκοσιὴν καὶ τὴν τριακοστήν. ἀλλὰ ταύτας μὲν οὐδ' ἡμεῖς εἴδομεν· Μηνοφάνης δέ τις τὰ περὶ Θεόπομπον διεξιὼν (ἀρχαῖος δὲ καὶ οὐκ εὐκαταφρόνητος ὁ ἀνήρ) καὶ τὴν δωδεκάτην συνδιαπεπτωκέναι λέγει· καίτοι αὐτὴν ἡμεῖς ταῖς ἄλλαις συνανέγνωμεν (F 103).

19 POLYB. VIII 10, 7—13, 8: ἐγὼ δ' οὔτε λοιδορεῖν ψευδῶς φημι δεῖν τοὺς μονάρχους οὐδ' ἐγκωμιάζειν, ὃ πολλοῖς ἤδη συμβέβηκεν ..... (11, 1) μάλιστα δ' ἂν τις ἐπιτιμήσειε περὶ τοῦτο τὸ μέρος Θεοπόμπωι, ὅς γε ἐν ἀρχῆι τῆς Φιλίππου συντάξεως (F 27) ..... (12, 1) ταύτην δὲ τήν τε πικρίαν καὶ τὴν ἀθυρογλωττίαν τοῦ συγγραφέως τίς οὐκ ἂν ἀποδοκιμάσειεν; οὐ γὰρ μόνον ὅτι μαχόμενα λέγει πρὸς τὴν αὐτοῦ πρόθεσιν ἄξιός ἐστιν ἐπιτιμήσεως, ἀλλὰ καὶ διότι κατέψευσται τοῦ τε βασιλέως καὶ τῶν φίλων, καὶ μάλιστα διότι τὸ ψεῦδος αἰσχρῶς καὶ ἀπρεπῶς διατέθειται. ..... (13, 2) λοιπὸν ἡ περὶ τὴν ἀρχὴν καὶ προέκθεσιν τῆς πραγματείας ἀνάγκη ψεύστην καὶ κόλακα φαίνεσθαι τὸν ἱστοριογράφον ἢ περὶ τὰς κατὰ μέρος ἀποφάσεις ἀνόητον καὶ μειρακιώδη τελείως, εἰ διὰ τῆς ἀλόγου καὶ ἐπικλήτου λοιδορίας ὑπέλαβε πιστότερος μὲν αὐτὸς φανήσεσθαι, παρ⟨αδ⟩οχῆς δὲ μᾶλλον ἀξιωθήσεσθαι τὰς ἐγκωμιαστικὰς ἀποφάσεις αἰτοῦ περὶ Φιλίππου.

(3) καὶ μὴν οὐδὲ περὶ τὰς ὁλοσχερεῖς διαλήψεις οὐδεὶς ἂν εὐδοκήσειε τῶι προειρημένωι συγγραφεῖ, ὃς γ' ἐπιβαλόμενος γράφειν τὰς Ἑλληνικὰς

---

2 ὃς συνάπτει Gravert 9 διαφωνοῦσιν: 'verloren sind' ThesLGr II 1393; van Herwerden Lex. Gr. suppl. 210 13 ⟨ἑνδεκ. καὶ τὴν⟩ CWachsmuth καὶ ὀὴ τὴν A 21 ⟨περὶ⟩ Φιλίππου Reiske Φιλιππείου ESchwartz doch s. p. 530, 6 22 τήν τε πικρίαν Valesius τὴν ἐπικρίαν P ἀθυρογλωττίαν Suid —σίαν P 23 οὐκ ἂν Valesius οὐκεν P 29 τῆς ἐπικλήτου καὶ ἀλόγου Suid 30 παραδοχῆς δὲ Reiske παροχησδε P

πράξεις ἀφ' ὧν Θουκυδίδης ἀπέλιπεν καὶ συνεγγίσας τοῖς Λευκτρικοῖς καιροῖς καὶ τοῖς ἐπιφανεσάτοις τῶν Ἑλληνικῶν ἔργων, τὴν μὲν Ἑλλάδα μεταξὺ καὶ τὰς ταύτης ἐπιβολὰς ἀπέρριψε, μεταλαβὼν δὲ τὴν ὑπόθεσιν τὰς Φιλίππου πράξεις προύθετο γράφειν. (4) καίτοι γε πολλῶι σεμνότερον ἦν καὶ δικαιότερον ἐν τῆι περὶ τῆς Ἑλλάδος ὑποθέσει τὰ πεπραγμένα Φιλίππωι συμπεριλαβεῖν ἢπερ ἐν τῆι Φιλίππου τὰ τῆς Ἑλλάδος ..... (6) εἰ μὴ νὴ Δί' ὅτι ἐκείνης μὲν τῆς ὑποθέσεως τέλος ἦν τὸ καλόν, τῆς δὲ κατὰ Φίλιππον τὸ συμφέρον .....

20 a) DION. HAL. ad Pomp. 6 (II 244, 11 UR): Θεόπομπος δ' ὁ Χῖος ἐπιφανέστατος πάντων ⟨τῶν⟩ Ἰσοκράτους μαθητῶν γενόμενος καὶ πολλοὺς μὲν πανηγυρικούς, πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος λόγους (T 48) ἐπιστολάς τε τὰς Χιακὰς ἐπιγραφομένας (F 251 ff.) καὶ ὑποθήκας ἄλλας λόγου ἀξίας, ἱστορίαν πεπραγματευμένος (2) ἄξιος ἐπαινεῖσθαι πρῶτον μὲν τῆς ὑποθέσεως τῶν ἱστοριῶν (καλαὶ γὰρ ἀμφότεραι, ἡ μὲν τὰ λοιπὰ τοῦ Πελοποννησιακοῦ πολέμου περιέχουσα, ἡ δὲ τὰ Φιλίππωι πεπραγμένα), ἔπειτα τῆς οἰκονομίας (ἀμφότεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς), μάλιστα δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν συγγραφήν. δῆλος γάρ ἐστιν, εἰ καὶ † μηδὲν ἔγραψε, πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος, μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετελεκώς (F 28), (3) καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενημένος, πολλοῖς δ' εἰς ὁμιλίαν ἐλθὼν ἀνδράσι τοῖς τότε πρωτεύουσι καὶ στρατηγοῖς δημαγωγοῖς τε καὶ φιλοσόφοις διὰ τὴν συγγραφήν. οὐ γὰρ ὥσπερ τινὲς πάρεργον τοῦ βίου τὴν ἀναγραφὴν τῆς ἱστορίας ἐποιήσατο, ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον. γνοίη δ' ἄν τις αὐτοῦ τὸν πόνον ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς γραφῆς. (4) καὶ γὰρ ἐθνῶν εἴρηκεν οἰκισμοὺς καὶ πόλεων κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ τρόπων ἰδιώματα δεδήλωκε, καὶ εἴ τι θαυμαστὸν ἢ παράδοξον ἑκάστη γῆ καὶ θάλασσα φέρει, συμπεριείληφεν [ἐν] τῆι πραγματείαι. καὶ μηδεὶς ὑπολάβηι ψυχαγωγίαν ταῦτ' εἶναι μόνον — οὐ γὰρ οὕτως ἔχει — ἀλλὰ πᾶσαν ὡς ἔπος εἰπεῖν ὠφέλειαν περιέχει. (5) ἵνα δὲ πάντ' ἀφῶ τἆλλα, τίς οὐχ ὁμολογήσει τοῖς ἀσκοῦσι τὴν φιλόσοφον ῥητορικὴν ἀναγκαῖον εἶναι πολλὰ μὲν ἔθη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμαθεῖν, πολλοὺς δὲ νόμους ἀκοῦσαι πολιτειῶν τε σχήματα, καὶ βίους

---

1 ἀπέλιπεν Valesius ἀπέλειπεν P 3 μεταβαλὼν Valesius 9 δ' ὁ Jac δὲ Di 10 ⟨τῶν⟩ Herwerden 11 δὲ om P 12 Χιακὰς Westermann ἀχαικὰς Di ἀρχαϊκὰς s γραφομένας Ps 13 ἀξίαν ἱστορίαν Di 18 μὴ διαρρήδην Radermacher μ. ⟨τούτων⟩ Heller 24 ἀναγκαιότατον Sylburg — τερον Di 25 καὶ γὰρ καὶ Ps 26 τόπων Sylburg 28 [ἐν] Krueger 29 πάσαν Herwerden πᾶσιν Di παρέχει EPs 30 ἀσκοῦσι Holwell ἀκούουσι Di 31 ἔθη Holwell ἔθνη Di 32 ἀκοῦσαι: ἀκριβῶσαι Her(werden) πολιτειῶν τε VB τε om Ps πολιτῶν τε ME

ἀνδρῶν καὶ πράξεις καὶ τέλη καὶ τύχας; (6) τούτοις τοίνυν ἅπασαν ἀφθονίαν δέδωκεν οὐκ ἀπεσπασμένην τῶν πραγμάτων, ἀλλὰ συμπαροῦσαν. πάντα δὴ ταῦτα ζηλωτὰ τοῦ συγγραφέως· καὶ ἔτι πρὸς τούτοις ὅσα φιλοσοφεῖ παρ' ὅλην τὴν ⟨συγγραφὴν περὶ⟩ δικαιοσύνης καὶ εὐσεβείας καὶ τῶν ἄλλων ἀρετῶν πολλοὺς καὶ καλοὺς διεξερχόμενος λόγους. (7) τελευταῖόν ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηρικώτατον, ὃ παρ' οὐδενὶ τῶν ἄλλων συγγραφέων οὕτως ἀκριβῶς ἐξείργασται καὶ δυνατῶς οὔτε τῶν πρεσβυτέρων οὔτε τῶν νεωτέρων. τί δὲ τοῦτο ἐστί; τὸ καθ' ἑκάστην πρᾶξιν μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾶν καὶ λέγειν, ἀλλ' ἐξετάζειν καὶ τὰς ἀρανεῖς αἰτίας τῶν πράξεων καὶ τῶν πραξάντων αὐτὰς καὶ τὰ πάθη τῆς ψυχῆς, ἃ μὴ ῥάιδια τοῖς πολλοῖς εἰδέναι, καὶ πάντα ἐκκαλύπτειν τὰ μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμένης κακίας. (8) καί μοι δοκεῖ πως ὁ μυθευόμενος ἐν Ἅιδου τῶν ψυχῶν ⟨τῶν⟩ ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς ἐπὶ τῶν ἐκεῖ δικαστῶν ⟨οὐχ⟩ οὕτως ἀκριβὴς εἶναι ὡς ὁ διὰ τῆς Θεοπόμπου γραφῆς γιγνόμενος. διὸ καὶ βάσκανος ἔδοξεν εἶναι, προσλαμβάνων τοῖς ἀναγκείοις τινὰ ὀνειδισμοῖς κατὰ τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα πράγματα (T 25), ὅμοιόν τι ποιῶν τοῖς ἰατροῖς, οἳ τέμνουσι καὶ καίουσι τὰ διεφθαρμένα τοῦ σώματος ἕως βάθους τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες, οὐδὲν τῶν ὑγιαινόντων καὶ κατὰ φύσιν ἐχόντων στοχαζόμενοι. τοιοῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ.

(9) ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστα ἔοικε· καθαρά τε γὰρ ἡ λέξις καὶ κοινὴ καὶ σαφής, ὑψηλή τε καὶ μεγαλοπρεπὴς καὶ τὸ πομπικὸν ἔχουσα πολύ, συγκειμένη τε κατὰ τὴν μέσην ἁρμονίαν, ἡδέως καὶ μαλακῶς ῥέουσα. διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πικρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων, ὅταν ἐπιτρέψῃ τοῖς πάθεσι, μάλιστα δ' ὅταν ὀνειδίζῃ πόλεσιν ἢ στρατηγοῖς πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους — (10) πολὺς γὰρ ἐν τούτοις —, καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ κατὰ μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις ἴδοι κἀκ τῶν Χιακῶν ἐπιστολῶν, ἃς τῶι ⟨συμφύτωι⟩ πνεύματι ἐπιτρέψας γέγραφεν. εἰ δ' ὑπερεῖδεν ἐν τούτοις ἐφ' οἷς μάλιστα δὴ ἐσπούδακε τῆς τε συμπλοκῆς τῶν φωνηέντων γραμμάτων

---

1 τέλη: γένη An ἅπασαν Her ἅπασιν Di 3 πάντα ⟨τε⟩ Ra(dermacher) δὴ Her δὲ Di 4 ⟨συγγραφὴν περὶ⟩ Ra ⟨ἱστορίαν περὶ⟩ Sylburg δικαιοσύνης καὶ εὐσεβείας Sylburg —νην κ. —αν Di 6 ὃ περ Her 7 δυνατῶς Holwell δύναται Di 10 αὐτὰς ⟨τὰς διανοίας⟩ Reiske αὐτὰς τὰ πάθη Krueger αὐτὰ τὰ π. Her 13 πως Ra ὡς Di ἐν Ἅιδου A Schaefer εἶναι Di ⟨τῶν⟩ Jac 14 ⟨οὐχ⟩ Jac 16 προλαμβάνων Ps κατὰ Reiske καὶ τὰ Di 17 πράγματα: ἐπηρεάσματα? Ra 18 ἕως MEB'V ὡς Ps mg B 19 οὐδὲ Ps 21 τε om Ps 27 κατὰ: παρὰ Her 28 Χιακῶν Westermann ἀχαικῶν Di ἀρχαικῶν s 29 ⟨συμφύτωι⟩ o. ⟨ἐναγωνίωι⟩ Ra ⟨σοφοδρῶι⟩ Her lücke in MEVB 30 δὴ Ra ἂν Di del Krueger

(T 38) καὶ τῆς κυκλικῆς εὐρυθμίας τῶν περιόδων (T 37) καὶ τῆς ὁμοιοδείας τῶν σχηματισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν φράσιν.

(11) ἔστι δὲ ἃ καὶ κατὰ τὸν πραγματικὸν τόπον ἁμαρτάνει, καὶ μάλιστα κατὰ τὰς παρεμβολάς (T 30; 31)· οὔτε γὰρ ἀναγκαῖαί τινες αὐτῶν οὔτ' ἐν καιρῷ γενόμεναι, πολὺ δὲ τὸ παιδιῶδες ἐμφαίνουσαι· ἐν αἷς ἐστι καὶ τὰ περὶ Σιληνοῦ τοῦ φανέντος ἐν Μακεδονίαι (F 74) καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη (F 296) καὶ ἄλλα τούτοις οὐκ ὀλίγα ὅμοια. — DION. HAL. π. μιμ. B III 3 p. 209, 13 UR.

b) DION. HAL. De Isae. 19: οὐ δὴ δεῖν ὠιόμην Ἰσοκράτους ἐν ἅπασι πάντων τούτων (Gorgias, Alkidamas usf.) ὑπερέχοντος λόγον τινὰ ποιεῖσθαι περὶ ἐκείνων οὐδέ γε περὶ τῶν συμβιωσάντων Ἰσοκράτει καὶ τὸν χαρακτῆρα τῆς ἑρμηνείας ἐκείνου ἐκμιμησαμένων οὐθενός, Θεοδέκτου λέγω καὶ Θεοπόμπου καὶ Ναυκράτους Ἐφόρου τε (70 T 24 a) καὶ Φιλίσκου καὶ Κηφισοδώρου καὶ ἄλλων συχνῶν. οὐδὲ γὰρ ἐκεῖνοι κρίνεσθαι πρὸς τὴν Ἰσοκράτους δύναμίν εἰσιν ἐπιτήδειοι. — Π. συνθ. ὀνομ. 23, 114 (II 185 UR).

21 QUINTILIAN. Inst. X 1, 74: *Theopompus his* (sc. Herodoto et Thucydidi) *proximus ut in historia praedictis minor, ita oratori magis similis, ut qui, antequam est ad hoc opus sollicitatus, diu fuerit orator.*

22 FRONTO epp. II 6 p. 31 N: *hunc* (sc. Theopompum) *audio apud Graecos disertissimum natum esse.*

23 HERMOG. π. ἰδ. II 12 p. 412, 1 R: περὶ δὲ Θεοπόμπου καὶ Ἐφόρου (70 T 26) καὶ Ἑλλανίκου (4 T 15) καὶ Φιλίστου (III) καὶ τῶν ὁμοίων τούτοις περιττὸν ἔδοξεν εἶναί μοι γράφειν κτλ. s. 70 T 26.

24 PHILOSTRAT. Vit. Soph. I 17, 4: ἐλλογιμώτατος (sc. τῶν Ἰσοκράτους μαθητῶν) Ἱπερείδης ὁ ῥήτωρ· θεόπομπον γὰρ τὸν ἐκ τῆς Χίου καὶ τὸν Κυμαῖον Ἔφορον (70 T 27) οὔτ' ἂν διαβάλοιμι οὔτ' ἂν θαυμάσαιμι.

25 a) LUKIAN. πῶς δεῖ ἱστ. 59: Θεοπόμπωι ... φιλαπεχθημόνως κατηγοροῦντι τῶν πλείστων καὶ διατριβὴν ποιουμένωι τὸ πρᾶγμα, ὡς κατηγορεῖν μᾶλλον ἢ ἱστορεῖν τὰ πεπραγμένα.

b) CIC. ad Att. II 6, 2: itaque ἀνέκδοτα, quae tibi uni legamus, *Theopompio genere aut etiam asperiore multo pangentur.* — T 19; 20; F 288; 333; De Herod. mal. 1 p. 855 A.

26 a) CIC. De legg. I 5: *quippe quom in illa* (sc. historia) ⟨*omnia*⟩ *ad veritatem, Quinte, referantur, in hoc* (sc. poemate) *ad delectationem pleraque; quamquam et apud Herodotum, patrem historiae, et apud*

3 πρακτικὸν E 4 παρεμβολάς Kiessling παραβολάς Di παρεκβολὰς Valckenaer 6 αἷς EV οἷς rell 14 Φιλίσκου Goeller φιλίστου Di 34 ⟨*omnia*⟩ Vahlen *ad v.* ⟨*cuncta*⟩ Halm

*Theopompum sunt innumerabiles fabulae.* b) AELIAN. VH III 18: *ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθολόγος καὶ ἐν τούτοις* (F 75) *καὶ ἐν ἄλλοις δέ.* — F 381; THEON Prog. 3 (II 76, 7 Sp.); CLEM. AL. Strom. I 1, 2 p. 3, 9 Stäh.

27 PORPHYR. bei EUSEB. PE X 3 p. 464 CD: *οὐ γὰρ ἔγνως ὅτι καὶ τὸν Θεόπομπον . . . κατείληφε τουτὶ τὸ πάθος* (sc. *τὸ κλέπτειν*) . . . . . (F 102) *πραγμάτων δ' ὑφαίρεσιν πεποίηται μεταθεὶς τὰ ἐπ' ἄλλων ἄλλοις, ἵνα καὶ ψεύστης ἀλῶι τοῦτον τὸν τρόπον* (F 70; 21).

28 a) ATHEN. III 29 p. 85 A: *Θεοπόμπου τοῦ Χίου, ἀνδρὸς φιλαλήθους καὶ πολλὰ χρήματα καταναλώσαντος εἰς τὴν περὶ τῆς ἱστορίας ἐξέτασιν ἀκριβῆ* (F 181) . . . . . b) SUID. s. *Ἔφορος* (70 T 28 a): *ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης, τῆι δὲ φράσει πολὺς καὶ συνεχὴς καὶ φορᾶς μεστός, φιλαλήθης ἐν οἷς ἔγραψεν.* — T 20, 2.

29 POLYB. XXXVIII 6: (verteidigung seiner dispositionsweise) *διὸ καὶ τῶν ἀρχαίων συγγραφέων οἱ λογιώτατοι δοκοῦσί μοι προσαναπεπαῦσθαι τῶι τρόπωι τούτωι, τινὲς μὲν μυθικαῖς καὶ διηγηματικαῖς κεχρημένοι παρεκβάσεσι, τινὲς δὲ καὶ πραγματικαῖς, ὥστε μὴ μόνον ἐν αὐτοῖς τοῖς κατὰ τὴν Ἑλλάδα τόποις ποιεῖσθαι τὰς μεταβάσεις, ἀλλὰ καὶ τῶν ἐκτὸς περιλαμβάνειν* (F 28) . . . . . *ἐξ ὧν κεχρημένους μὲν ἅπαντας εὕροι τις ἂν τῶι τοιούτωι χειρισμῶι, κεχρημένους γε μὴν ἀτάκτως, ἡμᾶς δὲ τεταγμένως. ἐκεῖνοι μὲν γὰρ μνησθέντες πῶς Βάρδυλλις . . . καὶ Κερσοβλέπτης . . . . . κατεκτήσαντο τὰς δυναστείας, οὐκέτι προστιθέασι τὸ συνεχὲς οὐδ' ἀνατρέχουσιν ἐπὶ τἀκόλουθον ἐκ διαστήματος, ἀλλὰ καθάπερ ἐν ποιήματι χρησάμενοι πάλιν ἐπανάγουσιν ἐπὶ τὰς ἐξ ἀρχῆς ὑποθέσεις.*

30 THEON Prog. 4 (II 80, 27 Sp.): *παραιτητέον δὲ καὶ τὸ παρεκβάσεις ἐπεμβάλλεσθαι μεταξὺ διηγήσεως μακρᾶς. οὐ γὰρ ἁπλῶς χρὴ πᾶσαν παραιτεῖσθαι, καθάπερ ὁ Φίλιστος* (III) — *ἀναπαύει γὰρ τὴν διάνοιαν τῶν ἀκροατῶν —, ἀλλὰ τὴν τηλικαύτην τὸ μῆκος, ἥτις ἀπαλλοτριοῖ τὴν διάνοιαν τῶν ἀκροωμένων, ὥστε δεῖσθαι πάλιν ὑπομνήσεως τῶν προειρημένων, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς· δύο γάρ που καὶ τρεῖς καὶ πλείους ἱστορίας ὕλας κατὰ παρέκβασιν εὑρίσκομεν, ἐν αἷς οὐχ ὅπως Φιλίππου, ἀλλ' οὐδὲ Μακεδόνος τινὸς ὄνομά ἐστιν.* — T 20, 11.

31 PHOT. Bibl. 176 p. 121 a 35: *πλείσταις μὲν οὖν παρεκβάσεσι παντοδαπῆς ἱστορίας τοὺς ἱστορικοὺς αὐτοῦ λόγους Θεόπομπος παρατείνει. διὸ καὶ Φίλιππος ὁ πρὸς Ῥωμαίους πολεμήσας* (220—179) *ἐξελὼν ταύτας καὶ τὰς Φιλίππου συνταξάμενος πράξεις, αἳ σκοπός εἰσι Θεοπόμπωι, εἰς ις βίβλους μύνας, μηδὲν παρ' ἑαυτοῦ προσθεὶς ἢ ἀφελὼν πλήν, ὡς εἴρηται, τῶν παρεκτροπῶν, τὰς πάσας ἀπήρτισε.*

32 POLYB. XII 25 f 6: (unzulänglichkeit von Ephoros landschlachten; 70 T 20) *τὸ δ' αὐτὸ συμβαίνει καὶ Θεοπόμπωι καὶ μάλιστα Τιμαίωι* (III).

13 auf Th bezogen von Lucht (Altona 1830) 17 *προολαμβάνειν* Büttner-Wobst 30 *οὐδὲ* Spengel *οὔτε* Th

**33** PLUTARCH. Praec. rei publ. ger. 6 p. 803 B: *ἐπὶ δὲ τῶν Ἐφόρου* (70 T 21) *καὶ Θεοπόμπου καὶ Ἀναξιμένους* (72 T 15) *ῥητορειῶν καὶ περιόδων, ἃς περαίνουσιν ἐξοπλίσαντες τὰ στρατεύματα καὶ παρατάξαντες, ἔστιν εἰπεῖν· 'οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας'.*

**34** PHOT. Bibl. 176 p. 121 a 41: *Δοῦρις μὲν οὖν ὁ Σάμιος ἐν τῇι πρώτηι τῶν αὐτοῦ Ἱστοριῶν* (76 F 1) *οὕτως φησίν· 'Ἔφορος* (70 T 22) *δὲ καὶ Θεόπομπος τῶν γενομένων πλεῖστον ἀπελείφθησαν· οὔτε γὰρ μιμήσεως μετέλαβον οὐδεμιᾶς οὔτε ἡδονῆς ἐν τῶι φράσαι, αὐτοῦ δὲ τοῦ γράφειν μόνον ἐπεμελήθησαν'.*

**35** PORPHYR. bei EUSEB. PE X 3 p. 465 BC: s. F 21.

**36** CIC. Brut. 66: *nam ut horum* (sc. Philisti et Thucydidis) *concisis sententiis, interdum etiam non satis apertis cum brevitate tum nimio acumine, officit Theopompus elatione atque altitudine orationis suae .....*

**37** — Or. 207: *ergo in aliis, id est in historia et in eo quod appellamus ἐπιδεικτικόν, placet omnia dici Isocrateo Theopompeoque more illa circumscriptione ambituque, ut tamquam in orbe inclusa currat oratio, quoad insistat in singulis perfectis absolutisque sententiis.* — T 20, 10; DION. HAL. De comp. verb. 23 (II 114, 6).

**38** — Or. 151: *in quo quidam etiam Theopompum reprehendunt, quod eas litteras* (d. h. die *vocalium concursio*) *tanto opere fugerit, etsi idem magister eius Isocrates fecerat.* — T 20, 10; QINTIL. Inst. IX 4, 35.

**39** — De or. III 36: *exsultantem verborum audacia* (s. T 5).

**40** — Hortens. fr. 18 Us.: *quid .... Philisto brevius aut Theopompo acrius aut Ephoro mitius inveniri potest?*

**41** ANON. *π. ὕψ.* 31, 1: *ταύτηι καὶ τὸ τοῦ Θεοπόμπου καινὸν ἐπαινετόν· διὰ τὸ ἀνάλογον ἐμοί γε σημαντικώτατα ἔχειν δοκεῖ· ὅπερ ὁ Κεκίλιος οὐκ οἶδ' ὅπως καταμέμφεται. 'δεινὸς ὤν', φησίν, 'ὁ Φίλιππος ἀναγκοφαγῆσαι ⟨τὰ⟩ πράγματα* (F 262)'. *ἔστιν ἄρ' ὁ ἰδιωτισμὸς ἐνίοτε τοῦ κόσμου παρὰ πολὺ ἐμφανιστικώτερον· ἐπιγινώσκεται γὰρ αὐτόθεν ἐκ τοῦ κοινοῦ βίου, τὸ δὲ σύνηθες ἤδη πιστότερον. οὐκοῦν ἐπὶ τοῦ τὰ αἰσχρὰ καὶ ὑπαρὰ τλημόνως καὶ μεθ' ἡδονῆς ἕνεκα πλεονεξίας καρτεροῦντος τὸ 'ἀναγκοφαγεῖν τὰ πράγματα' ἐναργέστατα παρείληπται.*

**42** — — 43, 1: *δεινὴ δ' αἰσχύναι τὰ μεγέθη καὶ ἡ μικρότης τῶν ὀνομάτων .....* (2) *ὁμοίως καὶ ὁ Θεόπομπος ὑπερφυῶς σκευάσας τὴν τοῦ Πέρσου κατάβασιν ἐπ' Αἴγυπτον ὀνοματίοις τισὶ τὰ ὅλα διέβαλεν* (F 263) *..... ἐκ τῶν ὑψηλοτέρων εἰς τὰ ταπεινότερα ἀποδιδράσκει,*

26 καινὸν Vahlen καὶ τὸν An 29 ⟨τὰ⟩ Morus 31 ἤδη: δεῖ Wilamowitz
35 κατασκευάσας Toll

*δέον ποιήσασθαι τὴν αὔξησιν ἔμπαλιν. ἀλλὰ τῇι θαυμαστῇι τῆς ὅλης παρασκευῆς ἀγγελίαι παραμίξας τοὺς φυλάκους καὶ τὰ ἀρτύματα καὶ τὰ σακκία μαγειρείου τινὰ φαντασίαν ἐποίησεν.*

43 DEMETR. π. ἑρμ. 240: *καὶ τὰ περὶ τῆς δεινότητος δὲ δῆλα .... καὶ γὰρ πράγματά τινα ἐξ ἑαυτῶν ἐστι δεινά, ὥστε τοὺς λέγοντας αὐτὰ δεινοὺς δοκεῖν, κἂν μὴ δεινῶς λέγωσιν, καθάπερ ὁ Θεόπομπος* (F 290) *.... ταῦτα πάντα δεινὰ ὄντα καίτοι ἀσθενῶς εἰπὼν δεινὸς δοκεῖ.* — ebd. 75.

44 — — 247: *τά δὲ ἀντίθετα καὶ παρόμοια ἐν ταῖς περιόδοις φευκτέον· ὄγκον γὰρ ποιοῦσιν, οὐ δεινότητα, πολλαχοῦ δὲ καὶ ψυχρότητα ἀντὶ δεινότητος, οἷον ὡς ὁ Θεόπομπος κατὰ τῶν ἑταίρων τῶν Φιλίππου λέγων ἔλυσεν τῇι ἀντιθέσει τὴν δεινότητα, 'ἀνδροφόνοι δὲ τὴν φύσιν ὄντες', λέγων 'ἀνδρόπορνοι τὸν τρόπον ἦσαν* (F 225 c)' · *τῇι γὰρ περισσοτεχνίαι, μᾶλλον δὲ κακοτεχνίαι προσέχων ὁ ἀκροατὴς ἔξω γίνεται θυμοῦ παντός.*

45 DION CHRYS. XVIII 10 (II 253 v. Arn.): *τῶν δὲ ἄκρων Θουκυδίδης ἐμοὶ δοκεῖ καὶ τῶν δευτέρων Θεόπομπος· καὶ γὰρ ῥητορικόν τι περὶ τὴν ἀπαγγελίαν τῶν λόγων ἔχει, καὶ οὐκ ἀδύνατος οὐδὲ ὀλίγωρος περὶ τὴν ἑρμηνείαν, καὶ τὸ ῥάιθυμον περὶ τὰς λέξεις οὐχ οὕτω φαῦλον ὥστε σε λυπῆσαι.*

46 POLLUX IV 93: *ἀλλ' οὐδὲν Θεοπόμπωι σταθμητὸν εἰς ἑρμηνείας κρίσιν.* s. F 338—340.

47 POLYB. XII 4ᵃ 2: *Θεοπόμπου μὲν κατηγορεῖ* (sc. *Τίμαιος*). s. F 341.

48 BÜCHERLISTE VON RHODOS c. 100 a. Chr. (Maiuri Nuova Silloge epigr. Florenz 1925 no. 11 col. I 13—27[13]): | *Θ[εοπόμπ]ου Λακωνικός, ἔν·* | *[Κορινθ]ι[α]κός, ἔν·*[15] | *[Μαύσσω]λος, ἔν·* | *[Ὀλυμ]πικός, ἐν·* | *[Φίλιπ]πος, ἔν·* | *[Ἀλεξάνδ]ρου* (?) *ἐγκώμιον, ἔν·*[20] | *Περὶ ..κω...η..., ἔν·* | *...ρ.ο..... ου, ἔν·* | *Πρὸς Εὐαγόραν ..... (?), [ἔν·]*[25] | *Ἐπιστο[λὴ] πρὸς — —, ἔν·* | *Συμβουλευ[ικὸς πρὸς]* | *Ἀλέξαν[δρον, —]·* | *Πανα-*

2 ἀπαγγελίαι ς 5 ὥστε τοὺς P² ὥσπερ P¹ 6 λέγωσιν Gale λέγουσιν P 7 ὄντα (s. add. P²) Schenkl ὀνόματα P 17 ὀλίγωρος Reiske ὀλίγος BM ὁ λόγος U 18 [ῥάιθυμον] 'v. l. ad φαῦλον' v. Arnim 24—536, 2 Hiller v. Gaertringen Gnomon II 1926, 195; 365 (HvG); De Sanctis Riv. di Filol. NS IV (LIV) 1926, 63 (Sa); Vogliano Riv. Indo-Greco-Ital. X 1926, 1 (Vo) 25 Θ[εοπόμπ]ου HvG, Vo Θ[εοδέκτ]ου (von dem v. 11—12 zwei werke angeführt werden) Ma(iuri) 26—27 Κορινθιακός, Ὀλυμπικός Ma Μαύσσωλος, Φίλιππος HvG Sa 27 [Ἀλεξάνδ](ρ)ου Sa [Φιλίππ]ου Ma Vo 28 Πρὸς Εὐαγόραν ⟨ἐπιστολή o. ä.⟩? 28—29 Ἐπιστολὴ πρὸς [Φίλιππον] Sa (s. F 250) 29 πρὸς Ἀλέξανδ[ρον, ἔν] Sa (s. komm. zu F 251—254)

*Θηναικό[ς, ἕν]· | Καταδρομὴ τῆ[ς Πλάτωνος] | διατριβῆ[ς].* [28] *| Θεοπόμπου ἄλλου | Περὶ βασιλείας.*

— PHOT. Bibl. 176 p. 121 a 35: T 31.

— DIOD. XVI 3, 8; PHOT. a. o. p. 120 a 6: T 17—18.

49 PLIN. NH I 2; 3; 7; 17; 31: *Θ.* im autorenverzeichnis (F 68; 316—320).

50 LISTEN D. GRIECH. PROFANSCHRIFTSTELLER C 51 (Rabe Rh. M. LXV 339): *ἱστορικοὶ ῑ· Θουκυδίδης Ἡρόδοτος Ξενοφῶν Φίλιστος Θεόπομπος Ἔφορος Ἀναξιμένης Καλλισθένης Ἑλλάνικος Πολύβιος.*

51 EUAGRIOS HE V 24: s. 103 T 2.

## F

### *ΕΠΙΤΟΜΗ ΤΩΝ ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΩΝ Ᾱ Β̄.*

(s. T 1; F 304; 353? 403? 105 F 3??)

1 (I 278, 2) ANTIATTIC. 80, 27 Bk.: *ἀναβῆναι τὸν ἵππον· ἀντὶ τοῦ ἐπιβῆναι. Θεόπομπος ἐν Ἐπιτομῇ Ἡροδότου.*

2 (3) — 104, 16: *κακόβιος· Θεόπομπος ἐν τῇι Ἐπιτομῇι Ἡροδότου.*

3 (4) — 115, 18: *φυγαδεῦσαι· τὸ φυγάδα ἐλάσαι· Θεόπομπος Ἐπιτομῇι Ἡροδότου.*

4 (1) PHOT. SUID. s. *σπουδάζω· . . . ἐπὶ δὲ τοῦ 'κατεπείγομαι' Θεόπομπος ἐν Ἐπιτομῇι τῶν Ἡροδότου· ἐπὶ δὲ τοῦ 'βούλομαι' ὁ αὐτὸς ἐν τῇι Ἐπιτομῇι.*

### *ΕΛΛΗΝΙΚΑΙ ΙΣΤΟΡΙΑΙ Ᾱ—ΙΒ̄.* 411—394

(s. T 1; 13—16; 19; F 25; 288; 324; 332—333; 366; 374; 377; 386? 390?)

5 (—) ANON. vit. Thuc. 5: *πέπαυται δὲ τὸ τῆς συγγραφῆς ἐν τῇι* s. 411 *ναυμαχίαι τῇι περὶ Κνῶς σῆμα . . . . . τὰ δὲ μετὰ ταῦτα ἑτέροις γράφειν κατέλιπε. Ξενοφῶντι καὶ Θεοπόμπωι· εἰσὶν δὲ καὶ αἱ ἐφεξῆς μάχαι· οὔτε γὰρ τὴν δευτέραν ναυμαχίαν τὴν περὶ Κνῶς σῆμα, ἣν Θεόπομπος εἶπεν, οὔτε τὴν περὶ Κύζικον, ἣν ἑνίκα Θρασύβουλος καὶ Θηραμένης καὶ Ἀλκιβιάδης οὔτε τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, ἔνθα νικῶσιν Ἀθηναῖοι Λακεδαιμονίους, οὔτε τὸ κεφάλαιον τῶν κακῶν τῶν Ἀττικῶν, τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, ὅπου καὶ τὰς ναῦς ἀπώλεσαν Ἀθηναῖοι καὶ τὰς ἐξῆς ἐλπίδας· καὶ γὰρ τὸ τεῖχος αὐτῶν καθῃρέθη καὶ ἡ τῶν τριάκοντα τυραννὶς κατέστη καὶ πολλαῖς συμφοραῖς περιέπεσεν ἡ πόλις, ἃς ἠκρίβωσε Θεόπομπος.*

---

1 [*Πλάτωνος*] Ba 20 das erste *ἐν* om Suid 26 *κατέλειπεν* E
27 *μάχαι* (*πολλαί*) Krueger

Ā

6 (—) SCHOL. DEMOSTH. VII 39 p. 175, 24 Dindf.: *Καρδία ... κεῖται δέ, ὥς φησι Θεόπομπος ἐν τῇι πρώτηι τῶν Ἑλλην⟨ικ⟩ῶν, τῆς Χερσονήσου κατὰ Μέλανα καλούμενον πόντον.*

7 (7) STEPH. BYZ. s. *Χρυσόπολις· ἐν Βιθυνίαι πλησίον Χαλκηδόνος* a. 410 *.... Ἔφορος κγ̄* (70 F 83) .... *καὶ Θεόπομπος ἐν ᾱ Ἑλληνικῶν· «ἀνήχθησαν εἰς Χαλκηδόνα καὶ Βυζάντιον μετὰ τοῦ λοιποῦ στρατεύματος βουλόμενοι Χρυσόπολιν κατασχεῖν.»*

B̄

8 (9) HARPOKR. s. *Πεδάριτος· Ἰσοκράτης ἐν τῶι Ἀρχιδάμωι* (53). *τῶν ἐκ Λακεδαίμονος ἐκπεμφθέντων ἐστὶν οὗτος, ἁρμοστὴς ἀνήρ, τῶν γεγονότων καλῶν, ὥς φησι Θεόπομπος ἐν β̄ Ἑλληνικῶν.*

Γ̄

(s. F 23? 106 b?)

Δ̄

9 (12) STEPH. BYZ. s. *Ἄσπενδος· πόλις Παμφυλίας ..... Θεόπομπος δ̄ Ἑλληνικῶν· «ἀποτυχὼν δὲ τῶν Ἀσπενδίων.» καὶ τὸ θηλυκὸν ὁ αὐτὸς «Ἀσπενδία». καὶ Ἀσπενδίς· Ἀσπενδίδα γαῖαν'.*

10 (14) — s. *Τρίνησσα· τόπος Φρυγίας· Θεόπομπος Ἑλληνικῶν δ̄.*

11 (13) — s. *Σελλασία· πόλις τῆς Λακωνικῆς· Θεόπομπος ἐν δ̄ Ἑλληνικῶν.*

F̄

(F 59?)

12 (15a) STEPH. BYZ. s. *Ὠρωπός ..... καὶ Θεόπομπος ζ̄* a. 402/1 *Ἑλληνικῶν· «ἀνακοινοῦνται τῶν Ὠρωπίων Τηλέφωι καὶ τοῖς μετ' ἐκείνου βουλομένοις τὸν Ὠρωπὸν ὑπάρχειν αὐτοῖς.»*

Z̄

13 (15) ATHEN. VI 102 p. 272 A: *Θεόπομπος δ' ἐν ξ̄ Ἑλληνικῶν* a. 399/8 *περὶ τῶν εἱλώτων λέγων ὅτι καὶ ἑλεάται καλοῦνται γράφει οὕτως· «τὸ δὲ τῶν εἱλώτων ἔθνος παντάπασιν ὠμῶς διάκειται καὶ*

---

3 *θεόπομπος* S *θεόπεμπτος* cett *ἑλλήνων* Schol 7 *ἀνήχθησαν*: sc. *οἱ Ἀθηναῖοι. Χαλκηδόνα* Xylander *καλχηδόνα* Steph 10 *Πεδάριτος* Harp; Thuk. VIII 28, 5; Isokr. *Παιδάριτος* E Suid *Παιδάρητος* Plut mor. 241 D 11 *ἀνὴρ εἷς* E 16 *δοπενδός* RVP 18 *δοπενδία καὶ δοπενδὶς ὁ αὐτός* R 19 *τρίνεσσα* V *τόπος: ποταμὸς* R *πόλις?* Meineke 24—25 *ξ̄ Ἑλληνικῶν* R *καὶ Ἑλλάνικος* VP 25 *ἀνακοινοῦται* R 26 *καὶ τὸν* VP

πικρῶς· εἰσὶ γὰρ οὗτοι καταδεδουλωμένοι πολὺν ἤδη χρόνον ὑπὸ τῶν Σπαρτιατῶν, οἱ μὲν αὐτῶν ἐκ Μεσσήνης ὄντες, οἱ δ' ἑλεάται κατοικοῦντες πρότερον τὸ καλούμενον Ἕλος τῆς Λακωνικῆς.»

Η

**14** (16) STEPH. BYZ. s. Ἔμβατον· τόπος τῆς Ἐρυθραίας· Θεόπομπος Ἑλληνικῶν η̄. a. 399

**15** (17) — — s. Κάλπη· πόλις Βιθυνῶν· Θεόπομπος η̄ Ἑλληνικῶν.

**16** (18) — — s. Λαδεψοὶ καὶ Τρανιψοί· ἔθνη Θυνῶν· Θεόπομπος η̄ Ἑλληνικῶν.

**17** (19) — — s. Κυτώνιον· πόλις μεταξὺ Μυσίας καὶ Λυδίας· Θεόπομπος Ἑλληνικῶν η̄.

Θ

**18** (20) ATHEN. VI 61 p. 252 F: Θεόπομπος δ' ἐν τῇι ἐνάτηι τῶν Ἑλληνικῶν Σισύφου φησὶ τοῦ Φαρσαλίου κόλακα καὶ ὑπηρέτην γενέσθαι Ἀθήναιον τὸν Ἐρετριέα.

Ι

(F 333).

***19** (93) STEPH. BYZ. s. Καρπασία· πόλις Κύπρου . . . . ὁ πολίτης Καρπασεώτης . . . Θεόπομπος ἐν ῑ̄ Καρπασεῖς αὐτούς φησιν.

**20** (21) ATHEN. XII 61 p. 543 BC: Παυσανίαν δὲ καὶ Λύσανδρον a. 396 ἐπὶ τρυφῆι διαβοήτους γενέσθαι σχεδὸν πάντες ἱστοροῦσιν . . . . . Θεόπομπος δὲ ἐν τῇι δεκάτηι τῶν Ἑλληνικῶν τἀναντία φησὶ περὶ τοῦ Λυσάνδρου ὅτι «φιλόπονός τε ἦν καὶ θεραπεύειν δυνάμενος καὶ ἰδιώτας καὶ βασιλεῖς, σώφρων ὢν καὶ τῶν ἡδονῶν ἁπασῶν κρείττων. γενόμενος γοῦν τῆς Ἑλλάδος σχεδὸν ἁπάσης κύριος ἐν οὐδεμιᾶι φανήσεται τῶν πόλεων οὔτε πρὸς τὰς ἀφροδισίους ἡδονὰς ὁρμήσας οὔτε μέθαις καὶ πότοις ἀκαίροις χρησάμενος». s. F 333.

ΙΑ

(F 106 b).

**21** (—) PORPHYR. bei EUSEB. PE X 3 p. 465 BC: (T 27) τοῖς a. 396 f. Ἑλληνικοῖς ἐντυγχάνων αὐτοῦ τε καὶ τοῦ Ξενοφῶντος πολλὰ τοῦ Ξενοφῶντος αὐτὸν μετατιθέντα κατέλιηφα, καὶ τὸ δεινόν, ὅτι ἐπὶ τὸ χεῖρον.

---

6—7 θέοπος R 8 κάλπη o. —αι R κάλπαι VP Κάλπας? 9 λάδεψοι RV τράνιψοι R ἐθνιβιθυνῶν P 10 ὀγδόωι Ald $\bar{\eta}$(?) RVP 11 κυτίνιον R 22—23 Θεόπομπος E θεόπος A 24 τε ἦν E ἦν A 32—33 ταῖς Ἑλληνικαῖς JO

τὰ γοῦν περὶ τῆς Φαρναβάζου πρὸς Ἀγησίλαον συνόδου δι' Ἀπολλοφάνους τοῦ Κυζικηνοῦ καὶ τὰς [ἀμφοῖν] πρὸς ἀλλήλους ἐνσπόνδους διαλέξεις, ἃς ἐν τῇ τετάρτῃ (IV 1, 29 ff.) Ξενοφῶν ἀνέγραψε πάνυ χαριέντως καὶ πρεπόντως ἀμφοῖν, εἰς τὴν ἐνδεκάτην τῶν Ἑλληνικῶν μεταθεὶς ὁ Θεόπομπος ἀργά τε καὶ ἀκίνητα πεποίηκε καὶ ἄπρακτα. λόγου γὰρ δύναμιν καὶ διὰ τὴν κλοπὴν ἐξεργασίαν ἐμβάλλειν καὶ ἐπιδείκνυσθαι σπουδάζων, βραδὺς καὶ μέλλων καὶ ἀναβαλλομένοι ἐοικὼς φαίνεται καὶ τὸ ἔμψυχον καὶ ἐνεργὸν τὸ Ξενοφῶντος διαφθείρων.

22 (23) ATHEN. XIV 74 p. 657 BC: χηνῶν δὲ σιτευτῶν καὶ μόσχων Θεόπομπος ἐν ιγ Φιλιππικῶν (F 106) καὶ ια Ἑλληνικῶν, ἐν οἷς ἐμφανίζει τὸ περὶ τὴν γαστέρα τῶν Λακώνων ἐγκρατὲς γράφων οὕτως· «καὶ οἱ Θάσιοι ἔπεμψαν Ἀγησιλάῳ προσιόντι πρόβατα παντοδαπὰ καὶ βοῦς εὖ τεθραμμένους, πρὸς τούτοις δὲ καὶ πέμματα καὶ τραγημάτων εἶδος παντοδαπῶν. ὁ δ' Ἀγησίλαος τὰ μὲν πρόβατα καὶ τὰς βοῦς ἔλαβεν, τὰ δὲ πέμματα καὶ τὰ τραγήματα πρῶτον μὲν οὐδ' ἔγνω (κατεκεκάλυπτο γάρ), ὡς δὲ κατεῖδεν, ἀποφέρειν αὐτοὺς ἐκέλευσεν, εἰπὼν οὐ νόμιμον εἶναι Λακεδαιμονίοις χρῆσθαι τοιούτοις τοῖς ἐδέσμασι. λιπαρούντων δὲ τῶν Θασίων 'δότε', φησίν 'φέροντες ἐκείνοις', δείξας [αὐτοῖς] τοὺς εἴλωτας, εἰπὼν ὅτι τούτους δέοι διαφθείρεσθαι τρώγοντας αὐτὰ πολὺ μᾶλλον ἢ αὐτὸν καὶ τοὺς παρόντας Λακεδαιμονίων.» a. 394

ΙΒ

(s. T 13; 14).

OHNE BUCHZAHL.

23 (IV 643) SCHOL. EURIP. Androm. 1: τὴν ἐν Ἀσίαι λέγει Ὑποπλάκιον Θήβην ..... Φιλέας (V) δὲ καὶ ἐν Θεσσαλίαι φησὶν ἐν τῶι Φθιωτικῶι τέλει Θήβας εἶναι. Θεόπομπος δὲ ἐν τοῖς Ἑλληνικοῖς καὶ περὶ τὴν Μυκάλην ἄλλας εἶναί φησι, ταύτας δὲ Μιλησίους ἀλλάξασθαι πρὸς Σαμίους.

---

2 [ἀμφοῖν] Jac 14 εἶδος: πλῆθος? Kaibel 15 τοὺς βοῦς Casaubonus 19 τοιούτοις E τοσούτοις A [τοῖς ἐδέσμασι]? Kaibel [τοῖς]? Jac 20 [αὐτοῖς] (om E) Jac 21 δέοι διαφθείρεσθαι Casaubonus δὲ οἶδα φθείρεσθαι AE 22 ἢπερ αὐτὸν Benseler 28 Φιλέας Cobet φιλίας MNO Θεσσαλίαι Cobet θαλασσία(ι) Schol 29 τοῖ Ἑλληνικοῖς MN γὰρ Ἑλληνικοῖς O γ Ἑλληνικῶν Schwartz 30 καὶ ταύτας Μιλ. O

*ΦΙΛΙΠΠΙΚΑΙ ΙΣΤΟΡΙΑΙ Ā—N̄Ē.* s. 166

*ΠΡΟΟΙΜΙΟΝ.*

(s. F 181; 342; 345; 381).

**24** (26) DION. HAL. AR I 1, 1: *τοὺς εἰωθότας ἀποδίδοσθαι τοῖς προοιμίοις τῶν ἱστοριῶν λόγους ἥκιστα βουλόμενος ἀναγκάζομαι περὶ ἐμαυτοῦ προειπεῖν, οὔτ' ἐν τοῖς ἰδίοις μέλλων πλεονάζειν ἐπαίνοις . . . οὔτε διαβολὰς καθ' ἑτέρων ἐγνωκὼς ποιεῖσθαι συγγραφέων, ὥσπερ Ἀναξιμένης* (72 F 1) *καὶ Θεόπομπος ἐν τοῖς προοιμίοις τῶν ἱστοριῶν ἐποίησαν.*

***25** (26) PHOT. Bibl. 176 p. 120 b 30: *συνακμάσαι δὲ λέγει αὐτὸς ἑαυτὸν Ἰσοκράτει τε τῶι Ἀθηναίωι καὶ Θεοδέκτηι τῶι Φασηλίτηι καὶ Ναυκράτει τῶι Ἐρυθραίωι, καὶ τούτους ἅμα αὐτῶι τὰ πρωτεῖα τῆς ἐν λόγοις παιδείας ἔχειν ἐν τοῖς Ἕλλησιν. ἀλλὰ Ἰσοκράτην μὲν δι' ἀπορίαν βίου καὶ Θεοδέκτην μισθοῦ λόγους γράφειν καὶ σοφιστεύειν, ἐκπαιδεύοντας τοὺς νέους κἀκεῖθεν καρπουμένους τὰς ὠφελείας· αὐτὸν δὲ καὶ Ναυκράτην αὐτάρκως ἔχοντας ἐν τούτοις ἀεὶ τὴν διατριβὴν ἐν τῶι φιλοσοφεῖν καὶ φιλομαθεῖν ποιεῖσθαι. καὶ ὡς οὐκ ἂν εἴη αὐτῶι παράλογον ἀντιποιουμένωι τῶν πρωτείων, οὐκ ἐλαττόνων μὲν ἢ δισμυρίων ἐπῶν τοὺς ἐπιδεικτικοὺς τῶν λόγων συγγραψαμένωι, πλείους δὲ ἢ ιε̄ μυριάδας, ἐν οἷς τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις* (F 1—23?) *μέχρι νῦν Ἑλλήνων οὐδὲ πόλις ἀξιόχρεως, εἰς οὓς αὐτὸς οὐκ ἐπιδημῶν καὶ τὰς τῶν λόγων ἐπιδείξεις ποιούμενος οὐχὶ μέγα κλέος καὶ ὑπόμνημα τῆς ἐν λόγοις αὐτοῦ κατέλιπεν ἀρετῆς. ταῦτα αὐτὸς περὶ αὑτοῦ λέγων τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνους ἔχοντας ἐν λόγοις τὸ πρωτεύειν πολὺ καταδεεστέρους ἀποφαίνεται τῶν καθ' ἑαυτὸν οὐδὲ τῆς δευτέρας τάξεως ἀξιουμένων. καὶ τοῦτο δῆλον εἶναί φησι καὶ ἐξ αὐτῶν τῶν παρ' ἑκατέροις ἐκπεπονημένων καὶ καταλελειμμένων λόγων· πολλὴν γὰρ τὴν τοιαύτην παίδευσιν ἐπίδοσιν λαβεῖν κατὰ τὴν αὐτοῦ ἡλικίαν. ἀλλά τινας λέγει τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐκ ἔχω σαφῶς συμβαλεῖν· οὐ γὰρ δή καὶ τολμῆσαι αὐτὸν ὑπολαμβάνω εἰς Ἡρόδοτον καὶ Θουκυδίδην ἀποτείνεσθαι, πολύ καὶ αὐτοῦ ἐν πολλοῖς ἐκείνων τῶν ἀνδρῶν ἐλαττουμένου. ἢ τάχα πρὸς Ἑλλάνικον καὶ Φίλιστον ἀφορᾶι τοὺς ἱστορικούς ἢ Γοργίαν καὶ Λυσίαν καὶ τοὺς τοιούτους . . . αἰνίττεται, οὐδ' ἐκείνων τοσοῦτον ἐνδεέστερον ἐχόντων πρὸς τοὺς λόγους.* s. F 345.

***26** (—) DION. HAL. ad Pomp. 6: *δῆλος γάρ ἐστιν, εἰ καὶ † μηδὲν ἔγραψε, πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος, μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τελέλεκώς, καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενημένος, πολλοῖς δ' εἰς ὁμιλίαν ἐλθὼν ἀνδράσι τοῖς τότε πρωτεύουσι καὶ στρατηγοῖς δημαγωγοῖς*

---

7—8 Ἀναξιμένης C Mueller Ἀναξίλαος Di 11 ναυκράτει $A^2$ —τη $A^1M$
17 μὲν in ras. $A^2M$ 23 περὶ ἑ αὐτοῦ $M^1$(?) 25 καὶ οὐδὲ — ἀξιουμένους M
26 [παρ'] Blass 27 πολλὴν M πάλιν A 28 λαβεῖν φησι M 34 μὴ
διαρρήδην Radermacher μηδὲν ⟨τούτων⟩ Heller

τε καὶ φιλοσόφοις διὰ τὴν συγγραφήν. οὐ γὰρ ὥσπερ τινὲς πάρεργον τοῦ βίου τὴν ἀναγραφὴν τῆς ἱστορίας ἐποιήσατο, ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον. s. T 20, 2; 28.

27 (27) POLYB. VIII 11, 1: (T 19) *Θεοπόμπωι, ὃς γ' ἐν ἀρχῆι τῆς Φιλίππου συντάξεως δι' αὐτὸ μάλιστα παρορμηθῆναι φήσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα παράπαν οἷον τὸν Ἀμύντου Φίλιππον, (2) μετὰ ταῦτα παρὰ πόδας, ἔν τε τῶι προοιμίωι καὶ παρ' ὅλην δὲ τὴν ἱστορίαν, ἀκρατέστατον μὲν αὐτὸν ἀποδείκνυσι πρὸς γυναῖκας, ὥστε καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι τὸ καθ' αὑτὸν διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προυστασίαν, (3) ἀδικώτατον δὲ καὶ κακοπραγμονέστατον περὶ τὰς τῶν φίλων καὶ συμμάχων κατασκευάς, πλείστας δὲ πόλεις ἐξηνδραποδισμένον καὶ πεπραξικοπηκότα μετὰ δόλου καὶ βίας, (4) ἐκπαθῆ δὲ γεγονότα καὶ πρὸς τὰς ἀκρατοποσίας, ὥστε καὶ μεθ' ἡμέραν πλεονάκις μεθύοντα καταφανῆ γενέσθαι τοῖς φίλοις.*

Ā

(s. F 231? 279; 286; 289? 307? 310? 336? 348? 352? 372? 393.)

*28 (—) POLYB. XXXVIII 6, 2: (T 29) *λέγω δ' οἷον ἐπειδὰν τὰ κατὰ τὴν Θετταλίαν ἐξηγούμενοι καὶ τὰς Ἀλεξάνδρου τοῦ Φεραίου πράξεις (F 34—35?) μεταξὺ τὰς κατὰ Πελοπόννησον Λακεδαιμονίων ἐπιβολὰς διηγῶνται, καὶ πάλιν τὰς †ἀπ' Ἀθηναίων (F 33?), ἔτι δὲ τὰς κατὰ Μακεδονίαν (F 29—33?) ἢ τὴν Ἰλλυρίδα (F 286), κἄπειτα διατρίψαντες λέγωσι τὴν Ἰφικράτους εἰς Αἴγυπτον στρατείαν καὶ τὰ Κλεάρχωι πραχθέντα παρανομήματα κατὰ τὸν Πόντον .... μνησθέντες πῶς Βάρδυλλις ὁ τῶν Ἰλλυριῶν βασιλεὺς (s. F 286) καὶ Κερσοβλέπτης ὁ τῶν Θρακῶν (F 307?) κατεκτήσαντο τὰς δυναστείας .....* a. 360/59

29 (32) HARPOKR. s. *Ἀργαῖος· ..... περὶ τούτου καὶ Θεόπομπος ἐν τῶι ᾱ τῶν Φιλιππικῶν λέγει· «τὸν Ἀρχέλαον καλοῦσι καὶ Ἀργαῖον καὶ Παυσανίαν.»* a. 359

*30 (189) a) HARPOKR. EPIT. SUID. s. *Τί ἐστι τὸ ἐν τοῖς Δημοσθένους Φιλιππικοῖς* (II 6) *'καὶ τὸ θρυλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο', Θεόπομπος ἐν [λ]ᾱ δεδήλωκε. φησὶ γάρ· «καὶ πέμπει πρὸς* a. 359

---

2 *ἀναγκαιότατον* Sylburg —*ερον* Di 4 *Φιλιππ(εί)ου* E Schwartz *(περὶ) Φιλίππου* Reiske *δι' αὐτὸν* Reiske *διὰ τοῦτο* Dindorf 6 *τὸ παράπαν* Suid v. l. 8 *ἀποδείκνυς* P *δείκνυσι* Suid 9 *ἐσφαλκέναι* Suid —*ληκέναι* P 10 *προστασίαν* P Suid *insaniam* Valesius *(παράστασιν* Ernesti) *προπέτειαν?* 11 *καὶ συμμάχων* om Suid 13 *ἀκρατοποσίας* Suid *ἀκροποσίας* P 19 *διηγῶνται* Geel —*οῦνται* P 19—20 *[ἀπ']* Geel *παρ' Ἀθ.* Hultsch *ὑπὸ Θηβαίων* Lucht *παρὰ Θηβαίων* Büttner-Wobst 21 *Ἰφικράτους*: flüchtigkeit des Polybios statt *Χαβρίου*? E Meyer; doch s. Schranz Theopomps Philippika 21 22 *Βάρδυλλις* Lucht *βραδύλλις* P *Βάρδυλις* Dindorf 26 *Ἀρχέλαον* Gronov *ἀγ(γ)έλαον* Harp 26—27 *καλοῦσι Ἀργαῖον* C 30 *ᾱ* Schaefer Demosth. II 19, 2 *λα* Harp Suid möglich auch *Γ*. *[καὶ]* Bernhardy

τὸν Φίλιππον πρεσβευτὰς Ἀντιφῶντα καὶ Χαρίδημον πράξοντας καὶ περὶ φιλίας, οἳ παραγενόμενοι συμπείθειν αὐτὸν ἐπεχείρουν ἐν ἀπορρήτωι συμπράττειν Ἀθηναίοις, ὅπως ἂν λάβωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. οἱ δὲ πρέσβεις οἱ τῶν Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν ἀπήγγελλον, βουλόμενοι λανθάνειν τοὺς Πυδναίους ἐκδιδόναι μέλλοντες ἐκείνους, ἐν ἀπορρήτωι δὲ μετὰ τῆς βουλῆς ἔπραττον.» b) SCHOL. DEMOSTH. II 6 p. 85, 19 Ddf.: διὰ τί ἐν ἀπορρήτωι; ἵνα μὴ ἑκάτεροι μαθόντες φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, ἵνα δῶι αὐτὸς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξηται δὲ παρ' αὐτῶν τὴν Πύδναν αὐτοῦ οὖσαν. καὶ τὸ ἀπόρρητον δέ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται· οὐ γὰρ ἐβούλοντο εἶναι ὑπὸ τὸν Φίλιππον.

**31** (33) ATHEN. XII 42 p. 531 E—532 A: ἐν δὲ τῆι ᾱ τῶν Φιλιππικῶν Θεόπομπος περὶ Φιλίππου λέγων φησίν· «καὶ τριταῖος εἰς Ὀνόκαρσιν ἀφικνεῖται, χωρίον τι τῆς Θράικης ἄλσος ἔχον πολὺ κατεσκευασμένον καλῶς καὶ πρὸς τὸ διαιτηθῆναι κεχαρισμένον ἄλλως τε καὶ τὴν θερινὴν ὥραν. ἦν γὰρ καὶ τῶν ὑπὸ Κότυος προκριθέντων, ὃς ἁπάντων τῶν βασιλέων τῶν ἐν τῆι Θράικηι γεγενημένων μάλιστα πρὸς ἡδυπαθείας καὶ τρυφὰς ὥρμησε, καὶ περιὼν τὴν χώραν ὅπου κατίδοι τόπους δένδρεσι συσκίους καὶ καταρρύτους ὕδασι τούτους κατεσκεύασεν ἑστιατόρια· καὶ φοιτῶν εἰς ἑκάστους ὁπότε τύχοι θυσίας τε τοῖς θεοῖς ἐποιεῖτο καὶ συνῆν μετὰ τῶν ὑπάρχων, εὐδαίμων καὶ μακαριστὸς ὢν ἕως εἰς τὴν Ἀθηνᾶν βλασφημεῖν καὶ πλημμελεῖν ἐπεχείρησεν.» διηγεῖται τε ἐξῆς ὁ συγγραφεὺς ὅτι δεῖπνον κατεσκεύασεν ὁ Κότυς ὡς γαμουμένης αὐτῶι τῆς Ἀθηνᾶς καὶ θάλαμον κατασκευάσας ἀνέμενεν μεθύων τὴν θεόν. ἤδη δ' ἔκφρων γενόμενος ἔπεμπέ τινα τῶν δορυφόρων ὀψόμενον εἰ παραγέγονεν ἡ θεὸς εἰς τὸν θάλαμον· ἀφικομένου δ' ἐκείνου καὶ εἰπόντος μηδένα εἶναι ἐν τῶι θαλάμωι, τοξεύσας τοῦτον ἀπέκτεινεν καὶ ἄλλον δεύτερον ἐπὶ τοῖς αὐτοῖς, ἕως ὁ τρίτος συνεὶς παραγενομένην ἔφη πάλαι τὴν θεὸν αὐτὸν ἀναμένειν. ὁ δὲ βασιλεὺς οὗτός ποτε καὶ ζηλοτυπήσας τὴν αὐτοῦ γυναῖκα ταῖς αὐτοῦ χερσὶν ἀνέτεμε τὴν ἄνθρωπον ἀπὸ τῶν αἰδοίων ἀρξάμενος.

---

7 ἐκείνους Harp αὐτοὺς Suid 11 Φιλίππου: Ἀμφιπόλεως Kuster 18 ἐνδιαιτηθῆναι Meineke Kaibel παραγενόμενος AE 24 ἑστιατόρια E ι— A 34 παραγενομένην 35 γυναῖκα, ἐξ ἧς αὐτῶι ἦν τέκνα Harp. s. Κότυς

32 (34) STEPH. BYZ. s. *Μόκαρσος· Θράικης χωρίον· Θεόπομπος ᾱ τῶν Φιλιππικῶν.*

33 (38) — — s. *Ἀλλάντη· πόλις Μακεδονίας* [καὶ *Ἀρκαδίας*]. *Θεόπομπος δ' ἐν ᾱ Φιλιππικῶν Ἀλλάντιον αὐτὴν εἶπεν.*

34 (36) — — s. *Χάλκη· .... ἔστι καὶ ἄλλη Χάλκη Λαρισσαίας πόλις. λέγεται καὶ πληθυντικῶς Χάλκαι· Θεόπομπος ᾱ Φιλιππικῶν * * καὶ γ̄* (F 48). «*ἔτι συνεπολέμησεν ὡρμημένος ἐκ Χαλκῶν τῆς Λαρισσαίας.*»

35 (37) HARPOKR. s. *Κινέας· .... ὡμολόγηται καὶ παρὰ τοῖς ἱστορικοῖς, ὅτι Κινέας εἷς ἦν τῶν προιεμένων Φιλίππωι τὰ θετταλῶν πράγματα, καὶ μάλιστα Θεοπόμπωι ἐν ᾱ, ἅμα καὶ διεξερχομένωι τὰ περὶ τὸν ἄνδρα.*

36 (39) ATHEN. VI 109 p. 275 B: *νῦν δέ, ὡς ὁ Θεόπομπος ἱστορεῖ ἐν τῆι πρώτηι τῶν Φιλιππικῶν, οὐ δεῖς ἐστι καὶ τῶν μετρίως εὐπορουμένων, ὅστις οὐ πολυτελῆ μὲν τράπεζαν παρατίθεται, μαγείρους δὲ καὶ θεραπείαν ἄλλην πολλὴν κέκτηται καὶ πλείω δαπανᾶι τὰ καθ' ἡμέραν ἢ πρότερον ἐν ταῖς ἑορταῖς καὶ ταῖς θυσίαις ἀνήλισκον.*

37 (40) SUID. PHOT. ANTIATT. 107, 4 Bk: *λόγον ἔχειν· ἀντὶ τοῦ φροντίζειν· Θεόπομπος Φιλιππικῶν ᾱ.*

## B̄

(F 363?)

38 (43) ATHEN. XI 51 p. 476 DE: *τοὺς δὲ Παιόνων βασιλεῖς φησι* a. 359/8 *Θεόπομπος ἐν δευτέραι Φιλιππικῶν, τῶν βοῶν τῶν παρ' αὐτοῖς γινομένων μεγάλα κέρατα φυόντων, ὡς χωρεῖν τρεῖς καὶ τέτταρας χόας, ἐκπώματα ποιεῖν ἐξ αὐτῶν, τὰ χείλη περιαργυροῦντας καὶ χρυσοῦντας.*

39 (41) — X 60 p. 443 AB: *ἐν δὲ τῆι δευτέραι τῶν Φιλιππικῶν* a. 359/8 «*Ἰλλυριοί*» *φησί «δειπνοῦσι καθήμενοι καὶ πίνουσιν· ἄγουσι δὲ καὶ τὰς γυναῖκας εἰς τὰς συνουσίας, καὶ καλὸν αὐταῖς προπίνειν οἷς ἂν τύχωσι τῶν παρόντων. ἐκ δὲ τῶν συμποσίων αὗται τοὺς ἄνδρας ἀπάγουσι. καὶ κακόβιοι δὲ πάντες εἰσί, καὶ ζώννυνται τὰς κοιλίας ζώναις πλατείαις ὅταν πίνωσι· καὶ τοῦτο μὲν πρῶτον μετρίως*

---

1 *μόκαρος* R 2 *τῶν* om R 3 *καὶ Ἀρκαδίας* glosse zum ethnikon *Παλλάντιος*? Hirschfeld RE I 1583, doch s. IG V 2 p. 165 6 *καὶ λέγεται* RV * * Meineke 7 *ὁρμώμενος* RP 8 *τῆς λαρισ(σ)αίας* VP *τοὺς λαρισσαίους* R 9 *Κεινέας* Harp 10 *Κινέας — πράγματα* Suid s. v. *ἦν εἷς* A *τις ἦν* C 11 *νᾱ* Schranz 20 *Φιλιππικοῖς* Antiatt 30 *οἷς ἐὰν τύχωσι* A *οἷς ἐντύχωσι* C

ποιοῦσιν, ἐπειδὰν δὲ σφοδρότερον πίνωσι, μᾶλλον ἀεὶ συνάγουσι τὴν ζώνην.»

40 (41) ATHEN. X 60 p. 443 BC (= VI 101 p. 271 E): «Ἀρδιαῖοι δέ» φησί «κέκτηνται προσπελατῶν ὥσπερ εἰλώτων τριάκοντα μυριάδας. καθ' ἑκάστην δὲ ἡμέραν μεθύουσιν καὶ ποιοῦνται συνουσίας καὶ διάκεινται πρὸς ἐδωδὴν καὶ πόσιν ἀκρατέστερον. διὸ καὶ Κελτοὶ πολεμοῦντες αὐτοῖς καὶ εἰδότες αὐτῶν τὴν ἀκρασίαν παρήγγειλαν ἅπασι τοῖς στρατιώταις δεῖπνον ὡς λαμπρότατον παρασκευάσαντας κατὰ σκηνὴν ἐμβαλεῖν εἰς τὰ σιτία πόαν τινὰ φαρμακώδη δυναμένην διαχόπτειν τὰς κοιλίας καὶ διαχαθαίρειν. γενομένου δὲ τούτου οἱ μὲν αὐτῶν καταληφθέντες ὑπὸ τῶν Κελτῶν ἀπώλοντο, οἱ δὲ καὶ εἰς τοὺς ποταμοὺς αὐτοὺς ἔρριψαν, ἀκράτορες τῶν γαστέρων γενόμενοι.»

41 (45) HARPOKR. s. *Νέων*· *Δημοσθένης ἐν τῶι ὑπὲρ Κτησιφῶντος* (XVIII 295). *περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας Θεόπομπος ἐν* † *β̄ Φιλιππικῶν ἱστορεῖ.*

— a) SUID. s. *φρουρήσεις ἐν Ναυπάκτωι.* b) ZENOB. Prov. VI 33: s. F 235.

## Γ̄

(F 30?)

— HARPOKR. s. *Πανδοσία*: s. F 207.

42 (47) — s. *Ἱέραξ*· . . . ὅτι ὁ Ἱέραξ εἷς ἦν τῶν ὑπ' Ἀμφιπολιτῶν πεμφθέντων πρέσβεων Ἀθήναζε, βουλομένων αὐτῶν Ἀθηναίοις παραδοῦναι καὶ τὴν πόλιν καὶ τὴν χώραν, εἴρηκε Θεόπομπος ἐν γ̄ *Φιλιππικῶν.* a. 357

43 (48) — s. *Δάτος*· *πόλις ἐστὶ Θράικης σφόδρα εὐδαίμων*· ἀπὸ ταύτης γοῦν ἐλέγετό τις καὶ παροιμία 'Δάτος ἀγαθῶν'. δεδηλώκασι δὲ περί τε αὐτῆς καὶ τῆς παρακειμένης χώρας ὅτε μὲν τὸ Δάτον οὐδετέρως λέγοντες, ὅτε δὲ τὴν Δάτον θηλυκῶς, ὡς ἀεὶ Ἔφορος ἐν τῆι δ̄ (70 F 37)· ἅπαξ δ' ἀρσενικῶς τὸν Δάτον Θεόπομπος γ̄ *Φιλιππικῶν.* μετωνομάσθη μέντοι ἡ πόλις τῶν Δατηνῶν ⟨*Φίλιπποι*⟩, Φιλίππου τοῦ Μακεδόνων βασιλέως κρατήσαντος αὐτῆς, ὡς Ἔφορός τε φησι καὶ Φιλόχορος ἐν τῆι ε̄ (III). a. 356

44 (48) STEPH. BYZ. s. *Ζειρηνία*· *πόλις Θράικης*· *Θεόπομπος Φιλιππικῶν γ̄.*

3 Ἀρδιαῖοι Casaubonus ἀριαῖοι AC (ἀρκαδίους, ἀρκάδας 271 E) 16 τοῦτον A Ald om C 17 λ̄β̄ Schranz νβ̄? Jac 27 Δάτος Epit Δατός Harp 31 μετωνόμασθη A Schaefer II 25, 2 32 ⟨*Φίλιπποι*⟩ Gronov 35 ζειρινία VP ζηρηνία R

45 (51) HESYCH. s. *Ἱππάκη· Σκυθικὸν βρῶμα ἐξ ἱππ⟨εί⟩ου γάλακτος· οἱ δὲ ὀξύγαλα ἱππεῖον, ὧι χρῶνται Σκύθαι. πίνεται δὲ καὶ ἐσθίεται πηγνύμενον, ὡς Θεόπομπος ἐν γ̄ αὐτοῦ λόγου.*

46 (52) SCHOL. APOLL. RHOD. IV 272: *Σεσόγχωσις Αἰγύπτου πάσης βασιλεὺς μετὰ Ὧρον τὸν Ἴσιδος καὶ Ὀσίριδος παῖδα τὴν μὲν Ἀσίαν ὁρμήσας πᾶσαν κατεστρέψατο, ὁμοίως καὶ τὰ πλεῖστα τῆς Εὐρώπης. ἀκριβέστερον δέ ἐστι τὰ περὶ αὐτοῦ παρὰ Ἡροδότωι* (II 102 ff.). *Θεόπομπος δὲ ἐν τρίτωι Σέσωστριν αὐτὸν καλεῖ.*

47 (53) STEPH. BYZ. s. *Θάψακος· πόλις Συρίας πρὸς τῶι Εὐφράτηι· Θεόπομπος ἐν Φιλιππικῶν γ̄.*

48 (50) — — s. *Χάλκη· . . . . ἔστι καὶ ἄλλη Χάλκη Λαρισσαίας πόλις. λέγεται καὶ πληθυντικῶς Χάλκαι· Θεόπομπος ᾱ Φιλιππικῶν * * (F 34) καὶ γ̄· «ἔτι συνεπολέμησεν ὡρμημένος ἐκ Χαλκῶν τῆς Λαρισσαίας.»* a. 356?

Δ̄

49 (54) ATHEN. XII 33 p. 527 A: *περὶ δὲ Θετταλῶν λέγων ἐν τῆι τετάρτηι φησὶν ὅτι· «ζῶσιν οἱ μὲν σὺν ταῖς ὀρχηστρίσιν καὶ ταῖς αὐλητρίσιν διατρίβοντες, οἱ δ' ἐν κύβοις καὶ πότοις καὶ ταῖς τοιαύταις ἀκολασίαις διημερεύοντες· καὶ μᾶλλον σπουδάζουσιν ὅπως ὄψων παντοδαπῶν τὰς τραπέζας παραθήσονται πλήρεις ἢ τὸν αὑτῶν βίον ὅπως παρασχήσονται κεκοσμημένον. Φαρσάλιοι δὲ πάντων», φησίν, «ἀνθρώπων εἰσὶν ἀργότατοι καὶ πολυτελέστατοι.»* a. 356?

50 (56) HARPOKR. s. *Ἁλόννησος· . . . μνημονεύει δὲ τῆς ἀμφισβητήσεως τῆς περὶ Ἁλοννήσου καὶ Θεόπομπος ἐν ᾱ καὶ Ἀναξιμένης ἐν β̄ Φιλιππικῶν* (72 F 7). a. 355/4

51 (55) — s. *Ἠιών· . . . . . Θεόπομπος δ' ἐν τῆι β̄ φησὶν ὡς Ἀθηναῖοι ἐκβαλόντες ἐκ Ἠιόνος Ἀμφιπολίτας κατέσκαψάν τὸ χωρίον.*

52 (—) DIDYM. zu Demosth. col. XII 43: *περὶ μὲν γὰρ τὴν Μεθώνης πολιορκίαν τὸν δεξιὸν ὀφθαλμὸν ἐξεκόπη* (sc. *Φίλιππος*) *τοξεύματι πληγείς, ἐν ὧι τὰ μηχανώματα καὶ τὰς χωστρίδας λεγομένας ἐφεώρα, καθάπερ ἐν τῆι β̄ τῶν περὶ αὐτὸν ἱστοριῶν ἀφηγεῖται Θεόπομπος· οἷς καὶ Μαρσύας ὁ Μακεδὼν* (135—136 F 16) *ὁμολογεῖ. ὁ δὲ Δοῦρις* (76 F 36) . . . . . — F 384. a. 354/3

1 *ἱππείου* (Ael. Dion. p. 176, 1 Schw; Phot. s. v. *διὰ γάλακτος ἱππείου σκευαζόμενον*) o. *ἵππων* M Schmidt *ἵππου* Hes 12 *καὶ λέγεται* RV * * Meineke 13 *ὁρμώμενος* RP 14 *τῆς λαρισ(σ)αίας* VP *τοὺς λαρισσαίους* R 21 *παραθήσονται — παρασχήσονται* Musurus *—ωνται —ωνται* A 22 vor *Φαρσάλιοι* ist einiges fortgelassen 27 *ἠών* Epit. A 29 *τὸ χωρίον*: *τὴν πόλιν* C

## *E*

**53** (61) HARPOKR. s. *Παγασαί· Δημοσθένης ἐν Φιλιππικοῖς* (I 9). a. 338 *ἐπίνειόν ἐστι Φεραίων αἱ Παγασαί, ὡς Θεόπομπος ἐν τῇ ε̄ τῶν Φιλιππικῶν δηλοῖ.*

**54** (58) STEPH. BYZ. s. *Ἀμφαναί· πόλις Δωρική· Ἑκαταῖος ἐν α̅ Γενεαλογιῶν* (1 F 3). *Θεόπομπος Ἀμφαναίαν αὐτὴν καλεῖ ἐν ε̄ Φιλιππικῶν. ἔστι καὶ χωρίον Θετταλίας ὡσαύτως.*

**55** (59) — — s. *Μακκάραι· χώρα ὑπὲρ Φάρσαλον· Θεόπομπος ε̄ Φιλιππικῶν.*

**56** (60) — — s. *Ὄλυκα· πόλις Μακεδονίας· Θεόπομπος ε̄ Φιλιππικῶν.*

**57** (57) ATHEN. IV 46 p. 157 DE (EUST. Il. *M* 330): *Θεόπομπος οὖν ἐν ε̄ Φιλιππικῶν φησι «τὸ γὰρ ἐσθίειν πολλὰ καὶ κρεα- φαγεῖν τοὺς μὲν λογισμοὺς ἐξαιρεῖ καὶ τὰς ψυχὰς ποι- εῖται βραδυτέρας, ὀργῆς δὲ καὶ σκληρότητος καὶ πολλῆς σκαιότητος ἐμπίπλησι.»*

**58** (IV 643) POLLUX X 161: *σάγματα μὲν οὖν ὑποζυγίων κατὰ τοὺς πολλοὺς ἐν τῇ πέμπτῃ τῶν Φιλιππικῶν ἔστιν εὑρεῖν.*

## *F*

(F 165? 305?)

***59** (62) HARPOKR. s. *Πύγελα· . . . . πόλις ἐστὶν ἐν τῇ Ἰωνίαι τὰ Πύγελα, ἣν Θεόπομπός φησιν ἐν ζ̄ λαβεῖν τοὔνομα ἐπειδὴ τῶν μετ' Ἀγαμέμνονός τινες διὰ νόσον τὴν περὶ τὰς πυγὰς ἐνταῦθα κατέμειναν.*

***60** (63) STEPH. BYZ. s. *Εὖα· πόλις Ἀρκαδίας· Θεόπομπος ἐν ζ̄.*

***61** (64) — — s. *Εὐαίμων· πόλις Ὀρχομενίων· Θεόπομπος ἐν ζ̄.*

## *Z*

## *H*

(s. F 277? 296? 298? 336? 372? 392? 394?)

**62** (65) ATHEN. XII 32 p. 526 D—F: *καὶ τῶν παρωκεανιτῶν δέ* a. 333/2 *τινάς φησι Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν ἁβροδιαίτους γενέσθαι. (2) περὶ δὲ Βυζαντίων καὶ Καλχηδονίων ὁ αὐτός φησι Θεόπομπος τάδε· «ἦσαν δὲ οἱ Βυζάντιοι καὶ διὰ τὸ δημοκρατεῖσθαι πολὺν ἤδη χρόνον καὶ τὴν πόλιν ἐπ' ἐμπορίου κειμένην ἔχειν*

---

3 *ἐστι* Epit *εἶσι* Harp ε̄ om BC 8 μακάραι P μά(κ)καραι R (V)
13 *κρεαφαγεῖν* Ath Eust *κρεοφαγεῖν*? Kaibel 14—15 *ποιεῖ* Fuhr 15 *τε καὶ* Eust

καὶ τὸν δῆμον ἅπαντα περὶ τὴν ἀγορὰν καὶ τὸν λιμένα διατρίβειν ἀκόλαστοι καὶ συνουσιάζειν καὶ πίνειν εἰθισμένοι ἐπὶ τῶν καπηλείων. Καλχηδόνιοι δὲ πρὶν μὲν μετασχεῖν αὐτοῖς τῆς πολιτείας ἅπαντες ἐν ἐπιτηδεύμασι καὶ βίωι βελτίονι διετέλουν ὄντες· ἐπεὶ δὲ τῆς δημοκρατίας τῶν Βυζαντίων ἐγεύσαντο, διεφθάρησαν εἰς τρυφὴν** καὶ τὸν καθ' ἡμέραν βίον ἐκ σωφρονεστάτων καὶ μετριωτάτων φιλοπόται καὶ πολυτελεῖς γενόμενοι.»

63 (80) HARPOKR. s. Ἀμφικτύονες· συνέδριόν ἐστιν Ἑλληνικὸν a. 353?
συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθη δὲ ἤτοι ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος, ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων, ὡς φησι Θεόπομπος ἐν η̄ — ταῦτα δ' ἦν ιβ̄· Ἴωνες Δωριεῖς Περραιβοί Βοιωτοί Μάγνητες Ἀχαιοί Φθιῶται Μηλιεῖς Δόλοπες Αἰνιᾶνες Δελφοί Φωκεῖς — ἢ ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας, ὡς Ἀναξιμένης ἐν α̅ Ἑλληνικῶν (72 F 2).

*ΘΑΥΜΑΣΙΑ.*

64 (71) a) DIOG. LAERT. I 8—9: Ἀριστοτέλης δ' ἐν πρώτωι Περὶ φιλοσοφίας (F 6 Rose) καὶ πρεσβυτέρους εἶναι τῶν Αἰγυπτίων (sc. τοὺς Μάγους)· καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα· καὶ τῶι μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὡρομάσδης, τῶι δὲ Ἅιδης καὶ Ἀρειμάνιος. φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῶι πρώτωι Περὶ Μάγων (IV) καὶ Εὔδοξος ἐν τῆι Περιόδωι (V) καὶ Θεόπομπος ἐν τῆι ὀγδόηι τῶν Φιλιππικῶν· ὃς καὶ ἀναβιώσεσθαι κατὰ τοὺς Μάγους φησὶ τοὺς ἀνθρώπους καὶ ἔσεσθαι ἀθανάτους, καὶ τὰ ὄντα ταῖς αὐτῶν ἐπικλήσεσι διαμένειν. ταῦτα δὲ καὶ Εὔδημος ὁ Ῥόδιος ἱστορεῖ. b) AINEIAS V. GAZA Theophr. p. 72 Boiss: ὁ δὲ Ζωροάστρης προλέγει ὡς ἔσται ποτὲ χρόνος ἐν ὡι πάντων νεκρῶν ἀνάστασις ἔσται. οἶδεν ὁ Θεόπομπος ὃ λέγω καὶ τοὺς ἄλλους αὐτὸς ἐκδιδάσκει.

*65 (72) PLUTARCH. De Is. et Os. 47 p. 370 BC: ἔπεισι δὲ χρόνος εἱμαρμένος, ἐν ὧι τὸν Ἀρειμάνιον λοιμὸν ἐπάγοντα καὶ λιμὸν ὑπὸ τούτων ἀνάγκη φθαρῆναι παντάπασι καὶ ἀφανισθῆναι, τῆς δὲ γῆς ἐπιπέδου καὶ ὁμαλῆς γενομένης, ἕνα βίον καὶ μίαν πολιτείαν ἀνθρώπων μακαρίων καὶ ὁμογλώσσων ἁπάντων γενέσθαι. Θεόπομπος δέ φησι κατὰ τοὺς Μάγους ἀνὰ μέρος τρισχίλια ἔτη τὸν μὲν κρατεῖν τὸν δὲ κρατεῖσθαι τῶν θεῶν, ἄλλα δὲ τρισχίλια μάχεσθαι καὶ πολεμεῖν καὶ ἀναλύειν τὰ τοῦ ἑτέρου

2—3 εἰθισμένοι * Benseler 7 τρυφὴν ⟨παρενεχθέντες⟩ o. ä. Kaibel 9 v. l. συνέδριόν τι ἐστιν om BCG 12 η̄: Λ̄? Μάγνητες: Μέδον(τ)ες BC (Apostol.) 24 αὐτῶν o. αὐταῖς Casaubonus 24—25 ἐπικυκλήσεσι Holste 25 v. l. διαμενεῖν (?)

τὸν ἕτερον· τέλος δ' ἀπολείπεσθαι τὸν Ἅιδην, καὶ τοὺς μὲν ἀνθρώπους εὐδαίμονας ἔσεσθαι μήτε τροφῆς δεομένους μήτε σκιὰν ποιοῦντας, τὸν δὲ ταῦτα μηχανησάμενον θεὸν ἠρεμεῖν καὶ ἀναπαύεσθαι χρόνον, ἄλλως μὲν οὐ πολὺν ὡς θεῷ, ὥσπερ ⟨δ'⟩ ἀνθρώποις κοιμωμένοις μέτριον.

66 (73) PHOT. Lex. s. *Ζωπύρου τάλαντα*· Κρατῖνος ἐν Πυλαίαις (I 67, 176 K). τοῦτόν φησι Θεόπομπος ἐν τῇι ὀγδόηι τῶν Περὶ Φίλιππον Πέρσην ὄντα ὑπὸ φιλοτιμίας χαριζόμενον βασιλεῖ μαστιγώσαντα ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὠτίων ἀποστερήσαντα εἰσελθεῖν εἰς Βαβυλῶνα καὶ πιστευθέντα διὰ ταύτην τὴν κακουχίαν καταλαβεῖν τὴν πόλιν. ἐκ μετα-
φορᾶς οὖν εἶπε τάλαντα καὶ ζυγά, οἱονεὶ ἔργα καὶ πράξεις.

*67 (69) a) DIOG. LAERT. I 109: *Ἐπιμενίδης, καθά φησι Θεόπομπος καὶ ἄλλοι συχνοί, πατρὸς μὲν ἦν Φαιστίου, οἱ δὲ Δωσιάδα, οἱ δὲ Ἀγησάρχου· Κρὴς τὸ γένος ἀπὸ Κνωσοῦ, καθέσει τῆς κόμης τὸ εἶδος παραλλάσσων. οὗτός ποτε πεμφθεὶς παρὰ τοῦ πατρὸς εἰς ἀγρὸν ἐπὶ πρόβατον, τῆς ὁδοῦ κατὰ μεσημβρίαν ἐκκλίνας ὑπ' ἄντρωι τινὶ κατεκοιμήθη ἔτη καὶ πεντήκοντα ἔτη. διαναστὰς δὲ μετὰ ταῦτα ἐζήτει τὸ πρόβατον, νομίζων ἐπ' ὀλίγον κεκοιμῆσθαι. ὡς δὲ οὐχ εὕρισκεν, παρεγένετο εἰς τὸν ἀγρόν, καὶ μετεσκευασμένα πάντα καταλαβὼν καὶ παρ' ἑτέρωι τὴν κτῆσιν, πάλιν ἦκεν εἰς ἄστυ διαπορούμενος. κἀκεῖ δὲ εἰς τὴν ἑαυτοῦ εἰσιὼν οἰκίαν περιέτυχε τοῖς πυνθανομένοις, τίς εἴη, ἕως τὸν νεώτερον ἀδελφὸν

b) APOLLON. Hist. mir. 1: *Βώλου. Ἐπιμενίδης Κρὴς λέγεται ὑπὸ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν [τοῦ πατρὸς] ἀποσταλεὶς εἰς ἀγρὸν πρόβατον ἀγαγεῖν εἰς τὴν πόλιν, καταλαβούσης αὐτὸν νυκτὸς παραλλάξαι τῆς τρίβου καὶ κατακοιμηθῆναι ἔτη ἑπτὰ καὶ πεντήκοντα, καθάπερ ἄλλοι τε πολλοὶ εἰρήκασιν, ἔτι ⟨δὲ⟩ καὶ Θεόπομπος ἐν ταῖς Ἱστορίαις ἐπιτρέχων τὰ κατὰ τόπους θαυμάσια. ἔπειτα συμβῆναι ἐν τῶι μεταξὺ χρόνωι τοὺς μὲν οἰκείους τοῦ Ἐπιμενίδου ἀποθανεῖν, αὐτὸν δὲ ἐγερθέντα ἐκ τοῦ ὕπνου ζητεῖν ἐφ' ὃ ἀπεστάλη πρόβατον. μὴ εὑρόντα δὲ πορεύεσθαι εἰς τὸν ἀγρόν — ὑπελάμβανε δὲ ἐγηγέρθαι τῇι αὐτῆι ἡμέραι ἧι περ ἔδοξεν κεκοιμῆσθαι — καὶ καταλαβὼν τὸν ἀγρὸν πεπραμένον καὶ τὴν σκευὴν ἠλλαγμένην ἀπαίρειν εἰς τὴν πόλιν. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν ἐκεῖθεν πάντα ἔγνω, ἐν οἷς καὶ τὰ περὶ τοῦ χρόνου, καθ' ὃν ἀφανὴς ἐγένετο. λέγουσι δὲ οἱ Κρῆτες, ὡς φησιν ὁ Θεόπομπος, ἔτη βιώσαντα αὐτὸν ἑκατὸν πεντήκοντα ⟨ἑπτὰ⟩ ἀποθανεῖν. λέγεται*

1 ἀπολεῖσθαι Markland 3—4 ἄλλως — ὡς Reiske καλῶς — τῶι Plut 16[1] κνώσου BP 18[2] ⟨δὲ⟩ Hercher 80[1] πάλιν ἦκεν P ἦκεν BΛ ἐπανῆκεν Φ

4 ⟨δ'⟩ Reiske 7 μαστιγώσαντα Wichers μαστιγῶσαι Phot 18[2] [τοῦ πατρός] Jac 34[1] ⟨καὶ ἑπτά⟩ Wichers. scheint verkürzt: Diog. L. I 111 ὡς φησι Φλέγων ... βιοὺς ἔτη ζ καὶ ρ καὶ ϙ· ὡς δὲ Κρῆτες λέγουσιν, ἐνὸς δέοντα τριακόσια· ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος (11 B 20) ἀκηκοέναι φησί, ὃ πρὸς τοῖς ρ καὶ ϙ.

εὑρὼν τότε ἤδη γέροντα ὄντα, πᾶσαν ἔμαθε παρ' ἐκείνου τὴν ἀλήθειαν.

δὲ περὶ τοῦ ἀνδρὸς τούτου καὶ ἄλλα οὐκ ὀλίγα παράδοξα.

*68 (69) a) PROVERB. APP. BV III 97 (Paroem. Gr. I 309. EPIT. PROV. Miller Mélanges 365): ἐβίω δὲ οὗτος (sc. Ἐπιμενίδης), ὥς φησιν ὁ Θεόπομπος ἔτη ἑκατὸν πεντήκοντα καὶ ἑπτά· τὰ δὲ ⟨πεντήκοντα καὶ⟩ ἑπτὰ ἐκαθεύδησεν. b) VALER. MAX. VIII 13 ext. 5: *Epimenides Cnosius, quem Theopompus dicit septem et L et centum annos vixisse.* c) PLIN. NH VII 154: *Theopompus Epimenidi Gnosio CLVII* (sc. *annos tribuit*).

*69 (70) DIOG. LAERT. I 115: Θεόπομπος δ' ἐν τοῖς Θαυμασίοις κατασκευάζοντος αὐτοῦ (sc. τοῦ Ἐπιμενίδου) τὸ τῶν Νυμφῶν ἱερὸν ῥαγῆναι φωνὴν ἐξ οὐρανοῦ· Ἐπιμενίδη, μὴ Νυμφῶν, ἀλλὰ Διός. Κρησίν τε προειπεῖν τὴν Λακεδαιμονίων ἧτταν ὑπὸ Ἀρκάδων, καθάπερ προείρηται (§ 114)· καὶ δὴ καὶ ἐλήφθησαν πρὸς Ὀρχομενῶι. γηρᾶσαί τε ἐν τοσαύταις ἡμέραις αὐτὸν ὅσαπερ ἔτη κατεκοιμήθη· καὶ γὰρ τοῦτό φησι Θεόπομπος.

*70 (66) PORPHYR. bei EUSEB. PE X 3 p. 464 D—465 B: πραγμάτων δ' ὑφαίρεσιν πεποίηται (sc. ὁ Θεόπομπος), μεταθεὶς τὰ ἐπ' ἄλλων ἄλλοις, ἵνα καὶ ψεύστης ἀλῶι τοῦτον τὸν τρόπον. Ἄνδρωνος γὰρ ἐν τῶι Τριποδι (IV) περὶ Πυθαγόρου τοῦ φιλοσόφου τὰ περὶ τὰς προρρήσεις ἱστορηκότος εἰπόντος τε, ὡς διψήσας ποτὲ ἐν Μεταποντίωι καὶ ἔκ τινος φρέατος ἀνιμήσας καὶ πιὼν προεῖπεν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός. καὶ ἕτερά τινα τούτοις ἐπαγαγὼν ἐπιλέγει· ταῦτ' οὖν τοῦ Ἄνδρωνος περὶ Πυθαγόρου ἱστορηκότος, πάντα ὑφεῖλετο Θεόπομπος. εἰ μὲν περὶ Πυθαγόρου λέγων, τάχα ἂν καὶ ἕτεροι ἠπίστατο περὶ αὐτοῦ καὶ ἔλεγον ⟨ταῦτα καὶ αὐτὸς εἶπεν⟩· νῦν δὲ τὴν κλοπὴν δήλην πεποίηκεν ἡ τοῦ ὀνόματος μετάθεσις. τοῖς μὲν γὰρ πράγμασι κέχρηται τοῖς αὐτοῖς, ἕτερον δ' ὄνομα μετενήνοχε· Φερεκύδην γὰρ τὸν Σύριον πεποίηκε ταῦτα προλέγοντα. οὐ μόνον δὲ τούτωι τῶι ὀνόματι ἀποκρύπτει τὴν κλοπήν, ἀλλὰ καὶ τόπων μεταθέσει. τό τε γὰρ περὶ τῆς προρρήσεως τοῦ σεισμοῦ ἐν Μεταποντίωι ὑπ' Ἄνδρωνος ῥηθὲν ἐν Σύρωι εἰρῆσθαί φησιν ὁ Θεόπομπος· τό τε περὶ τὸ πλοῖον οὐκ ἀπὸ Μεγάρων τῆς Σικελίας, ἀπὸ δὲ Σάμου φησὶ θεωρη-

---

6 τὰ δὲ Epit ἅπερ BV 6—7 ⟨πεντήκοντα καὶ⟩ Meursius 9 *CLVII* (§ 175): *CLIII*, *clui* (h), *duih* Plin 13 ἐπιμενίδης BΦ 14 Κρησίν: φησίν Urlichs, vgl. F 71; doch auch Herod. I 74 τὴν δὲ μεταλλαγὴν ταύτην τῆς ἡμέρης Θαλῆς ... τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι. 16 γηρᾶσαι δέ? 24 ἐπιλέγει: scheint Porphyrios, nicht die dialogperson Apollonios 27 εἶπεν Vigier εἰπὼν Eus ταὐτὰ ἐκείνωι αὐτὸν εἰπεῖν Corssen ταὐτὰ ⟨ἃ⟩ καὶ αὐτὸς εἶπεν Diels 32 Σύρωι C Mueller συρίαι, συρίωι Eus

*ϑῆναι· καὶ τὴν Συβάρεως ἅλωσιν ἐπὶ τὴν Μεσσήνης μετατέθεικεν. ἵνα δέ τι δοκῇ λέγειν περιττόν, καὶ τοῦ ξένου προστέθεικε τοὔνομα, Περίλαον αὐτὸν καλεῖσθαι λέγων.*

71 (66) DIOG. LAERT. I 116: *Φερεκύδης Βάβυος Σύριος* ..... *τοῦτόν φησι Θεόπομπος πρῶτον περὶ φύσεως καὶ ϑεῶν γράψαι. πολλὰ δὲ καὶ ϑαυμάσια λέγεται περὶ αὐτοῦ· καὶ γὰρ παρὰ τὸν αἰγιαλὸν τῆς Σάμου περιπατοῦντα καὶ ναῦν οὐριοδρομοῦσαν ἰδόντα εἰπεῖν ὡς οὐ μετὰ πολὺ καταδύσεται· καὶ ἐν ὀφϑαλμοῖς αὐτοῦ καταδῦναι. καὶ ἀνιμηϑέντος ἐκ φρέατος ὕδατος πιόντα προειπεῖν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός· καὶ γενέσθαι. ἀνιόντα τε ἐξ Ὀλυμπίας ἐς Μεσσήνην τῶι ξένωι Περιλάωι συμβουλεῦσαι ἐξοικῆσαι μετὰ τῶν οἰκείων· καὶ τὸν μὴ πεισϑῆναι, Μεσσήνην δὲ ἑαλωκέναι.* (117) *καὶ Λακεδαιμονίοις εἰπεῖν μήτε χρυσὸν τιμᾶν μήτε ἄργυρον, ὥς φησι Θεόπομπος ἐν Θαυμασίοις· προστάξαι δὲ αὐτῶι ὄναρ τοῦτο τὸν Ἡρακλέα, ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδηι πείϑεσϑαι. ἔνιοι δὲ Πυϑαγόραι περιάπτουσι ταῦτα.*

*72 (67) CLEM. ALEX. Strom. I 62, 2 p. 39, 17 Stäh: *Πυϑαγόρας μὲν οὖν Μνησάρχου Σάμιος, ὥς φησιν Ἱππόβοτος* (IV)· *ὡς δὲ Ἀριστόξενος* (IV) .... *καὶ Ἀριστοτέλης* (F 190 Rose) *καὶ Θεόπομπος, Τυρρηνὸς ἦν· ὡς δὲ Νεάνϑης* (84 F 29) *Σύριος ἢ Τύριος.*

73 (68) ATHEN. V 52 p. 213 F: *καὶ μετ' οὐ πολλὰς ἡμέρας τύραννον αὐτὸν ἀποδείξας ὁ φιλόσοφος* (sc. *ὁ Ἀϑηνίων* 87 F 36) *καὶ τὸ τῶν Πυϑαγορικῶν ἀναδείξας δόγμα* ⟨*τὸ*⟩ *περὶ τῆς ἐπιβουλῆς καὶ τί ἠβούλετο αὐτοῖς ἡ φιλοσοφία, ἣν ὁ καλὸς Πυϑαγόρας εἰσηγήσατο, καϑάπερ ἱστόρησε Θεόπομπος ἐν ὀγδόηι Φιλιππικῶν καὶ Ἕρμιππος ὁ Καλλιμάχειος* (IV), *εὐϑέως καὶ οὗτος τοὺς μὲν εὖ φρονοῦντας τῶν πολιτῶν .... ἐκποδὼν εὐϑὺς ἐποιήσατο* .....

74 (76) a) THEON Progymn. 2 (II 66, 16 Sp.): *διηγήσεως δὲ παραδείγματα ἂν εἴη κάλλιστα τῶν μὲν μυϑικῶν ..... παρὰ Θεοπόμπωι ἐν τῆι ὀγδόηι τῶν Φιλιππικῶν ἡ τοῦ Σειληνοῦ.* Pomp. 6 (II 248, 2 UR): *τὰ περὶ Σιληνοῦ τοῦ φανέντος ἐν Μακεδονίαι καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη* (F 296). b) DION. HAL. ad s. T 20, 11.

*75 (74—76) a) ATHEN. II 23 p. 45 C: *Ἡλιόδωρος* (III) *δέ φησι τὸν Ἐπιφανῆ Ἀντίοχον, ὃν διὰ τὰς πράξεις Πολύβιος* (XXVI 1 BW)

4 *Βάβυος* Aldobrand *βάϑυος* Di 7 *Σάμου* Scaliger *ψάμμου* Di 7—8 *οὐ μετὰ πολὺ* Diels *non post multum tempus* A *οὐ μετ' οὐ πολὺ* BP *μετ' οὐ πολὺ* Φ 8 *ὀφϑαλμῶν* BP¹ 10 *ἐξ ὀλυμπίας* F *εἰς ὀλυμπίαν* BP *εἰς Ὀ. ἐκ Μεσσήνης ἑάλωι* BP¹ (ante corr) 11 *μετοικῆσαι* P² 11—12 *Μεσσήνην δὲ ἑαλωκέναι* P¹ corr *μεσσήνη δὲ σταρχος* Cl 15 *φερεκύδει* BP 18 *Ἀριστοτέλης* Preller *Ἀρίληνοῦ* Valckenaer *σελίνου* Theon 21 *ἀποδείξας* Kaibel *ἀναδείξας* AC 22 ⟨*τὸ*⟩ Kaibel 29 *Σει-*

Ἐπιμανῆ καλεῖ, τὴν κρήνην τὴν ἐν Ἀντιοχείαι κεράσαι οἴνωι, καθάπερ καὶ τὸν Φρύγα Μίδαν φησὶ Θεόπομπος, ὅτε ἑλεῖν τὸν Σιληνὸν ὑπὸ μέθης ἠθέλησεν· ἔστι δὲ ἡ κρήνη, ὥς φησι Βίων (14 F 3), μέση Μαιδῶν καὶ Παιόνων Ἴννα καλουμένη. b) SERV. DAN. Verg. buc. VI 13; 26: *sane hoc de Sileno non dicitur fictum a Vergilio, sed a Theopompo translatum: is enim apprehensum Silenum a Midae regis pastoribus dicit, crapula madentem et ex ea soporatum; illos dolo adgressos dormientem vinxisse; postea vinculis sponte labentibus liberatum de rebus naturalibus et antiquis Midae interroganti disputavisse* ..... (26) *haec autem omnia de Sileno a Theopompo in eo libro, qui Thaumasia appellatur, conscripta sunt.* c) AELIAN. VH III 18: περιηγεῖταί τινα Θεόπομπος συνουσίαν Μίδου τοῦ Φρυγὸς καὶ Σιληνοῦ. νύμφης δὲ παῖς ὁ Σιληνὸς οὗτος, θεοῦ μὲν ἀφανέστερος τὴν φύσιν, ἀνθρώπου δὲ κρείττων, ἐπεὶ καὶ ἀθάνατος ἦν. πολλὰ μὲν οὖν καὶ ἄλλα ἀλλήλοις διελέχθησαν, καὶ ὑπὲρ τούτων ὁ Σιληνὸς ἔλεγε πρὸς τὸν Μίδαν. (2) τὴν μὲν Εὐρώπην καὶ τὴν Ἀσίαν καὶ τὴν Λιβύην νήσους εἶναι, ἃς περιρρεῖν κύκλωι τὸν ὠκεανόν, ἤπειρον δὲ εἶναι μόνην ἐκείνην τὴν ἔξω τούτου τοῦ κόσμου. καὶ τὸ μὲν μέγεθος αὐτῆς ἄπειρον διηγεῖτο, τρέφειν δὲ τὰ ἄλλα ζῶια μεγάλα, καὶ τοὺς ἀνθρώπους δὲ τῶν ἐνταυθοῖ διπλασίονας τὸ μέγεθος, καὶ χρόνον ζῆν αὐτοὺς οὐχ ὅσον ἡμεῖς, ἀλλὰ καὶ ἐκεῖνον διπλοῦν. (3) καὶ πολλὰς μὲν εἶναι καὶ μεγάλας πόλεις καὶ βίων ἰδιότητας· καὶ νόμους αὐτοῖς τετάχθαι ἐναντίως κειμένους τοῖς παρ' ἡμῖν νομιζομένοις. (4) δύο δὲ εἶναι πόλεις ἔλεγε μεγέθει μεγίστας, οὐδὲν δὲ ἀλλήλαις ἐοικέναι· καὶ τὴν μὲν ὀνομάζεσθαι Μάχιμον, τὴν δὲ Εὐσεβῆ. τοὺς μὲν οὖν Εὐσεβεῖς ἐν εἰρήνηι τε διάγειν καὶ πλούτωι βαθεῖ καὶ λαμβάνειν τοὺς καρποὺς ἐκ τῆς γῆς χωρὶς ἀρότρων καὶ βοῶν, γεωργεῖν δὲ καὶ σπείρειν οὐδὲν αὐτοῖς ἔργον εἶναι. «καὶ διατελοῦσιν» ἢ δ' ὅς «ὑγιεῖς καὶ ἄνοσοι καὶ καταστρέφουσι τὸν ἑαυτῶν βίον γελῶντες εὖ μάλα καὶ ἡδόμενοι. οὕτω δὲ ἀναμφιλόγως εἰσὶ δίκαιοι, ὡς μηδὲ τοὺς θεοὺς πολλάκις ἀπαξιοῦν ἐπιφοιτᾶν αὐτοῖς. (5) οἱ δὲ τῆς Μαχίμου πόλεως μαχιμώτατοί τέ εἰσι καὶ αὐτοὶ καὶ γίνονται μεθ' ὅπλων καὶ ἀεὶ πολεμοῦσι καὶ καταστρέφονται τοὺς ὁμόρους, καὶ παμπόλλων ἐθνῶν μία πόλις κρατεῖ αὕτη. εἰσὶ δὲ οἱ οἰκήτορες οὐκ ἐλάττους διακοσίων μυριάδων. ἀποθνήσκουσι δὲ τὸν μὲν ἄλλον χρόνον νοσήσαντες· σπάνιον δὲ τοῦτο, ἐπεὶ τά γε πολλὰ ἐν τοῖς πολέμοις ἢ λίθοις ἢ

---

3 *Μαιδῶν* Casaubonus *μηδων* CE 7 *madentem* Daniel *adentem* L
14 *ἐπεὶ* Hercher *εἰ* Ael 15 *τούτων* ⟨*δὲ*⟩ Hercher 30 *μηδὲ* Hercher *μήτε* Ael

ξύλοις παιόμενοι· ἄτρωτοι γάρ εἰσι σιδήρῳ. χρυσοῦ δὲ ἔχουσι καὶ ἀργύρου ἀφθονίαν, ὡς ἀτιμότερον εἶναι παρ' αὐτοῖς τὸν χρυσὸν τοῦ παρ' ἡμῖν σιδήρου.» (6) ἐπιχειρῆσαι δέ ποτε καὶ διαβῆναι τούτους ἐς τάσδε τὰς ἡμεδαπὰς νήσους ἔλεγε καὶ διαπλεύσαντάς γε τὸν ὠκεανὸν μυριάσι χιλίαις ἀνθρώπων ἕως Ὑπερβορέων ἀφικέσθαι. καὶ πυθομένους τῶν παρ' ἡμῖν τούτους εἶναι τοὺς εὐδαιμονεστάτους, καταφρονῆσαι ὡς φαύλως καὶ ταπεινῶς πράττοντας, καὶ διὰ ταῦτα ἀτιμάσαι προελθεῖν περαιτέρω. (7) τὸ δὲ ἔτι θαυμασιώτερον προσετίθει. Μέροπάς τινας οὕτω καλουμένους ἀνθρώπους οἰκεῖν παρ' αὐτοῖς ἔφη πόλεις πολλὰς καὶ μεγάλας, ἐπ' ἐσχάτῳ δὲ τῆς χώρας αὐτῶν τόπον εἶναι καὶ ὀνομάζεσθαι Ἄνοστον, ἐοικέναι δὲ χάσματι, κατειλῆφθαι δὲ οὔτε ὑπὸ σκότους οὔτε ὑπὸ φωτός, ἀέρα δὲ ἐπικεῖσθαι ἐρυθήματι μεμιγμένον θολερῷ. δύο δὲ ποταμοὺς περὶ τοῦτον τὸν τόπον ῥεῖν, καὶ τὸν μὲν Ἡδονῆς καλεῖσθαι τὸν δὲ Λύπης, καὶ παρ' ἑκάτερον τούτων ἑστηκέναι δένδρα τὸ μέγεθος πλατάνου μεγάλης. φέρειν δὲ καρποὺς τὰ μὲν παρὰ τὸν τῆς Λύπης ποταμὸν τοιαύτην ἔχοντας τὴν φύσιν· ἐάν τις αὐτῶν ἀπογεύσηται, τοσοῦτον ἐκβάλλει δακρύων, ὥστε κατατήκεσθαι πάντα τὸν ἑαυτοῦ βίον τὸν λοιπὸν θρηνοῦντα, καὶ οὕτω τελευτᾶν. (8) τὰ δὲ ἕτερα τὰ παραπεφυκότα τῶι τῆς Ἡδονῆς ποταμῶι ἀντίπαλον ἐκφέρειν καρπόν· ὃς γὰρ ἂν γεύσηται τούτων, τῶν μὲν ἄλλων τῶν πρότερον ἐπιθυμιῶν παύεται, ἀλλὰ καὶ εἴ του ἦρα καὶ αὐτοῦ λαμβάνει λήθην, καὶ γίνεται κατὰ βραχὺ νεώτερος καὶ τὰς φθανούσας ἡλικίας καὶ τὰς ἤδη διελθούσας ἀναλαμβάνει ὀπίσω. τὸ μὲν γὰρ γῆρας ἀπορρίψας ἐπὶ τὴν ἀκμὴν ὑποστρέφει, εἶτα ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἀναχωρεῖ, εἶτα παῖς γίνεται, εἶτα βρέφος, καὶ ἐπὶ τούτοις ἐξαναλώθη. (9) καὶ ταῦτα εἴ τωι πιστὸς ὁ Χῖος λέγων, πεπιστεύσθω· ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθολόγος καὶ ἐν τούτοις καὶ ἐν ἄλλοις δέ. d) STRAB. VII 3, 6: Ῥιπαῖα ὄρη λέγοντας καὶ τὸ Ὠγύιον ὄρος καὶ τὴν τῶν Γοργόνων καὶ Ἐσπερίδων κατοικίαν (1 F 194), καὶ τὴν παρὰ Θεοπόμπωι Μεροπίδα γῆν. e) TERTULLIAN. adv. Hermog. 25: *nisi si et Sileno illi apud Midam regem adseveranti de alio orbe credendum est auctore Theopompo.*

76 (79) APOLLON. Hist. mir. 10: Θεόπομπος δὲ ἐν τοῖς θαυμασίοις ἐν τῶι ἀγῶνι τῶν Ὀλυμπίων πολλῶν ἐπιπολαζόντων ἰκτίνων ἐν τῆι πανηγύρει καὶ διασυριζόντων τὰ διαφερόμενα κρέα ⟨τὰ⟩ τῶν ἱεροθυτῶν ἀθιγῆ μένειν.

16 ἔχοντας Faber ἔχοντα Ael 17 δακρύων Hercher δάκρυον Ael 86 διασυρόντων Emperius ⟨τὰ⟩ Keller

Θ̄

77 (81) SCHOL. ARISTOPH. Friede 1071 (SUID. s. *Βάκις*) = SCHOL. Vögel 962: *Βάκιδες δὲ τρεῖς, ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ δεύτερος Ἀττικός, τρίτος δὲ ὁ Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης, ὥς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ Θ̄ τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα· καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος αὐτοῖς τοῦτον καθαρτὴν ὄντος.*

78 (83) THEON Progymn. 2 (II 68, 12 Sp): *πολλὰ δὲ καὶ ἐκπέφρασται παρὰ τοῖς παλαιοῖς . . . . . ἔχομεν δὲ καὶ ἐν τῇ ἑνάτῃ τῶν Φιλιππικῶν Θεοπόμπου τὰ ἐν Θετταλίαι Τέμπη, ἃ ἐστι μὲν μεταξὺ δύο ὀρῶν μεγάλων τῆς τε Ὄσσης καὶ τοῦ Ὀλύμπου, ῥεῖ δὲ δι' αὐτῶν μέσος ὁ Πηνειός, εἰς ὃν ἅπαντες οἱ κατὰ τὴν Θετταλίαν ποταμοὶ συρρέουσι.* a. 353 o. 352

79 (82) PRISCIAN. Inst. XVIII 267 (GrL III 346, 3 K): *Attici 'περὶ τόσους' καὶ 'περὶ τόσοις'. Theopompus Philippicon* IX: «*τὸ μὲν μῆκος περὶ τεσσαράκοντα σταδίους.*»

**80 (—) AELIAN. VH III 1: *φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῶι λόγωι . . . . . (2) ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης. ὄρη δὲ ταῦτά ἐστιν ὑπερύψηλα καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα· καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τετταράκοντα διήκει σταδίους, τό γε μὴν πλάτος τῆι μέν ἐστι πλέθρου, τῆι δὲ καὶ μεῖζον ὀλίγωι. διαρρεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός. ἐς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συρρέουσι καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῶι καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. (3) διατριβὰς δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα ἐς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. κιττὸς μὲν γὰρ πολὺς καὶ εὖ μάλα λάσιος ἑνακμάζει καὶ τέθηλε καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει καὶ συμπέφυκεν αὐτοῖς, πολλὴ δὲ σμίλαξ [ἡ μὲν] πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν· καὶ ἐκείνη μὲν ὑπολανθάνει, ὁρᾶται δὲ τὸ χλοάζον πᾶν, καί ἐστιν ὀφθαλμῶν πανήγυρις. ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθημένοις ἅλση τέ ἐστι ποικίλα καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥραι θέρους καταφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχάσαι. διαρρέουσι δὲ καὶ κρῆναι συχναὶ καὶ ἐπιρρεῖ νάματα ὑδάτων ψυχρῶν καὶ πιεῖν ἡδίστων. λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι καὶ ἐς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. κατάδυσοι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ μουσικοί, καὶ ἐστιῶσιν εὖ μάλα τὰς ἀκοὰς καὶ παραπέμπουσιν ἀπόνως καὶ σὺν ἡδονῆι διὰ τοῦ μέλους τὸν κάματον τῶν παριόντων ἀφανίσαντες. παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι καὶ αἱ ἀνάπαυλαι. (4) διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῆι*

8 *τρεῖς Βάκιδες, ὡς Φιλητᾶς ὁ Ἐφέσιός φησιν* Schol Av 6 *τά τε ἄλλα πολλὰ* Schol Av *π. τ. Βάκ. τ. Βοιωτοῦ* Schol Av *περὶ τοῦ Βοιωτοῦ Βάκιδος* Grenfell-Hunt 8 *αὐτοῖς* Schol Av *τούτοις* Schol Pac 17 Th zugewiesen von Wichers 20 *ἔχεται* Hercher 23: § 3 scheint wesentlich Aelian 28 [*ἡ μὲν*] Hercher 29 *πᾶν* 'vox suspecta' Hercher 32 *ψυχάσαι* Corais *ψυχᾶσθαι* Ael

καὶ πρᾴως προιὼν ἐλαίου δίκην, πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται, ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα καὶ παρέχειν τοῖς πλέουσι πλεῖν κατὰ ψῦχος. (5) πᾶς δὲ ὁ περίοικος λεὼς συνίασιν ἄλλοι ἄλλοις καὶ θύουσι καὶ συνουσίας ποιοῦνται καὶ συμπίνουσιν. ἅτε οὖν πολλῶν ὄντων τῶν θυόντων καὶ τῶν καθαγιζόντων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὁμαὶ συμπαρομαρτοῦσιν ἡδῖσται· οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς ἡ περὶ τὸ κρεῖττον ἐκθεοῖ τὸν τόπον. (6) ἐνταῦθά τοί φασι παῖδες Θετταλῶν καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον καθήρασθαι κατὰ πρόσταγμα τοῦ Διός, ὅτε τὸν Πύθωνα τὸν δράκοντα κατετόξευσεν φυλάττοντα τοὺς Δελφούς, τῆς Γῆς ἔτι ἐχούσης τὸ μαντεῖον. στεφανωσάμενον οὖν ἐκ ταύτης τῆς δάφνης τῆς Τεμπικῆς καὶ λαβόντα κλάδον ἐς τὴν δεξιὰν χεῖρα ἐκ τῆς αὐτῆς δάφνης ἐλθεῖν ἐς Δελφοὺς καὶ παραλαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητοῦς παῖδα. (7) ἔστι δὲ καὶ βωμὸς ἐν αὐτῶι τῶι τόπωι, ἐν ὧι καὶ ἐστεφανώσατο καὶ τὸν κλάδον ἀφεῖλε· καὶ ἔτι καὶ νῦν δι' ἐτῶν ἑνάτου οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπουσι καὶ ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. οἱ δὲ παραγενόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν ἀπίασι πάλιν στεφάνους ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ' ἧσπερ οὖν καὶ τότε ὁ θεὸς ἐστεφανώσατο. καὶ τὴν ὁδὸν ἐκείνην ἔρχονται, ἣ καλεῖται μὲν Πυθιάς, φέρει δὲ διὰ Θετταλίας καὶ Πελασγίας καὶ τῆς Οἴτης καὶ τῆς Αἰνιάνων χώρας καὶ τῆς Μηλιέων καὶ Δωριέων καὶ Λοκρῶν τῶν Ἑσπερίων. οὗτοι δὲ καὶ παραπέμπουσιν αὐτοὺς σὺν αἰδοῖ καὶ τιμῆι οὐδὲν ἧττον ἥπερ οὗν ἐκεῖνοι, οἳ τοὺς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῶι αὐτῶι θεῶι τούτωι τιμῶσι. (8) καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τῆς δάφνης τοὺς στεφάνους τοῖς νικῶσι διδόασιν. ὑπὲρ μὲν οὖν τῶν ἐν Θετταλίαι Τεμπῶν καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

**81** (136) ATHEN. VI 76 p. 259 F—260 A: καὶ Θεόπομπος γὰρ ἐν τῆι $\overline{\vartheta}$ τῶν Φιλιππικῶν φησιν· «Ἀγαθοκλέα δοῦλον γενόμενον καὶ τῶν ἐκ Θετταλίας πενεστῶν Φίλιππος μέγα παρ' συμποσίοις συνὼν αὐτῶι ὠρχεῖτο καὶ γέλωτα παρεσκευάζεν ἀπέστειλε διαφθεροῦντα Περραιβοὺς καὶ τῶν ἐκεῖ πραγμάτων· ἐπιμελησόμενον. τοιούτους δ' εἶχεν ἀεὶ περὶ αὑτὸν ἀνθρώπους ὁ Μακεδών, οἷς διὰ φιλοποσίαν καὶ βωμολοχίαν πλείω χρόνον ὡς τὰ πολλὰ συνδιέτριβε καὶ συνήδρευε περὶ τῶν μεγίστων βουλευόμενος.»

**82** (87) STEPH. BYZ. s. Φαρκηδών· πόλις Θεσσαλίας. Θεόπομπος ἐν $\overline{\vartheta}$ Φιλιππικῶν Φαρκαδόνα διὰ τοῦ $\overline{\alpha}$ φησίν.

**83** (86) — — s. Δρόγγιλον· χωρίον Θράικης· Θεόπομπος a. 351 Φιλιππικῶν $\overline{\vartheta}$.

**84** (88) — — s. Κῶβρυς· πόλις Θράικης· Θεόπομπος Φιλιππικῶν $\overline{\vartheta}$.

---

1 [ἡ]? Hercher 17 οὖν Royard ἱρῶν Ael 18 ἔρχονται Gesner ἴρχεται Ael Πελασγίας Ortel πελαγονίας Ael 29 αὐτῶι συνὼν Kaibel [αὐτῶι]? 36 φαρ(κα)καδόνα καὶ RV 37 Θράικης Holste Θετταλίας RVP

## Ι

s. 352

### ΤΑ ΠΕΡΙ ΤΩΝ ΑΘΗΝΗΣΙ ΔΗΜΑΓΩΓΩΝ.

(s. F 19? 261. 325—327?)

*85 (89) PLUTARCH. Them. 19, 1: *γενόμενος δὲ ἀπὸ τῶν πράξεων ἐκείνων εὐθὺς ἐπεχείρει* (sc. *Θεμιστοκλῆς*) *τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς ἐφόρους, ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος.*

*86 (90) — — 25, 3: *τῶν δὲ χρημάτων αὐτῶι* (sc. *Θεμιστοκλεῖ*) *πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει· τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον Θεόπομπος μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δὲ ὀγδοήκοντά φησι γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους πρὶν ἅπτεσθαι τῆς πολιτείας.*

*87 (91) — — 31, 3: *οὐ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν, ὥς φησι Θεόπομπος, ἀλλ' ἐν Μαγνησίαι μὲν οἰκῶν, καρπούμενος δὲ ὠρεὰς μεγάλας καὶ τιμώμενος ὅμοια Περσῶν τοῖς ἀρίστοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι τοῖς Ἑλληνικοῖς πράγμασι βασιλέως προσέχοντος ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις.*

88 (92) SCHOL. ARISTEID. p. 528, 4 Ddf: *Θεόπομπος ἐν τῶι δεκάτωι τῶν Φιλιππικῶν περὶ Κίμωνος· «οὐδέπω δὲ πέντε ἐτῶν παρεληλυθότων πολέμου συμβάντος πρὸς Λακεδαιμονίους ὁ δῆμος μετεπέμψατο τὸν Κίμωνα, νομίζων διὰ τὴν προξενίαν ταχίστην ἂν αὐτὸν εἰρήνην ποιήσασθαι, ὁ δὲ παραγενόμενος τῆι πόλει τὸν πόλεμον κατέλυσε.»*

89 (94) ATHEN. XII 44 p. 533 A—C: (F 135) *περὶ οὗ καὶ αὐτοῦ ἱστορῶν ἐν τῆι δεκάτηι τῶν Φιλιππικῶν ὁ Θεόπομπός φησι: «Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστα φύλακα, ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὁπωρίζωνται καὶ λαμβάνωσιν εἴ τινος δέοιντο τῶν ἐν τοῖς χωρίοις. ἔπειτα τὴν οἰκίαν παρεῖχε κοινὴν ἅπασι· καὶ δεῖπνον αἰεὶ εὐτελὲς παρασκευάζεσθαι πολλοῖς ἀνθρώποις, καὶ τοὺς ἀπόρους [προσιόντας] τῶν Ἀθηναίων εἰσιόντας δειπνεῖν. ἐθεράπευεν δὲ καὶ τοὺς καθ' ἑκάστην ἡμέραν αὐτοῦ τι δεομένους, καὶ λέγουσιν ὡς περιήγετο μὲν ἀεὶ νεανίσκους δύ'*

---

19 ἕκτωι D 22 τάχιστ' ἂν Fuhr 28 'Th. scripsit ὁπωρίζοιντο καὶ λαμβάνοιεν' Kaibel 30 καὶ δεῖπνον κτλ.: Plut. Kim. 10 *καὶ δεῖπνον οἴκοι παρ' αὐτῶι λιτὸν μέν, ἀρκοῦν δὲ πολλοῖς ἐποιεῖτο καθ' ἡμέραν, ἐφ' ᾧ τῶν πενήτων ὁ βουλόμενος εἰσήιει καὶ διατροφὴν εἶχεν ἀπράγμονα.* 'Ath. minime ipsa Theopompi verba apposuit' Kaibel ἅπασι, ὡς δεῖπνον — δειπνεῖν? 32 [προσιόντας] Kaibel [εἰσιόντας] Stephanus

ἢ τρεῖς ἔχοντας κέρματα τούτοις τε διδόναι προσέταττεν, ὁπότε τις προσέλθοι αὐτοῦ δεόμενος. καί φασι μὲν αὐτὸν καὶ εἰς ταφὴν εἰσφέρειν. ποιεῖν δὲ καὶ τοῦτο πολλάκις, ὁπότε τῶν πολιτῶν τινα ἴδοι κακῶς ἠμφιεσμένον, κελεύειν αὐτῷ μεταμφιέννυσθαι τῶν νεανίσκων τινα τῶν συναχολουθούντων αὐτῷ. ἐκ δὴ τούτων ἁπάντων ηὐδοκίμει καὶ πρῶτος ἦν τῶν πολιτῶν.»

*90 (—) CYRILL. c. Julian. VI p. 188 A Spanh: γράφει δὲ περὶ αὐτοῦ (sc. Κίμωνος) Θεόπομπος, ὡς καὶ κλεπτίστατος γένοιτό τις καὶ λημμάτων αἰσχρῶν ἡττώμενος οὐχ ἅπαξ ἐξήλεγκται, καὶ τὸ τῆς δωροδοκίας μάθημα παρ' αὐτοῦ καὶ πρώτου τοῖς Ἀθήνησι στρατηγοῖς ὁρᾶται ἐνσκῆψαι.

*91 (98) SCHOL. V ARISTOPH. Wesp. 947: ὅπερ ποιὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης] ὁ γενόμενος ὀστρακισμὸς ἐμφαίνει τὸν Μελησίου καὶ τὸν ὀστρακισθέντα. Θεόπομπος μέντοι ὁ ἱστορικὸς τὸν Πανταιν⟨έτ⟩ου φησὶν ἀντιπολιτεύσασθαι (F 261) Περικλεῖ· ἀλλ' οὐκ Ἀνδροτίων (III), ἀλλὰ καὶ αὐτὸς τὸν Μελησίου.

*92 (99) SCHOL. LUKIAN. Tim. 30 p. 115, 13 Ra: Κλέων δημαγωγὸς ἦν Ἀθηναίων προστὰς αὐτῶν ἑπτὰ ἔτη, ὃς πρῶτος δημηγορῶν ἀνέκραγεν ἐπὶ βήματος καὶ ἐλοιδορήσατο, θρασὺς ὢν καὶ οὕτως ὥστε, καθὼς Θεόπομπος ἱστορεῖ, συνεληλυθότων Ἀθηναίων παρελθεῖν εἰς τὴν ἐκκλησίαν στέφανον ἔχοντα καὶ κελεῦσαι αὐτοὺς ἀναβαλέσθαι τὸν σύλλογον — τυγχάνειν γὰρ αὐτὸν θύοντα καὶ ξένους ἑστιᾶν μέλλοντα — καὶ διαλῦσαι τὴν ἐκκλησίαν.

93 (100) SCHOL. ARISTOPH. Ritter. 226: Θεόπομπος ἐν δεκάτωι Φιλιππικῶν φησιν ὅτι οἱ ἱππεῖς ἐμίσουν αὐτόν (sc. τὸν Κλέωνα). προπηλακισθεὶς γὰρ ὑπ' αὐτῶν καὶ παροξυνθεὶς ἐπετέθη τῆι πολιτείαι καὶ διετέλεσεν εἰς αὐτοὺς κακὰ μηχανώμενος. κατηγόρησε γὰρ αὐτῶν ὡς λειποστρατούντων.

*94 (101) — — Ach. 6 τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν] παρὰ τῶν νησιωτῶν ἔλαβε πέντε τάλαντα ὁ Κλέων ἵνα πείσηι τοὺς Ἀθηναίους κουφίσαι αὐτοὺς τῆς εἰσφορᾶς. αἰσθόμενοι δὲ οἱ ἱππεῖς ἀντέλεγον καὶ ἀπήιτησαν αὐτόν. μέμνηται Θεόπομπος.

95 (102) SCHOL. LUKIAN. Tim. 30 p. 114, 21 Ra: Ὑπέρβολος οὗτος, ὡς Ἀνδροτίων (III) φησίν, Ἀντιφάνους ἦν Περιθοίδης .... Ἀνδροπολύζηλος (I 791, 5 K) .... Φρύγα αὐτὸν εἶναί φησιν .... Πλάτων δὲ

---

2 αὐτοῦ ⟨τι⟩ Kaibel τον Wilamowitz 3 εἰσφέρειν ⟨τοῖς ἐν ἀπορίαι ἀποθνήισκουσιν⟩ Kaibel vgl. Nepos Kim. 4 complures pauperes mortuos qui unde efferentur non reliquissent suo sumptu extulit. 13 τὴν Μελησίου V 14 Πανταίνου Schol Kirchner 19 ὢν οὕτως V

ὁ κωμικὸς (I 645, 170 K) ... *Λυδὸν .... καὶ ἄλλοι ἄλλως. ἔστι δὲ τῇι ἀληθείαι Χρέμητος, ὡς Θεόπομπος ἐν τῶι Περὶ δημαγωγῶν.*

96 (103) a) — — p. 115, 8 Ra: *Θεόπομπος δὲ πάλιν ἐν δεκάτωι Φιλιππικῶν ἐν Σάμωι φησὶν ἐπιβουλευθέντα ὑπὸ τῶν Ἀθήνηθεν ἐχθρῶν ἀναιρεθῆναι* (sc. *τὸν Ὑπέρβολον*), *τὸ δὲ νεκρὸν αὐτοῦ εἰς σάκκον βληθὲν ῥιφῆναι εἰς τὸ πέλαγος.* b) SCHOL. V ARISTOPH. Wesp. 1007: *Θεόπομπος δέ φησι καὶ τὸν νεκρὸν αὐτοῦ καταποντωθῆναι, γράφων ὅτι «ἐξωστράκισαν τὸν Ὑπέρβολον ἔξ ἔτη· ὁ δὲ καταπλεύσας εἰς Σάμον καὶ τὴν οἴκησιν αὐτοῦ ποιησάμενος ἀπέθανε, καὶ τούτου τὸν νεκρὸν εἰς ἀσκὸν ἀγαγόντες εἰς τὸ πέλαγος κατεπόντωσαν.»*

97 (95) ATHEN. IV 61 p. 166 E: (vorausgeht F 100) *«Καλλίστρατος δέ» φησὶν «ὁ Καλλικράτους ⟨ὁ⟩ δημαγωγὸς καὶ αὐτὸς πρὸς μὲν τὰς ἡδονὰς ἦν ἀκρατής, τῶν δὲ πολιτικῶν πραγμάτων [ἦν] ἐπιμελής.»*

98 (97) HARPOKR. s. *σύνταξις*· .... *ἔλεγον δὲ καὶ τοὺς φόρους συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιστράτου οὕτω καλέσαντος, ὥς φησι Θεόπομπος ἐν ῑ Φιλιππικῶν.*

99 (96) HARPOKR. s. *Εὔβουλος*· .... *ὅτι δὴ δημαγωγὸς ἦν ἐπιφανέστατος, ἐπιμελής τε καὶ φιλόπονος, ἀργύριόν τε συχνὸν πορίζων τοῖς Ἀθηναίοις διένειμε, διὸ καὶ τὴν πόλιν ἐπὶ τῆς τούτου πολιτείας ἀνανδροστάτην καὶ ῥαιθυμοστάτην συνέβη γενέσθαι, Θεόπομπος ἐν τῆι ῑ τῶν Φιλιππικῶν.*

100 (95) ATHEN. IV 61 p. 166 DE: *Θεόπομπος δ' ἐν τῆι δεκάτηι τῶν Φιλιππικῶν, ἀφ' ἧς τινες τὸ τελευταῖον μέρος χωρίσαντες, ἐν ὧι ἐστιν τὰ περὶ τῶν Ἀθήνησι δημαγωγῶν, Εὔβουλόν φησι τὸν δημαγωγὸν ἄσωτον γενέσθαι. τῆι λέξει δὲ ταύτηι ἐχρήσατο· «καὶ τοσοῦτον ἀσωτίαι καὶ πλεονεξίαι διενήνοχε τοῦ δήμου τοῦ Ταραντίνων ὅσον ὁ μὲν περὶ τὰς ἑστιάσεις εἶχε μόνον ἀκρατῶς, ὁ δὲ τῶν Ἀθηναίων καὶ τὰς προσόδους καταμισθοφορῶν διατετέλεκε.»*

## ĪA

(s. F 293. 307? 310?)

101 (109) HARPOKR. s. *Ἀμάδοκος*· .... *δύο γεγόνασιν οὗτοι, πατὴρ καὶ υἱός, ὃς καὶ Φιλίππωι συμμαχήσων ἦλθεν εἰς τὸν πρὸς Κερσο-* s. 352,1

---

5 *τὸν δὲ ν.* — *βληθέν*$^{\tau}$ *Δ* 8 *ἐξ*: *πέντε* Meineke Hist Com 194 9 *αὐτοῦ*: *ἐκεῖ* Marc. 13 ⟨ὁ⟩ Kaibel 15 [*ἦν*] Wilamowitz 16 *ἔλεγον δὲ καὶ τοὺς* Valckenaer *ἔλεγε δὲ ἑκάστους* Harp Suid *ἔλεγον ἑκάστους* Et M 736, 7 (?) 22 *γενέσθαι ἐξειργάσατο* AB 26 *δημαγωγῶν* * Kaibel 28 *διενήνοχε*: sc. *ὁ τῶν Ἀθηναίων δῆμος* s. F 99; 114 35 *ὃς Φιλ.* A

βλέπτην πόλεμον. ἀμφοτέρων μέμνηται Θεόπομπος ἐν τῇι ΙΑ τῶν Φιλιππικῶν.

102 (110) PORPHYR. bei EUSEB. PE X 3 p. 464 C: (T 27) τὸν Θεόπομπον .... ἐν μὲν τῇι ἑνδεκάτηι Τῶν περὶ Φιλίππου ἐκ τοῦ Ἰσοκράτους Ἀρεοπαγιτικοῦ μεταγράψαντα αὐτοῖς ὀνόμασιν ἐκεῖνα ὅτι «τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίνεται τοῖς ἀνθρώποις» καὶ τὰ ἑξῆς. (es folgt F 345).

## IB

(s. F 346; 351).

103 (111) PHOT. Bibl. 176 p. 120 a 14: καὶ περιέχει ὁ δωδέκατος λόγος περί τε Ἀκώριος τοῦ Αἰγυπτίων βασιλέως ὡς πρός τε τοὺς Βαρκαίους ἐσπείσατο καὶ ὑπὲρ Εὐαγόρου ἔπραττε τοῦ Κυπρίου, ἐναντία πράττων τῶι Πέρσηι· (2) ὅν τε τρόπον παρὰ δόξαν Εὐαγόρας τῆς Κυπρίων ἀρχῆς ἐπέβη, Ἀβδύμονα κατασχὼν τὸν Κιτιέα ταύτης ἐπάρχοντα· (3) τίνα τε τρόπον Ἕλληνες οἱ σὺν Ἀγαμέμνονι τὴν Κύπρον κατέσχον ἀπελάσαντες τοὺς μετὰ Κινύρου, ὧν εἰσιν ὑπολιπεῖς Ἀμαθούσιοι· (4) ὅπως τε ὁ βασιλεὺς Εὐαγόραι συνεπείσθη πολεμῆσαι, στρατηγὸν ἐπιστήσας Λὐτοφραδάτην τὸν Λυδίας ἐξατράπην, ναύαρχον δὲ Ἑκατόμνων· (5) καὶ περὶ τῆς εἰρήνης ἣν αὐτὸς τοῖς Ἕλλησιν ἐβράβευσεν· (6) ὅπως τε πρὸς Εὐαγόραν ἐπεκράτησεν Ἀθηναίων ἡ πόλις ταῖς πρὸς βασιλέα συνθήκαις ἐπειρᾶτο ἐμμένειν, Λακεδαιμόνιοι δὲ ὑπέρογκα φρονοῦντες παρέβαινον τὰς συνθήκας· (8) τίνα τε τρόπον τὴν ἐπὶ Ἀνταλκίδου ἔθεντο εἰρήνην· (9) καὶ ὡς Τιρίβαζος ἐπολέμησεν, ὅπως τε Εὐαγόραι ἐπεβούλευσεν, ὅπως τε αὐτὸν Εὐαγόρας πρὸς βασιλέα διαβαλὼν συνέλαβε μετ' Ὀρόντου· (10) καὶ ὡς Νεκτενίβιος παρειληφότος τὴν Αἰγύπτου βασιλείαν πρὸς Λακεδαιμονίους πρέσβεις ἀπέστειλεν Εὐαγόρας· (11) τίνα τε τρόπον ὁ περὶ Κύπρον αὐτῶι πόλεμος διελύθη· (12) καὶ περὶ Νικοκρέοντος ὡς ἐπεβούλευσεν, ὡς παραδόξως ἐφωράθη, ὡς ἔφυγε· καὶ ὡς τῆι ἐκείνου παιδὶ καταλειφθείσηι κόρηι Εὐαγόρας τε καὶ ὁ τούτου παῖς Πνυταγόρας λαθάνοντες ἀλλήλους συνεκάθευδον, Θρασυδαίου τοῦ εὐνούχου, ὃς ἦν Ἠλεῖος τὸ γένος, αὐτοῖς παρὰ μέρος ὑπηρετουμένου τῆι πρὸς τὴν κόρην ἀκολασίαι· καὶ ὡς τοῦτο αὐτοῖς

---

4 Φίλιππον JO 11 Ἀκώριος edd (s. p. 559, 2) πακόριος (aus πακώ—) A$^{c}$ Ἄκορις Diod. XV 2, 3 δ. (Ἀχωρις XV 3, 4 cod Patm) Ἄχωρις Synkell. 142, 14; 488, 7. Βαρκαίους A$^{1}$M βαρβάρους A$^{c}$ (Diod. XV 2, 4) 13 παράδοξον M 14 Ἀβδύμονα A$^{1}$ ἀβδύμωνα A$^{c}$ αὐδύμονα M Ἀβδήμων Diod. XIV 98, 1 Wichers 16 ἐξατράπην M σατράπην aus ἐξατράπην A$^{1}$ 17 στρατηγὸν ⟨μὲν⟩ 25 διαβαλὼν aus διβαλὼν (?) A$^{2}$ συνέλαβε Bekker συνέβαλλεν Phot 26 αἰγυπτίων M 30 πνυταγόρας aus πταγόρας A$^{2}$ 31 εὐνούχου A ἡμιδρενος M

αἴτιον ὀλέθρου γέγονε, Θρασυδαίου τὴν ἐκείνων ἀναίρεσιν κατεργασαμένου· 374/3
(13) εἶτα τίνα τρόπον Ἄκωρις ὁ Αἰγύπτιος πρὸς τοὺς Πισίδας ἐποιήσατο συμμαχίαν, περί τε τῆς χώρας αὐτῶν καὶ τῶν Ἀσπενδίων· (14) περί τε τῶν ἐν Κῶι καὶ Κνίδωι ἰατρῶν, ὡς Ἀσκληπιάδαι, καὶ ὡς ἐκ Σύρνου οἱ πρῶτοι ἀφίκοντο ἀπόγονοι Ποδαλειρίου· (15) καὶ περὶ Μόψου τοῦ μάντεως καὶ τῶν θυγατέρων Ῥόδης καὶ Μηλιάδος (?) καὶ Παμφυλίας, ἐξ ὧν ἥ τε Μοψουεστία καὶ ἡ ἐν Λυκίαι Ῥοδία καὶ ἡ Παμφυλία χώρα τὰς ἐπωνυμίας ἔλαβον· (16) τίνα τε τρόπον ὑφ' Ἑλλήνων ἡ Παμφυλία κατωικίσθη (F 346; 351?) καὶ ὁ πρὸς ἀλλήλους συνέστη πόλεμος· (17) καὶ ὡς Λύκιοι πρὸς Τελμισσεῖς, ἡγουμένου αὐτοῖς τοῦ σφῶν βασιλέως Περικλέους, ἐπολέμησαν καὶ οὐκ ἀνῆκαν πολεμοῦντες ἕως αὐτοὺς τειχήρεις ποιήσαντες καθ' ὁμολογίαν παρεστήσαντο. ἃ μὲν οὖν ὁ ἠφανισμένος Μηνοφάνει δωδέκατος λόγος περιέχει ταῦτά ἐστιν.

104 (115) SCHOL. ARISTOPH. Vögel 880 *Χίοισιν ἤσθην*] καὶ τοῦτο ἀφ' ἱστορίας ἔλαβεν. εὔχοντο γὰρ Ἀθηναῖοι κοινῆι ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοις, ἐπειδὴ ἔπεμπον οἱ Χῖοι συμμάχους εἰς Ἀθήνας ὅτε χρεία πολέμου προσῆν, καθάπερ Θεόπομπος ἐν τῶι ιβ̄ τῶν Φιλιππικῶν φησιν οὕτως· «οἱ δὲ πολλοὶ τοῦ ταῦτα πράττειν ἀπεῖχον, ὥστε τὰς εὐχὰς κοινὰς καὶ περὶ ἐκείνων καὶ σφῶν αὐτῶν ἐποιοῦντο, καὶ σπένδοντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν ὁμοίως ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τἀγαθὰ καὶ σφίσιν αὐτοῖς.» λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν Πόλεσιν (I 321, 232 K) 'αὕτη Χίος, καλὴ πόλις· πέμπει γὰρ ὑμῖν ναῦς μακρὰς ἄνδρας θ' ὅταν δεήσηι . . . .' τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν ἐν τῆι Μεγάλητι Τέχνηι. ὁ δὲ Ὑπερίδης ἐν τῶι Χιακῶι (F 194 Bl) καὶ ὅτι Χῖοι εὔχοντο Ἀθηναίοις δεδήλωκεν.

## ΙΓ

(s. F 177? 293? 321—323?)

105 (117) ATHEN. XII 43 p. 532 AB: ἐν δὲ τῆι τρισκαιδεκάτηι a. 361
τῶν Φιλιππικῶν περὶ Χαβρίου τοῦ Ἀθηναίων ⟨στρατηγοῦ⟩ ἱστορῶν φησιν· «οὐ δυνάμενος δὲ ζῆν ἐν τῆι πόλει τὰ μὲν διὰ τὴν ἀσέλγειαν καὶ διὰ τὴν πολυτέλειαν τὴν αὐτοῦ τὴν περὶ τὸν

---

2 ἄκωρις $A^1M$ ἄκορις $A^2$ 4 ἀσκληπιάδα M 5 *ποδαλειρίου* aus —λιρίου $A^2$ μάντεως: Μαντοῦς v. Wilamowitz 6 *Μιλυάδος* Höfer Rosch Lex II 2630 7 *Ῥοδία καὶ ⟨Μάλλος καὶ⟩ ἡ Παμφ.* Bothe Bethe Geneth Gotting 39 καὶ ⟨Μιλύαι⟩ καὶ Höfer 9 *συνέστη* om A 12 *ἠμφανισμένος* (!) nach *λόγος* M 16—17 *ἐπειδὴ — προσῆν* om V *ὅταν* R 17—26 *καθάπερ — δεδήλωκεν* om R 19 *κοινὰς* om Ald 21 *ὁμοίως* om Ald 25 *Χιακῶι* Boeckh *χαλκῶι* Schol *Δηλιακῶι* Meursius 30 ⟨στρατηγοῦ⟩ Kaibel

*βίον, τὰ δὲ διὰ τοὺς Ἀθηναίους· ἅπασι γάρ εἰσι χαλεποὶ ⟨τοῖς εὐδοκιμοῦσιν⟩. διὸ καὶ εἵλοντο αὐτῶν οἱ ἔνδοξοι ⟨σχεδὸν πάντες⟩ ἔξω τῆς πόλεως καταβιοῦν, Ἰφικράτης* (F 161; 289) *μὲν ἐν Θράικῃ, Κόνων δ' ἐν Κύπρῳ, Τιμόθεος δ' ἐν Λέσβῳ, Χάρης δ' ἐν Σιγείῳ, καὶ αὐτὸς ὁ Χαβρίας ἐν Αἰγύπτῳ.»*

**106** (11) a) ATHEN. IX 32 p. 384 A: *Θεόπομπος μὲν ἔφη ὁ* a. 161 *Χῖος ἐν ταῖς Ἑλληνικαῖς* (F 22) *κἀν τῇ τρισκαιδεκάτῃ δὲ τῶν Φιλιππικῶν Ἀγησιλάῳ τῶι Λάκωνι εἰς Αἴγυπτον ἀφικομένωι πέμψαι τοὺς Αἰγυπτίους χῆνας καὶ μόσχους σιτευτούς.* b) — XV 18 p. 676 CD: *γελοῖοι οὖν εἰσιν καὶ οἱ λέγοντες Ναυκρατίτην εἶναι στέφανον τὸν ἐκ τῆς βύβλου τῆς στεφανωτρίδος καλουμένης παρ' Αἰγυπτίοις [στεφόμενον], παρατιθέμενοι Θεοπόμπου ἐκ τῆς τρι⟨σκαιδεκάτης τῶν Φιλιππικῶν καὶ τῆς ἑνδεκά⟩της τῶν Ἑλληνικῶν, ὃς φησιν Ἀγησιλάῳ τῶι Λάκωνι παραγενομένωι εἰς Αἴγυπτον δῶρα πέμψαι τοὺς Αἰγυπτίους ἄλλα τέ τινα καὶ δὴ καὶ τὴν στεφανωτρίδα βύβλον.*

*107 (23) PLUT. Ages. 36,6: *ὅθεν ἀθρόοις μισθοφόρους* (sc. ὁ Ἀγησίλαος) *ἀφ' ὧν ὁ Ταχὼς αὐτῶι χρημάτων ἔπεμψε .... ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν θεραπεύοντες αὐτόν. ἦν δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου, καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἐν τινι πόαι παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπήιει καὶ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε ξενίων προσκομισθέντων καὶ προσαχθέντων ἀλεύρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο, καὶ προσβιαζομένων λαβεῖν καὶ λιπαρούντων ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας. τῇι μέντοι στεφανωτρίδι βύβλωι φησὶν αὐτὸν ἡσθέντα Θεόπομπος διὰ τὴν λειότητα καὶ καθαριότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν, ὅτε ἀπέπλει, παρὰ τοῦ βασιλέως.*

**108** (120) ATHEN. XIV 6 p. 616 DE: *καὶ Ταχὼς δ' ὁ Αἰγυπτίων βασιλεὺς Ἀγησίλαον σκώψας ... ὅτ' ἦλθεν αὐτῶι συμμαχήσων — ἦν γὰρ βραχὺς τὸ σῶμα — ἰδιώτης ἐγένετο ἀποστάντος ἐκείνου τῆς συμμαχίας. τὸ δὲ σκῶμμα τοῦτ' ἦν· 'ὤδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκεν μῦν.' ὅπερ ἀκούσας ὁ Ἀγησίλαος καὶ ὀργισθεὶς ἔφη 'φανήσομαί σοί ποτε καὶ λέων.' ὕστερον γὰρ ἀφισταμένων τῶν Αἰγυπτίων, ὡς φησι Θεόπομπος*

1—2 *γὰρ* ⟨τοῖς εὐδ.⟩ Meineke vgl. Nepos Chabr. 3 *libenter de iis detrahant, quos eminere videant alius* 3 ⟨πάντες⟩ o. ⟨σχεδὸν ἅπαντες⟩ Jac vgl. Nepos a. o. *sed omnes fere principes fecerunt idem* 11 *βύβλου* E *βίβλου* A 12 [στεφόμενον] Kaibel 13 τρι⟨σκαιδεκάτης — ἑνδεκά⟩της Grenfell-Hunt 16 *βίβλον* A 19—20 *θεραπεύοντες* Muret 20 τε om S 28 *βιαζομένων* Y *δοῦναι* S 29 Θεόπομπος Wichers *θεόφραστος* Plut 30 *λιότητα* Y *καὶ καθ.* om Y 32 *τάχως* E *ταχαως* A

καὶ Λυκέας ὁ Ναυκρατίτης ἐν τοῖς Αἰγυπτιακοῖς (III), οὐδὲν αὐτῶι συμπράξας ἐποίησεν ἐκπεσόντα τῆς ἀρχῆς φυγεῖν εἰς Πέρσας.

109 (119 a) LEX. RHETOR. 675, 2 Meier: ἄγγαροι δὲ οἱ πρεσβευταί· Θεόπομπος ἐν τῆι τρισκαιδεκάτηι οὕτως· «κατέπεμψε πρέσβεις, οὓς ἐκεῖνοι ἀγγάρους καλοῦσιν.»

110 (122) SUID. s. Δούλων πόλις· [παροιμία] ἐν Λιβύηι· Ἔφορος ε̄ (70 F 50). καὶ ἑτέρα ἱεροδούλων .... ἔστι δὲ καὶ ἐν Κρήτηι Δουλόπολις, ὡς Σωσικράτης ἐν τῆι α̅ τῶν Κρητικῶν (III). ἔστι δέ τις καὶ περὶ Θράικην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρίαι διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους, ὡς Θεόπομπος ἐν ιγ̅ τῶν Φιλιππικῶν φησιν.

111 (IV 644) SCHOL. (R) V ARISTOPH. Friede 363: ὁ γάρ τοι Κιλλικῶν ἐπὶ πονηρίαι διαβόητός ἐστιν. φασὶ γὰρ αὐτὸν οἱ μὲν Σάμον ἢ Μίλητον προδοῦναι Πριηνεῦσι. Θεόπομπος δὲ ἐν τῶι ιγ̅ τῶν Ἱστοριῶν τῶν ἑαυτοῦ Σύρον φησὶν αὐτὸν τὴν νῆσον προδεδωκέναι Σαμίοις. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλοι ποιεῖν, ἔλεγε 'πάντα ἀγαθά'. (πάντα οὖν ἀγαθά φησι ποιεῖν, ὡς ἔφη καὶ Κιλλικῶν). τῆς δὲ προδοσίας τοιαύτην ὑποσχεῖν τιμωρίαν. Θεαγένην τινὰ ἄνδρα Σύριον, τῆς νήσου τῆς ὑπὸ τοῦ Κιλλικῶντος προδοθείσης πολίτην, πρὸ πολλοῦ μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν καὶ οὕτως ἀπάγειν τὸν ἑαυτοῦ βίον. ἀγανακτήσαντα δὴ ἐπὶ τῆι προδοσίαι τῆς πατρίδος, ἐπιστάντος τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ' αὐτοῦ κρέας, δοῦναι κρατεῖν αὐτῶι, ἵνα ἀποκόψηι τὸ περιττόν. τοῦ δὲ πεισθέντος καὶ κρατοῦντος [τοῦ Κιλλικῶντος], προφάσει τοῦ πλεονάζον ἀποκόψαι τὸ κρέας, ἐπανατεινάμενον τὴν κοπίδα κόψαι τὴν χεῖρα τοῦ Κιλλικῶντος καὶ εἰπεῖν ὡς 'ταύτηι τῆι χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν'. μέμνηται δὲ Καλλίμαχος (F 227 Schn)· 'μὴ σύ γε Θειογένης κόψηις χέρα Κιλλικόωντος.'

112 (123) STEPH. BYZ. s. Ἄνδειρα· πόλις ⟨τῆς Τρωάδος⟩, οὐδέτερως· ἐν ἧι λίθος, 'ὃς καιόμενος σίδηρος γίνεται· εἶτα μετὰ γῆς τινος καμινευθεὶς ἀποστάζει ψευδάργυρον· εἶτα κραθεὶς χαλκῶι ὀρείχαλκος γίνεται'. ὁ Στράβων ιγ̅ (1, 56) καὶ Θεόπομπος ιγ̅.

---

6 [παροιμία] Bernhardy 13 ὁ γὰρ Dindorf οὐ γὰρ Schol 14 Κιλικῶν V Κιλλικών Suid s. v. Καλλιφῶν, Καλλικῶν Suid s. πονηροῖς Καλλικόων Euphor. F 96 Scheidw 15 Θεόπομπος Preller Θεόφραστος Schol 16 εὑρων φασὶν αὐτὸν V 17 μέλλει Suid 18 ποιεῖν Jac ποιῶν Schol καί ἐστι παροιμία· πάντα ἀγαθὰ ⟨ποιῶ⟩, ὡς ἔφη K. Suid 23—26 ὠνησάμενος κρέα, κἀκεῖνος (sc. Θεαγένης) ὑποδεῖξαι ἐκέλευσεν πόθεν κόψαι θέλει, προτεινάντος (Suid προτείνας R) δὲ τὴν χεῖρα (Suid τῆι χειρὶ R) ἀπέκοψε καὶ εἶπε R (Suid) 24—25 [τοῦ Κιλλ.] Jac 29 ⟨τῆς Τρωάδος⟩ Berkel 30—32 ὃς — γίνεται worte Strabons 32 ὁ om Ald edd das zweite ιγ̅ bedenklich

*IZ*

**113** (124) ATHEN. IV 25 p. 145 A: *ὁ δ' αὐτὸς Θεόπομπος ἐν τῇι τεσσαρεσκαιδεκάτηι τῶν Φιλιππικῶν «ὅταν» φησί «βασιλεὺς εἴς τινας ἀφίκηται τῶν ἀρχομένων, εἰς τὸ δεῖπνον αὐτοῦ δαπανᾶσθαι εἴκοσι τάλαντα, ποτὲ δὲ καὶ τριάκοντα· οἱ δὲ καὶ πολὺ πλείω δαπανῶσιν. ἑκάσταις γὰρ τῶν πόλεων κατὰ τὸ μέγεθος ὥσπερ ὁ φόρος καὶ τὸ δεῖπνον ἐκ παλαιοῦ τεταγμένον ἐστίν.»*

*IE*

**114** (126) ATHEN. XII 41 p. 531 A—D (AELIAN. VH VII 2): a. 351/0 *Θεόπομπος δ' ἐν πεντεκαιδεκάτηι Φιλιππικῶν ἱστοριῶν Στράτωνά φησι τὸν Σιδωνίων βασιλέα ὑπερβαλεῖν ἡδυπαθείαι καὶ τρυφῆι πάντας ἀνθρώπους. οἷα γὰρ τοὺς Φαίακας Ὅμηρος ποιεῖν μεμυθολόγηκεν ἑορτάζοντας καὶ πίνοντας καὶ κιθαρωιδῶν καὶ ῥαψωιδῶν ἀκροωμένους, τοιαῦτα καὶ ὁ Στράτων διετέλει ποιῶν πολὺν χρόνον. καὶ τοσούτωι μᾶλλον ἐκείνων παρεκεκινήκει πρὸς τὰς ἡδονάς, ὅσον οἱ μὲν Φαίακες, ὥς φησιν Ὅμηρος, μετὰ τῶν οἰκείων γυναικῶν καὶ θυγατέρων ἐποιοῦντο τοὺς πότους, ὁ δὲ Στράτων μετ' αὐλητρίδων καὶ ψαλτριῶν καὶ κιθαριστριῶν κατεσκευάζετο τὰς συνουσίας. καὶ μετεπέμπετο πολλὰς μὲν ἑταίρας ἐκ Πελοποννήσου, πολλὰς δὲ μουσουργοὺς ἐξ Ἰωνίας, ἑτέρας δὲ παιδίσκας ἐξ ἁπάσης τῆς Ἑλλάδος, τὰς μὲν ὠιδικάς, τὰς δὲ ὀρχηστρικάς, ὧν εἴθιστο μετὰ τῶν φίλων ἀγῶνας τιθέναι καὶ μεθ' ὧν συνουσιάζων διέτριβεν, χαίρων μὲν [καὶ] τῶι βίωι τῶι τοιούτωι καὶ ⟨αὐτὸς⟩ δοῦλος ὢν φύσει τῶν ἡδονῶν, ἔτι δὲ μᾶλλον πρὸς τὸν Νικοκλέα φιλοτιμούμενος. ἐτύγχανον γὰρ ὑπερφιλοτίμως ἔχοντες πρὸς ἀλλήλους καὶ σπουδάζων ἑκάτερος αὐτὸς ἥδιον καὶ ῥαιθυμότερον ποιεῖσθαι τὸν βίον· οἵ γε προῆλθον εἰς τοσαύτην ἄμιλλαν, ὡς ἡμεῖς ἀκούομεν, ὥστε πυνθανόμενοι παρὰ τῶν ἀφικνουμένων τάς τε παρασκευὰς τῶν οἰκιῶν καὶ τὰς πολυτελείας τῶν θυσιῶν τὰς παρ' ἑκατέροις γινομένας ἐφιλονίκουν ὑπερβάλλεσθαι τοῖς τοιούτοις ἀλλήλους. ἐσπούδαζον δὲ δοκεῖν εὐδαίμονες εἶναι καὶ μακαριστοί· οὐ μὴν περί γε τὴν τοῦ βίου τελευτὴν διηυτύχησαν, ἀλλ' ἀμφότεροι βιαίωι θανάτωι διεφθάρησαν* (es folgt Anaximenes 72 F 18).

**115** (127) STEPH. BYZ. s. *Διωνία*· *πόλις, ἣν συγκαταλέγει ταῖς Κυπρίαις πόλεσι Θεόπομπος ἐν Φιλιππικῶν.*

---

12 *Σιδωνίων* Schweighäuser Σιδώνιον A ὑπερβαλεῖν Kaibel ὑπερβάλλειν A ὑπερέβαλεν E 16 *παρακεκινήκει* A ὅσον Kaibel (s. F 100) ὅδιν A πλὴν ὅσον E ὅσωι Schweighäuser 18 *κατεσκευάζετο* Kaibel κατεσκεύαστο A 22—23 [καὶ] — καὶ ⟨αὐτὸς⟩ Jac καὶ ⟨αὐτὸς⟩ — [καὶ] Kaibel 29 ἐφιλονείκουν A

116 (128) STEPH. BYZ. s. *Κρήσιον· πόλις Κύπρου. Θεόπομπος Φιλιππικῶν ιε.*

117 (129) ATHEN. XII 31 p. 526 C: *Θεόπομπος δ' ἐν πεντεκαιδεκάτῃ Ἱστοριῶν χιλίους φησὶν ἄνδρας αὐτῶν* (sc. *τῶν Κολοφωνίων*) *ἀλουργεῖς φοροῦντας στολὰς ἀστυπολεῖν· ὃ δὴ καὶ βασιλεῦσιν σπάνιον τότ' ἦν καὶ περισπούδαστον. ἰσοστάσιος γὰρ ἦν ἡ πορφύρα πρὸς ἄργυρον ἐξεταζομένη. τοιγαροῦν διὰ τὴν τοιαύτην ἀγωγὴν ἐν τυραννίδι καὶ στάσεσι γενόμενοι αὐτῆι πατρίδι διεφθάρησαν. ταῦτὰ εἴρηκεν περὶ αὐτῶν καὶ Διογένης ὁ Βαβυλώνιος ἐν τῶι ᾱ τῶν Νόμων.*

118 (132) HARPOKR. s. *Νότιον· ... ὅτι δέ ἐστι χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως Θεόπομπος ἐν τῆι ιε φησίν.*

119 (131) — s. *Κερκίδας· Δημοσθένης ἐν τῶι ὑπὲρ Κτησιφῶντος* (XVIII 295) *τοὺς προδότας καταλέγων φησὶν 'Ἀρκάδας Κερκίδας'. ὅτι δ' οὗτος τῶν τὰ Μακεδονικὰ φρονούντων ἦν εἴρηκε καὶ Θεόπομπος ἐν ιε Φιλιππικῶν.*

120 (130) [PLUTARCH.] Vit. X or. 833 AB: *μετὰ δὲ τὴν κατάλυσιν τῶν τετρακοσίων εἰσαγγελθεὶς σὺν Ἀρχεπτολέμωι, ἑνὶ τῶν τετρακοσίων, ἑάλω* (sc. *Ἀντιφῶν,*) *καὶ τοῖς περὶ τῶν προδοτῶν ἐπιτιμίοις ὑπαχθεὶς ἄταφος ἐρρίφη, καὶ σὺν τοῖς ἐκγόνοις ἄτιμος ἀνεγράφη. οἱ δ' ὑπὸ τῶν τριάκοντα ἀνιρῆσθαι αὐτὸν ἱστοροῦσιν, ὥσπερ Λυσίας ἐν τῶι Ὑπὲρ τῆς Ἀντιφῶντος φυγατρὸς λόγωι* (p. 348 Thalh) ..... *ὅτι δ' ὑπὸ τῶν τριάκοντα ἀπέθανεν, ἱστορεῖ καὶ Θεόπομπος ἐν τῆι πεντεκαιδεκάτηι τῶν Φιλιππικῶν. ἀλλ' οὐτός γ' ἂν εἴη ἕτερος, Λυσιδωνίδου πατρός,* ⟨*οὗ*⟩ *καὶ Κρατῖνος ἐν Πυτίνηι* (I 74, 201 K) *ὡς πονηροῦ μνημονεύει.*

## ΙΕ

121 (133) ATHEN. X 63 p. 444 E—445 A: *Θεόπομπος δ' ἐν τῆι ἐκκαιδεκάτηι τῶν Ἱστοριῶν περὶ ἄλλου Ῥοδίου διαλεγόμενός φησι· «τοῦ δὲ Ἡγησιλόχου τὰ μὲν ἀχρείου γεγονότος ὑπὸ οἰνοφλυγίας καὶ κύβων καὶ παντάπασιν οὐκ ἔχοντος ἀξίωμα παρὰ τοῖς Ῥοδίοις, ἀλλὰ διαβεβλημένου διὰ τὴν ἀσωτίαν τὴν τοῦ βίου καὶ παρὰ τοῖς ἑταίροις καὶ παρὰ τοῖς ἄλλοις πολίταις,» εἶθ' ἑξῆς λέγων περὶ τῆς ὀλιγαρχίας ἣν κατεστήσατο μετὰ τῶν φίλων ἐπιφέρει· «καὶ πολλὰς μὲν γυναῖκας εὐγενεῖς καὶ τῶν πρώτων ἀνδρῶν ἠισχυναν, οὐκ ὀλί-* ca. 355

5 δ *δὴ* Corais *δθεν* AE 8 ⟨*σὺν*⟩ *αὐτῆι* Benseler *σὺν τῆι?* 12 (u. v. 13) *κερκιδᾶς* hss (s. Sber. Berl. Ak. 1918, 1138, 4) 14 *δ' οὗτος*: *δοῦλος* BC *ἐν ε* BC 19 *ἀνεγράφη* Westermann *ἐνεγράφη* Pl 23 *οὐτός γ' ἂν εἴη ἕτερος* Taylor *οὗτος τὲ ἂν ἡμέτερος* Pl *Μειδωνίδου* Kell ⟨*οὗ*⟩ Sauppe 24 *ὡς* ⟨*οὐ*⟩ Meier 29 *ἀξίωμα* Casaubonus *ἰδίωμα* A 34 *ἀνδρῶν* Herwerden *ἀνθρώπων* A

γους δὲ παῖδας καὶ νεανίσκους διέφθειραν. εἰς τοῦτο δὲ προέβησαν ἀσελγείας, ὥστε καὶ κυβεύειν ἠξίωσαν πρὸς ἀλλήλους περὶ τῶν γυναικῶν τῶν ἐλευθέρων καὶ διωμολογοῦντο τοὺς ἐλάττω τοῖς ἀστραγάλοις βάλλοντας ἥντινα χρὴ τῶν πολιτίδων τῶι νικῶντι εἰς συνουσίαν ἀγαγεῖν, οὐδεμίαν ὑπεξαιρούμενοι πρόφασιν, ἀλλ' ὅπως ἂν ἕκαστος ἦι δυνατὸς πείθων ἢ βιαζόμενος, οὕτω προστάττοντες ἄγειν. καὶ ταύτην τὴν κυβείαν ἔπαιζον μὲν καὶ τῶν ἄλλων Ῥοδίων τινές, ἐπιφανέστατα δὲ καὶ πλειστάκις αὐτὸς ὁ Ἡγησίλοχος ὁ προστατεῖν τῆς πόλεως ἀξιῶν.»

*IZ*

122 (134) a) ATHEN. VI 88 p. 265 BC: πρώτους δ' ἐγὼ τῶν Ἑλλήνων οἶδα ἀργυρωνήτοις δούλοις χρησαμένους Χίους, ὡς ἱστορεῖ Θεόπομπος ἐν τῆι ἑβδόμηι καὶ δεκάτηι τῶν Ἱστοριῶν· «Χῖοι πρῶτοι τῶν Ἑλλήνων μετὰ Θετταλοὺς καὶ Λακεδαιμονίους ἐχρήσαντο δούλοις, τὴν μέντοι κτῆσιν αὐτῶν οὐ τὸν αὐτὸν τρόπον ἐκείνοις ⟨ἐποιήσαντο⟩. Λακεδαιμόνιοι μὲν γὰρ καὶ Θετταλοὶ φανήσονται κατασκευασάμενοι τὴν δουλείαν ἐκ τῶν Ἑλλήνων τῶν οἰκούντων πρότερον τὴν χώραν ἣν ἐκεῖνοι νῦν ἔχουσιν, οἱ μὲν Ἀχαιῶν, Θετταλοὶ δὲ Περραιβῶν καὶ Μαγνήτων, καὶ προσηγόρευσαν τοὺς καταδουλωθέντας οἱ μὲν εἵλωτας, οἱ δὲ πενέστας. Χῖοι δὲ βαρβάρους κέκτηνται τοὺς οἰκέτας καὶ τιμὴν αὐτῶν καταβάλλοντες.» b) SCHOL. THEOKR. XVI 35: Θεόπομπός φησι τοὺς δουλεύοντας τῶν ἐλευθέρων πενέστας καλεῖσθαι παρὰ Θεσσαλοῖς, ὡς παρὰ Λακεδαιμονίοις εἵλωτας.

c. 355/33

123 (166) STEPH. BYZ. s. Ἀσσησσός· πόλις Μιλησίας γῆς· Θεόπομπος Φιλιππικῶν ιζ.

*IH—IΘ*

(F 263. 368?)

124 (135) ATHEN. VI 60 p. 252 A—C: Θεόπομπος δ' ἐν ὀκτωκαιδεκάτηι Ἱστοριῶν περὶ Νικοστράτου Ἀργείου λέγων ὡς ἐκολάκευε τὸν Περσῶν βασιλέα γράφει καὶ ταῦτα· «Νικόστρατον δὲ τὸν Ἀργεῖον

a. 346/3

---

5 χρὴ: χρήιζοι Kaibel 7 [ἂν] Meineke Kaibel ἦι Grenfell-Hunt ἦν A εἰη Kaibel 18 ⟨ἐποιήσαντο⟩ Kaibel 25 καταβαλόντες Wilamowitz 25 θεόπεμπτος UEA 26 τῶν ἐλευθέρων: stark verkürzt; nicht zu ändern 29 ιζ RV κδ P

πῶς οὐ χρὴ φαῦλον νομίζειν, ὃς προστάτης γενόμενος τῆς Ἀργείων πόλεως καὶ παραλαβὼν καὶ γένος καὶ χρήματα καὶ πολλὴν οὐσίαν παρὰ τῶν προγόνων ἅπαντας ὑπερεβάλετο τῇι κολακείαι καὶ ταῖς θεραπείαις, οὐ μόνον τοὺς τότε στρατείας μετασχόντας, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν γενομένους. πρῶτον μὲν γὰρ οὕτως ἠγάπησε τὴν παρὰ τοῦ βαρβάρου τιμὴν ὥστε βουλόμενος ἀρέσκειν καὶ πιστεύεσθαι μᾶλλον ἀνεκόμισε πρὸς βασιλέα τὸν υἱόν, ὃ τῶν ἄλλων οὐδεὶς πώποτε φανήσεται ποιήσας. ἔπειτα καθ' ἑκάστην ἡμέραν ὁπότε μέλλοι δειπνεῖν τράπεζαν παρετίθει χωρὶς ὀνομάζων τῶι δαίμονι τῶι βασιλέως, ἐμπλήσας σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων, ἀκούων μὲν τοῦτο ποιεῖν καὶ τῶν Περσῶν τοὺς περὶ τὰς θύρας διατρίβοντας, οἰόμενος δὲ διὰ τῆς θεραπείας ταύτης χρηματιεῖσθαι μᾶλλον παρὰ τοῦ βασιλέως· ἦν γὰρ αἰσχροκερδὴς καὶ χρημάτων ὡς οὐκ οἶδ' εἴ τις ἕτερος ἥττων.»

## Κ

a. 351/0-

(F 266? 375?)

125 (138) STEPH. BYZ. s. *Σίρρα· πόλις Θράικης· Θεόπομπος ἐν Φιλιππικῶν κ.*

126 (137) a) ATHEN. IX 63 p. 401 AB: *Θεόπομπος δ' ἐν τῆι κ τῶν Ἱστοριῶν περὶ τὴν Βισαλτίαν φησὶ λαγωοὺς γίγνεσθαι δύο ἥπατα ἔχοντας.* — AELIAN. NA V 27. GELLIUS XVI 15, 1. b) STEPH. BYZ. s. *Βισαλτία· πόλις καὶ χώρα Μακεδονίας .... περὶ ταύτην οἱ λαγοὶ σχεδὸν πάντες ἁλίσκονται δύο ἥπατα ἔχοντες, ὡς Θεόπομπος ἱστορεῖ καὶ Φαβωρῖνος* (IV).

127 (139) THEON Progym. 2 (II 66, 9 Sp.): *μύθου δὲ* (sc. *παραδείγματα*) *ὁποῖός ἐστι παρὰ Ἡροδότωι τοῦ αὐλητοῦ* (I 141) *καὶ παρὰ Φιλίστωι* (III) *τοῦ ἵππου .... καὶ ἐν τῆι εἰκοστῆι Θεοπόμπου τῶν Φιλιππικῶν ὁ τοῦ πολέμου καὶ τῆς ὕβρεως, ὃν ὁ Φίλιππος διεξέρχεται πρὸς τοὺς αὐτοκράτορας τῶν Χαλκιδέων.*

## ΚΑ

a. 351/0

(F 274; 317; s. zu F 141)

128 (140) a) SCHOL. APOLL. Rhod. IV 308: *τὸ Ἰόνιον πέλαγος τῆς Ἰταλίας, εἰς ὃ ἐκδίδωσιν ὁ Ἀδρίας· διὸ καί τινες αὐτὸ Ἀδρίαν ὀνομά-*

5 ⟨τῆς⟩ τότε Wilamowitz 20 σιρρὰ RVP 21 κ RP η V 25 παρὰ R ταύτης V

ζουσιν. ὠνομάσθη δὲ ἀπὸ Ἰονίου τὸ γένος Ἰλλυριοῦ, ὥς φησιν Θεόπομπος ἐν εἰκοστῷ πρώτωι . . . . . τινὲς (Aischyl. Prom. 839) δὲ ἀπὸ τῆς γενομένης πλάνης τῆι Ἰοῖ. b) SCHOL. PIND. P III 120 c: τὸ Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν τὸ ὄνομα ἔλαβεν, ὡς μὲν ἔνιοι ἀπὸ Ἰοῦς· Θεόπομπος δὲ ἀπὸ Ἰονίου ἀνδρὸς Ἰλλυριοῦ· Ἀρχέμαχος (III) δὲ ἀπὸ τῶν ἀπολομένων ἐν αὐτῶι Ἰαόνων. c) SCHOL. LYKOPHR. 631: καὶ ὁ μὲν Λυκόφρων ἀπ' Ἰοῦς ὠνόμασεν αὐτό· Θεόπομπος δὲ καὶ ἄλλοι πολλοὶ ἀπ' Ἰονίου [Ἰοῦ] Ἰλλυρικοῦ τὸ γένος βασιλεύσαντος τῶν τόπων ἐκείνων | υἱοῦ Ἀδρίου τοῦ περὶ τοῦτο τὸ πέλαγος κτίσαντος πόλιν τὴν λεγομένην Ἀδρίαν, | ἣν Ἀδρίαν ἕτεροί φασιν ὑπὸ Διονυσίου τοῦ προτέρου . . . . κτισθῆναι.

*129 (140) STRABON VII 5, 9: τὸ μὲν οὖν στόμα κοινὸν ἀμφοῖν ἐστι, διαφέρει δὲ ὁ Ἰόνιος, διότι τοῦ πρώτου μέρους τῆς θαλάττης ταύτης ὄνομα τοῦτ' ἐστίν, ὁ δ' Ἀδρίας τῆς ἐντὸς μέχρι τοῦ μυχοῦ, νυνὶ δὲ καὶ τῆς συμπάσης. φησὶ δὲ ὁ Θεόπομπος τῶν ὀνομάτων τὸ μὲν ἥκειν ἀπὸ ἀνδρὸς ἡγησαμένου τῶν τόπων, ἐξ Ἴσσης τὸ γένος, τὸν Ἀδρίαν δὲ ποταμοῦ ἐπώνυμον γεγονέναι. στάδιοι δ' ἀπὸ τῶν Λιβυρνῶν ἐπὶ τὰ Κεραύνια μικρῶι πλείους ἢ δισχίλιοι. Θεόπομπος δὲ τὸν πάντα ἀπὸ τοῦ μυχοῦ πλοῦν ἡμερῶν ἓξ εἴρηκε, πεζῆι δὲ τὸ μῆκος τῆς Ἰλλυρίδος καὶ τριάκοντα· πλεονάζειν δέ μοι δοκεῖ. καὶ ἄλλα δ' οὐ πιστὰ λέγει, τό τε συντετρῆσθαι Νάρωνι, καὶ τὸ ἄμφω κατοπτεύεσθαι τὰ πελάγη ἀπό τινος ὄρους, καὶ τῶν νήσων τῶν Λιβυρνίδων τι⟨νὰς τοσαύτας εἶναι τὸ μέγε⟩θος, ὥστε κύκλον ἔχειν σταδίων καὶ πεντακοσίων, καὶ τὸ τὸν Ἴστρον ἐνὶ τῶν στομάτων εἰς τὸν Ἀδρίαν ἐμβάλλειν. τοιαῦτα δὲ καὶ τοῦ Ἐρατοσθένους (V) ἐνια παρακούσματά ἐστι λαοδογματικά, καθάπερ Πολύβιός φησι καὶ περὶ αὐτοῦ καὶ τῶν ἄλλων λέγων συγγραφέων.

*130 (140) [SCYMN.] Perieg. 369—390:

εἶτ' ἔστιν Ἀδριανὴ θάλαττα λεγομένη.
Θεόπομπος ἀναγράφει δὲ ταύτης τὴν θέσιν·
ὡς δὴ συνισθμίζουσα πρὸς τὴν Ποντικὴν
νήσους ἔχει ταῖς Κυκλάσιν ἐμφερεσιάτας,
τούτων δὲ τὰς μὲν λεγομένας Ἀψυρτίδας

---

3 ⟨ἐκεῖ⟩ γενομένης? 5 Ἰλλυρικοῦ BDQ 6 ἀπολομένων Drachmann ἀπολλομένων, ἀπολλυμένων Schol Ἰώνων Schol. Dion. Per. 94 7 Θεόπομπος Thryllitsch θέσπος, θέσος, δεύπος, αὐτόθεπος Schol 8 [Ἰοῦ] Ἰλλυριοῦ Scheer 16 Ἴσσης Tzschucke ἴσης AC ἵσ. B ποταμοῦ: πόλεως Casaubonus 21 ⟨τόν⟩ τε Corais [τε] Kramer 23 Λιβυρνίδων ⟨τοσοῦτον εἶναι τὸ μέ⟩γεθος Groskurd τι⟨νὰς τοσαύτας⟩ Jac τιθεὶς Str 26 παρακρούσματα Tzschucke λαοδογματικά Tyrwhit —τικῶς Str 30 Θ. ἀναγράφει δὲ edd θεόπεμπιος ἀναγράφῃ P

*Ἠλεκτρίδας τε, τὰς δὲ καὶ Λιβυρνίδας.*
*τὸν κόλπον ἱστοροῦσι τὸν Ἀδριατικὸν*
*τῶν βαρβάρων πλῆθός τι περιοικεῖν κύκλωι*
*ἑκατὸν σχεδὸν μυριάσι πεντήκοντά τε*
*χώραν ἀρίστην νεμομένων καὶ καρπίμην·*
*διὸ μιητοκεῖν γάρ φασι καὶ τὰ θρέμματα.*
*ἀὴρ διαλλάττων δὲ παρὰ τὸν Ποντικὸν*
*ἐστὶν ὑπὲρ αὐτούς, καίπερ ὄντας πλησίον·*
*οὐ γὰρ νιφετώδης οὐδ' ἄγαν ἐψυγμένος,*
*ὑγρὸς δὲ παντάπασι διὰ τέλους μένει,*
*ὀξὺς ταραχώδης ὢν τε πρὸς τὰς μεταβολάς,*
*μάλιστα τοῦ θέρους δέ, πρηστήρων τε καὶ*
*βολὰς κεραυνῶν τούς τε λεγομένους ἔχει*
*τυφῶνας. Ἐνετῶν δ' εἰσὶ πεντήκοντά που*
*πόλεις ἐν αὐτῶι κείμεναι πρὸς τῶι μυχῶι,*
*οὓς δὴ μετελθεῖν φασιν ἐκ τῆς Παφλαγόνων*
*χώρας κατοικῆσαί τε περὶ τὸν Ἀδρίαν.* s. F 274.

**131 (141)** STEPH. BYZ. s. *Λάδεστα ἢ Λάδεστον· μία τῶν Λιβυρνίδων νήσων· Θεόπομπος κα Φιλιππικῶν.*

**132 (142)** ATHEN. XII 32 p. 526 F—527 A: *κἀν τῆι πρώτηι δὲ πρὸς ταῖς εἴκοσι τῶν Φιλιππικῶν τὸ τῶν Ὀμβρικῶν φησιν ἔθνος — ἔστι δὲ περὶ τὸν Ἀδρίαν — ἐπιεικῶς εἶναι ἀβροδίαιτον παραπλησίως τε βιοτεύειν τοῖς Λυδοῖς χώραν τε ἔχειν ἀγαθήν, ὅθεν προελθεῖν εἰς εὐδαιμονίαν.*

**133 (145)** — XIV 62 p. 650 A: *Θεόπομπός τε ἐν εἰκοστῆι πρώτηι Φιλιππικῶν μνημονεύει αὐτῶν* (sc. *τῶν κοννάρων καὶ παλιούρων*).

**134 (146)** — VI 77 p. 261 AB: *καὶ περὶ Διονυσίου δὲ τὰ παραπλήσια* (wie über Philippos F 225) *ἱστορεῖ ἐν τῆι πρώτηι πρὸς ταῖς εἴκοσι· «Διονύσιος ὁ Σικελίας τύραννος τοὺς ἀποβάλλοντας τὰς οὐσίας εἰς μέθας καὶ κύβους καὶ τὴν τοιαύτην ἀκολασίαν· ἠβούλετο γὰρ ἅπαντας εἶναι διεφθαρμένους καὶ φαύλους· οὕς καὶ εὖ περιεῖπε.»*

**135 (147)** — XII 44 p. 532 F—533 A: *καίτοι ὁ πατὴρ αὐτῶν Πεισίστρατος μετρίως ἐχρῆτο ταῖς ἡδοναῖς· ὅς γε οὐδ' ἐν τοῖς χωρίοις οὐδ' ἐν τοῖς κήποις φύλακας καθίστα, ὡς Θεόπομπος ἱστορεῖ ἐν τῆι*

---

7 *παρὰ* edd *περὶ* P 8 *ὄντας* edd *ὄντα* P 11 *ὀξὺς δὲ* (Mueller *τε* Bernhardy) *ταραχ. τε πρός* Bernhardy 13 *ἔχει* CMueller *ἐκεῖ* P 31 *ἀκολασίαν* sc. *ἀνελάμβανε* Schweighäuser 32 *οὕς* ⟨*ἐφίλει*⟩ *καὶ* oder *ἀκολασίαν* (*ἠβούλετο γὰρ — φαύλους*) [*οὕς καὶ*] *εὖ περιεῖπε* Casaubonus 34 *ὅς γε* Meineke *ὥστε* AC 35 *καθίστα* Meineke *ἐφίστα* A *οὐδὲ τοῖς χ. οὐδὲ τοῖς κ. φ. ἐφίστα*?

*πρώτῃ καὶ εἰκοστῇ, ἀλλ' εἶα τὸν βουλόμενον εἰσιόντα ἀπολαύειν καὶ λαμβάνειν ὧν δεηθείη, ὅπερ ὕστερον ἐποίησε καὶ Κίμων μιμησάμενος ἐκεῖνον* (es folgt F 89).

136 (148) HARPOKR. SUID. s. *Λύκειον*· .... *ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ Λύκειον, ὃ Θεόπομπος μὲν ἐν τῇ* $\overline{α}$ *Πεισίστρατον ποιῆσαι, Φιλόχορος δ' ἐν τῇ* $\bar{δ}$ (III) *Περικλέους φησὶν ἐπιστατοῦντος αὐτὸ γενέσθαι.*

$\overline{ΚΒ}$

137 (153) STEPH. BYZ. s. *Ὁμάριον*· *πόλις Θετταλίας*· *Θεόπομπος Φιλιππικῶν* $\overline{κβ}$. *ἐν ταύτῃ τιμᾶται Ζεὺς καὶ Ἀθηνᾶ.* a. 346?

138 (154) — — s. *Σύμαιθα*· *πόλις Θετταλίας. ὁ πολίτης Συμαιθεύς, ὡς Θεόπομπος Φιλιππικῶν* $\overline{κβ}$.

139 (149) ATHEN. X 60 p. 442 E—F: *Θεόπομπος δ' ἐν τῇ δευτέραι καὶ εἰκοστῇ περὶ Χαλκιδέων ἱστορῶν τῶν ἐν Θράικηι φησίν*· «*ἐτύγχανον γὰρ τῶν μὲν βελτίστων ἐπιτηδευμάτων ὑπερορῶντες, ἐπὶ δὲ τοὺς πότους καὶ ῥαιθυμίαν καὶ πολλὴν ἀκολασίαν ὡρμηκότες ἐπιεικῶς.*» a. 349?

140 (151) HARPOKR. s. *Θέρμαν*· ..... *Θράικιον τοῦτό ἐστι πόλισμα, ὡς καὶ Θεόπομπος ἐν* $\overline{κβ}$ *φησίν.*

141 (150) STEPH. BYZ. s. *Χυτρόπολις*· *Θράικης χωρίον. Θεόπομπος Φιλιππικῶν εἰκοστῶι δευτέρωι*· «*παρῆλθεν εἰς Χυτρόπολιν χωρίον ἀπωικισμένον ἐξ Ἀφύτεως.*» *τὸ ἐθνικὸν ἐξῆς ἐπάγει*· «*εἰσδεξαμένων δὲ τῶν Χυτροπολιτῶν αὐτόν.*»

142 (152) — s. *Θέστωρος*· ... *πόλις Θράικης*· *Θεόπομπος* $\overline{κβ}$.

(F 177?) $\overline{ΚΓ}$ a. 349

143 (155) ATHEN. X 47 p. 436 BC: *ἐν δὲ τῇ τρίτηι καὶ εἰκοστῇ περὶ Χαριδήμου τοῦ Ὠρείτου διηγούμενος, ὃν Ἀθηναῖοι πολίτην ἐποιήσαντο, φησίν*· «*τήν τε γὰρ δίαιταν ἐωρᾶτο τὴν καθ' ἡμέραν ἀσελγῆ καὶ τοιαύτην ποιούμενος ὥστε πίνειν καὶ μεθύειν αἰεί, καὶ γυναῖκας ἐλευθέρας ἐτόλμα διαφθείρειν· καὶ εἰς τοσοῦτον προῆλθεν ἀκρασίας ὥστε μειράκιόν τι παρὰ τῆς βουλῆς τῆς τῶν Ὀλυνθίων αἰτεῖν*

---

5 $\overline{κα}$: κατὰ BC Ald *ἐν τῇι* $\overline{κα}$ om Suid 5—6 *Πεισίστρατον* Epit *πεισιστράτου*(ς) Harp 9 *Ἰταλίας* (und $\overline{κα}$) Meineke 10 $\overline{κβ}$ VP $\overline{κβ^{ῳ}}$ $R^2$ 21 *εἰς Χυτρόπολιν* Böhnecke *ἡ Χυτρόπολις* Steph 22 *χωρίον* R *χώρα* VP *ἀπωικισμένη* V 23 *εἰσδεξάμενον* R(?) *τῶν Χυτροπολιτῶν* Xylander *τὸν χυτροπολίτην* Steph

ἐπεχείρησεν, ὃ τὴν μὲν ὄψιν ἦν εὐειδὲς καὶ χαρίεν, ἐτύγχανε δὲ μετὰ Δέρδου τοῦ Μακεδόνος αἰχμάλωτον γεγενημένον.»

**144** (156) STEPH. BYZ. s. *Αἰόλειον· τῆς Θρᾴκης χερρονήσου πόλις. Θεόπομπος ἐν Φιλιππικῶν κγ· «† ἐπορεύθην εἰς πόλιν Αἰόλειον τῆς Βοττικῆς μὲν οὖσαν, πολιτευομένην δὲ μετὰ τῶν Χαλκιδέων.»*

**145** (157) — — s. *Βρέα· πόλις ⟨Θρᾴκης⟩, εἰς ἣν ἀποικίαν ἐστείλαντο Ἀθηναῖοι. τὸ ἐθνικὸν ἔδει Βριάτης. ἔστι δὲ Βρεαῖος παρὰ Θεοπόμπωι κγ.*

## ΚΔ

a. 349/8

(s. F 237? 387?)

**146** (158) STEPH. BYZ. s. *Βαίτιον· πόλις Μακεδονίας· Θεόπομπος κδ.*

**147** (165) — — s. *Ἄσστρα· οὐδετέρως· πόλις Χαλκιδέων. Θεόπομπος κδ.*

**148** (160) — — s. *Ἄρης· Ἄρητος .... χωρίον Εὐβοίας· Θεόπομπος κδ Φιλιππικῶν.*

**149** (163) — — s. *Δύστος· πόλις Εὐβοίας. Θεόπομπος ἐν Φιλιππικῶν κδ· «ἀποστήσας δὲ τοὺς ἐν αὐτῆι τῆι περιοικίδι τῶν Ἐρετριέων ἐστράτευσεν ἐπὶ πόλιν Δύστον.»*

**150** (161) — — s. *Ὄχωλον· χωρίον Ἐρετριέων· Θεόπομπος Φιλιππικῶν κδ.*

**151** (162) — — s. *Σκάβαλα· χωρίον Ἐρετριέων· Θεόπομπος κδ Φιλιππικῶν.*

## ΚΕ

(s. F 281? 285? 301. 306. 385?)

**152** (174) STEPH. BYZ. s. *Μίλκωρος· Χαλκιδικὴ πόλις ἐν Θρᾴκηι.* a. 348 *ὁ πολίτης Μιλκώριος. Θεόπομπος κε Φιλιππικῶν.*

**153** (167) THEON. Progym. 2 (II 67, 22 Sp): *παρὰ δὲ Θεοπόμπου ἐκ τῆς πέμπτης καὶ εἰκοστῆς τῶν Φιλιππικῶν, ὅτι ⟨ὁ⟩ Ἑλληνικὸς ὅρκος καταψεύδεται, ὃν Ἀθηναῖοι φασιν ὀμόσαι τοὺς Ἕλληνας πρὸ τῆς μάχης τῆς ἐν Πλαταιαῖς πρὸς τοὺς βαρβάρους, καὶ αἱ πρὸς βασιλέα [Δαρεῖον]*

---

4 *αἰώλιον* $R^1$ ($R^{1?}$) *αἰώλιον* VP 5 *Φιλιππικῶν* edd —οἷς RVP *ἐπορεύθη* Meineke *ἐπορεύθη⟨σα⟩ν*? *αἰόλιον* R 6 *Βοττικῆς* Meineke *Ἀττικῆς* Steph 8 *πόλις* om P ⟨*Θρᾴκης*⟩ Meineke 20 *περιοικίδι* Meineke *περιοικίαι* Steph (S) 24 *χωρίον*? Meineke *χώρα* Steph 28 dasselbe s. *Μιάκωρος* 31 ⟨*ὁ*⟩ Krueger 32 *κατέψευσται* Schwartz 33 ⟨*ὁμοίως δὲ*⟩ *καὶ*? [*Δαρεῖον*] Spengel

Ἀθηναίων [πρὸς Ἕλληνας] συνθῆκαι· ἔτι δὲ καὶ τὴν ἐν Μαραθῶνι μάχην οὐχ οἵαν ἅπαντες ὑμνοῦσι γεγενημένην, «καὶ ὅσα ἄλλα» φησίν «ἡ Ἀθηναίων πόλις ἀλαζονεύεται καὶ παρακρούεται τοὺς Ἕλληνας.»

154 (168) HARPOKR. s. Ἀττικοῖς γράμμασιν . . . . . Θεόπομπος δ' ἐν τῇι ιδ τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐ τοῖς Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι, ἀλλὰ τοῖς τῶν Ἰώνων.

*155 (169) PHOT. SUID. s. Σαμίων ὁ δῆμος· . . . . τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχῖνος [δ' Ἀθηναίοις] ἐπὶ ἄρχοντος Εὐκλείδου (403/2) . . . . περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. s. 76 F 66.

156 (—) SCHOL. V ARISTOPH. Vögel 556: καλεῖται δὲ ἱερὸς (sc. ὁ πόλεμος), ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο. ἱστορεῖ περὶ αὐτοῦ καὶ Θουκυδίδης (I 112, 5) καὶ Ἐρατοσθένης ἐν τῶι θ (241 F 38) καὶ Θεόπομπος ἐν τῶι ιε.

157 (176) HARPOKR. s. Ἠδύλειον· . . . . . ὄρος ἐστὶν ἐν Βοιωτίαι τὸ Ἠδύλειον, ὡς καὶ Θεόπομπος ἐν τῇι ιε φησίν. vgl. F 385. s. 347

158 (177) SCHOL. APOLL. RHOD. IV 973: φασὶν ὀρείχαλκον εἶδος χαλκοῦ, ἀπὸ Ὀρείου τινὸς γενομένου εὑρετοῦ ὠνομασμένον. Ἀριστοτέλης δὲ ἐν Τελεταῖς φησι (III) μηδὲ ὑπάρχειν τὸ ὄνομα μηδὲ τὸ τούτου εἶδος· τὸν γὰρ ὀρείχαλκον ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μέν, μὴ εἶναι δέ . . . . . ἄλλοι δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς Σωκράτης (III) καὶ Θεόπομπος ἐν εἰκοστῶι πέμπτωι. οὕτως ἦν ἐν τῇι Κωμικῇι λέξει τῇι συμμίκτωι.

(s. F 344). KF s. 347/8

159 (181) AMMON. De diff. verb. s. ἱερά· . . . . καὶ τὰ ξόανα, ὡς Θεόπομπος ἐν εἰκοστῇι ἕκτηι. s. F 344.

160 (180) STEPH. BYZ. s. Ἄπρος· θηλυκόν· πόλις Θράικης. Θεόπομπος ις· «τοῦ δ' Ἀντιπάτρου διατρίβοντος περὶ τὴν Ἄπρον.»

161 (175) HARPOKR. s. Δρῦς· . . . . πόλις ἐν Ἠπείρωι. ἔστι περὶ Ἑλλήνων?

1 [πρ. Ἕλλ.] Spengel Ἀθηναίων (καλλίονες ἢ βασιλέως) πρ. Ἕλλ. Schwartz 2 οἵαν ἅπαντες Schwartz ἅμα πάντες Theon 7 ἃς οὐ τοῖς: οὐ τοῖς N Ald οἷς οὐκ BF οἷς A ἐστηλίτευται ABF ἐστηλίτευσε N 10 Ἀρχῖνος [δ' Ἀθηναίοις] Bernhardy ἄρχειν οἱ δ' ἀθηναίους Phot Ἀρχίνου δ' Ἀθηναίου Suid Ἀρχῖνος ὁ Ἀθηναῖος Porson Dobree 22 ὀρείχαλκον, φησί, p 32 Δρῦς : Δρίσων Ald

δὲ καὶ ἑτέρα ἐν Θράικηι .... ταύτην Θεόπομπος ἐν ϗς φησὶν ὑπὸ Ἰφικράτους κατοικισθῆναι.

162 (178) ATHEN. VI 76 p. 260 BC: Θεόπομπος δ' ἐν ἕκτηι καὶ εἰκοστῆι Ἱστοριῶν «τοὺς Θεσσαλούς» φησίν «εἰδὼς ὁ Φίλιππος ἀκολάστους ὄντας καὶ περὶ τὸν βίον ἀσελγεῖς συνουσίας αὐτῶν κατεσκεύαζε καὶ πάντα τρόπον ἀρέσκειν αὐτοῖς ἐπειρᾶτο. καὶ γὰρ ὀρχούμενος καὶ κωμάζων καὶ πᾶσαν ἀκολασίαν ὑπομένων (ἦν δὲ καὶ φύσει βωμολόχος) καὶ καθ' ἡκάστην ἡμέραν μεθυσκόμενος καὶ χαίρων τῶν ἐπιτηδευμάτων τοῖς πρὸς ταῦτα συντείνουσι καὶ τῶν ἀνθρώπων τοῖς εὐφυέσι καλουμένοις καὶ τὰ γέλοια λέγουσι καὶ ποιοῦσι πλείους [τε] τῶν θετταλῶν τῶν αὐτῶι πλησιασάντων †ἠιρεῖτο μᾶλλον ἐν ταῖς συνουσίαις ἢ ταῖς δωρεαῖς.»

163 (179) — X 46 p. 435 A: καὶ Φίλιππος δ' ὁ τοῦ Ἀλεξάνδρου πατὴρ φιλοπάτης ἦν, ὡς ἱστορεῖ Θεόπομπος ἐν τῆι ἕκτηι καὶ εἰκοστῆι τῶν Ἱστοριῶν.

164 (—) DIDYM. i. Demosth. XIV 52: καταράτους εἶπε τοὺς Μεγαρέας, παρόσον δυσνόως εἶχον αὐτοὶ καὶ Βοιωτοὶ πρὸς Ἀθηναίους, καθάπερ ἐν τῆι ϗς Θεόπομπος ἀπομαρτυρεῖ, ἐν οἷς Φιλοκράτης ὁ δημαγωγὸς αὐτῶι παράγεται λέγων ταῦτα· «ἐνθυμεῖσθε τοίνυν, ὡς οὐδὲ καιρὸς οὐδεὶς ἐστι φιλονικεῖν οὐδὲ καλῶς ἔχειν τὰ πράγματα τῆς πόλεως, ἀλλὰ πολλοὶ καὶ μεγάλοι κίνδυνοι περιεστᾶσιν ἡμᾶς. ἐπιστάμεθα γὰρ Βοιωτοὺς καὶ Μεγαρεῖς δυσμενῶς ἡμῖν διακειμένους, Πελοποννησίων δὲ τοὺς μὲν Θηβαίοις, τοὺς δὲ Λακεδαιμονίοις τὸν νοῦν προσέχοντας, Χίους δὲ καὶ Ῥοδίους καὶ τοὺς τούτων συμμάχους πρὸς μὲν τὴν πόλιν ἐχθρῶς διακειμένους, Φιλίππωι δὲ περὶ φιλίας διαλεγομένους.»

165 (—) PAP. OX. 1012 C col. II 8: πά[λιν δὲ τῶν πο|τ]ε(?) παρὰ Φιλίππο[υ εἰς Ἀθήνας] | πρεσβευσάντων [οὐκ εἴρηκε (Demosth. XVIII 28)]| τὰ ὀνόματα· ἦσαν δ[ὲ Ἀντίπατρος] | καὶ Παρμενίων κ[αὶ Εὐρύλοχος(?)]. | ὡς ἱστορεῖ Θεόπομ[πος ἐν τῆι ϗ] | ἕ[κ]τηι τῶν Φιλιππικῶν.

---

7—12 ἐπειρᾶτο. καὶ γὰρ — (ἦν — βωμολόχος) — πλείους [τε] Jac 7 [γὰρ] Wilamowitz καὶ γὰρ om C 13 ἠιρεῖτο C ἤιρει κατακηλῶν o. ä. Wilamowitz 20 αὐτῶι Wilamowitz αυτοις P 21 ενθυμησθε P 21—22 οὔτε καιρὸς — οὔτε κ. ἔχει? Diels-Schubart 26 Θηβαίοις — Λακεδαιμονίοις Diels-Schubart —ους —ους P 30—38 v. 8—10 erg. Wilamowitz, 11—14 Grenfell-Hunt 33 ἐν τῆι ϗ| ἕκτηι Fuhr ἐν εἰκοστῆι] ἕκτηι?

ΚΖ

166 (—) DIDYM. i. Demosth. VIII 58: περὶ τοῦ τετρακόσια τάλαντα πρόσοδον ἔχειν τοὺς Ἀθηναίους κατὰ τοὺς Φιλίππου χρόνους καὶ Θεόπομπος ἐν τῇι ἑβδόμηι [καὶ εἰ]κοστῇι τῶν Περὶ Φίλιππον ἐπιμαρτυρεῖ, ἐν οἷς Ἀριστοφῶν ὁ δημαγωγὸς αὐτῶι παράγεται λέγων ταῦτα· «ἐνθυμεῖσθε δ' ὡς πάντων ἂν ποιήσαιμεν ἀνανδρότατον, εἰ τὴν εἰρήνην δεξαίμεθα παραχωρήσαντες Ἀμφιπόλεως, μεγίστην μὲν πόλιν τῶν Ἑλληνίδων οἰκοῦντες, πλείστους δὲ συμμάχους ἔχοντες, τριακοσίας δὲ τριήρεις κεκτημένοι καὶ σχεδὸν τετρακοσίων ταλάντων προσόδους λαμβάνοντες· ὧν ὑπαρχόντων τίς οὐκ ἂν ἡμῖν ἐπιτιμήσειεν, εἰ τὴν Μακεδόνων δύναμιν φοβηθέντες συγχωρήσαιμέν τι παρὰ τὸ δίκαιον.»

ΚΗ—ΚΘ

Λ

167 (185) HARPOKR. s. Κορσιαί . . . . . πόλις ἐστὶ τῆς Βοιωτίας Κορσιαί, ὡς Θεόπομπος ἐν τῇι Λ. a. 347/6

168 (186) — s. Πύλαι· . . . . ὅτι δέ τις ἐγίγνετο σύνοδος τῶν Ἀμφικτυόνων εἰς Πύλας Ὑπερείδης τε ἐν Ἐπιταφίωι (VI 18) καὶ Θεόπομπος ἐν τῇι Λ εἰρήκασιν.

169 (187) — s. ἱερομνήμονες· . . . . οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται, ὡς σαφὲς ποιεῖ Θεόπομπος ἐν τῇι Λ.

170 (188) ATHEN. VI 65 p. 254 F: διὸ καὶ Θετταλοὶ καλῶς ποιήσαντες κατέσκαψαν τὴν καλουμένην πόλιν Κολακείαν, ἣν Μηλιεῖς ἐνέμοντο, ὥς φησι Θεόπομπος ἐν τῇι τριακοστῇι.

(s. zu F 30; 189?)

ΛΑ

ΛΒ—ΛΓ

(F 41? 311? 357? 383? 384?) a. 346 ff.

171 (190) ATHEN. VI 101 p. 271 CD: περὶ δὲ τῶν παρὰ Λακεδαιμονίοις ἐπευνάκτων καλουμένων (δοῦλοι δ' εἰσὶ καὶ οὗτοι) σαφῶς ἐκτίθεται Θεόπομπος διὰ τῆς δευτέρας καὶ τριακοστῆς τῶν Ἱστοριῶν λέγων

5 παρ[α]γεται λεγ[ω]ν las Croenert

οὕτως· «ἀποθανόντων πολλῶν Λακεδαιμονίων ἐν τῶι πρὸς Μεσσηνίους πολέμωι οἱ περιλειφθέντες εὐλαβηθέντες μὴ καταφανεῖς γένωνται τοῖς ἐχθροῖς ἐρημωθέντες ἀνεβίβασαν τῶν εἱλώτων ἐφ' ἑκάστην στιβάδα τῶν τετελευτηκότων τινάς· οὓς καὶ πολίτας ὕστερον ποιήσαντες προσηγόρευσαν ἐπευνάκτους, ὅτι κατετάχθησαν ἀντὶ τῶν τετελευτηκότων ἐπὶ τὰς στιβάδας.»

172 (192) STEPH. BYZ. s. *Θαλάμαι· πόλις τῆς Μεσ⟨σ⟩ηνίας. Θεόπομπος λβ Φιλιππικῶν.*

173 (205) — — s. *Ἄσαί· κώμη Κορίνθου. Θεόπομπος λβ Φιλιππικῶν· «Ἄσαὶ καὶ Μαυσὸς κῶμαι μεγάλαι καὶ πολυάνθρωποι.»*

174 (193) — — s. *Μαυσύς· κώμη Κορίνθου. Θεόπομπος λβ.*

175 (194) — — s. *Νοστία· κώμη Ἀρκαδίας. Θεόπομπος λβ Φιλιππικῶν.*

176 (195) ATHEN. VI 101 p. 271 D: (F 171) *ὁ δ' αὐτὸς ἱστορεῖ κἀν τῆι τριακοστῆι καὶ τρίτηι τῶν Ἱστοριῶν παρὰ Σικυωνίοις κατωνακοφόρους καλεῖσθαι [δούλους] τινὰς παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις. τὰ παραπλήσια ἱστορεῖ καὶ Μέναιχμος ἐν τοῖς Σικυωνιακοῖς* (131 F 1). s. F 311?

177 (196) STEPH. BYZ. s. *Μελανδία· χώρα † Σικυωνίας. Θεόπομπος λγ Φιλιππικῶν.*

178 (197) SCHOL. ARISTOPH. Vögel 1013: *περὶ τῆς ἐν Λακεδαίμονι ξενηλασίας Θεόπομπός φησιν ἐν τῆι τρίτηι καὶ τριακοστῆι. — ποτὲ γὰρ ἐκεῖσε σιτοδείας γενομένης ξενηλασία γέγονεν, ὡς Θεόπομπος ἐν τῆι τριακοστῆι ς̄ φησίν.*

## ΛΔ

## ΛΕ

(s. zu F 370; 388; 389)

179 (198) ATHEN. IV 25 p. 144 F: *Θεόπομπος δ' ἐν τῆι τριακοστῆι καὶ πέμπτηι τῶν Ἱστοριῶν τὸν Παφλαγόνων φησὶ βασιλέα θῦν ἑκατὸν πάντα παρατίθεσθαι δειπνοῦντα ἐπὶ τὴν τράπεζαν ἀπὸ βοῶν ἀρξάμενον· καὶ ἀναχθέντα αἰχμάλωτον ὡς βασιλέα καὶ ἐν φυλακῆι ὄντα πάλιν τὰ αὐτὰ παρατίθεσθαι ζῶντα λαμπρῶς. διὸ καὶ ἀκούσαντα*

1—2 *ἐν τῶι πολέμωι τῶι πρὸς Μεσσ.* Kaibel 7 *ἐπὶ* Kaibel *εἰς* A 8 *Μεσ⟨σ⟩ηνίας* Meineke 10 *λβ* om R 17 *κατωνακοφόρους* edd *κατανακοφόρους* A C 18 [*δούλους*] Jac 20 *Σικυωνίας*: *Σιθωνίας* Pp (e coni. s. Xenoph. An. VII 2, 32) 21 *ϟγ* R *ϰγ* Jac 23 *ξεν. γέγονε* V 24 *σιτοδείας*: *σποδιᾶς* Ald Suid

*Ἀρταξέρξην εἰπεῖν ὅτι οὕτως αὐτῶι δοκοίη ζῆν ὡς ταχέως ἀπολούμενος.* — ATHEN. X 8 p. 415 D.

**180** (199) STEPH. BYZ. s. *Κατάνειρα· οὐδετέρως· πόλις* * *, ὡς Θεόπομπος λε Φιλιππικῶν.*

(F 291?) *ΛF*

— SCHOL. ARISTOPH. Vögel 1013: s. F 178.

*ΛZ*

(F 363?) *ΛΗ*

**181** (200) a) ATHEN. III 29 p. 85 AB: *τούτοις εἴ τις ἀπιστεῖ, μαθέτω καὶ παρὰ Θεοπόμπου τοῦ Χίου, ἀνδρὸς φιλαλήθους καὶ πολλὰ χρήματα καταναλώσαντος εἰς τὴν περὶ τῆς ἱστορίας ἐξέτασιν ἀκριβῆ. φησὶ γὰρ οὗτος ἐν τῆι ὀγδόηι καὶ τριακοστῆι τῶν Ἱστοριῶν περὶ Κλεάρχου διηγούμενος τοῦ Ἡρακλεωτῶν τῶν ἐν τῶι Πόντωι τυράννου, ὡς βιαίως ἀνήιρει πολλοὺς καὶ ὡς τοῖς πλείστοις ἐδίδου κώνειον πιεῖν· «ἐπειδὴ οὖν» φησί «πάντες ἔγνωσαν τὴν τοῦ φαρμάκου ταύτην φιλοτησίαν, οὐ προήιεσαν τῶν οἰκείων πρὶν φαγεῖν πήγανον.» τοῦτο γὰρ τοὺς προφαγόντας μηδὲν πάσχειν πίνοντας τὸ ἀκόνιτον· ὃ καὶ κληθῆναί φησι διὰ τὸ φύεσθαι ἐν τόπωι Ἀκόναις καλουμένωι ὄντι περὶ τὴν Ἡράκλειαν.* b) ANTIGON. Hist. mir. 119: *Θεόπομπος δέ φησιν ὁ ἱστοριογράφος τὸ καλούμενον ἀκόνιτον γίνεσθαι μὲν περὶ Ἡράκλειαν τὴν ἐν τῶι Πόντωι ταῖς ὀνομαζομέναις Ἀκόναις, ὅθεν καὶ τῆς προσηγορίας τετυχηκέναι, δυναμικὸν ἐναργῶς ὂν οὐκ ἐνεργεῖν οὐδέν, ἂν πίηι τις πήγανον ταύτην τὴν ἡμέραν· ὥστε Κλεάρχου τοῦ τυράννου πολλοὺς ἀποκτείναντος φαρμάκωι καὶ πειρωμένου λανθάνειν, ὡς ἐγένετο συμφανές, τοὺς πλείστους Ἡρακλεωτῶν οὐ πρότερον ἐξιέναι πρὸ τοῦ φαγεῖν πήγανον. γράφει δὲ καὶ τὴν πρόφασιν καὶ τὴν ἀρχὴν ἐξ ἧς ὤφθη σφόδρα μακρῶς, διὸ καὶ παρελείπομεν.* c) ANON. *π. ἰοβ. κ. ὀηλ. φαρμ.* (Rohde Rh. M. XXVIII 283): *τὸ ἀκόνιτον φύεται μὲν ἐν Ἀκόναις· λόφος δέ ἐστιν ἐν Ἡρακλείαι οὕτω καλούμενος Ἀκόναι, ὡς ἱστορεῖ Θεόπομπος καὶ Εὐφορίων ἐν τῶι Ξενίωι* (F 35 Scheidw).

**182** (203) STEPH. BYZ. s. *Οἰδάντιον· πόλις Ἰλλυριῶν. Θεόπομπος Φιλιππικῶν λη.*

---

3 steht zwischen *Καιάνη* und *Καταονία* Casaubonus —*ώτου* A * * Meineke 15 *Ἡρακλεωτῶν* Benseler 16 *κών(ε)ιον* A(C)E 17 *ταύτην* A *τούτου* CE 19 *μηδὲν πάσχειν ἐκ τοῦ κωνείου* Steph. Byz. s. *Ἀκόναι* [*οὖν*] 24 *ἐναργῶς?* 25 *Κλεάρχου* Mercurialis *ἀγαθάρχου* Ant

## ΛΘ—ΜΓ

a. 394/3 (?) — 343/2

(s. F 234? 283. 319? 331. 334. 335? 341. 355. 358? 365. 371? 382.)

183 (209) STEPH. BYZ. s. *Αἰθικία· .... Θεόπομπος ΛΘ Φιλιππικῶν.*

184 (—) DIOD. XVI 71, 3 (a. 344/3): *τῶν δὲ συγγραφέων Θεόπομπος ὁ Χῖος ἐν τῇι τῶν Φιλιππικῶν ἱστορίαι κατέταξε τρεῖς (?) βύβλους περιεχούσας Σικελικὰς πράξεις· ἀρξάμενος δὲ ἀπὸ τῆς τοῦ Διονυσίου τοῦ πρεσβυτέρου τυραννίδος διῆλθε χρόνον ἐτῶν πεντήκοντα καὶ κατέστρεψεν εἰς τὴν ἔκπτωσιν Διονυσίου τοῦ νεωτέρου (a. 344/3). εἰσὶ δὲ αἱ βύβλοι τρεῖς (?) ἀπὸ τῆς μιᾶς τεσσαρακοστῆς(?) ἄχρι τῆς τρίτης καὶ τεσσαρακοστῆς.*

185 (204) ATHEN. X 47 p. 435 F—436 A: *ἐν δὲ τῇι τριακοστῇι ἑνάτηι φησίν· «Ἀπολλοκράτης ὁ Διονυσίου τοῦ τυράννου υἱὸς ἀκόλαστος ἦν καὶ φιλοπότης· καὶ τῶν κολακευόντων τινὲς αὐτὸν παρεσκεύαζον ὡς ἔνι μάλιστα ἀλλοτριώτατα πρὸς τὸν πατέρα διακεῖσθαι.»*

*186 (204) — X 47 p. 436 A: *καὶ Ἱππαρῖνον δὲ τὸν Διονυσίου φησὶν ὑπὸ μέθης τυραννοῦντα ἀποσφαγῆναι.*

*187 (204) — X 47 p. 436 AB: *περὶ δὲ τοῦ Νυσαίου καὶ τάδε γράφει· «Νυσαῖος ὁ Διονυσίου τοῦ προτέρου υἱὸς κύριος τῶν ἐν Συρακούσαις γενόμενος πραγμάτων κατεσκευάσατο τέθριππον καὶ τὴν ἐσθῆτα τὴν ποικίλην ἀνέλαβεν, ἔτι δὲ καὶ τὴν ὀψοφαγίαν καὶ τὴν οἰνοφλυγίαν καὶ τὴν τῶν παίδων καὶ τὴν τῶν γυναικῶν ὕβριν καὶ [τὴν] τῶν ἄλλων ὅσα συντελῆ τούτοις πέφυκε, καὶ τὴν δίαιταν διῆγεν οὕτως.»*

188 (213) ATHEN. X 47 p. 435 EF: *ἔπινε δὲ πλεῖστον καὶ Νυσαῖος ὁ τυραννήσας Συρακοσίων καὶ Ἀπολλοκράτης· Διονυσίου δὲ τοῦ προτέρου οὗτοι υἱοί, ὡς ὁ Θεόπομπος ἱστορεῖ ἐν τῇι μ̄ καὶ τῇι ἑξῆς τῶν Ἱστοριῶν. γράφει δὲ οὕτως περὶ τοῦ Νυσαίου· «Νυσαῖος ὁ τυραννήσας ὕστερον Συρακουσίων ὥσπερ ἐπὶ θανάτωι συνειλημμένος καὶ προειδὼς ὅτι μῆνας ὀλίγους ἤμελλε ⟨ἐπι⟩βίωσεσθαι γαστριζόμενος καὶ μεθύων διῆγεν.»*

189 (206) STEPH. BYZ. s. *Μερούσιον· χωρίον ⟨Σικελίας⟩, ὡς Θεόπομπος Φιλιππικῶν ΛΘ. οἱ οἰκήτορες ὁμοίως Μερούσιοι· καὶ Μερόεσσα ἡ*

---

9 *πέντε ἀπὸ τῆς μιᾶς ⟨δεούσης⟩ τεσσ.?* 12 *Ἀπολλοκρ. — υἱός* worte des Athenaios 16 *Ιπαπαρῖνον* A 17 *τυραννοῦντα*: *παροινοῦντα* Meineke ('sed mutila oratio; cf. Parthen. 24') 19 *Νυσαῖος — υἱός* worte des Ath 23 [*τὴν*] Kaibel 24 *συντελῆ* Kaibel *συντελεῖ* A *πέφυκε ⟨ἐπιτήδευσιν⟩* Wilamowitz 31 *ἤμελε* A *ἐπιβιώσεσθαι* Meineke *βιώσεσθαι* A *βόσεσθαι* C 33 *⟨Σικελίας⟩* Berkel 34 *λα* R

Ἄρτεμις. ἀπέχει δὲ ὁ τόπος Συρακουσῶν στάδια ἑβδομήκοντα. τινὲς δὲ ἀπὸ Μερόης τῆς Αἰθιοπίας.

190 (207) STEPH. BYZ. s. Σιφωνία· πόλις Σικελίας. Θεόπομπος Φιλιππικῶν $\overline{\lambda\vartheta}$.

191 (210) — — s. Ὑδροῦς· φρούριον. ἀρσενικῶς. Θεόπομπος $\overline{\lambda\vartheta}$ Φιλιππικῶν.

192 (218) ATHEN. XII 51 p. 536 BC: ἐτρύφησεν δὲ καὶ Φάραξ ὁ [a. 356] Λακεδαιμόνιος, ὡς Θεόπομπος ἐν τῇι τεσσαρακοστῇι ἱστορεῖ· καὶ ταῖς ἡδοναῖς οὕτως ἀσελγῶς ἐχρήσατο καὶ χύδην ὥστε πολὺ μᾶλλον διὰ τὴν δίαιταν αὐτὸν ὑπολαμβάνεσθαι Σικελιώτην ἢ διὰ τὴν πατρίδα Σπαρτιάτην.

193 (219) — VI 20 p. 231 E—232 B: καὶ τὰ ἐν Δελφοῖς δὲ ἀναθήματα τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ὑπὸ πρώτου Γύγου τοῦ Λυδῶν βασιλέως ἀνετέθη· καὶ πρὸ τῆς τούτου βασιλείας ἀνάργυρος, ἔτι δὲ ἄχρυσος ἦν ὁ Πύθιος, ὡς Φαινίας τέ φησιν ὁ Ἐρέσιος (III) καὶ Θεόπομπος ἐν τῇι τεσσαρακοστῇι τῶν Φιλιππικῶν. ἱστοροῦσι γὰρ οὗτοι κοσμηθῆναι τὸ Πυθικὸν ἱερὸν ὑπό τε τοῦ Γύγου καὶ τοῦ μετὰ τοῦτον Κροίσου, μεθ' οὓς ὑπό τε Γέλωνος καὶ Ἱέρωνος τῶν Σικελιωτῶν, τοῦ μὲν τρίποδα καὶ Νίκην χρυσοῦ πεποιημένα ἀναθέντος καθ' οὓς χρόνους Ξέρξης ἐπεστράτευε τῇι Ἑλλάδι, τοῦ δ' Ἱέρωνος τὰ ὅμοια. λέγει δ' οὕτως ὁ Θεόπομπος· «ἦν γὰρ τὸ παλαιὸν τὸ ἱερὸν κεκοσμημένον χαλκοῖς ἀναθήμασιν, οὐκ ἀνδριᾶσιν, ἀλλὰ λέβησι καὶ τρίποσι χαλκοῦ πεποιημένοις. Λακεδαιμόνιοι ⟨μὲν⟩ οὖν χρυσῶσαι βουλόμενοι τὸ πρόσωπον τοῦ ἐν Ἀμύκλαις Ἀπόλλωνος καὶ οὐχ εὑρίσκοντες ἐν τῇι Ἑλλάδι χρυσίον πέμψαντες εἰς Θεοῦ ἐπηρώτων τὸν θεόν παρ' οὗ χρυσίον πορευθέντας ὠνεῖσθαι παρὰ Κροῖσον τὸν Λυδὸν θέντες [παρὰ Κροίσου] ὠνήσαντο. Ἱέρων δ' ὁ Συρακόσιος βουλόμενος ἀναθεῖναι τῶι θεῶι τὸν τρίποδα καὶ τὴν Νίκην ἐξ ἀπέφθου χρυσοῦ ἐπὶ πολὺν χρόνον ἀπορῶν χρυσίου ὕστερον ἔπεμψε τοὺς ἀναζητήσοντας εἰς τὴν Ἑλλάδα· οἵτινες μόλις ποτ' εἰς Κόρινθον ἀφικόμενοι καὶ ἐξιχνεύσαντες εὗρον παρ' Ἀρχιτέλει τῶι Κορινθίωι, ὃς πολλῶι χρόνωι συνωνούμενος κατὰ μικρὸν θησαυροὺς

---

5 φρούριον * * Meineke 9 διὰ τὴν δίαιταν P Maas BphW 1912, 1845 διὰ τὴν αἰτίαν ταύτην Ath 14 φανίας A 20 'oratio hiatibus frequens epitomatoris culpa' Kaibel 22 ⟨μὲν⟩ Kaibel 25 [εἰς θεοῦ] Meineke εἰς θεοὺς Fuhr [τὸν θεόν] Grenfell-Hunt 26 Κροῖσον τὸν Λυδόν Schweighäuser Κροίσου τοῦ Λυδοῦ Ath (Kaibel) 27 παρ' ἐκείνου om C del Kaibel 28 [παρὰ Κρ.] Jac Κροίσου? Grenfell-Hunt

εἶχεν οὐκ ὀλίγους. ἀπέδοτο γοῦν τοῖς παρὰ τοῦ Ἱέρωνος ⟨ὅσ⟩ον ἠβούλοντο, καὶ μετὰ ταῦτα πληρώσας καὶ τὴν ἑαυτοῦ χεῖρα ὅσον ἠδύνατο χωρῆσαι ἐπέδωκεν αὐτοῖς. ἀνʼ ὧν Ἱέρων πλοῖον σίτου καὶ ἄλλα πολλὰ δῶρα ἔπεμψεν ἐκ Σικελίας.»

194 (212) STEPH. BYZ. s. Δύμη· πόλις Ἀχαίας . . . ὁ πολίτης Δυμαῖος ..... Θεόπομπος μ̄· «προστάται δὲ τῆς πόλεως ἦσαν τῶν μὲν Συρακοσίων Ἄθηνις καὶ Ἡρακλείδης, τῶν δὲ μισθοφόρων Ἀρχέλαος ὁ Δυμαῖος.» a. 356/5

195 (226) — — s. Ἐλευθερίς· πόλις Βοιωτίας, Ὠρωποῦ πλησίον, Κόθου καὶ Ἀίκλου ⟨κτίσμα⟩. Θεόπομπος μ̄ (?).

196 (214) — — s. Ταλαρία· πόλις Συρακοσίων. Θεόπομπος ἐν Φιλιππικῶν μ̄.

197 (220) STEPH. BYZ. s. Ἄππος· νῆσος † Ἐρετρίας. Θεόπομπος μβ̄. ἔστι καὶ πόλις Σικελίας.

198 (250) — — s. Μίσκερα· πόλις Σικανίας. Θεόπομπος μβ̄ Φιλιππικῶν.

199 (225) STEPH. BYZ. s. Ξηρά· πόλις περὶ τὰς Ἡρακλείους στήλας. Θεόπομπος μγ̄.

200 (224) — — s. Μασσία· χώρα παρακειμένη τοῖς Ταρτησσίοις. τὸ ἐθνικὸν Μασσιανός. Θεόπομπος μγ̄.

201 (242) — — s. Τλῆτες· ἔθνος Ἰβηρικὸν περιοικοῦν τοὺς Ταρτησσίους. Θεόπομπος μγ̄.

202 (223) — — s. Δριλίωνιος· πόλις μεγάλη, ἐσχάτη τῶν Κελτικῶν. τὸ ἐθνικὸν Δριλιώνιος, ὡς Θεόπομπος μγ̄.

203 (221a) a) — — s. Ἰψίκουροι· ἔθνος Λιγυστικόν. Θεόπομπος μγ̄· «ἣν ἐνέμοντο πρότερον Ἰψίκουροι καὶ Ἀρβαξανοὶ καὶ Εὔβιοι, Λίγυες τὸ γένος.» b) — s. Ἀρβαξανοί· ἔθνος Λιγυστικόν. ⟨Θεόπομπος⟩· «παρέπλεον δὲ τὴν χώραν τὴν μὲν πρώτην ἔρημον, ἣν ἐνέμοντο ⟨πρότερον⟩ Ἰψίκο⟨υ⟩ροι καὶ Ἀρβαξανοί.»

204 (222) ATHEN. XII 14 p. 517 D—518 B: Θεόπομπος δὲ ἐν τῇ τεσσαρακοστῇ τρίτῃ τῶν Ἱστοριῶν καὶ νόμον εἶναί φησιν παρὰ τοῖς

---

2 ὅσον Casaubonus ὃν Ath 11 Ἀίκλου Berkel, Meineke ἐγκλέου Steph ⟨κτίσμα⟩ Berkel μ̄ RV μγ̄ P 12 συρακοσσίων R συρακουσ(σ)ίων (V?) P 14 Ἐρυθραίας Vossius 18 Ξήρα Meineke 19 μη̄ R 20 παρακειμένη ταρτησίοις Steph 22 Τλῆτες: περικειμένη? Meineke ἀποκειμένη Steph richtig Γλῆτες 31 F 2 23 ταρτησίους R ταρτεσσίους V μγ̄ Wichers με̄ Steph 27 ὑψίκουροι RV 27—28 ἀρβάξανοι V ἀρβάζανοι P 28 Εὔβιοι Berkel Holste εὔβοιοι Steph Λίγυες Xylander λίβυες Steph ἀρβαζανοί R 30 ⟨πρότερον⟩ Meineke ὑψίκοροι R ἰψίκοροι V P ἀρβαζανοί R

Τυρρηνοῖς κοινὰς ὑπάρχειν τὰς γυναῖκας. ταύτας δ' ἐπιμελεῖσθαι σφύδρα τῶν σωμάτων καὶ γυμνάζεσθαι πολλάκις καὶ μετ' ἀνδρῶν, ἐνίοτε δὲ καὶ πρὸς ἑαυτάς· οὐ γὰρ αἰσχρὸν εἶναι αὐταῖς φαίνεσθαι γυμναῖς. δειπνεῖν δὲ αὐτὰς οὐ παρὰ τοῖς ἀνδράσι τοῖς ἑαυτῶν, ἀλλὰ παρ' οἷς ἂν τύχωσι τῶν παρόντων, καὶ προπίνουσιν οἷς ἂν βουληθῶσιν. εἶναι δὲ καὶ πιεῖν δεινὰς καὶ τὰς ὄψεις πάνυ καλάς. τρέφειν δὲ τοὺς Τυρρηνοὺς πάντα τὰ γινόμενα παιδία, οὐκ εἰδότας ὅτου πατρός ἐστιν ἕκαστον. «ζῶσι δὲ καὶ οὗτοι τὸν αὐτὸν τρόπον τοῖς θρεψαμένοις, πότους τὰ πολλὰ ποιούμενοι καὶ πλησιάζοντες ταῖς γυναιξὶν ἁπάσαις. οὐδὲν δ' αἰσχρόν ἐστι Τυρρηνοῖς οὐ μόνον αὐτοὺς ἐν τῷι μέσωι τι ποιοῦντας, ἀλλ' οὐδὲ πάσχοντας ⟨φαίνεσθαι⟩· ἐπιχώριον γὰρ καὶ τοῦτο παρ' αὐτοῖς ἐστι. καὶ τοσούτου δέουσιν αἰσχρὸν ὑπολαμβάνειν ὥστε καὶ λέγουσιν, ὅταν ὁ μὲν δεσπότης τῆς οἰκίας ἀφροδισιάζηται, ζητῆι δέ τις αὐτόν, ὅτι πάσχει τὸ καὶ τύ, προσαγορέοντες αἰσχρῶς τὸ πρᾶγμα. ἐπειδὰν δὲ συνουσιάζωσι καθ' ἑταιρίας ἢ κατὰ συγγενείας, ποιοῦσιν οὕτως· πρῶτον μὲν ὅταν παύσωνται πίνοντες καὶ μέλλωσι καθεύδειν, εἰσάγουσι παρ' αὐτοὺς οἱ διάκονοι τῶν πάνυ καλούς, ὁτὲ μὲν ἑταίρας, ὁτὲ δὲ παῖδας λαύσωσιν, αὖθις αὐτοῖς ⟨εἰσάγουσιν⟩ νεανίσκους ἀκμάζουσιν δὲ καὶ ποιοῦνται τὰς συνουσίας ὁτὲ μὲν ὁρῶντες ἀλλήλους, ὡς δὲ τὰ πολλὰ καλύβας περιβάλλοντες περὶ τὰς κλίνας, αἳ πεπλεγμέναι ⟨μέν⟩ εἰσιν ἐκ ῥάβδων, ἐπιβέβληται δ' ἄνωθεν ἱμάτια. καὶ πλησιάζουσι μὲν σφόδρα καὶ ταῖς γυναιξί, πολὺ μέντοι γε ⟨μᾶλλον⟩ χαίρουσι συνόντες τοῖς παισὶ καὶ τοῖς μειρακίοις· καὶ γὰρ γίνονται παρ' αὐτοῖς πάνυ καλοὶ τὰς ὄψεις, ἅτε τρυφερῶς διαιτώμενοι καὶ λεαινόμενοι τὰ σώματα. πάντες δὲ οἱ πρὸς ἑσπέραν οἰκοῦντες βάρβαροι πιττοῦνται καὶ ξυροῦνται τὰ σώματα· καὶ παρά γε τοῖς Τυρρηνοῖς ἐργαστήρια κατεσκεύασται πολλὰ καὶ τέχνῖται τούτου τοῦ πράγματός εἰσιν, ὥσπερ παρ' ἡμῖν οἱ κουρεῖς· παρ'

4—5 τύχωσι, καὶ τῶν παρόντων προπίνουσιν Dobree 8 ταῖς θρεψαμέναις E 12 ⟨φαίνεσθαι⟩ Musurus 15—16 προσαγορεύοντες Kaibel —εὐσαντες A Kaibel 22 ⟨εἰσάγουσιν⟩ Jac [αὐτοῖς] Dindorf 23 αὐτοὶ ἐκείνοις Kaibel 26 ⟨μὲν⟩ Meineke 26—27 ἐπιβέβληται Meineke περιβέβληται A 28 πολὺ ⟨μᾶλλον⟩ Meineke πολὺ (γε) μέντοι ⟨μᾶλλον⟩ Kaibel

οὓς ὅταν εἰσέλθωσιν, παρέχουσιν ἑαυτοὺς πάντα τρόπον, οὐθὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας.» χρῶνται δὲ τούτωι τῶι νόμωι πολλοὶ καὶ τῶν Ἑλλήνων [καὶ] τῶν τὴν Ἰταλίαν οἰκούντων, μαθόντες παρὰ Σαυνιτῶν καὶ Μεσαπίων.

205 (221 b) CLEM. ALEX. Strom. I 21, 117, 8—9 p. 74, 14 Stä: ναὶ μὴν Θεόπομπος μὲν ἐν τῆι τεσσαρακοστῆι τρίτηι τῶν Φιλιππικῶν μετὰ ἔτη πεντακόσια τῶν ἐπὶ Ἰλίωι στρατευσάντων γεγονέναι τὸν Ὅμηρον ἱστορεῖ. Εὐφορίων δ' ἐν τῶι περὶ Ἀλεναδῶν (IV) κατὰ Γύγην αὐτὸν τίθησι γεγονέναι, ὃς βασιλεύειν ἤρξατο ἀπὸ τῆς ὀκτωκαιδεκάτης ὀλυμπιάδος (708/4) ὃν καί φησι πρῶτον ὠνομάσθαι τύραννον.

206 (228) HARPOKR. s. Ἐλάτεια· Δημοσθένης ὑπὲρ Κτησιφῶντος (XVIII 143 δ.). πόλις δὲ ἦν μεγίστη τῶν ἐν Φωκεῦσι. τοῦ δὲ ῥήτορος πάλιν ἐν ξ Φιλιππικῶν (32), εἰ γνήσιος, τάδε 'ἐν Κασσωπίαι τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχετα καὶ Ἐλάτειαν', ῥητέον ὅτι βέλτιον ἐν ἑνίοις γέγραπται διὰ τοῦ ϱ Ἐλάτρεια· Θεόπομπος γοῦν ἐν μγ τέτταρας πόλεις φησὶν εἶναι τῶν Κασσωπαίων . . . . Ἐλάτρειάν τε καὶ Πανδοσίαν καὶ Βιτίαν καὶ Βούχετα. s. F 382. a. 343/2

207 (49) HARPOKR. s. Πανδοσία· Δημοσθένης Φιλιππικοῖς (VII 32). περὶ τῆς ἁλώσεως τῶν ἐν Κασσωπίαι πόλεων, ὧν ἐστι καὶ Πανδοσία, Θεόπομπος ἐν ⟨μ⟩γ ἱστόρηκεν.

## ΜΔ

208 (234) HARPOKR. s. τετραρχία· Δημοσθένης Φιλιππικοῖς (IX 26). τεττάρων μερῶν ὄντων τῆς Θετταλίας ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο, καθά φησιν Ἑλλάνικος ἐν τοῖς Θετταλικοῖς (4 F 52) . . . . . καὶ Ἀριστοτέλης δὲ ἐν τῆι κοινῆι Θετταλῶν Πολιτείαι (III) ἐπὶ Ἀλεύα τοῦ πυρροῦ διηιρῆσθαί φησιν εἰς δ μοίρας τὴν Θετταλίαν. . . . . ὅτι δὲ Φίλιππος καθ' ἑκάστην τούτων τῶν μοιρῶν ἄρχοντα κατέστησε δεδηλώκασιν ἄλλοι τε καὶ Θεόπομπος ἐν τῆι μδ. a. 344

209 (235) ATHEN. VI 55 p. 249 C: Φίλιππον δέ φησι Θεόπομπος

---

2 ὁρῶντας: παρόντας Kaibel 3 [καὶ] Schweighäuser 4 μεσαπίων AE 6 ἐν τῆι τεσσ. τρίτηι Hervet ἔτη τεσσαρακοντατρία L 8 Ἀλεναδῶν CMueller ἁλιαδων L 13 Κασσωπίαι Dem κασσωπείαι, κα(σ)σιεπείαι Harp 14 Πανδοσίαν — Ἐλάτειαν Ald πανδοσία — ἐλάτεια Harp Βούχετα Maussac βούκετα Harp Βούχεταν Ald Βούχεταν Dem 15 ἐλάτρια A Ald 16 Κασσωπαίων edd κασ(σ)ιεπέων, κασσωπέων Harp ἐλάτριαν N Ald (F 382) 17 Βατίαν? Grenfell-Hunt (s. F 382) Βούχετα edd βούκεταν Harp 19 κασωπίαι Epit κασ(σ)ωπείαι, κασεπείαι Harp 20 ⟨μ⟩γ Schaefer 25 Ἄλευα τοῦ Epit ἁλιέα τὸν, ἁλιέως τοῦ Harp 26 πυρροῦ Buttmann πύρρον, πύρρου Harp

ἐν τῇι τετάρτηι καὶ τεσσαρακοστῆι τῶν Ἱστοριῶν Θρασυδαῖον τὸν Θεσσαλὸν (F 328) κατασῆσαι τῶν ὁμοεθνῶν τύραννον, μικρὸν μὲν ὄντα τὴν γνώμην, κόλακα δὲ μέγιστον.

ΜΕ

(s. F 201).

**210** (236) ATHEN. X 47 p. 436 B: ἐν δὲ τῇι τεσσαρακοστῇι πέμπτηι ὁ αὐτὸς περὶ Τιμολάου λέγων τοῦ Θηβαίου φησίν· «οὐκ ὀλίγων γὰρ ἤδη γενομένων ἀσελγῶν περὶ τὸν βίον τὸν καθ' ἡμέραν καὶ τοὺς πότους οὐδένα νομίζω τῶν ἐν ταῖς πολιτείαις ὄντων οὔτ' ἀκρατέστερον οὔτε λιχνότερον οὔτε δοῦλον γεγονέναι μᾶλλον τῶν ἡδονῶν, εἰ μή, ὥσπερ εἶπον, Τιμόλαον.» a 344,1

**211** (237) STEPH. BYZ. s. *Χαλία*· πόλις Βοιωτίας. Θεόπομπος με· «τὴν δὲ Χαλίαν καὶ τὴν καλουμένην Ὑρίαν, ἥπερ ἐστὶν ἐφεξῆς ἐκείνης, τῆς Βοιωτίας.»

***212** (237) — — s. *Χαλία*· .... τὸ ἐθνικὸν Χάλιος ὁ αὐτός· «ὕστερον δὲ οἱ Χαλκιδεῖς πολεμήσαντες Αἰολεῦσι τοῖς τὴν ἤπειρον ἔχουσι Χαλίοις καὶ Βοιωτοῖς καὶ Ὀρχομενίοις καὶ Θηβαίοις.»

**213** (238) ATHEN. XII 43 p. 532 B—D: καὶ περὶ τοῦ Χάρητος ἐν τῇι πέμπτηι καὶ τεσσαρακοστῆι φησιν· «Χάρητός τε νωθροῦ τε ὄντος καὶ βραδέος, καίτοι γε καὶ πρὸς τρυφὴν ἤδη ζῶντος· ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας, καὶ τῶν χρημάτων τῶν εἰσφερομένων εἰς τὸν πόλεμον τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ' αὐτοῦ κατέλειπεν Ἀθήνησιν τοῖς τῶν τοῖς δικαζομένοις. ἐφ' οἷς ὁ δῆμος ὁ τῶν Ἀθηναίων οὐδεπώποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν. καὶ δικαίως· καὶ γὰρ αὐτοὶ αὐλητριδίοις [καὶ] παρὰ ταῖς ἑταίραις διατρίβειν, τοὺς δὲ μικρὸν ἐκείνων πρεσβυτέρους ἐν πότοις ⟨καὶ⟩ κύβοις a 343,3

2 μικρόν: μιαρόν Casaubonus 18 ⟨καὶ⟩ Χαλίοις O Mueller χαλκείοις R Βοιωτεῖς οἱ R¹ 'in quo aliud quid latere videtur quam Βοιωτοῖς' Meineke 22 καί τι καὶ πρός Wilamowitz 26 κατέλειπεν Cobet κατέλιπεν A E 29 μᾶλλον: μάλιστ' Kaibel 30 ἠγάπων οἱ πολῖται E τῶν ⟨μειρίων⟩ πολιτῶν Wilamowitz 32 [καὶ] om E σὺν ταῖς αὐλ. παρὰ τ. ἑ.? Kaibel 33 ⟨καὶ⟩ Kaibel ἐν κύβοις A ἐν κύβοις E

καὶ ταῖς τοιαύταις ἀσωτίαις, τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας ἢπερ εἰς τὴν τῆς πόλεως διοίκησιν.»

214 (173) STEPH. BYZ. s. Ζηράνιοι· ἔθνος Θράικης. Θεόπομπος με.

— — — s. Τλῆτες: s. F 201.

*ΜF*

(F 291?)

215 (243) ATHEN. IV 31 p. 149 D: Θεόπομπος δ' ἐν τῇ ἕκτῃ καὶ τεσσαρακοστῇ τῶν Φιλιππικῶν «οἱ Ἀρκάδες» φησὶν «ἐν ταῖς ἑστιάσεσιν ὑποδέχονται τοὺς δεσπότας καὶ τοὺς δούλους καὶ μίαν πᾶσι τράπεζαν παρασκευάζουσι καὶ τὰ σιτία ⟨ταὐτὰ⟩ πᾶσιν εἰς τὸ μέσον παρατιθέασι καὶ κρατῆρα τὸν αὐτὸν πᾶσι κιρνᾶσι.»

216 (244) — XIV 24 p. 627 DE: Θεόπομπος δ' ἐν τεσσαρακοστῇ ἕκτῃ τῶν Ἱστοριῶν «Γέται» φησί «κιθάρας ἔχοντες καὶ κιθαρίζοντες τὰς ἐπικηρυκείας ποιοῦνται.» a. 342

*ΜΖ—ΜΘ*

(s. F 292. 360?)

217 (—) PAP. RYLAND I 19: [τάδε ἔνεστι]ν ἐν τῇι ἐβδόμ[ηι καὶ τεσσαρακο]στῇι τῶν Θεοπόμ[που Φιλιπ]πικῶν· [τοῦ πρὸς Φίλι]ππον πολέμου [Ἀθηναίοι]ς ἀρχή· καὶ Περίν[θου καὶ Βυζα]ντίο[υ πολιο]ρ[κία] * * * ‖ Θραικῶν τῶν Τετρ[αχωριτῶν] καλουμένων· Ἀγγισσοῦ Θραικίας [πόλεως ὑ]π' Ἀντιπάτρου κα[τὰ κράτος ἁ]λωσις· Ἀντιπάτρωι κα[ὶ] Παρ[μενίωνι] περὶ τοὺς Τετραχωρ[ίτας οὐσι ἃ ἔγρ]α[ψε] Φίλιππ[ος . . . . . .] των [. . . . . ]ταν * * * a. 340/39

218 (245) STEPH. BYZ. s. Ἀγησσός· πόλις Θράικης, ὡς Θεόπομπος ἐν μζ.

219 (247) — — s. Ἄστακός· πόλις Βιθυνίας . . . ἔστι καὶ χώρα Βυζαντίων, ὡς Θεόπομπος ἐν μζ.

220 (246) HARPOKR. s. Καβύλη· Δημοσθένης ἐν η Φιλιππικῶν (VIII 44). χωρίον ἐστὶ τῆς Θράικης, ὡς φησι Θεόπομπός τε ἐν μζ καὶ Ἀναξιμένης ἐν η Φιλιππικῶν (72 F 12). a. 340/39

5 κε Ald edd 13 ⟨ταὐτὰ⟩ Jac καὶ τα⟨ὐτὰ⟩ σιτία Kaibel 20—26 erg. Grenfell-Hunt 22 πολιορ[κία ὑπὸ Φιλίππου Hunt πολιορ[κηθέντων Bilabel 23 [ἀπόστασις] Θραικῶν Hunt 25 ἔγραψε Bilabel 27 Ἀγησσός (steht zwischen Ἀγγελή und Ἄγιον): Ἀγγισσός (F 217) Grenfell-Hunt *Agassae* Livius XLIV 7, 5; XLV 27, 1 29—30 von Berkel auf vorausgehendes Ἀσταί, ἔθνος Θράικης bezogen; danach Meineke: τὸ κτητικὸν Ἀστικός· καὶ Ἀστικὴ [ἔστι καὶ] χώρα B., ὡς θ.

**221 (248)** STEPH. BYZ. s. *Δανθαλῆται· ἔθνος Θρακικόν. Θεόπομπος* $\overline{\mu\eta}$.

**222 (—)** DIDYM. i. Demosth. IX 43: *δύο Ἀριστομήδεις εἰσίν, [ἕτερος μὲν] ὁ Φεραῖος ὁ συμπολεμῶν τοῖς [βα]σιλ[έως] στρα[τη]γοῖς Φιλίππωι, περὶ [οὗ] ἄλ[λοι] τε καὶ αὐτὸς [ὁ] Φίλιππος ἐν τῆι πρὸς Ἀθηναίους ἐπιστολῆι διείλεκται καὶ Θεό[πομπος] ἐν τῆι* $\overline{\eta}$ *καὶ* $\overline{\mu}$ *τῶν Περὶ Φίλιππον. τῶι Ἀλεξάνδρωι δὲ περὶ Κιλικίαν ἀντιταξάμενος σὺν Δαρείωι εἰς Κύπρον διέδρα, καθά φησιν Ἀναξιμένης ἐν τῆι † Θ̄ τῶν Περὶ Ἀλέξανδρον* (72 F 17).

**223 (IV 645)** STEPH. BYZ. s. *Μελανοφάγοι· ἔθνος Θράικης. Ξενοφῶν ἐν Ἀναβάσεως* $\overline{\zeta}$ (5, 7) *καὶ Θεόπομπος ἐν τῶι* $\overline{\mu\Theta}$.

**224 (249)** ATHEN. IV 62 p. 166 F—167 C: *περὶ δὲ τῆς ἀσωτίας καὶ τοῦ βίου Φιλίππου καὶ τῶν ἑταίρων αὐτοῦ ἐν τῆι* $\overline{\mu\Theta}$ *τῶν Ἱστοριῶν ὁ Θεόπομπος τάδε γράφει· «Φίλιππος ἐπεὶ ἐγκρατὴς πολλῶν ἐγένετο χρημάτων, οὐκ ἀνάλωσεν αὐτὰ ταχέως, ἀλλ' ἐξέβαλε καὶ ἔρριψε, πάντων ἀνθρώπων κάκιστος ὢν οἰκονόμος οὐ μόνον αὐτός, ἀλλὰ καὶ οἱ περὶ αὐτόν· ἁπλῶς γὰρ οὐδεὶς αὐτῶν ἠπίστατο ζῆν ὀρθῶς οὐδὲ σωφρόνως οἰκεῖν οἰκίαν. τοῦ δ' αὐτὸς αἴτιος ἦν ἄπληστος καὶ πολυτελὴς ὤν, προχείρως ἅπαντα ποιῶν καὶ κτώμενος καὶ διδούς. στρατιώτης γὰρ ὢν λογίζεσθαι τὰ προσιόντα καὶ τἀναλισκόμενα δι' ἀσχολίαν οὐκ ἠδύνατο. ἔπειτα δ' οἱ ἑταῖροι αὐτοῦ ἐκ πολλῶν τόπων ἦσαν συνερρυηκότες· οἱ μὲν γὰρ ἐξ αὐτῆς τῆς χώρας, οἱ δὲ ἐκ Θετταλίας, οἱ δὲ ἐκ τῆς ἄλλης Ἑλλάδος, οὐκ ἀριτοῖς βαρβάροις λάσταυρος ἢ βδελυρὸς ἢ θρασὺς τὸν τρόπον, οὗτοι σχεδὸν ἅπαντες εἰς Μακεδονίαν ἀθροισθέντες ἑταῖροι Φιλίππου προσηγορεύοντο. εἰ δὲ καὶ μὴ τοιοῦτός τις ⟨ὢν⟩ ἐλήλυθει, ὑπὸ τοῦ βίου καὶ τῆς διαίτης τῆς Μακεδονικῆς ταχέως ἐκείνοις ὅμοιος ἐγίνετο. τὰ μὲν γὰρ οἱ πόλεμοι καὶ αἱ στρατεῖαι, ⟨τὰ δὲ⟩ καὶ αἱ πολυτέλειαι θρασεῖς αὐτοὺς εἶναι προετρέποντο καὶ ζῆν μὴ κοσμίως ἀλλ' ἀσώτως καὶ τοῖς ληισταῖς παραπλησίως.»

1 *δαθαλῆται* B *δαιθαλῆται* V *δαιδαλῆται* P 3—6 erg. Diels-Schubart 8 $\overline{\theta}$: $\overline{\tau}$ Jac $\overline{\beta}$ Koerte 19 *τοῦ*: *τούτου* Dobree 23 *αὐτοῦ ἑκ*: 'hiatus vitiosus' Kaibel 25—26 *ἀριστήδην* A 29—30 *καὶ μὴ* C *μὴ καὶ* A 32 ⟨*τὰ δὲ*⟩ Villebrun 30 ⟨*ὢν*⟩ Meineke

225 (249) a) POLYB. VIII 11, 5—13: (F 27) εἰ δέ τις ἀναγνῶναι βουληθείη τὴν ἀρχὴν τῆς ἐνάτης καὶ τετταρακοστῆς αὐτῶι βύβλου, παντάπασιν ἂν θαυμάσαι τὴν ἀτοπίαν τοῦ συγγραφέως, ὅς γε χωρὶς τῶν ἄλλων τετόλμηκε καὶ ταῦτα λέγειν — αὐταῖς γὰρ λέξεσιν αἷς ἐκεῖνος κέχρηται κατατετάχαμεν· «εἰ γάρ τις ἦν ἐν τοῖς Ἕλλησιν ἢ τοῖς βαρβάροις» φησὶ «λάσταυρος ἢ θρασὺς τὸν τρόπον, οὗτοι πάντες εἰς Μακεδονίαν ἀθροιζόμενοι πρὸς Φίλιππον ἑταῖροι τοῦ βασιλέως προσηγορεύοντο (= F 224). καθόλου γὰρ ὁ Φίλιππος τοὺς μὲν κοσμίους τοῖς ἤθεσι καὶ τῶν ἰδίων βίων ἐπιμελουμένους ἀπεδοκίμαζε, τοὺς δὲ πολυτελεῖς καὶ ζῶντας ἐν μέθαις καὶ κύβοις ἐτίμα καὶ προῆγεν. τοιγαρ⟨οῦν⟩ οὐ μόνον ταῦτ' ἔχειν αὐτοὺς παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς ἐποίησεν. τί γὰρ τῶν αἰσχρῶν ἢ δεινῶν αὐτοῖς οὐ προσῆν, ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν; ὧν οἱ μὲν ξυρόμενοι καὶ λεαινόμενοι διετέλουν ἄνδρες ὄντες, οἱ δ' ἀλλήλοις

b) ATHEN. VI 77 p. 260 D—261 A: ἱστορεῖ δὲ περὶ ἑκατέρου (sc. Διονυσίου καὶ Φιλίππου) Θεόπομπος ἐν μὲν τῆι ἑνάτηι καὶ τεσσαρακοστῆι γράφων οὕτως·

«Φίλιππος τοὺς μὲν κοσμίους τὰ ἤθη καὶ τοὺς τῶν ἰδίων ἐπιμελουμένους ἀπεδοκίμαζε, τοὺς δὲ πολυτελεῖς καὶ ζῶντας ἐν κύβοις καὶ πότοις ἐπαινῶν ἐτίμα.

τοιγαροῦν οὐ μόνον αὐτοὺς τοιαῦτ' ἔχειν παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς ἐποίησεν. τί γὰρ τῶν αἰσχρῶν ἢ δεινῶν αὐτοῖς οὐ προσῆν, ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν; οὐχ οἱ μὲν ξυρούμενοι καὶ λεαινόμενοι διετέλουν ἄνδρες ὄντες, οἱ δ' ἀλλήλοις

---

10¹—16¹ εἰ — προσηγορεύοντο: Suid s. λάσταυρος 12¹ ἢ βδελυρὸς ἢ λάσταυρος F 224 om Suid 13¹ σχεδὸν ἅπαντες F 224 20¹ ἐπιμελομένους Suid (ABE) s. ἀπεδοκίμαζεν 24¹—31¹ τοιγαροῦν — ἀπῆν Suid s. ἀθλητάς 24¹ τοιγαροῦν Suid τοι γαρ Pol 25¹ τοῦτ' Suid 28¹ ἐποίησεν: εἶναι Suid (παρεσκεύαζεν A?) 29¹ καὶ δεινῶν Suid 32¹ ξυρώμενοι Schweighäuser 33¹ λιαινόμενοι Pol λειαινόμενοι Va(lesius)

ἐτόλμων ἐπανίστασθαι πώγωνας ἔχουσι. καὶ περιήγοντο μὲν δύο καὶ τρεῖς τοὺς ἑταιρευομένους. αὐτοὶ δὲ τὰς αὐτὰς ἐκείνοις χρήσεις ἑτέροις παρείχοντο. ὅθεν καὶ δικαίως ἄν τις αὐτοὺς οὐχ ἑταίρους ⟨ἀλλ' ἑταίρας⟩ ὑπελάμβανεν εἶναι οὐδὲ †στρατιώτας ἀλλὰ χαμαιτύπους προσηγόρευσεν· ἀνδροφόνοι γὰρ τὴν φύσιν ὄντες ἀνδρόπορνοι τὸν τρόπον ἦσαν. ἁπλῶς δ' εἰπεῖν, ἵνα παύσωμαι» φησί «μακρολογῶν, ἄλλως τε καὶ τοσούτων μοι πραγμάτων ἐπικεχυμένων, ἡγοῦμαι τοιαῦτα θηρία γεγονέναι καὶ τοιούτους τὸν τρόπον τοὺς φίλους καὶ τοὺς ἑταίρους Φιλίππου προσαγορευθέντας οἵους οὔτε τοὺς Κενταύρους τοὺς τὸ Πήλιον κατασχόντας οὔτε τοὺς Λαιστρυγόνας τοὺς τὸ Λεοντίνων πεδίον οἰκήσαντας οὔτ' ἄλλους οὐδ' ὁποίους.»

ἐτόλμων ἐπανίστασθαι πώγωνας ἔχουσι; καὶ περιήγοντο μὲν δύο καὶ τρεῖς ἑταιρουμένους, αὐτοὶ δὲ τὰς αὐτὰς ἐκείνοις χρήσεις ἑτέροις παρεῖχον. ὅθεν δικαίως ἄν τις αὐτοὺς οὐχ ἑταίρους ⟨ἀλλ' ἑταίρας⟩ ὑπέλαβεν οὐδὲ †στρατιώτας ἀλλὰ χαμαιτύπας προσηγόρευσεν· ἀνδροφόνοι γὰρ τὴν φύσιν ὄντες ἀνδρόπορνοι τὸν τρόπον ἦσαν. πρὸς δὲ τούτοις ἀντὶ μὲν τοῦ νήφειν τὸ μεθύειν ἠγάπων, ἀντὶ δὲ τοῦ κοσμίως ζῆν ἁρπάζειν καὶ φονεύειν ἐζήτουν. καὶ τὸ μὲν ἀληθεύειν καὶ ταῖς ὁμολογίαις ἐμμένειν οὐκ οἰκεῖον αὑτῶν ἐνόμιζον, τὸ δ' ἐπιορκεῖν καὶ φενακίζειν ἐν τοῖς σεμνοτάτοις ὑπελάμβανον. καὶ τῶν μὲν ὑπαρχόντων ἠμέλουν, τῶν δὲ ἀπόντων ἐπεθύμουν, καὶ ταῦτα μέρος τι τῆς Εὐρώπης ἔχοντες. οἶομαι γὰρ τοὺς ἑταίρους οὐ πλείονας ὄντας κατ' ἐκεῖνον τὸν χρόνον ὀκτακοσίων οὐκ ἐλάττω καρπίζεσθαι γῆν ἢ μυρίους τῶν Ἑλλήνων τοὺς τὴν ἀρίστην καὶ πλείστην χώραν κεκτημένους.»

---

$8^{2}$—$9^{1}$ ⟨ἀλλ' ἑταίρας⟩ Va $9^{2}$ u. $10^{1}$ στρατιώτας: Ath Pol 'glosse für χαμαιτύπους' Kaibel χαμαικοίτας Meineke τρόπον Reiske τοιοῦτον τρόπον Pol $15^{1}$ παύσομαι Pol $20^{1}$ τοιούτους τὸν σεμνοτάτοις AC $24^{1}$—$25^{1}$ κατασχόντας: ἔχοντας Suid u. κενταυρικῶς $26^{1}$ Λεοντίνων Suid $27^{1}$ οἰκίσαντας P

c) DEMETR. De eloc. 27: *ἐκλύει γὰρ τὴν δεινότητα ἡ περὶ αὐτὰ* (sc. *τὰ ὁμοιοτέλευτα*) *τερθρεία καὶ φροντίς. δῆλον δ' ἡμῖν τοῦτο ποιεῖ Θεόπομπος· κατηγορῶν γὰρ τῶν Φιλίππου φίλων φησίν «ἀνδροφόνοι δὲ τὴν φύσιν ὄντες ἀνδρόπορνοι τὸν τρόπον ἦσαν» καὶ «ἐκαλοῦντο μὲν ἑταῖροι, ἦσαν δὲ ἑταῖραι.»* s. T 44.

*Ν*

226 (253) STEPH. BYZ s. *Καρὸς κῆποι· χωρίον Θρᾴκης. Θεόπομπος ν̄. τὸ ἐθνικὸν Καροκηπίτης, ὡς αὐτός.*

227 (252) ATHEN. X 60 p. 442 F—443 A: *ἐν δὲ τῇι πεντηκοστῇι ὁ Θεόπομπος περὶ Μηθυμναίων τάδε λέγει· «καὶ τὰ μὲν ἐπιτήδεια προσφερομένους πολυτελῶς, μετὰ τοῦ κατακεῖσθαι καὶ πίνειν, ἔργον δ' οὐδὲν ἄξιον τῶν ἀναλωμάτων ποιοῦντας. ἔπαυσεν οὖν αὐτοὺς τούτων Κλεομένης ὁ τύραννος, ὃ καὶ τὰς μαστροποὺς τὰς εἰθισμένας προαγωγεύειν τὰς ἐλευθέρας γυναῖκας ⟨καὶ⟩ τρεῖς ἢ τέτταρας τὰς ἐπιφανέστατα πορνευομένας ἐνδήσας εἰς σάκκους καταποντίσαι τισὶν προστάξας.»*

228 (254) HARPOKR. SUID. s. *σκιράφια· . . . . σκιράφια ἔλεγον τὰ κυβευτήρια, ἐπειδὴ διέτριβον ἐν Σκίρωι οἱ κυβεύοντες, ὡς Θεόπομπος ἐν τῇι ν̄ ὑποσημαίνει.*

*ΝΑ* a. 343/39

(s. F 35? 328?)

229 (255) STEPH. BYZ. s. *Κράνεια· χωρίον Ἀμβρακιωτῶν. Θεόπομπος νᾱ.*

230 (256) HARPOKR. s. *Ἱερώνυμος· . . . . ἕτερος δ' ἐστὶν Ἱερώνυμος Μεγαλοπολίτης, οὗ μνημονεύει Δημοσθένης ἐν τῶι κατ' Αἰσχίνου* (XIX 11). *ὅτι δ' οὗτος ἦν τῶν μακεδονιζόντων μάλιστα καὶ Θεόπομπος εἴρηκεν ἐν τῇι νᾱ.*

231 (257) HARPOKR. SUID. s. *Μύρτις· Δημοσθένης ἐν τῶι ὑπὲρ Κτησιφῶντος* (XVIII 295) *καταλέγων τοὺς προδεδωκότας ἑκάστην πόλιν φησίν· 'Ἀργείους Μύρτις, Τελέδαμος, Μνασέας'. Θεόπομπος δ' ἐν τῇι νᾱ Πασέαν καὶ Ἀμυρταῖον ὀνομάζει τῶν Ἀργείων τοὺς μακεδονίζοντας. ἰδεῖν οὖν εἰ γραφικά ἐστιν ἁμαρτήματα.*

---

8 ν̄ RPV (?) 13 *Κλέομ μ)ις* Syll³ 263; Isokr. epp. VII 8 15 ⟨καὶ⟩ Schweighäuser 15—16 *ἐπιφανέστατα* Madvig —*στάτας* AC 16 *πορνευομένας* Schweighäuser *πορευομένας* A om C 18 *σκιραφεῖον* Suid 19 *ἐν Σκίρωι* Valesius *σκίρωνι* Harp *σκίρωι* Epit Suid AE*V *ὡς: καὶ* BCG 23—24 *Κράνεια — νᾱ* om R 29 *Μύρτις* Harp (IG IV 149) *Μύρτης* Suid 33 *Μυρταῖον?* 33 *εἰ δεῖν* A *ἰδεῖν οὖν* ⟨*δεῖ*⟩ Dindorf

*NB* a. 338

(s. F 41? 318?)

**232** (259) ATHEN. XII 51 p. 536 CD: *ἐν δὲ τῇι δευτέραι* ⟨*καὶ*⟩ *πεντηκοστῆι φησὶν ὡς Ἀρχίδαμος ὁ Λάκων ἀποστὰς τῆς πατρίου διαίτης συνηθίσθη ξενικῶς καὶ μαλακῶς· διόπερ οὐκ ἠδύνατο τὸν οἴκοι βίον ὑπομένειν, ἀλλ' ἐσπούδαζεν αἰεὶ δι' ἀκρασίαν ἔξω διατρίβειν. καὶ Ταραντίνων πρεσβευσαμένων περὶ συμμαχίας ἔσπευσε συνεξελθεῖν αὐτοῖς βοηθός· κἀκεῖ γενόμενος καὶ ἐν τῶι πολέμωι ἀποθανὼν οὐδὲ ταφῆς κατηξιώθη, καίτοι Ταραντίνων πολλὰ χρήματα ὑποσχομένων τοῖς πολεμίοις ὑπὲρ τοῦ ἀνελέσθαι αὐτοῦ τὸ σῶμα.* s. F 312; 318?

**233** (260) — IV 61 p. 166 EF: *περὶ δὲ τῶν Ταραντίνων ἱστορῶν ἐν τῇι δευτέραι* ⟨*καὶ*⟩ *πεντηκοστῆι τῶν Ἱστοριῶν γράφει οὕτως· «ἡ πόλις ἡ τῶν Ταραντίνων σχεδὸν καθ' ἕκαστον μῆνα (?) βουθυτεῖ καὶ δημοσίας ἑστιάσεις ποιεῖται. τὸ δὲ τῶν ἰδιωτῶν πλῆθος αἰεὶ περὶ συνουσίας καὶ πότους ἐστί. λέγουσι δὲ καί τινα τοιοῦτον λόγον οἱ Ταραντῖνοι, τοὺς μὲν ἄλλους ἀνθρώπους διὰ τὸ φιλοπονεῖσθαι καὶ περὶ τὰς ἐργασίας διατρίβειν παρασκευάζεσθαι ζῆν, αὐτοὺς δὲ διὰ τὰς συνουσίας καὶ τὰς ἡδονὰς οὐ μέλλειν, ἀλλ' ἤδη βιῶναι.»*

**234** (261) STEPH. BYZ. s. *Βαρήτιον· χωρίον πρὸς τῶι Ἀδρίαι. Θεόπομπος νβ.*

**235** (46) a) SUID. s. *φρουρήσεις ἐν Ναυπάκτωι· τοῖς Ναύπακτον φρουροῦσιν ὀλίγου μισθοῦ διδομένου, τῶν δ' ἐπιτηδείων πολλοῦ πιπρασκομένων, τὴν παροιμίαν γενέσθαι. ἔνιοι δὲ ὅτι Φίλιππος ἑλὼν Ναύπακτον Ἀχαιῶν † γνώμηι τοὺς φρουροὺς αὐτῆς ἀπέκτεινε πάντας. ἱστορεῖ δὲ τοῦτο καὶ Θεόπομπος ἐν* ⟨*τῶι*⟩ *δευτέρωι.* b) ZENOB. Prov. VI 33: *φρουροὺς ἀπέσφαξαν καὶ Παυσανίαν τὸν ἄρχοντα τῆς φρουρᾶς ἀπέκτειναν, ὥς φησι Θεόπομπος.*

*NΓ* a. 338

(s. F 329; 385?)

**236** (262) ATHEN. X 46 p. 435 BC: *ἐν δὲ τῇι τρίτηι καὶ πεντηκοστῆι περὶ τῶν ἐν Χαιρωνείαι γενομένων εἰπὼν καὶ ὡς ἐπὶ δεῖπνον*

---

3 ⟨*καὶ*⟩ Grenfell-Hunt νβ Kaibel fuit νβ'. 13 *μῆνα: ἡμέραν* Meineke 14 *δημοσίας* Benseler —*σίαι* A 21 *Βαλήτιον*? Huelsen 22 νβ V P μβ (?) R 26 [*γνώμηι*] Schaefer 27 ⟨*τῶι*⟩ A Schaefer Dem. II 515. 3 28 *φρουρήσαιο* P *φρουρήσαις* v. l. Epit. Miller-Mélanges 363 28—29 *Ἀχαιῶν — ἀπέσφαξεν* Schaefer

ἐκάλεσε τοὺς παραγενομένους τῶν Ἀθηναίων πρέσβεις φησίν· «ὁ δὲ Φίλιππος ἀποχωρησάντων ἐκείνων εὐθέως μετεπέμπετό τινας τῶν ἑταίρων, καλεῖν δ' ἐκέλευε τὰς αὐλητρίδας καὶ Ἀριστόνικον τὸν κιθαρωιδὸν καὶ Δωρίωνα τὸν αὐλητὴν καὶ τοὺς ἄλλους τοὺς εἰθισμένους αὐτῷ συμπίνειν· περιήγετο γὰρ πανταχοῦ τοὺς τοιούτους ὁ Φίλιππος καὶ κατασκευασάμενος ἦν ὄργανα πολλὰ συμποσίου καὶ συνουσίας. ὧν γὰρ φιλοπότης καὶ τὸν τρόπον ἀκόλαστος καὶ βωμολόχους εἶχε περὶ αὑτὸν συχνοὺς καὶ τῶν περὶ τὴν μουσικὴν ὄντων καὶ τῶν τὰ γέλοια λεγόντων. πιὼν δὲ τὴν νύκτα πᾶσαν καὶ μεθυσθεὶς πολὺ καὶ πατάξας ἀφεὶς ἅπαντας τοὺς ἄλλους ἀπαλλάττεσθαι ἤδη πρὸς ἡμέραν ἐκώμαζεν ὡς τοὺς πρέσβεις τοὺς τῶν Ἀθηναίων.»

$\overline{NA}$

**237** (265) **a)** ATHEN. III 12 p. 77 DE: *ὁ Θεόπομπος δὲ ἐν τῇι* a. 336
*πεντηκοστῇι τετάρτηι τῶν Ἱστοριῶν κατὰ τὴν Φιλίππου φησὶν ἀρχὴν περὶ τὴν Βισαλτίαν καὶ Ἀμφίπολιν καὶ Γραιστωνίαν τῆς Μακεδονίας ἔαρος μεσοῦντος τὰς μὲν συκᾶς σῦκα, τὰς δ' ἀμπέλους βότρυς, τὰς δ' ἐλαίας ἐν ὧι χρόνωι βρύειν εἰκὸς ἦν αὐτὰς ἐλαίας ἐνεγκεῖν, καὶ εὐτυχῆσαι πάντα Φίλιππον.* **b)** STEPH. BYZ. s. *Γαστρωνία· χώρα Μακεδονίας. Θεόπομπος* $\overline{νδ}$.

$\overline{NE}$—$\overline{NZ}$ a. 337

(F 321—323? 385?)

**238** (266) STEPH. BYZ. s. *Καρύα· χωρίον τῆς Λακωνικῆς. Θεόπομπος* $\overline{νε}$.

**239** (267) — — s. *Τρικάρα⟨νον⟩· φρούριον τῆς Φλιασίας. Θεόπομπος* $\overline{νε}$.

**240** (268) ATHEN. XIII 89 p. 609 B: *Θεόπομπος δὲ ἐν τῇι ἕκτηι καὶ πεντηκοστῇι τῶν Ἱστοριῶν Ξενοπείθειαν τὴν Λυσανδρίδου μητέρα πασῶν τῶν κατὰ Πελοπόννησον γυναικῶν γεγονέναι καλλίονα. ἀπέκτειναν*

6 συμπεριήγετο? Kaibel 9 βωμολόχους Casaubonus —ος AC 11 πολλὰ καὶ παίξας C καὶ πολλὰ παίξας Meineke ἐπὶ πολὺ καὶ παραπαίσας? Kaibel πολύ, ἀπαλλάξας ἅπαντας? Grenfell-Hunt 18 Γραιστωνίαν A Γραστωνίαν CE (?) 19 μεσοῦντος Cobet μέσου ὄντος ACE 21 richtig Γραστωνία 22 $\overline{νδ}$ R κδ VP 25 Καρύα edd κάρυα RV κάρυοια P Καρύαι Stiehle 26 $\overline{νε}$ aus $\overline{νγ}$ $R^1$ 27 Τρικάρανον Meineke τρίκαραν RV τρίκαρα P Τρικάρανα Xylander 30 Ξενοπείθειαν ς ξο— A

δὲ αὐτὴν Λακεδαιμόνιοι καὶ τὴν ἀδελφὴν αὐτῆς Χρύσην, ὅτε καὶ τὸν Λυσανδρίδαν ἐχθρὸν ὄντα Ἀγησίλαος ὁ βασιλεὺς κατασιασιάσας φυγαδευθῆναι ἐποίησεν ὑπὸ Λακεδαιμονίων.

241 (273) STEPH. BYZ. s. *Αἰγείρουσα· πόλις τῆς Μεγαρίδος, ὡς Στράβων* (IX 1, 10). *λέγεται καὶ Αἴγειρος, ὡς Θεόπομπος* $\overline{νς}$.

242 (269) — — s. *Ἀλέα· πόλις Ἀρκαδίας. Θεόπομπος* $\overline{νς}$.

243 (270) — — s. *Εὔγεια· χωρίον Ἀρκαδίας. Θεόπομπος* $\overline{νς}$.

244 (271) — — s. *Λύκαια· πόλις Ἀρκαδίας. Θεόπομπος* $\overline{νθ}$. *παρὰ δὲ Μενελάωι Λύκαιθα μετὰ τοῦ* $\overline{θ}$.

245 (274) STEPH. BYZ. s. *Μεσσαπέαι· χωρίον Λακωνικῆς. τὸ ἐθνικὸν Μεσσαπεύς· οὕτω γὰρ ὁ Ζεὺς ἐκεῖ τιμᾶται. Θεόπομπος* $\overline{νξ}$.

246 (275) HARPOKR. s. *στεφανῶν τοὺς νενικηκότας· Δημοσθένης ἐν τῶι κατ' Αἰσχίνου ἀντὶ τοῦ τιμῶν . . . . καὶ παρ' ἄλλοις ἐπὶ ταύτης τῆς ἐννοίας τὸ στεφανοῦν, ὡς παρά τε Θεοπόμπωι ἐν* $\overline{νξ}$ *καὶ Μενάνδρωι ἐν Αὐτὸν πενθοῦντι* (III 26, 84 K).

## *NH*

OHNE BUCHZAHLEN.

(s. F 264; 282; 291; 298; 301; 392.)

*ΠΕΡΙ ΤΩΝ ΣΥΛΗΘΕΝΤΩΝ ΕΚ ΔΕΛΦΩΝ ΧΡΗΜΑΤΩΝ.*

247 (182) ATHEN. XIII 83 p. 604 F—605 A: *Θεόπομπος δὲ ἐν τῶι Περὶ τῶν συληθέντων ἐκ Δελφῶν χρημάτων Ἀσώπιχόν φησι τὸν Ἐπαμινώνδου ἐρώμενον τὸ Λευκτρικὸν τρόπαιον ἐντετυπωμένον ἔχειν ἐπὶ τῆς ἀσπίδος καὶ θαυμασιῶς αὐτὸν κινδυνεύειν ἀνακεῖσθαί τε τὴν ἀσπίδα ταύτην ἐν Δελφοῖς ἐν τῆι στοᾶι.*

248 (182) — XIII 83 p. 605 A—D: *ἐν δὲ τῶι αὐτῶι συγγράμματι Θεόπομπος φιλογύναιον μέν φησι γεγονέναι Φάυλλον τὸν Φωκέων τύραννον, φιλόπαιδα δὲ Ὀνόμαρχον· καὶ ἐκ τῶν τοῦ Διὸς χαρίσασθαι τοῦτον εἰς Δελφοὺς παραγενομένωι * τῶι Πυδοδώρου τοῦ Σικυωνίου υἱῶι ἀποκειρομένωι τὴν κόμην, ὅτι καλῶι συγγενόμενον τὰ Συβαριτῶν ἀναθήματα, στλεγγίδια χρυσᾶ τέσσαρα· τῆι Δεινιάδου δὲ αὐλητρίδι Βρομιάδι(?) Φάυλλος καρχήσιον ἀργυροῦν Φωκαέων καὶ σ⟨τέφανον χρυσοῦ⟩ν κιττοῦ*

---

9 δὲ ..... Λύκαιθα R δὲ μ.....ύκαιθα V 10 μεσάπεαι P μεσάπη V λακωνικόν P 11 μεσαπαιεύς R μεσαπε.. V Μεσσαπεύς Paus. III 20, 3 14 νξ: ζω G βω C 26 Φάυλλον Musurus φύλλον A 28 'pueri nomen intercidit' Kaibel 28—29 ἀποκερουμένοι Kaibel 30 Βρομιάδι Dindorf *βρομιαδία* A *Βρομίαι* Musurus 31 καὶ στέφανον χρυσοῦν Casaubonus καισ....νον A

*Πεπαρηθίων. «αὕτη δέ» φησι «καὶ ἔμελλε τὰ Πύθια ἀγεῖν, εἰ μὴ ὑπὸ τοῦ πλήθους ἐκωλύθη. τῶι δὲ Λυκόλα τῶι τοῦ Τριχονείου υἱῶι Φυσκίδαι ὄντι καλῶι Ὀνόμαρχος ἔδωκεν» φησί «στέφανον ⟨χρυσοῦν⟩ δάφνης. Ἐφεσίων ἀνάθημα. οὗτος ὁ παῖς πρὸς Φίλιππον ἀχθεὶς ὑπὸ τοῦ πατρὸς κἀκεῖ προαγωγευόμενος οὐδὲν λαβὼν ἀπεστάλη. τῶι Ἐπιλύκου τοῦ Ἀμφιπολίτου υἱῶι ὄντι καλῶι Δαμίππωι * Πλειστθένους ἀνάθημα Ὀνόμαρχος ἔδωκε. Φαρσαλίαι τῆι Θεσσαλίδι ὀρχησιρίδι δάφνης στέφανον χρυσοῦν Φιλόμηλος ἔδωκε Λαμψακηνῶν ἀνάθημα. αὕτη ἡ Φαρσαλία ἐν Μεταποντίωι ὑπὸ τῶν ἐν τῆι ἀγορᾶι μάντεων, γενομένης φωνῆς ἐκ τῆς δάφνης τῆς χαλκῆς, ἣν ἔστησαν Μεταποντῖνοι κατὰ τὴν Ἀρισέα τοῦ Προκονησίου ἐπιδημίαν, ὅτ' ἔφησεν ἐξ Ὑπερβορέων παραγεγονέναι, ὡς τάχιστα ὤφθη εἰς τὴν ἀγορὰν ἐμβαλοῦσα, ἐμμανῶν γενομένων τῶν μάντεων διεσπάσθη ὑπ' αὐτῶν. καὶ τῶν ἀνθρώπων ὕστερον ἀναζητούντων τὴν αἰτίαν εὑρέθη διὰ τὸν τοῦ θεοῦ στέφανον ἀνηρημένη.»*

**249 (183)** ATHEN. XII 43 p. 532 DE: *ἐν δὲ τῶι ἐπιγραφομένωι τοῦ Θεοπόμπου συγγράμματι Περὶ τῶν ἐκ Δελφῶν συληθέντων χρημάτων «Χάρητι» φησί «τῶι Ἀθηναίωι διὰ Λυσάνδρου τάλαντα ἑξήκοντα, ἀφ' ὧν ἐδείπνισεν Ἀθηναίους ἐν τῆι ἀγορᾶι θύσας τὰ ἐπινίκια τῆς γενομένης μάχης πρὸς τοὺς Φιλίππου ξένους· ὧν ἡγεῖτο μὲν Ἀδαῖος ὁ Ἀλεκτρυὼν ἐπικαλούμενος.»* s. 76 F 35.

## *ΕΠΙΣΤΟΛΑΙ. ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ.*

(T 8; 9; 20, 1; 10; 48).

**250** (—) DIDYM. i. Demosth. V 21: (F 291) *ὁ δ' αὐτὸς ἐν τῆι Πρὸς Φίλιππον ἐπιστολῆι καὶ ἣν π[αρεκεύαστο (sc. Ἑρμείας) π]αρὰ τοῖς Ἕλλησι δόξαν ἱστορεῖ· «.....]ρ[.....]λως δὲ χαρίεις καὶ φιλ[όμουσ]ος γεγ[ον]ώς· καὶ [βάρβ]αρος μὲν ὢν μετὰ τῶν Π[λατ]ωνείων [φ]ιλο[σο]φεῖ, δοῦλος δὲ γενόμενος ἀθηφάγοις ζεύγεσιν ἐν ταῖς πανηγύρεσιν ἀγωνίζεται, σκοπέλους δὲ [καὶ] μικρ[ὰ χωρί]ᾳ κεκτημένος ἔτυχε μὲν τῆς [τ(ιμῶν)] εὐεκ[τ(ων) δόξ(ης), τ(ὴν)] δι*

---

1—15 stark verkürztes exzerpt 1 αὕτη Kaibel *αὐτὴ* A *ἔμελλε καὶ* Meineke 2 *ὑπὸ* Musurus *ἐπὶ* A *Λυκόλα [τῶι]* Kaibel 3 *Τριχονείου* Kaibel *τριχολέου* A 4 *⟨χρυσοῦν⟩* Meineke 7 * Schweighäuser *Κλεισθένους* Kaibel 9 *Λαμψακηνῶν: Κνιδίων* Plut. mor. 397 F 10 *μάντεων: νεανιῶν* Meineke 14 *[ὑπ' αὐτῶν]* Kaibel 18 *διὰ Λυσάνδρου:* Schweighäuser (Plut. a. o.) 21 *ὁ* om A 25—590, 2 erg. *διαναλωθῆναι* Schweighäuser *διαλυθῆναι* Wichers 27 *ἰλως?* Croenert *τως* Diels-Schubart *φύσει μὲν ἄγριος, πλαστῶς* Diels-Schubart 31 erg. Croenert *δὲ χαρίεις* Foucart *οἷος κ(αὶ) ὁ Ἑ]ρ[μείας, ἀλ]λως δὲ* Croenert (evex unsicher; *συγγενείας* 'ganz ausgeschlossen')

πόλιν τὴν Ἠλ⟨ε⟩ίων ἐπ[αγγέλλ]ειν [πρὸς αὐτὸν τὴν] ἐκεχειρία[ν] ἔ[π]ε̣ι̣σ[εν ...].|[..... ἐκ]είνου τε ὁρ..ζ..ε ..... ***

251 (—) Cic. ad Att. XII 40, 2: *Συμβουλευτικὸν saepe conor; nihil reperio et quidem mecum habeo et Ἀριστοτέλους et Θεοπόμπου libros πρὸς Ἀλέξανδρον. sed quid simile? illi et quae ipsis honesta essent scribebant et grata Alexandro.*

252 (276) Athen. VI 18 p. 230 EF: *Θεόπομπος δ' ὁ Χῖος ἐν ταῖς Πρὸς Ἀλέξανδρον συμβουλαῖς περὶ Θεοκρίτου τοῦ πολίτου τὸν λόγον ποιούμενός φησιν: «ἐξ ἀργυρωμάτων δὲ καὶ χρυσῶν πίνει καὶ τοῖς σκεύεσιν χρῆται τοῖς ἐπὶ τῆς τραπέζης ἑτέροις τοιούτοις, ὁ πρότερον οὐχ ὅπως ἐξ ἀργυρωμάτων [οὐκ] ἔχων πίνειν ἀλλ' οὐδὲ χαλκῶν, ἀλλ' ἐκ κεραμέων καὶ τούτων ἐνίοτε κολοβῶν.»*

253 (277) — XIII 67 p. 595 A—C: *Θεόπομπος δ' ἐν τῇι Πρὸς Ἀλέξανδρον ἐπιστολῇι τὴν Ἀρπάλου διαβάλλων ἀκολασίαν φησίν· «ἐπίσκεψαι δὲ καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος δν τρόπον Πυθιονίκης αὐλητρίδος, ἑκείνη δὲ Σινώπης τῆς Θρᾴττης τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν πορνείαν, ὥστε γίνεσθαι μὴ μόνον τριόβολον ἀλλὰ καὶ τρίπορνον αὐτήν. ἀπὸ πλειόνων δὲ ταλάντων ἑθαύμαζον, ὅτι τῶν μὲν ἐν Κιλικίαι τελευτησάντων ὑπὲρ πάντῃς σῆς βασιλείας καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας οὐδέπω νῦν οὔτε ἐκεῖνος οὔτ' ἄλλος οὐδεὶς τῶν ἐπιστατῶν κεκόσμηκε τὸν τάφον, Πυθιονίκης δὲ τῆς ἑταίρας φανήσεται τὸ μὲν Ἀθήνησι, τὸ δ' ἐν Βαβυλῶνι μνῆμα πολὺν ἤδη χρόνον ἐπιτετελεσμένον. ἦν γὰρ πάντες ἠιδέσαν ὀλίγης δαπάνης κοινὴν τοῖς βουλομένοις γιγνομένην, ταύτης ἐτόλμησεν ὁ φίλος εἶναι σοῦ ναὸν καὶ τὸν βωμὸν Πυθιονίκης Ἀφροδίτης, ἅμα τῆς τε παρὰ θεῶν τιμωρίας καταφρονῶν καὶ τὰς σὰς τιμὰς προπηλακίζειν ἐπιχειρῶν.»*

254 (278) a) — XIII 50 p. 586 C: *φησὶν Θεόπομπος ἐν τοῖς Περὶ τῆς Χίας ἐπιστολῆς, ὅτι μετὰ τὸν τῆς Πυθιονίκης θάνατον ὁ Ἅρπαλος μετεπέμψατο τὴν Γλυκέραν Ἀθήνηθεν, ἣν καὶ ἐλθοῦσαν οἰκεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῶι καὶ προσκυνεῖσθαι ὑπὸ τοῦ πλήθους βασίλισσαν προσαγορευομένην· ἀπειρῆσθαί τε πᾶσι μὴ στεφανοῦν Ἅρπαλον, ἐὰν μὴ καὶ Γλυκέραν στεφανῶσιν. ἐν Ῥωσσῶι δὲ καὶ εἰκόνα χαλκῆν αὐτῆς ἱστάναι τολμῆσαι παρ' αὐτὴν ⟨τὴν Ἀλεξάνδρου καὶ τὴν⟩ ἑαυτοῦ.*

b) — XIII 63 p. 595 DE: *μετὰ δὲ τὴν Πυθιονίκης τελευτὴν ὁ Ἅρπαλος Γλυκέραν μετεπέμψατο καὶ ταύτην ἑταίραν, ὡς ὁ Θεόπομπος ἱστορεῖ, φάσκων ἀπειρηκέναι τὸν*

---

2 τε ὀργιζομένου? Croenert ὀργίζεσθαι? Grenfell-Hunt. danach 20 zeilen fast ganz verloren; 32 vermutet Croenert *Πλάτ*]ωνος ὁ(ὲ) μ[αθητάς τινας]; etwa v. 35 begann ein neuer, für Hermias günstiger bericht (Blass Arch. Pap.-F. III 290; Stähelin Klio V 142, 1). 8 ἀργυρ⟨ῶν ἐκπ⟩ωμάτων? 10 [οὐκ] Cobet 11 τούτων C τοῦτο A *Χίου ἐπιστολαῖς* Schweighäuser; vgl. T 20 p. 530, 12 25 ὀλίγης Meineke κοινῆς A 31—32 ἐν ταῖς περὶ τῆι πόλει Kaibel 33 ἱστάναι Casaubonus ἑστάναι A (στῆσαι ἐτόλμησεν E) ⟨τὴν Ἀλεξ. καὶ τὴν⟩ Jac *παρὰ τὴν ἑαυτοῦ* ς vulg

Ἅρπαλον μὴ στεφανοῦν ἑαυτόν, εἰ μή τις στεφανώσειε καὶ τὴν πόρνην. «ἑστηκέναι τε εἰκόνα χαλκῆν τῆς Γλυκέρας ἐν Ῥωσσῷ τῆς Συρίας, οὗπερ καὶ σὲ καὶ αὐτὸν ἀνατεθῆναι μέλλει, παρέδωκέν τε αὐτῇ κατοικεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ καὶ ὁρᾶι ὑπὸ τοῦ λαοῦ προσκυνουμένην καὶ βασίλισσαν προσαγορευομένην καὶ ταῖς ἄλλαις δωρεαῖς τιμωμένην, αἷς πρέπον ἦν τὴν σὴν μητέρα καὶ τὴν σοὶ συνοικοῦσαν.»

## ΦΙΛΙΠΠΟΥ ΕΓΚΩΜΙΟΝ.

(T 48?)

255 (—) THEON Progym. 2 (II 68, 21 Sp): ἔχομεν δὲ καὶ Ἰσοκράτους μὲν τὰ ἐγκώμια, Πλάτωνος δὲ καὶ Θουκυδίδου καὶ Ὑπερίδου καὶ Λυσίου τοὺς ἐπιταφίους, καὶ Θεοπόμπου τὸ Φιλίππου ἐγκώμιον καὶ Ἀλεξάνδρου, καὶ Ξενοφῶντος τὸν Ἀγησίλαον.

256 (285) — — 8 (II 110, 27 Sp): χρήσιμον δὲ καὶ τὸ εἰκάζειν ἐκ τῶν παρεληλυθότων τὰ μέλλοντα .... ὡς Θεόπομπος ἐν τῶι Φιλίππου ἐγκωμίωι, ὅτι εἰ βουληθείη Φίλιππος τοῖς αὐτοῖς ἐπιτηδεύμασιν ἐμμεῖναι, καὶ τῆς Εὐρώπης πάσης βασιλεύσει

## ΑΛΕΞΑΝΔΡΟΥ ΕΓΚΩΝΙΟΝ.

(T 8? 48. F 355?)

257 (—) THEON Progym. 2: = F 255.

## ΑΛΕΞΑΝΔΡΟΥ ΨΟΓΟΣ.

258 (—) SUID. s. Ἔφορος: s. T 8.

## ΚΑΤΑΔΡΟΜΗ ΤΗΣ ΠΛΑΤΩΝΟΣ ΔΙΑΤΡΙΒΗΣ.

(s. T 7; 48; F 275; 294; 295; 359).

259 (279) ATHEN. XI 118 p. 508 CD: καὶ γὰρ Θεόπομπος ὁ Χῖος ἐν τῶι Κατὰ τῆς Πλάτωνος διατριβῆς «τοὺς πολλούς» φησί «τῶν διαλόγων αὐτοῦ ἀχρείους καὶ ψευδεῖς ἂν τις εὕροι, ἀλλοτρίους δὲ τοὺς πλείους, ὄντας ἐκ τῶν Ἀριστίππου διατριβῶν, ἐνίους δὲ κἀκ τῶν Ἀντισθένους, πολλοὺς δὲ κἀκ τῶν Βρύσωνος τοῦ Ἡρακλεώτου.»

### Fragmente ohne Buchtitel o. Buchzahl.

— AELIAN. NA XVII 16: s. F 274 b.

— — VH VI 12: s. F 283 b.

260 (78) AMMIAN. Marcell. XXII 9, 6—7: *quam autem ob rem hoc nomine oppidum* (sc. Pessinus) *sit appellatum, variant rerum scriptores: quidam enim figmento deae caelitus lapso, ἀπὸ τοῦ πεσεῖν ... urbem adseruere cognominatam; alii memorant Ilum, Trois filium*

---

2 ἐν ερασσωι A 3 αὐτὸν Meineke αὐτὸν A μέλλει Casaubonus μέλλειν A 4 καὶ ⟨περι⟩ορᾶι? Jac ὡς (καθάπερ) θεὰν Kaibel καὶ δρα ⟨πόρνην⟩ Wilamowitz 12 τὸ Jac τοῦ Th 23 titel nach T 48

*Dardaniae regem, bello cum * * * sic appellasse; at Theopompus non Ilum id egisse, sed Midam adfirmat, Frygiae quondam potentissimum regem.*

**261** (98) AMMON. De diff. verb.: διαπολιτεύεσθαι καὶ ἀντιπολιτεύεσθαι διαφέρει. διαπολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς αὐτῆς πόλεως, ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας δι' ἑτέρας ἀντιδιαστατοῦντας ἀλλήλοις. Θεόπομπος δὲ καὶ τοὺς ἐν μιᾶι πόλει φιλοτιμουμένους πρὸς ἀλλήλους ἀντιπολιτεύεσθαι ἔφη. s. F 91. I?

**262** (301) ANON. *Π. ὕψ.* 31, 1: (T 41) «δεινὸς ὤν» φησίν «ὁ Φίλιππος ἀναγκοφαγῆσαι ⟨τὰ⟩ πράγματα.»

**263** (125) **a)** — — 43, 2: ὁμοίως καὶ ὁ Θεόπομπος ὑπερφυῶς διεσκευάσας τὴν τοῦ Πέρσου κατάβασιν ἐπ' Αἴγυπτον ὀνοματοίς τισὶ τὰ ὅλα διέβαλεν. «ποία γὰρ πόλις ἢ ποῖον ἔθνος τῶν κατὰ τὴν Ἀσίαν οὐκ ἐπρεσβεύετο πρὸς βασιλέα; τί δὲ τῶν ἐκ τῆς γῆς γεννωμένων ἢ τῶν κατὰ τέχνην ἐπιτελουμένων καλῶν ἢ τιμίων οὐκ ἐκομίσθη δῶρον ὡς αὐτόν; οὐ πολλαὶ μὲν καὶ πολυτελεῖς στρωμναὶ καὶ χλανίδες, τὰ μὲν ἀλουργῆ, τὰ δὲ ποικιλτά, τὰ δὲ λευκά, πολλαὶ δὲ σκηναὶ χρυσαῖ κατεσκευασμέναι πᾶσι τοῖς χρησίμοις, πολλαὶ δὲ καὶ ξυστίδες καὶ κλῖναι πολυτελεῖς; ἔτι δὲ καὶ κοῖλος κρατῆρες, ὧν τοὺς μὲν λιθοκολλήτους, τοὺς δ' ἄλλως ἀκριβῶς καὶ πολυτελῶς εἰδες ἂν ἐκπεπονημένους. πρὸς δὲ τούτοις ἀναρίθμητοι μὲν ὅπλων μυριάδες τῶν μὲν Ἑλληνικῶν, τῶν δὲ βαρβαρικῶν, ὑπερβάλλοντα δὲ τὸ πλῆθος ὑποζύγια καὶ πρὸς κατακοπὴν ἱερεῖα σιτευτά, καὶ πολλοὶ μὲν ἀρτυμάτων μέδιμνοι, πολλοὶ δὲ [οἱ θύλακοι] καὶ σάκοι [καὶ χάρται] βυβλίων καὶ τῶν ἄλλων ἁπάντων ⟨τῶν⟩ χρησίμων ⟨πρὸς τὸν βίον⟩· τοσαῦτα δὲ κρέα τεταριχευμένα παντοδαπῶν ἱερείων, ὡς σωροὺς αὐτῶν γενέσθαι τηλικούτους, ὥστε τοὺς προσιόντας πόρρωθεν ὑπολαμβάνειν ὄχθους εἶναι καὶ λόφους

---

1 *regem* locum G *cum* ⟨*plurimi ibi cecidissent inde locum*⟩ *sic* Günther *id egisse: tetigisse* B 6—7 ἀντιστατοῦντας Dindorf 10 ⟨τὰ⟩ Morus 12 ⟨κατα⟩σκευάσας Toll 16 τιμίων Manutius τιμῶν An 18 ἁλουργεῖς — ποικίλται (ποικίλαι Cobet) — λευκαί Manutius 18—20 σκηναὶ [χρυσαῖ] — ξυστίδες ⟨χρυσαῖ⟩ Nolte 22 ἄλλως Jahn ἄλλους An 24 ὅπλων: ὄψων Dobree 26 σιτευτά Canter εἶο ταῦτα An 27 δ' οἱ An δὲ b δ' αὖ Morus 27—29 πολλοὶ — βίον Immisch Sber. Heidelb. Ak. 1925, 27 σάκκοι χαρτῶν καὶ βυβλίων Pearce καὶ χόρτου καὶ β. Reiske χύτραι βόλβων Toup 29 ⟨τῶν⟩ b τοσαῦτα Robortelli τοιαῦτα An

*ἀντωθουμένους.*» s. T 42: b) ATHEN. II 77 p. 67 F: *καὶ Θεόπομπος δέ φησι· «πολλοὶ μὲν ἀρτυμάτων μέδιμνοι, πολλοὶ δὲ σάκκοι [καὶ θύλακοι] βιβλίων καὶ τῶν ἄλλων ἁπάντων τῶν χρησίμων πρὸς τὸν βίον.»*

264 (326) ANTIATTIC. 86, 16 Bekk: *γειτονιᾶν· ἀντὶ τοῦ γειτνιᾶν. Θεόπομπος Φιλιππικοῖς. καὶ γειτονεῖν.*

265 (327) — 104, 15 Bekk: *κατᾶραι· ἀντὶ τοῦ ἐλθεῖν. Θεόπομπος.*

266 (286) ANTIGON. Hist. mir. 14: *Θεόπομπος δέ φησιν κατὰ τοὺς ἐν Θράικηι Χαλκιδεῖς εἶναί τινα τόπον τοιοῦτον, εἰς ὃν ὅ τι μὲν τῶν ἄλλων ζώιων εἰσέλθηι, πάλιν ἀπαθὲς ἀπέρχεται, τῶν δὲ κανθάρων οὐδεὶς διαφεύγει, κύκλωι δὲ στρεφόμενοι τελευτῶσιν αὐτοῦ· διὸ δὴ καὶ τὸ χωρίον ὀνομάζεσθαι Κανθαρόλεθρον.* K—KE

267 (85) a) ANTIGON. Hist. mir. 15: *ἐν δὲ Κράννωνι τῆς Θετταλίας δύο φασὶν μόνον εἶναι κόρακας· διὸ καὶ ἐπὶ τῶν προξεν⟨ι⟩ῶν τῶν ἀναγραφομένων τὸ παράσημον τῆς πόλεως (καθάπερ ἐστὶν ἔθιμον πᾶσι προσπαρατιθέναι) ὑπογράφονται δύο κόρακες ἐφ' ἁμαξίου χαλκοῦ, διὰ τὸ μηδέ ποτε πλείους τούτων ὠφθαι. ἡ δὲ ἅμαξα προσπαράκειται διὰ τοιαύτην αἰτίαν — ξένον γὰρ ἴσως ἂν καὶ τοῦτο φανείη —· ἔστιν αὐτοῖς ⟨ἅμαξα⟩ ἀνακειμένη χαλκῆ, ἣν ὅταν αὐχμὸς ἦι σείοντες ὕδωρ αἰτοῦνται τὸν θεόν, καί φασι γίνεσθαι. τούτου δέ τι ἰδιώτερον ὁ Θεόπομπος λέγει· φησὶν γὰρ ἕως τούτου διατρίβειν αὐτοὺς ἐν τῆι Κράννωνι ἕως ἂν τοὺς νεοττοὺς ἐκνεοττεύσωσιν, τοῦτο δὲ ποιήσαντας τοὺς μὲν νεοττοὺς καταλείπειν, αὐτοὺς δὲ ἀπιέναι.* b) STEPH. BYZ. s. *Κραννών . . . . . πόλις Ἀθαμανίας, ἀπὸ Κράννωνος τοῦ Πελασγοῦ. ἐν ταύτηι δύο κόρακας εἶναί φασι μόνους, ὡς Καλλίμαχος ἐν τοῖς Θαυμασίοις* (IV) *καὶ Θεόπομπος. ὅταν δὲ ἄλλους ἐκν⟨ε⟩οσσεύσωσιν, ἴσους αὐτοὺς καταλιπόντες ἀπέρχονται*

268 (44) a) ANTIGON. Hist. mir. 136 (EXC. VAT. De reb. mir. 19 Stef): *περὶ δὲ τὴν τῶν Ἀγρι⟨έ⟩ων Θρακῶν χώραν φησὶν* (sc. *Καλλίμαχος ἱστορεῖν Θεόπομπον*) *ποταμὸν προσαγορευόμενον Πόντον καταφέρειν λίθους ἀνθρακώδεις, τούτους δὲ κάεσθαι μέν, πᾶν δὲ τοὐναντίον πάσχειν τοὺς ἐκ τῶν ξύλων ἀνθρακευομένους· ὑπὸ μὲν γὰρ τῶν ῥιπίδων πνευματι-*

---

1 ἀνωθουμένους Manutius 2 πολλοὶ E supr. πολλὰ C E ἀρτύματα$^{ος}$ E 3 [καὶ θύλακοι] Immisch 6 Φιλιππικοῖς. καὶ Jac Φιλίππωι Ant Φ—οῖς καὶ Grenfell-Hunt Φ—οῖς Heringa 11 λιμῶι τελευτῶσιν Ps Aristot. θαυμ. ακ. 120 12 κανθαρώλεθρον Strab. VII fr. 30; v. l. Ps. Arist. 14 προξεν⟨ι⟩ῶν Locella 19 ⟨ἅμαξα⟩ Jac 20 ἰδιαίτερον Bast 21 τῆι Jac τῶι Ant 23 ἀπιέναι C Mueller κράνωνος ἀνιέναι Ant 24 Ἀθαμανίας Xylander ἀθαμνείας RV ἀθαμνειὰς P 28 Ἀγριέων o. Ἀγραίων RP κράνων V πελασγίου V 26 ἐκνοσσεύσωσιν RVP Ἀγριῶν O Schneider Ἀγριᾶνες Salmasius ἀγρίων Ant ἀγρισίων (u. —νσιων?) Exc Vat Ἀγριῶν O Schneider Ἀγριᾶνες Strab. VII 5, 11 31 [ἐκ] Salmasius

ζομένους σβέννυσθαι, τῶι δὲ ὕδατι ῥαινομένους βέλτιον κάεσθαι, τὴν δ' ὀσμὴν αὐτῶν οὐδὲν ὑπομένειν ἑρπετόν. b) STEPH. BYZ. s. Ἀγρίαι· . . . ἔθνος Παιονίας μεταξὺ Λίμου καὶ Ῥοδόπης. παρὰ Πολυβίωι (XVIII 5, 8) δὲ διὰ τοῦ ᾱ . . . . λέγονται καὶ Ἀγράιοι τετρασυλλάβως καὶ Ἀγριεῖς, ὡς Θεόπομπος.

269 (287) ANTIGON. Hist. mir. 137: τὴν δ' ἐν Λούσοις κρήνην, καθάπερ παρὰ τοῖς Λαμψακηνοῖς, ἔχειν ἐν ἑαυτῆι μῦς ὁμοίους τοῖς κατοικιδίοις· ἱστορεῖν δὲ ταῦτα Θεόπομπον.

270 (288) a) — — 141: Θεόπομπον δέ φησιν (sc. Καλλίμαχος) γράφειν τῆς μὲν ἐν Κίγχρωψιν (sc. κρήνης) τοῖς Θραιξὶν τὸν ἀπογευσάμενον τελευτᾶν εὐθύς. b) PARAD. VAT. RQHD. 39: Θεόπομπος κρήνην ἐν Θράικηι λέγει εἶναι, ἐξ ἧς οἱ λουσάμενοι μεταλλάττουσι τὸν βίον. c) PARAD. FLORENT. 15: Θεόπομπος ἱστορεῖ κρήνην ἐν Χρωψὶ τῆς Θράικης, ἐξ ἧς τοὺς λουσαμένους παραχρῆμα μεταλλάσσειν. d) PLIN. NH XXXI 27: necari aquis Theopompus et in Thracia apud Cychros dicit.

271 (84) a) ANTIGON. Hist. mir. 142: ἐν Σκοτούσσηι δ' εἶναι κρηνίδιον οὐ μόνον ἀνθρώπων ἕλκη, ἀλλὰ καὶ βοσκημάτων ὑγιάζειν δυνάμενον· κἂν ξύλον δὲ σχίσας ἢ ῥάυσας ἐμβάλῃς, συμφύειν. b) PLIN. NH XXXI 17: Theopompus in Scotusaeis lacum esse dicit qui volneribus medeatur.

272 (—) ANTIGON. Hist. mir. 143: ἐκ δὲ τῆς περὶ Χαονίαν, ὅταν ἀφεψηθῆι τὸ ὕδωρ, ἅλας γίνεσθαι.

— — — — 164: s. F 278 b.

273 (231) — — 170: περὶ δὲ Θεσπρωτοὺς ἐκ τῆς γῆς ἀνθρακας ὀρύττεσθαι δυναμένους κάεσθαι Θεόπομπόν φησιν (sc. Καλλίμαχος) καταγράφειν.

274 (143) a) — — 173: τοὺς δὲ περὶ τὸν Ἀδρίαν ἐνοικοῦντας Ἐνετοὺς Θεόπομπον φάσκειν κατὰ τὸν σπόρου καιρὸν τοῖς κολυοῖς ἀποστέλλειν ὄῶρα, ταῦτα δ' εἶναι ψαισὰ καὶ μάζας. προθέντας δὲ τοὺς ταῦτα κομίζοντας ἀποχωρεῖν, τῶν δὲ ὀρνέων τὸ μὲν πλῆθος ἐπὶ τοῖς ὁρίοις μένειν τῆς χώρας συνηθροισμένον, δύο δ' ἢ τρεῖς προσπτάντας (F 130 b)

4 ἀγραῖοι RV 5 ἀγράιεις $R^1$ 6 Λουσοῖς We(stermann) 7—8 χερσαῖοι μθες Ps. Arist. 125; mures terrestres Plin. NH XXXI 14 10 τῆς We τὴν Ant dx. 121 chrobsi Vitruv. VIII 3, 18) Κύχρωψι Bentley Κύχροις ἢ Χρωψὶν (c) Meursius 12 non solum qui biberint moriuntur, sed etiam qui laverint Vitruv 15 aquas RV 16 cychros d chicros E cicros rell 17 Σκοτούσαις τῆς Θετταλίας Ps. Aristot. Θαυμ. dx. 117 18 κρηνίδιον — δυνάμενον Bentley (Θ. dx. 117) κρήνην ἰδίαν — δυνάμενην Ant 20 Scotusaeis Janus scothus sei $R^3$ scothissei E scotusei rell 21 medeatur CFW Mueller medetur Plin

καὶ καταμαθόντας ἀφίπτασθαι πάλιν καθάπερεί τινας πρέσβεις ἢ κατασκόπους. ἐὰν μὲν οὖν τὸ πλῆ * * b) AELIAN. NA XVII 16: Θεόπομπος λέγει τοὺς περὶ τὸν Ἀδρίαν οἰκοῦντας Ἐνετούς, ὅταν ἀρότου καὶ σπόρου ᾖ ὥρα, τοῖς κολοιοῖς ἀποστέλλειν δῶρα· εἴη δ' ἂν τὰ δῶρα ψαισιὰ ἄτια καὶ μεμαγμέναι μάζαι καλῶς τε καὶ εὖ. βούλεται δ' ἄρα ἡ τῶνδε τῶν δώρων πρόθεσις μειλίγματα τοῖς κολοιοῖς εἶναι καὶ σπονδῶν ὁμολογίαι, ὡς ἐκείνους τὸν καρπὸν τὸν Δημήτρ⟨ε⟩ιον μὴ ἀνορύττειν καταβληθέντα ἐς τὴν γῆν μηδὲ παρεκλέγειν. Λύκος (III) δ' ἄρα καὶ ταῦτα μὲν ὁμολογεῖ, καὶ ἐκεῖνα δὲ ἐπὶ τούτοις προστίθησι * * καὶ φοινικοῦς ἱμάντας τὴν χρόαν, καὶ τοὺς μὲν προθέντας ταῦτα εἶτα ἀναχωρεῖν. καὶ τὰ μὲν τῶν κολοιῶν νέφη τῶν ὅρων ἔξω καταμένειν, δύο δὲ ἄρα ἢ τρεῖς προηιρημένους κατὰ τοὺς πρέσβεις τοὺς ἐκ τῶν πόλεων πέμπεσθαι κατασκεψομένους τῶν ξενίων τὸ πλῆθος· οἵπερ οὖν ἐπανίασι θεασάμενοι καὶ καλοῦσιν αὐτούς, ἢ πεφύκασιν οἱ μὲν καλεῖν, οἱ δὲ ὑπακούειν. ἔρχονται μὲν ⟨οὖν⟩ κατὰ νέφη. ἐὰν δὲ γεύσωνται τῶν προειρημένων, ἴσασιν οἱ Ἐνετοὶ ὅτι ἄρα αὐτοῖς πρὸς τοὺς ὄρνιθας τοὺς προειρημένους ἔνσπονδά ἐστιν· ἐὰν δὲ ὑπερίδωσι καὶ ἀτιμάσαντες ὡς εὐτελῆ μὴ γεύσωνται, πεπιστεύκασιν οἱ ἐπιχώριοι ὅτι τῆς ἐκείνων ὑπεροψίας ἐστὶν αὐτοῖς λιμὸς τὸ τίμημα. ἄγευστοι γὰρ ὄντες οἱ προειρημένοι καὶ ἀδέκαστοί γε ὡς εἰπεῖν ἐπιπέτονται τε ταῖς ἀρούραις καὶ τό γε πλεῖστον τῶν κατεσπαρμένων συλῶσι πικρόταί γε ἐκεῖνοι σὺν τῷι θυμῶι καὶ ἀνορύττοντες καὶ ἀνιχνεύοντες.

275 (—) ARRIAN. Epict. diss. II 17, 5—6: τὸ δ' ἐξαπατῶν ᾽ τοὺς πολλοὺς τοῦτ' ἔστιν, ὅπερ καὶ Θεόπομπον τὸν ῥήτορα, ὅπου καὶ Πλάτωνι ἐγκαλεῖ ἐπὶ τῷι βούλεσθαι ἕκαστα ὁρίζεσθαι. τί γὰρ λέγει; «οὐδεὶς ἡμῶν πρὸ σοῦ ἔλεγεν ἀγαθὸν ἢ δίκαιον; ἢ μὴ παρακολουθοῦντες τί ἐστι τούτων ἕκαστον ἀσήμως καὶ κενῶς ⟨ἐ⟩φθεγγόμεθα τὰς φωνάς;»

276 (295) ATHEN. I 47 p 26 BC (EUST. Il. Δ 527): Θεόπομπος δέ φησι παρὰ Χίοις πρώτοις γενέσθαι τὸν μέλανα οἶνον, καὶ τὸ φυτεύειν δὲ καὶ θεραπεύειν ἀμπέλους Χίους πρώτους μαθόντας παρ' Οἰνοπίωνος τοῦ Διονύσου, ὃς καὶ συνώικισε τὴν νῆσον, τοῖς ἄλλοις ἀνθρώποις μεταδοῦναι.

277 (296) — I 61 p. 34 A: ὅτι [ὁ] Θεόπομπος ὁ Χῖος τὴν ἄμπελον ἱστορεῖ εὑρεθῆναι ἐν Ὀλυμπίαι παρὰ τὸν Ἀλφειόν. καὶ ὅτι τῆς Ἠλείας

---

7 Δημήτρ⟨ε⟩ιον Hercher 9 ⟨προτιθέναι⟩ o. ⟨προθεῖναι⟩ Jacobs 14 αὐτούς: τοὺς ἄλλους? Hercher 15 ⟨οὖν⟩ Jacobs προκειμένων Hercher 19 ὄντες: μένοντες Hercher δεκατεύτους ὡς Hercher 24 ὃς που Corais 28 ⟨ἐ⟩φθεγγόμεθα Salmasius 31 δὲ C τε E 32 συνώικισε Musurus συνώκησε CE 34 [ὁ] edd

τόπος ἐστὶν ἀπέχων ὀκτὼ στάδια, ἐν ὧι οἱ ἐγχώριοι κατακλείοντες τοῖς Διονυσίοις χαλκοῦς λέβητας τρεῖς κενοὺς παρόντων τῶν ἐπιθυμούντων ἀποσφραγίζονται καὶ ὕστερον ἀνοίγοντες εὑρίσκουσιν οἴνου πεπληρωμένους.

278 (229) a) ATHEN. II 18 p. 43 D: *Θεόπομπος δέ φησι περὶ τὸν Ἐριγῶνα ποταμὸν ὀξὺ εἶναι ὕδωρ καὶ τοὺς πίνοντας αὐτὸ μεθύσκεσθαι καθὰ καὶ τοὺς τὸν οἶνον.* b) ANTIGON. Hist. mir. 164: *ἐν δὲ Λυ⟨γ⟩κη⟨σ⟩ιαῖς Θεόπομπον φάσκειν τι εἶναι ὕδωρ ὀξύ, τοὺς δὲ ἐκ τούτου πίνοντας ὥσπερ ἐπὶ τῶν οἴνων ἀλλοιοῦσθαι. καὶ τοῦθ' ὑπὸ πλειόνων μαρτυρεῖται.* c) PARAD. VATIC. RHOD. 13: *Θεόπομπος ἐν Λυγκησιαῖς φησὶν εἶναι ὕδωρ ὀξύ, ὃ τοὺς πίνοντας μεθύσκει.* d) PARAD. FLORENT. 20: *Θεόπομπος ἐν † Λυγκήστωι φησὶ πηγὴν εἶναι, τῆι μὲν γεύσει ὀξίζουσαν, τοὺς δὲ πίνοντας μεθύσκεσθαι ὡς ἀπὸ οἴνου.* e) PLIN. NH XXXI 16 *Theopompus inebriari fontibus his quos diximus* (sc. II 230 *Lyncestis aqua quae vocatur acidula vini modo temulentos facit. item in Paphlagonia et in agro Caleno*).

279 (31) ATHEN. V 58 p. 217 D: *Περδίκκας τοίνυν πρὸ Ἀρχελάου λ̄ βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιός φησιν Νικομήδης* (III), *ἔτη μ̄α̅, Θεόπομπος δὲ λ̄ε̅, Ἀναξιμένης* (72 F 27) *μ̄, Ἱερώνυμος* (154 F 1) *κ̄η̄, Μαρσύας* (135—136 F 15) *δὲ καὶ Φιλόχορος* (III) *κ̄γ̄.*

280 (235) ATHEN. VI 55 p. 249 CD: *ἀλλ' οὐκ Ἀρκαδίων ὁ Ἀχαιὸς κόλαξ ἦν, περὶ οὗ ὁ αὐτὸς ἱστορεῖ Θεόπομπος καὶ Δοῦρις ἐν πέμπτηι Μακεδονικῶν* (76 F 3)· *οὗτος δὲ ὁ Ἀρκαδίων μισῶν τὸν Φίλιππον ἑκούσιον ἐκ τῆς πατρίδος φυγὴν ἔφυγεν. ἦν δ' εὐφυέστατος καὶ πλείους ἀποφάσεις αὐτοῦ μνημονεύονται. ἔτυχεν δ' οὖν ποτε ἐν Δελφοῖς ἐπιδημοῦντος Φιλίππου παρεῖναι καὶ τὸν Ἀρκαδίωνα· ὃν θεασάμενος ὁ Μακεδὼν καὶ προσκαλεσάμενος 'μέχρι τίνος φεύξηι', φησίν 'Ἀρκαδίων'; καὶ ὅς· 'ἕς τ' ἂν τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι Φίλιππον'.* es folgt Phylarch. 81 F 37. a. 338,6?

281 (297) — VI 65 p. 254 B: *ἦν* (sc. *τὴν πόλιν τῶν Ἀθηναίων*) *κ̄ε̄*? *ὁ μὲν Πύθιος ἑστίαν τῆς Ἑλλάδος ἀνεκήρυξε, πρυτανεῖον δὲ Ἑλλάδος ὁ δυσμενέστατος Θεόπομπος, ὁ φήσας ἐν ἄλλοις πλήρεις εἶναι τὰς Ἀθήνας Διονυσοκολάκων καὶ ναυτῶν καὶ λωποδυτῶν, ἔτι δὲ ψευδομαρτύρων καὶ συκοφαντῶν καὶ ψευδοκληιήρων.*

282 (298) — X 46 p. 435 B: *κἀν ἄλλοι δὲ μέρει τῆς ἱστορίας γράφει· «Φίλιππος ἦν τὰ μὲν φύσει μανικὸς καὶ προπετὴς καὶ πολλάκις μεθύων ἐξεβοήθει.»*

1 *ἀπέχων*: sc. *τῆς πόλεως* (Paus. VI 26, 1) 2 *κενοὺς* Paus *καινοὺς* CE 5 *Ἐριγῶνα* Brunck *ἐριῶνα* C *ἐριγαν* E *ὦ* 6 *[τὸν]*? Kaibel 6—7 *Λυγκησταῖς* Meursius *λυκήταις* Ant 8 *ἐπὶ*: *ἀπὸ* Schneidewin 9 *Λυγκησταῖς* Rohde *λυγγιοταῖς* Par 11 *Λυγκησταῖς* Westermann 31 *ναυτῶν* verdorben?

**283** (217) a) ATHEN. X 47 p. 435 D: *φιλοπότας δὲ καὶ μεθύσους* ΑΘ—ΜΙ
*καταλέγει Θεόπομπος Διονύσιον τὸν νεώτερον Σικελίας τύραννον, ὃν καὶ*
*τὰς ὄψεις ὑπὸ τοῦ οἴνου διαφθαρῆναι.* b) AELIAN. VH VI 12: *λέγει*
*δὲ Θεόπομπος ὑπὸ τῆς ἀκρατοποσίας τῆς ἄγαν αὐτὸν διαφθαρῆναι τὰς*
*ὄψεις, ὡς ἀμυδρὸν βλέπειν· ἀποκαθῆσθαι δὲ ἐν τοῖς κουρείοις καὶ γελωτο-*
*ποιεῖν.*

**284** (43) ATHEN. XI 34 p. 468 D: *περὶ δὲ τὴν Μολοσσίδα οἱ βόες* F 38?
*ὑπερφυῆ ἱστοροῦνται κέρατα ἔχειν· περὶ ὧν τῆς κατασκευῆς Θεόπομπος*
*ἱστορεῖ.*

**285** (170) a) — XIII 32 p. 573 C—E: *νόμιμόν ἐστιν ἀρχαῖον ἐν Κορίν-* ΚΕ?
*θῳ, ὡς καὶ Χαμαιλέων ὁ Ἡρακλεώτης ἱστορεῖ ἐν τῷ Περὶ Πινδάρου* (IV), *ὅταν ἡ πόλις*
*εὔχηται περὶ μεγάλων τῇ Ἀφροδίτῃ, συμπαραλαμβάνεσθαι πρὸς τὴν ἱκετείαν τὰς*
*ἑταίρας ὡς πλείστας, καὶ ταύτας προσεύχεσθαι τῇ θεῷ καὶ ὕστερον ἐπὶ τοῖς ἱεροῖς*
*παρεῖναι. καὶ ὅτε δὴ ἐπὶ τὴν Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ Πέρσης ὡς καὶ*
*Θεόπομπος ἱστορεῖ καὶ Τίμαιος ἐν τῇ ἑβδόμῃ* (III), *αἱ Κορίνθιαι ἑταῖραι*
*εὔξαντο ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας εἰς τὸν τῆς Ἀφροδίτης ἐλθοῦσαι νεών.*
*διὸ καὶ Σιμωνίδης ἀναθέντων τῶν Κορινθίων πίνακα τῇ θεῷ τὸν ἔτι καὶ νῦν*
*διαμένοντα καὶ τὰς ἑταίρας ἰδίαι γραψάντων τὰς τότε ποιησαμένας τὴν ἱκετείαν*
*καὶ ὕστερον παρούσας συνέθηκε τόδε τὸ ἐπίγραμμα* (F 137 Bgk⁴)·

*Αἶδ' ὑπὲρ Ἑλλήνων τε καὶ εὐθυμάχων πολιητᾶν*
*ἑστάθεν εὐχεσθαι Κύπριδι δαιμονίαι·*
*οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖ' Ἀφροδίτα*
*Πέρσαις Ἑλλάνων ἀκρόπολιν προδόμεν.*

b) SCHOL. PIND. O XIII 32 b: *Θεόπομπος δέ φησι καὶ τὰς γυναῖκας*
*αὐτῶν* (sc. *τῶν Κορινθίων*) *εὔξασθαι τῇι Ἀφροδίτηι ἔρωτα ἐμπεσεῖν τοῖς*
*ἀνδράσιν αὐτῶν μάχεσθαι ὑπὲρ τῆς Ἑλλάδος τοῖς Μήδοις, εἰσελθούσας*
*εἰς τὸ ἱερὸν τῆς Ἀφροδίτης, ὅπερ ἱδρύσασθαι τὴν Μήδειαν λέγουσιν Ἥρας*
*προσταξάσης. εἶναι δὲ καὶ νῦν ἀναγεγραμμένον ἐλεγεῖον εἰσιόντι εἰς τὸν*
*ναὸν ἀριστερᾶς χειρός·*

*Αἶδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἀγχεμάχων πολιητᾶν*
*ἔστασαν εὐχόμεναι Κύπριδι δαιμονίαι.*
*οὐ γὰρ τοξοφόροισιν ἐβούλετο δῖ' Ἀφροδίτα*
*Μήδοις Ἑλλάνων ἀκρόπυλιν δόμεναι.*

**286** (35) CICERO De off. II 40: *itaque propter aequabilem* Α
*praedae partitionem et Bardulis Illyrius latro, de quo est apud Theo-*
*pompum, magnas opes habuit.*

---

18 *ἑταιρίδας γραψ.* Stadtmueller *ἑταίρας διαγραψάντων* Preuner *ἀναγραφάντων* R Schoell 19 *παρούσας* sc. *ἐπὶ τοῖς ἱεροῖς* o. ä.' Kaibel 20 *ἰθυμάχων* Plut 21 *ἑστάθεν* Bergk *ἑσταθεν* Ath *ἔσταθεν* Plut *δαμοσίαι* De Herod. mal. 39 22 *ἐμήδετο* Plut 23 *Μήδοις* b Plut *δόμεναι* b 31 *εὐχόμενοι* Lobeck 32 *εὐξάμεναι* Plut 33 *δῖα* (*διὰ*) *θεοῖσιν* CPQ EPQ

287 (77) CLEM. ALEX. Strom. VI 2, 21, 4 p. 439, 14 St: *Θεόπομπος γράφει· «εἰ μὲν γὰρ ἦν τὸν κίνδυνον τὸν παρόντα διαφυγόντας ἀδεῶς διάγειν τὸν ἐπίλοιπον χρόνον, οὐκ ἂν ἦν θαυμαστὸν φιλοψυχεῖν· νῦν δὲ τοσαῦται κῆρες τῶι βίωι παραπεφύκασιν ὥστε τὸν ἐν ταῖς μάχαις θάνατον αἱρετώτερον εἶναι δοκεῖν.»*

288 (—) CORNEL. NEP. Alkib. 11: *hunc* (sc. Alcibiadem) *infamatum a plerisque tres gravissimi historici summis laudibus extulerunt: Thucydides .... Theopompus .... et Timaeus: qui quidem duo maledicentissimi nescio quo modo in illo uno laudando consentiunt.* (2) *namque ea quae supra scripsimus de eo praedicarunt atque hoc amplius: cum Athenis splendidissima civitate natus esset, omnes splendore ac dignitate superasse vitae;* (3) *postquam inde expulsus Thebas venerit, adeo studiis eorum inservisse, ut nemo eum labore corporisque viribus posset aequiperare — omnes enim Boeotii magis firmitati corporis quam ingenii acumini inserviunt.* (4) *eundem apud Lacedaemonios, quorum moribus summa virtus in patientia ponebatur, sic duritiae se dedisse, ut parsimonia victus atque cultus omnes Lacedaemonios vinceret. fuisse apud Thracas, homines vinolentos rebusque veneriis deditos; hos quoque in his rebus antecessisse.* (5) *venisse ad Persas, apud quos summa laus esset fortiter venari, luxuriose vivere; horum sic imitatum consuetudinem, ut illi ipsi eum in his maxime admirarentur.* (6) *quibus rebus effecisse, ut, apud quoscumque esset, princeps poneretur habereturque carissimus.* ΕΛΛ.

289 (119) — — Iphicr. 3: *fuit autem* (sc. Iphicrates) *et animo magno et corpore imperatoriaque forma, ut ipso aspectu cuivis iniceret admirationem sui, sed in labore nimis remissus parumque patiens, ut Theopompus memoriae prodidit, bonus vero civis fideque magna.* (2) *quod cum in aliis rebus declaravit, tum maxime in Amyntae Macedonis liberis tuendis. namque Eurydice, mater Perdiccae et Philippi, cum his duobus pueris Amynta mortuo ad Iphicratem confugit eiusque opibus defensa est.* Ā?

290 (—) DEMETR. De eloc. 240: *Θεόπομπος τὰς ἐν τῶι Πειραιεῖ αὐλητρίας καὶ τὰ πορνεῖα καὶ τοὺς αὐλοῦντας καὶ ἄιδοντας καὶ ὀρχουμένους* (sc. *λέγων*). s. T 43.

291 (—) DIDYM. i. Demosth. IV 63: *αὐ[τίκα γὰρ οἱ μὲν] ἐπὶ τῶι βελτίστωι μνημονεύου[σι τἀνδρός* (sc. *Ἑρμείου*), *ο]ἱ δὲ πάλιν ἐπὶ τῶι φαυλοτάτωι· [ὧν εἰσὶν ἄλλοι τ]ε καὶ Θεόπομπος ἐν τῆι ἕκτηι [καὶ . . .]ακοστῆι τῶν Περὶ Φιλιππον. [οὕτωσὶ γὰρ γρ]άφει· «ὥρμησε δὲ Ἑρ-* ΑΓ? p. 341

10 *consentiunt* Halm *consenserunt* (R), *consuerunt, consueverunt, conscierunt* Nep 11 *amplissimum*? Halm 31 *opibus*: *opera* Wölfflin 35 *αὐτίκα γὰρ* Wil(amowitz) 37 *ὧν — τε* Wil 37—38 *[τεττερ]ακοστῆι* Diels 38—599, 22 erg. Croenert Rh. M. LXII 382

μείας ἐπὶ [ταύτην τὴν] ὁδὸν εὐνοῦχος ὢ[ν καὶ διεφ]θο-
[ρ]ὼς τὸ [εἶδος διὰ καυτ]ῆρα (?), τρίτον δὲ ἐπ' [ἀδ]ι[κί]αι (?)
σ[υγγεν]όμενος [τῶι κυρί]ωι νοσ[οῦντι], ἔλαβεν [. . . . . .
Ἀσ]σὸν ‖ τὸν ἐκείν[ου πύργον καὶ] Ἀτάρνέα καὶ τὸ χωρίον
τὸ πλησίον ἅπαν, [κρατῶν ἀδικώ]τατα καὶ κακουργό-
τατα. καὶ τοῖς δ[ὲ φίλοις καὶ τοῖ]ς ἄλλοις διετέλεσε
προφερό[μενος ὠμότατα· τὸν μὲν γ]ὰρ φαρμάκοις, τὸν δὲ
[β]ρό[χωι διεχρήσατο. καὶ] τ(ῆς) χώρ(ας), ἧς Χῖοι καὶ
Μιτυληναί[οι ἐπίσκοπον αὐτ]ὸν καθίστασαν, ἐκεί[νω]ν
ἀ[ξιούντων οὐκ ἤθελε μ](ετὰ) τῶν ἀμίσθων στρατευ-
μάτων π[ροστατεύειν]. καὶ προεπηλάκισε πλείστους
Ἰώνων· ἀ[ργυρώ]νητος γὰρ ὢν καὶ καθεζόμενος ἐπὶ τρά-
πεζαν ἀργυραμοιβικὴν καὶ συγκεί[μενος πᾶς ἐκ σ]υμφο-
ρῶν οὐχ ἡσυχίαν ἦ[γεν, ἀλλ' ἐκτενῶς] θη[σαυρίζω]ν ἅμ[α
τ]ὸ πρέπον [διαβάλλων πλείστους ἠδίκη]σε, πολλῶν δὲ
[. . . . . ]ησε [. . τυγχ]άνε[ιν ἐ]πεχ[είρησ]ε, παρ' ἐνί[ους δὲ
συνε[. . . . . ]τας (?) τὰς ὑσ[τάτ]ας ο[ὔσ(ας) πολιτείας κ(ατά)-
γ(ειν ?) [προείλετ]ο. οὐ μὴν ἀθῶιός γε διέφυγεν οὐδὲ
κ(ατ)[ώρθωσεν π]ᾶσ[ι]ν ἀσεβῆ καὶ πονηρὸν αὐτὸν παρα-
σχ[(ών. ἀλλά π]οτ[ὲ] ἀνάσπαστος ὡς βασιλέα γενόμενο[ς καὶ
εὐθ]ὺ[ς] (?) τῶι σώματι λύμ(ας) π(α ρ)υπομείνας ἀνα[σταυ-
ρω]θεὶς τὸν βί[ον ἐτελε]ύτησεν.»

292 (—) DIDYM. i. Demosth. X 34: ἐξήφθη δ' ὁ πρὸς [τὸν] *Μακε-* ΜΗ—ΜΘ
*δόνα πόλεμος Ἀθηναίω[ν καὶ]* δ[ιὰ τ]ἄλλα μὲν ὅσα Φίλιππος εἰρήνην n. 340/39
*προσποιούμενος ἄγειν ἐπλημμέλει ⟨περὶ⟩ τῶν* (?) *Ἀθηναίων, μάλιστα δ'*
*ἡ ἐπὶ τὸ Βυζάντιον καὶ Πέρινθον αὐτοῦ στρατεία ⟨αὐτοὺς παρώξυνε.*
*ταύτας δὲ⟩ τὰς πόλεις ἐφιλοτιμεῖτο παρασήσασθαι ὑοῖν ἕνεκα, τοῦ τε*
*ἀφελέσθαι τὴν σιτοπομπίαν τῶν Ἀθηναί(ων) καὶ ἵνα μὴ πόλεις ἔχωσιν*
*ἐπιθαλαττίους ναυτικῶι προύχοντες ὁρμητήρια καὶ καταφυγὰς τοῦ πρὸς*
*αὐτὸν πολέμου, ὅτε δὴ καὶ τ[ὸ] παρανομώτατον ἔργον διεπράξατο τὰ*
*ἐφ' Ἱερῶι πλοῖα τῶν ἐμπόρων καταγαγών, ὡς μὲν ὁ Φιλόχορος (III)* Λ̄
*πρὸς τοῖς διακοσίοις, ὡς δ' ὁ Θεόπομπος* ρπ̄, *ἀφ' ὧν ἑπτακόσια τάλαντα*
*ἤθροισε.* s. F 224—225.

293 (IV 644) DIOD. I 37, 4: *οἱ δὲ περὶ τὸν Ἔφορον* (70 F 65) ΙΑ—Ιθ
n. 374/3

2—3 *B]ιθυ[ν]ὸς τὸ [γένος]* ..... *ἐν σ(υν)[ο]υ[σί]αι φ[ερ]όμενος [ὑπὸ Πλάτ]ωνος* Schub(art) 5 *ἅπαν[τα πράξας]* Grenfell-Hunt 9 *καθίστασαν ἐκεί[ω]νη[σε]* Schub 13 *συγκείμενος πᾶς ἐκ* Wendland 16 *ἐπεχείρησε* Foucart *παρ'* Schub 19 *κατώρθωσεν ἐνίους* Croenert *παρ' ἐνίοις . . . [φυ]γὰς κατάγ[ων]* Schub 23—25 erg. Diels-Schubart 25 *Ἀθηναίων* Jac *αθηναιους* Pap Grenfell-Hunt 26—27 *⟨αὐτούς — δέ⟩* Blass 29 *προύχοντες: παρασχούσας* B Keil

καὶ Θεόπομπον μάλιστα πάντων εἰς ταῦτ' (sc. περὶ τῆς τοῦ Νείλου πληρώσεως) ἐπιταθέντες ἥκιστα τῆς ἀληθείας ἐπέτυχον.

294 (281) DIOG. LAERT. III 40: καὶ ἐτελεύτα μὲν (sc. Πλάτων) ὃν εἴπομεν τρόπον Φιλίππου βασιλεύοντος ἔτος τρισκαιδέκατον, καθὰ καὶ Φαβωρῖνός φησιν Ἀπομνημονευμάτων γ̄ (IV)· ὑφ' οὗ καὶ ἐπιτιμηθῆναί φησιν αὐτὸν Θεόπομπος. F 259

295 (280) — — VI 14: τοῦτον (sc. Ἀντισθένη) μόνον ἐκ πάντων Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ καί φησι δεινόν τε εἶναι καὶ δι' ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι πάνθ' ὁντινοῦν. F 259

296 (76) DION. HAL. ad Pomp. 6: τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη. s. F 74. H?

297 (116) HARPOKR. s. Ἀρτεμισία· . . . . ἡ δὲ νεωτέρα, ἧς ὁ Δημοσθένης (sc. μνημονεύει XV 11 ὅ.), θυγάτηρ μὲν ἦν Ἑκατόμνω, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου, ἣν φησι Θεόπομπος φθονήσαι νόσωι ληφθεῖσαν διὰ τὴν λύπην τὴν ἐπὶ τοῦ ἀνδρὸς καὶ ἀδελφοῦ Μαυσώλου ἀποθανεῖν. ΙΕ—ΙΖ a. 351

298 (317) — s. Θρόνιον· Αἰσχίνης ἐν τῶι παραπρεσβείας (132). πόλις ἐστὶ τῆς Λοκρίδος Θρόνιον, ὡς Θεόπομπος ἐν τῆι *. Η? a. 353

299 (116) — (SUID.) s. Μαύσωλος (= SCHOL. DEMOSTH. XV 3)· . . . . ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα. ΙΕ—ΙΖ a. 353

300 (318) — (SUID. s. ὔμηρον) s. ὁμηρεύοντας· . . . . ὔμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν· "Ὁμηρος (Od. π 468) 'ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών.' Θεόπομπος δὲ ὁμηρεῖν φησι παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίαι τῶν ὁμολογουμένων διδομένους ἐντεῦθεν ὁμήρους φησὶ λέγεσθαι.

301 (240) — s. Τιλφώσσαιον· Δημοσθένης κατ' Αἰσχίνου (XIX 148). ὄρος ἐστὶ μικρὸν ἀπέχον τῆς λίμνης τῆς Κωπαΐδος, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς. ΚΕ

302 (319) HESYCH. s. Βισύρας· ἥρως Θρᾳιξ. Θεόπομπος δὲ Χερσονησίτην λέγει [Βισσύρας].

303 (320) — s. Δονάκταν· τὸν Ἀπόλλωνα. Θεόπομπος.

304 (5) — s. ζειρά· οἱ μὲν εἶδος χιτῶνος, οἱ δὲ ζώνην. βέλτιον δὲ ἄλλο τι ἐπιβόλαιον κατὰ τῶν ὤμων φορούμενον, ἐοικὸς ἐφαπτίδι· καὶ Ἡρόδοτος μαρτυρεῖ ἐν ξ̄ (69; 75) καὶ Θεόπομπος ὁ Χῖος. ΕΠ. ΠΡΟΣ.

---

13 ἑκατόμνου C Ald Suid. s. Ἀρτεμισία 16 τῶι περὶ τῆς παρ. Ald 17 τὸ Θρόνιον A ἐν τῆι ⟨η̄⟩ Schranz 18 μαυσώλος A B 21 ἀρχαίοις Suid ἀχαιοῖς Harp 25 ὁμολογημένων Suid 31 Χερσονησίτην Musurus χέρσαννισουτην Hes [Βισσύρας] M Schmidt Βισσύραν Musurus 33 Δονάκταν Salmasius δοναστάν Hes 35 ἐν ζ̄ Schow ενζα Hes

**305** (—) INSCHR. PRIENE 37, 118: *ἁμὲς δὲ θεωροῦντες τοὺς* F??
*γράψαντάς τὸμ* [*πόλεμον τὸμ*] *Μελιακὸν καὶ τὰν διαίρεσιν τᾶς χώρας τοὺς μὲν ἄλλους πάντας φαμένους ἐκ τᾶς διαιρέσιος λ*[*αχ*]*όντας Σαμίους*] *Φύγελα, καίπερ ὄντας τέσσερας μὲν Σαμίους Οὐλιάδην* (III) *καὶ Ὀλύμπιχον* (III) *καὶ Δοῦριν* (76 F 25) *καὶ Εὐάγωνα* (III). *δύο δὲ Ἐφεσίους Κρεώφυλον* (III) *καὶ Εὐάλκη* (III), *Χῖον δὲ τὸν Θεόπομπον, οὓς πάντας ἐν ταῖς ἱστορίαις εὑρίσκομεν κατακεχωρικότας διότι ἔλαχον* [*Σάμιοι*] *Φύγελα.* s. F 59.

**306** (—) JOSEPH. c. Ap. I 220—221: *καὶ γὰρ ἐθνῶν τινες καὶ τῶν ἐνδοξοτάτων* KE?
*πόλεων φυπαίνειν τὴν εὐγένειαν καὶ τὰς πολιτείας ἐπεχείρησαν λοιδορεῖν, Θεόπομπος μὲν τὴν Ἀθηναίων, τὴν δὲ Λακεδαιμονίων Πολυκράτης.*

**307** (—) LEXIC. IN DEMOSTH. Aristocr. (P Berol. 5008) A 1: *Ā*?
*ὅτι δὲ ἀπέσ*[*ιη* (sc. *Μιλτοκύθης*) *Κύπ*υ]*ος Φιλόχορος* (III) *δεδήλωκεν ἐν* a. 359/8
*τῇι ε̄ τῆς Ἀ*[*τθίδος. ὅτι*] *δὲ ὑπὸ Κερσοβλέπτου ἁλοὺς Μιλτοκύ*[*θης ἐτελεύτησ*]*εν, φη*[*σὶ καὶ*] *Θεόπομπος* [*ἐν τῆι* * *τῶν Φιλιππικῶν λέγων οὕτως*]· «*ὁρμώμενος δ' ἐκ τῆς πό*[*λ*]*εως* . . . . . : *ξενολογήσας διὰ τοῦ Ἡρακλεί*δ[*ο*]*υ* [*καὶ Π*]*ύθ*[*ωνος*] *τῶν Ἀρχελάου παίδων,* [*τὸ*] *μὲν πρ*[*ῶτον ἐ*]*κράτει τῶι πολέμωι καὶ* [*τ*]*ῷ ἐπὶ* [. . . . . *ἔλα*]*βεν καὶ τὴν χώραν ἐπέδ*[*ρ*]*αμεν κακοπ*[*οιῶν καὶ*] *πορθῶν ἅπασαν τ*[. . .]-*πρ* . . . *εν*[. . . . . *Σμι*]*κυθ*⟨*ί*⟩*ωνος στρατιώτας* . . . . *ωρ* . . . . . [*λα*]*βεῖν καὶ ω*[. . . . . ]*τον* . . . . . *τρω*- . . . . . *ἀ*[*π*]*ῆχθαι*(?) *πρὸς τὸν Κερσο*[*βλέπ*]*τ*ην *ἀνδρ*[*α*] *καὶ π* — — — (es folgt Anaximenes 72 F 5—6).

**308** (—) — — A 33: *καὶ Θ*[*εό*]*π*[*ομπος δ' ἐν* . . . . . ] *τὰ παραπλ*[*ήσια ἱστορεῖ τούτοις* (über die spartanische heeresteilung; das voraufgehende ist verloren)· *Ξενοφῶν*] *δὲ* (Resp. Lac. 11, 4) *κτλ.*

**309** (321) LEXIC. SEGUER. 214, 32; 465, 3 Bk (SUID. s. v. gl. 2; ET. M. 174, 2): *αὐτοβοεί· τὸ παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῶι πολεμικῶι ἀλαλαγμῶι. οὕτω Θοινυδίδης* (II 81, 3; III 113, 6 ὅ.). *παρὰ Θεοπόμπωι δὲ ἀντὶ τοῦ κατὰ κράτος.*

**310** (300) [LUKIAN.] Macrob. 10: *Τήρης δὲ Ὀδρυσῶν βασιλεύς,* *Ā*?
*καθά φησι Θεόπομπος, δύο καὶ ἐνενήκοντα ἐτῶν ἐτελεύτησεν.*

**311** (—) MOERIS p. 201, 6 Bk.: *κατωνάκη· τοῖς εἰς χρόνον* ΔΓ?
*φεύγουσιν ὅτε κατίοιεν νάκους τι τοῖς ἱματίοις προσερράπτετο, ὡς καὶ*

---

12—24 erg. Blass 15 *ἐν τῆι τᾶ* Blass 19 *ἐπὶ* [*Θράικης τιν' ἔλα*]*βεν*? Diels-Schubart *ἐπὶ θαλάττης εἶρξεν* las Blass 21 *ε . . . ς προδοθέν*[*τα ὑπὸ τ*]*ῶν* [*Σμι*]*κυθ*⟨*ί*⟩*ωνος στρατιῶται . . . [ὁ]ὥρα πα . . κε . . . [λα]βεῖν καὶ φεύγειν* (?) Blass, der *προδ.* — *Σμικ.* für neues lemma (Demosth. XXIII 169) hält 25 *Θ.* [*δ' ἐν Ἑλληνικοῖς*] Blass 26—27 *τὰ παρ. ἱστ. τούτοις· Ξεν.* Diels-Schubart *τὰ παρ. ἱστο*[*ρεῖ*] — — [*Ξεν.*] Blass 35 *κατίοιεν* edd *κατιὼν* Moe

Θεόπομπος· «ἠναγκάσθησαν δὲ ὑπὸ τῶν τυράννων, ἵνα μὴ κατίωσιν εἰς ἄστυ, κατωνάκην φορεῖν.» s. F 176?

**312** (258) PAUSAN. III 10, 3: Ἀρχιδάμου δὲ τοῦ Ἀγησιλάου βασι- a. 357/6
λεύοντος κατέλαβον τὸ ἱερὸν Φωκεῖς τὸ ἐν Δελφοῖς. Θηβαίοις μὲν ὀὴ πολεμεῖν τοῖς Φωκεῦσιν ἀφίκετο μὲν καὶ ἰδίαι συμμαχικὰ ἐπὶ χρήμασιν, ἀπὸ δὲ κοινοῦ λόγου Λακεδαιμόνιοί τε καὶ Ἀθηναῖοι σφισιν ἦμυνον, οἱ μὲν ἀρχαίαν δή τινα ἐκ τῶν Φωκέων μνημονεύοντες εὐεργεσίαν, Λακεδαιμόνιοι δὲ προφάσει μὲν καὶ οὗτοι φιλίας, κατὰ ἔχθος δὲ ἐμοὶ δοκεῖν τὸ Θηβαίων. Θεόπομπος δὲ ὁ Δαμασιστράτου τόν τε Ἀρχίδαμον μετασχεῖν τῶν χρημάτων αὐτὸν καὶ ἔτι Δεινίχαν τὴν Ἀρχιδάμου γυναῖκα παρὰ τῶν δυναστευόντων ἐν Φωκεῦσιν ἔφη λαμβάνουσαν δωρεὰν ἑτοιμότερον ποιεῖν σφισιν ἐς τὴν συμμαχίαν Ἀρχίδαμον. (4) τὸ μὲν δὴ χρήματα ἱερὰ δέξασθαι ... οὐκ ἐς ἔπαινον τίθεμαι, τοσοῦτον δέ οἱ πρόσεστιν ἐς ἔπαινον· Δελφῶν γὰρ τούς τε ἠβῶντας ἀποκτεῖναι καὶ γυναῖκας καὶ τέκνα ἐξανδραποδίσασθαι, καταβαλεῖν δὲ καὶ αὐτὴν ἐς ἔδαφος τὴν πόλιν ἐτόλμων οἱ Φωκεῖς· ταῦτα οὖν μὴ παθεῖν ὑπὸ τῶν Φωκέων αὐτοὺς παρητήσατο Ἀρχίδαμος. (5) διέβη δὲ καὶ ἐς Ἰταλίαν ὕστερον (F 232) Ταραντίνοις βαρβάροις πόλεμον συνδιοίσων σφίσιν ὁμόρων· καὶ ἀπέθανέ τε αὐτόθι ὑπὸ τῶν βαρβάρων καὶ αὐτοῦ τὸν νεκρὸν ἁμαρτεῖν τάφου τὸ μήνιμα ἐγένετο ἐμποδὼν τὸ ἐκ τοῦ Ἀπόλλωνος.

**313** (—) PHOT. LEX. p. 104, 1 Rei: ἀμφισβητήσιμον· Πλάτων (Soph. 231 E δ.) καὶ [ὁ] Θεόπομπος. ἀμφισβητήτου δὲ Θουκυδίδης (VI 6).

**314** (322) — — (SUID.) s. κιλικισμόν· Θεόπομπος ὁ ἱστορικὸς τὸν ἐκ παρανομίας φόνον λέγει.

**315** (—) — — s. τὸ νῦν εἶναι· παρέλκει τὸ εἶναι. Θεόπομπος.

**316** (316) PLIN. NH II 237: *nam si intermisit ille iucundus frondemque densi supra se nemoris non adurens et iuxta gelidum fontem semper ardens Nymphaei crater, dira Apolloniatis suis portendi, ut Theopompus tradidit; augetur imbribus egeritque bitumen temperandum fonte illo ingustabili* ⟨*et*⟩ *alias omni bitumine dilutius.* s. F 320.

**317** (144) — — III 57: *Theophrastus, qui primus externorum aliqua de Romanis diligentius scripsit — nam Theopompus, ante quem nemo mentionem habuit, urbem dumtaxat a Gallis captam dixit, Clitarchus* (137 F 31) *ab eo proximus legationem tantum ad Alexandrum missam — hic iam plus quam ex fama — . . . . . Theopompus* (sc. auctor est), *in qua Alexander Epiroles occubuerit.* s. F 232. KA NB?

10 χρημάτων: πραγμάτων $LP^1$ $y^2$ 21 [ὁ] Jac 22 ὁ Θ Suid 28 ἐκ παροινίας Suid πονηρίας? 25 ⟨*vicu*⟩ *ille* Mayhoff 26 *egelidum* Pintianus 29 ⟨*et*⟩ Mayhoff *a* $R^1$ om rell 33 *cliarcus*, —*gus* Pl 34 *hic* — *fama* auf *Theophrastus* bezogen von Mayhoff *ex* Detlefsen *et* Pl e Nitzsch 35 *Mandoniam*: *mardoniam* Pl *Pandosiam* Barb (Strab. VI 1, 5) *Manduria* Plin. NH II 226; Liv. XXVII 15, 4 Μανδώνιον, —δόνιον Plut. Agis 8

319 (230) PLIN. NH IV 2 (SOLIN. 7, 1): *Molossi, apud quos Dodonaei Iouis templum oraculo inlustre, Tmarus mons centum fontibus circa radices Theopompo celebratus.* s. F 382. ΜΓ?

320 (—) — — XVI 59: *Theopompus scripsit in Apolloniatarum agro picem fossilem non deteriorem Macedonica inveniri.* s. F 316.
— — — XXXI 16; 17; 27: s. F 271 b; 278 e; 270 d.

321 (24) PLUTARCH. Ages. 10, 9—10: *καὶ καθ' ὁδὸν ὧν* (sc. εἰς Φρυγίαν) *σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν κελεύουσαν ἄρχειν αὐτὸν ἅμα καὶ τοῦ ναυτικοῦ· τοῦτο μόνωι πάντων ὑπῆρξεν Ἀγησιλάωι. καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως καὶ τῶν τότε ζώντων ἐπιφανέστατος, ὡς εἴρηκέ που καὶ Θεόπομπος, ἑαυτῶι γε μὴν ἐδίδου δι' ἀρετὴν φρονεῖν μεῖζον ἢ διὰ τὴν ἡγεμονίαν.* ΙΓ o. ΝΕ–ΝΖ?

322 (291) — — 31, 1: (Epameinondas) *παρῆν εἰς τὴν Λακωνικὴν . . . . διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως, μηδενὸς ἐπεξιόντος.* (4) *ὁ γὰρ Ἀγησίλαος οὐκ εἶα πρὸς τοσοῦτον, ὡς φησι Θεόπομπος, ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς Λακεδαιμονίους.*

323 (292) — — 32, 13—33, 2: *ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι χειμώνων γενομένων καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαρρεῖν ἀτάκτως, [οἱ δὲ] τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας· Θεόπομπος δέ φησιν, ἤδη τῶν βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον ἄνδρα Σπαρτιάτην παρ' Ἀγησιλάου δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν, ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσπεριγενέσθαι.* (33) *τοῦτο μὲν οὖν οὐκ οἶδ' ὅπως ἠγνόησαν οἱ ἄλλοι, μόνος δ' ὁ Θεόπομπος ἤισθετο. τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμιρύτων αὐτῶι παθῶν φιλοτιμίας καὶ φιλονικίας ἀποστὰς ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς.*

324 (—) — Alkib. 32: *ἃ δὲ Δοῦρις* (76 F 70) . . . . *προστίθησι τούτοις* (den berichten über Alkibiades' rückkehr nach Athen) . . . . . *οὔτε Θεόπομπος οὔτ' Ἔφορος* (70 F 200) *οὔτε Ξενοφῶν* (Hell. I 4) *γέγραφεν* . . . . . ΕΔΛ.

325 (105) — Demosth. 4, 1: *Δημοσθένης ὁ πατὴρ Δημοσθένους* Ι? *ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ Θεόπομπος, ἐπεκαλεῖτο δὲ μαχαιροποιός, ἐργαστήριον ἔχων μέγα καὶ δούλους τεχνίτας τοὺς τοῦτο πράττοντας.*

326 (106) — — 13, 1: *ὅθεν οὐκ οἶδ' ὅπως παρέστη Θεοπόμπωι* Ι?

---

2 *Tmarus* Diels *talarus* Plin *talarus, tabarus, tiliarus, tiliarum* Solin *Tomarus* Barb 19 [*οἱ δέ*] Madvig 24 *προσγενέσθαι* S 25 *ὁ* om. Y 26 *γεγενῆσθαι* S 27 *φιλονεικίας καὶ φιλοτιμίας* Y

λέγειν αὐτὸν (sc. Δημοσθένην) ἀβέβαιον τῶι τρόπωι γεγονέναι καὶ μήτε πράγμασι μήτ' ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. (2) φαίνεται γὰρ εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὐτὸν ἐν τῆι πολιτείαι κατέσταθαι, ταύτην ἄχρι τέλους διαφυλάξας καὶ οὐ μόνον ἐν τῶι βίωι μὴ μεταβαλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐπὶ τῶι μὴ μεταβαλέσθαι προέμενος.

327 (107) PLUTARCH. Demosth. 14, 4: ἱστορεῖ δὲ καὶ Θεόπομπος Γ? ὅτι τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, εἶθ' ὡς οὐχ ὑπήκουε, θορυβούντων, ἀναστὰς εἶπεν· 'ὑμεῖς ἐμοί, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλωι μέν, κἂν μὴ θέλητε, χρήσεσθε, συκοφάντηι δ' οὐδ' ἂν θέλητε'.

328 (239) — — 18, 1: οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος ὑπὸ τῆς περὶ ΝΑ—Ν τὴν Ἀμφισσαν εὐτυχίας ἐπαιρόμενος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε καὶ τὴν Φωκίδα κατέσχε, ἐκπεπλιγμένων τῶν Ἀθηναίων καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα μηδ' ἔχοντος ὅ τι χρὴ λέγειν, ἀλλ' ἀπορίας οὔσης ἐν μέσωι καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἆλλα παραθαρρύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τοῖς ἐλπίσι τὸν δῆμον ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. (2) ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας (135—136 F 20) φησίν, Ἀμύνταν μὲν καὶ Κλέαρχον Μακεδόνας, Δάοχον δὲ Θεσσαλὸν καὶ Θρασυδαῖον (s. F 209) ἀντεροῦντας. τὸ μὲν οὖν συμφέρον οὐ διέφευγε τοὺς τῶν Θηβαίων λογισμούς . . . . . , ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν, ὥστε καὶ φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς ἐνθουσιῶντας ..... (3) οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύσασθαι δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῶι Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς βοιωτάρχας, διοικεῖσθαι δὲ καὶ τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυνασευόντος οὐκ ἀδίκως οὐδὲ παρ' ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

329 (263) — — 21, 1: τότε δὲ τῆς ἀτυχίας (sc. bei Chaironeia) ΝΓ τοῖς Ἕλλησι γεγενημένης οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες ἐπεμβαίνοντες τῶι Δημοσθένει κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· (2) ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει καὶ προκαλούμενος αὖθις ὡς εὔνουν εἰς τὴν πολιτείαν, ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτομένων τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν

6 θεόφραστος N 7 εἰθ' om Y 8 θορυβουμένων N 11 φερόμενος N 11—12 Φωκίδα — Ἐλάτειαν Gebhard 18 Κλέαρχον Y Κλεάνδρον καὶ Κάσανδρον N δὲ N δὲ καὶ Y 18—19 θρασυδαῖον Y δικαίαρχον N 22 ἐπεσκότισε N 28 δὲ καὶ om Y 30 οὐκ ἀδίκως Y οὐ κακῶς N ὥσπερ Y καθάπερ N 35 ἀπέλυεν N 36 ὁσιῶν N

ἀπέδωκεν, οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκός, ὡς γράφει καὶ τραγωιδεῖ Θεόπομπος, ἀλλὰ τῶι τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἐπιδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις.

330 (108) PLUTARCH. Demosth. 25, 7—8: τότε μὲν οὖν ἀπέ- a. 344
πεμψαν (sc. οἱ Ἀθηναῖοι) ἐκ τῆς πόλεως τὸν Ἅρπαλον, δεδιότες δὲ μὴ λόγον ἀπαιτῶνται τῶν χρημάτων, ἃ διηρπάκεισαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικὴν καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων, πλὴν τῆς Καλλικλέους τοῦ Ἀρρεν⟨ε⟩ίδου· μόνην γὰρ τὴν τούτου νεωστὶ γεγαμηκότος οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ Θεόπομπος.

331 (211) — Dion 24: μετὰ δὲ τὰς σπονδὰς καὶ τὰς νενομισμένας ΛΘ—ΜΓ
κατευχὰς ἐξέλιπεν ἡ σελήνη. καὶ τοῖς μὲν περὶ τὸν Δίωνα θαυμαστὸν a. 357
οὐδὲν ἦν .... ἐπεὶ δὲ τοῖς στρατιώταις διαταραχθεῖσιν ἔδει τινὸς παρηγορίας, Μίλτας ὁ μάντις ... ἐκέλευε θαρρεῖν αὐτούς ....· σημαίνειν γὰρ τὸ δαιμόνιον ἔκλειψίν τινος τῶν νῦν ἐπιφανῶν, ἐπιφανέστερον δὲ μηδὲν εἶναι τῆς Διονυσίου τυραννίδος ..... τὸ δὲ τῶν μελισσῶν, αἳ περὶ τὰ πλοῖα τοῦ Δίωνος ὤφθησαν ἐσμὸν λαμβάνουσαι κατὰ πρύμναν, ἰδίαι πρὸς αὐτὸν καὶ τοὺς φίλους ἔφραζε δεδιέναι, μὴ καλαὶ μὲν αἱ πράξεις αὐτοῦ γένωνται, χρόνον δ' ὀλίγον ἀνθήσασαι μαρανθῶσι. λέγεται δὲ καὶ τῶι Διονυσίωι πολλὰ τερατώδη παρὰ τοῦ δαιμονίου γενέσθαι σημεῖα. ἀετὸς μὲν γὰρ ἁρπάσας δοράτιόν τινος τῶν δορυφόρων ἁράμενος ὕψοῦ καὶ φέρων ἀφῆκεν εἰς τὸν βυθόν· ἡ δὲ προσκλύζουσα πρὸς τὴν ἀκρόπολιν θάλασσα μίαν ἡμέραν τὸ ὕδωρ γλυκὺ καὶ πότιμον παρέσχεν, ὥστε γευσαμένοις πᾶσι κατάδηλον εἶναι. χοῖροι δ' ἐτέχθησαν αὐτῶι τῶν μὲν ἄλλων οὐδενὸς ἐνδεεῖς μορίων, ὦτα δ' οὐκ ἔχοντες. ἀπεφαίνοντο δ' οἱ μάντεις τοῦτο μὲν ἀποστάσεως καὶ ἀπειθείας εἶναι σημεῖον, ὡς οὐκέτι τῶν πολιτῶν ἀκουσομένων τῆς τυραννίδος, τὴν δὲ γλυκύτητα τῆς θαλάσσης μεταβολὴν καιρῶν ἀνιαρῶν καὶ πονηρῶν εἰς πράγματα χρηστὰ φέρειν Συρακουσίοις· ἀετὸς δὲ θεράπων Διός, λόγχη δὲ παράσιμον ἀρχῆς καὶ δυναστείας, ἀφανισμὸν οὖν καὶ κατάλυσιν τῆι τυραννίδι βουλεύειν τὸν τῶν θεῶν μέγιστον. ταῦτα μὲν οὖν Θεόπομπος ἱστόρηκε.

332 (10) — Lys. 17, 2—3: οἱ δὲ φρονιμώτατοι τῶν Σπαρτιατῶν ΕΔΔ. Β
οὐχ ἥκιστα καὶ διὰ τοῦτο (sc. unterschlagung der Lysandergelder durch a. 404
Gylippos) τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες .... τόν τε Λύσανδρον ἐλοιδόρουν καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύριον καὶ τὸ χρυσίον ὥσπερ κῆρας ἐπαγωγίμους· οἱ δὲ προύθεσαν γνώμην. καὶ Θεόπομπος μέν φησι Σκιραφίδαν, Ἔφορος (70 F 205) δὲ Φλογίδαν εἶναι τὸν ἀποφηνάμενον, ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργύριον εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῶι πατρίωι.

3 ἀποδεικνύμενος Y συμβεβουλευμένοις N 6 χρημάτων ὧν Y 7 τῆς YU τὰς N 8 μόνης· τὴν δὲ τούτου N 9 οὔσης ἔνδον N θεόπομπος Y θέοφραστος N 14 τινος Corais τινα Pl 38 ἀργυροῦν Ald

**333** (22) PLUTARCH. Lys. 30, 2: καὶ γὰρ ἡ πενία τοῦ Λυσάνδρου τελευτήσαντος ἐκκαλυφθεῖσα φανερωτέραν ἐποίησε τὴν ἀρετήν, ἀπὸ χρημάτων πολλῶν καὶ δυνάμεως θεραπείας τε πόλεων καὶ βασιλέως τοσαύτης μηδὲ μικρὸν ἐπιλαμπρύναντος τὸν οἶκον εἰς χρημάτων λόγον, ὡς ἱστορεῖ Θεόπομπος, ὧι μᾶλλον ἐπαινοῦντι πιστεύσειεν ἄν τις ἢ ψέγοντι· ψέγει γὰρ ἥδιον ἢ ἐπαινεῖ. χρόνωι δὲ ὕστερον Ἔφορός φησι (70 F 207) . . . . s. F 20. ΕΔΔ. Ī

**334** (215) a) PLUTARCH. Timol. 4: (Timoleon erhebt sich gegen die tyrannis des Timophanes) παραλαβὼν τῶν μὲν οἰκείων Λίσχύλον, ἀδελφὸν ὄντα τῆς Τιμοφάνους γυναικός, τῶν δὲ φίλων τὸν μάντιν, ὃν Σάυρον μὲν Θεόπομπος, Ἔφορος (70 F 221) δὲ καὶ Τίμαιος (III) Ὀρθαγόραν ὀνομάζουσιν . . . . . ΛΘ—ΜΪ s. 345/4

b) CLEM. ALEX. Strom. I 21, 125, 1 p. 88, 24 Stäh: Θεόπομπος δὲ καὶ Ἔφορος καὶ Τίμαιος Ὀρθαγόραν τινὰ μάντιν ἀναγράφουσι.

**335** (293) PLUTARCH. De Is. 69 p. 378 E: τοὺς δὲ πρὸς ἑσπέραν οἰκοῦντας ἱστορεῖ Θεόπομπος ἡγεῖσθαι καὶ καλεῖν τὸν μὲν χειμῶνα Κρόνον, τὸ δὲ θέρος Ἀφροδίτην, τὸ δ' ἔαρ Περσεφόνην· ἐκ δὲ Κρόνου καὶ Ἀφροδίτης γεννᾶσθαι πάντα. ΜΓ?

**336** (IV 645) — De Pyth. or. 19 p. 403 EF: ὃ δ' ἐστὶν μέγιστον, αἱ ῥῆτραι, δι' ὧν ἐκόσμησε τὴν Λακεδαιμονίων πολιτείαν Λυκοῦργος, ἐδόθησαν αὐτῶι καταλογάδην. μυρίους τοίνυν καὶ Ἡροδότου καὶ Φιλοχόρου (III) καὶ Ἴστρου (III), τῶν μάλιστα τὰς ἐμμέτρους μαντείας φιλοτιμηθέντων συναγαγεῖν, ἄνευ μέτρου χρησμοὺς γεγραφότων, Θεόπομπος οὐδενὸς ἧττον ἀνθρώπων ἐσπουδακὼς περὶ τὸ χρηστήριον, ἰσχυρῶς ἐπιεστίμηκε τοῖς μὴ νομίζουσι κατὰ τὸν τότε χρόνον ἔμμετρα τὴν Πυθίαν θεσπίζειν· εἶτα τοῦτο βουλόμενος ἀποδεῖξαι, παντάπασιν ὀλίγων χρησμῶν ἠπόρηκεν, ὡς τῶν ἄλλων καὶ τότ' ἤδη καταλογάδην ἐκφερομένων. Η?

**337** (294) — Non posse 10 p. 1093 C: τίς δ' ἂν ἡσθείη συνανα- παυσάμενος τῆι καλλίστηι γυναικὶ μᾶλλον ἢ προσαγρυπνήσας οἷς γέγραφε περὶ Πανθείας Ξενοφῶν (Kyrup. VI 1 ff.) ἢ περὶ Τιμοκλείας Ἀριστόβουλος (139 F 2) ἢ Θήβης Θεόπομπος. Ā? s. 358

**338** (332) POLLUX III 58: παμπόνηροι δ' οἱ Θεοπόμπου τοῦ συγγραφέως «ἀποπολῖται» καὶ «ἀφέταιροι» καὶ «ἀπαθηναῖοι.»

**339** (333) — IV 93: τὸ μέντοι ὄνομα ὁ «ἀποκήρυκτος» οὐκ ἔστιν ἐν χρήσει τῆι παλαιᾶι, Θεόπομπος δ' αὐτῶι κέχρηται ὁ συγγραφεύς· ἀλλ' οὐδὲν Θεοπόμπωι σταθμητὸν εἰς ἑρμηνείας κρίσιν.

**340** (334) — V 42: ἔνδοξος δὲ καὶ ὁ Ἠπειρωτικὸς Κέρβερος καὶ ὁ Ἀλεξάνδρου Περίτας, τὸ θρέμμα τὸ Ἰνδικόν· ἐκράτει δ' οὗτος λέοντος, ἑκατὸν μνῶν ἐωνημένος. καὶ ἀποθανόντι αὐτῶι πόλιν φησὶ Θεόπομπος Ἀλέξανδρον ἐποικίσαι. s. 337/6

---

8 βασιλέως τοσαύτης Emperius βασιλείας τοιαύτης Pl 5–6 ψέγει — ἐπαινεῖ Solanus ψέγειν — ἐπαινεῖν Pl [ψέγ. — ἐπ.] Cobet 19 μυρίους Paton, Schwartz ἀλυρίου Pl 25 τῶν πολλῶν Herwerden 36 περὶ τὰς S περὶ τὸ F περίττας A περιστὰς C

341 (216) POLYB. XII 4a 2: *Θεοπόμπου μὲν κατηγορεῖ* (sc. *Τίμαιος*) *διότι Διονυσίου ποιησαμένου τὴν ἀνακομιδὴν ἐκ Σικελίας εἰς Κόρινθον ἐν μακρᾷ νηί, Θεόπομπός φησιν ἐν στρογγύλῃ παραγενέσθαι τὸν Διονύσιον.* ΛΘ—ΜΙ

342 (28) — XII 27, 8—9: *ὁ δὲ Θεόπομπος τοῦτον μὲν ἄριστον ἐν τοῖς πολεμικοῖς* (sc. *φησίν*) *τὸν πλείστοις κινδύνοις παρατετευχότα, τοῦτον δὲ δυνατώτατον ἐν λόγοις τὸν πλείστων μετεσχηκότα πολιτικῶν ἀγώνων. τὸν αὐτὸν δὲ τρόπον συμβαίνειν ἐπ' ἰατρικῆς καὶ κυβερνητικῆς.* Ā?

343 (272) — XVI 12, 7: *τὸ γὰρ φάσκειν ἕνια τῶν σωμάτων ἐν φωτὶ τιθέμενα μὴ ποιεῖν σκιὰν ἀπηλιγκινίας ἐστὶ ψυχῆς· ὃ πεποίηκε Θεόπομπος φήσας τοὺς εἰς τὸ τοῦ Διὸς ἄβατον ἐμβάντας κατ' Ἀρκαδίαν ἀσκίους γίνεσθαι.*

344 (283) PORPHYR. De abst. II 16: *τὰ παραπλήσια δὲ καὶ Θεόπομπος ἱστόρηκεν, εἰς Δελφοὺς ἀφικέσθαι ἄνδρα Μάγνητα ἐκ τῆς Ἀσίας φάμενος, πλούσιον σφόδρα, κεκτημένον συχνὰ βοσκήματα. τοῦτον δ' εἰθίσθαι τοῖς θεοῖς καθ' ἕκαστον ἐνιαυτὸν θυσίας ποιεῖσθαι πολλὰς καὶ μεγαλοπρεπεῖς, τὰ μὲν δι' εὐπορίαν τῶν ὑπαρχόντων, τὰ δὲ δι' εὐσέβειαν καὶ τὸ βούλεσθαι τοῖς θεοῖς ἀρέσκειν. οὕτω δὲ διακείμενον πρὸς τὸ δαιμόνιον ἐλθεῖν εἰς Δελφούς, πομπεύσαντα δὲ ἑκατόμβην τῷι θεῷι καὶ τιμήσαντα μεγαλοπρεπῶς τὸν Ἀπόλλωνα παρελθεῖν εἰς τὸ μαντεῖον χρηστηριασόμενον. οἰόμενον δὲ κάλλιστα πάντων ἀνθρώπων θεραπεύειν τοὺς θεοὺς ἐρέσθαι τὴν Πυθίαν τὸν ἄριστα καὶ προθυμότατα τὸ δαιμόνιον γεραίροντα θεσπίσαι καὶ τὸν ποιοῦντα τὰς θυσίας προσφιλεστάτας, ὑπολαμβάνοντα δοθήσεσθαι αὐτῷι τὸ πρωτεῖον. τὴν δὲ Ἱέρειαν ἀποκρίνασθαι πάντων ἄριστα θεραπεύειν τοὺς θεοὺς Κλέαρχον κατοικοῦντα ἐν Μεθυδρίοις τῆς Ἀρκαδίας. τὸν δ' ἐκπλαγέντα ἐκτόπως ἐπιθυμῆσαι τὸν ἄνθρωπον ἰδεῖν καὶ ἐνιυχόντα μαθεῖν, τίνα τρόπον τὰς θυσίας ἐπιτελεῖ. ἀφικομένου οὖν ταχέως εἰς τὸ Μεθύδριον πρῶτον μὲν καταφρονῆσαι μικροῦ καὶ ταπεινοῦ ὄντος τὸ μέγεθος τοῦ χωρίου, ἡγούμενον οὐχ ὅπως ἄν τινα τῶν ἰδιωτῶν, ἀλλ' οὐδ' ἂν αὐτὴν τὴν πόλιν δύνασθαι μεγαλοπρεπέστερον αὐτοῦ καὶ κάλλιον τιμῆσαι τοὺς θεούς. ὕμως δ' οὖν συντυχόντα τῷι ἀνδρὶ ἀξιῶσαι φράσαι αὐτῷι, ὁντινα τρόπον τοὺς θεοὺς τιμᾶι. τὸν δὲ Κλέαρχον φάναι ἐπιτελεῖν καὶ σπουδαίως θύειν ἐν τοῖς προσήκουσι χρόνοις, κατὰ μῆνα ἕκασιον ταῖς νουμηνίαις στεφανοῦντα καὶ φαιδρύνοντα τὸν Ἑρμῆν καὶ τὴν Ἑκάτην καὶ τὰ λοιπὰ τῶν ἱερῶν (s. F 159), ἃ δὴ τοὺς προγόνους καταλιπεῖν, καὶ τιμᾶν λιβανωτοῖς καὶ ψαισιοῖς καὶ

12—13 Θεόφραστος Ruhnken; s. Bernays Theophr. Schr. über die Frömmigkeit 69 14 ⟨καὶ⟩ κεκτ. Nauck 17 οὕτω δὴ Nauck 22 τὸν ποιούμενον προσφιλέστατα Hercher 26 ἀφικόμενον Hercher 28 τὸ μέγεθος Reiske Cobet τοῦ μεγέθους Porph 29 ὅλην τὴν πόλιν Nauck 32 ἐπιτελεῖν αποσπουδαίως Bernays καθήκουσι Nauck

ποπάνοις· κατ' ἐνιαυτὸν δὲ θυσίας δημοτελεῖς ποιεῖσθαι, παραλείποντα οὐδεμίαν ἑορτήν· ἐν αὐταῖς δὲ ταύταις θεραπεύειν τοὺς θεοὺς οὐ βουθυτοῦντα οὐδὲ ἱερεῖα κατακόπτοντα, ἀλλ' ὅτι ἂν παρατύχηι ἐπιθύοντα, σπουδάζειν μέντοι ἀπὸ πάντων τῶν περιγιγνομένων καρπῶν καὶ τῶν ὡραίων, ἃ ἐκ τῆς γῆς λαμβάνεται, τοῖς θεοῖς τὰς ἀπαρχὰς ἀπονέμειν· καὶ τὰ μὲν παρατιθέναι, τὰ δὲ καθαγίζειν αὐτοῖς· †αὐτὸν δὲ τῆι αὐταρκείαι προσισχνκότα τὸ θῦσαι βοῦς πρωεῖσθαι.

**345** (110) PORPHYR. bei EUSEB. PE X 3 p. 464 C: (voraufgeht F 102) *καίτοι Ā?* ὑπερφρονεῖ τὸν Ἰσοκράτην καὶ νενικῆσθαι ὑφ' ἑαυτοῦ λέγει κατὰ τὸν ἐπὶ Μαυσώλωι ἀγῶνα τὸν διδάσκαλον.

**346** (113) SCHOL. APOLL. RHOD. I 308 *Κλάρον*] *τόπος Κολοφῶνος IB?* ἀνιερωμένος Ἀπόλλωνι καὶ χρηστήριον τοῦ θεοῦ, ὑπὸ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς καθιδρυμένον ἢ ὑπὸ Κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος. *Νέαρχος* (133 F 29) δὲ . . . . . .

**347** (342) a) SCHOL. ARISTOPH. Ach. 1076 (SUID. s. *Χύτροι*): Θεόπομπος τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἐψῆσαί φησι χύτραν πανσπερμίας, ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν· «καὶ θύειν ⟨αὐ⟩τοῖς ⟨ἔθος ἔ⟩χουσι Ἑρμῆι Χθονίωι·» τῆς δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας ἱλασκομένους τὸν Ἑρμῆν [καὶ] ὑπὲρ τῶν ἀποθανόντων. ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτηι ἐπὶ δέκα, ὡς *Φιλόχορος* (III). b) — — Frösche 218: *Χύτροι ἑορτὴ παρ' Ἀθηναίοις.* ἄγεται δὲ παρὰ ταύτην τὴν αἰτίαν ἣν καὶ Θεόπομπος ἐκτίθεται γράφων οὕτως· «διασωθέντας οὖν τοὺς ἀνθρώπους, ἡνίκα ἐθάρρησαν ἡμέραι, τῶι ταύτης ὀνόματι προσαγορεῦσαι καὶ τὴν ἑορτὴν ἅπασαν.» ἔπειτα· «θύειν αὐτοῖς ἔθος ἔχουσι τῶν μὲν Ὀλυμπίων θεῶν οὐδενὶ τὸ παράπαν, Ἑρμῆι δὲ Χθονίωι· καὶ τῆς χύτρας ἣν ἕψουσι πάντες οἱ κατὰ τὴν πόλιν οὐδεὶς γεύεται τῶν ἱερέων. τοῦτο δὲ ποιοῦσι τῆι ἡμέραι.» καὶ· «τοὺς τότε περιγενομένους ὑπὲρ τῶν ἀποθανόντων ἱλάσασθαι τὸν Ἑρμῆν.» ἤγοντο δὲ ἀγῶνες αὐτόθι οἱ Χύτρινοι καλούμενοι, καθά φησι *Φιλόχορος* . . . . . .

**348** (—) SCHOL. DEMOSTH. Ol. II 17: *Θεόπομπός φησιν ὅτι ἐκ Ā? πάντων τῶν Μακεδόνων ἐπίλεκτοι οἱ μέγιστοι καὶ ἰσχυρότατοι ἐδορυφόρουν τὸν βασιλέα καὶ ἑκαλοῦντο πεζέταιροι.*

---

6 καθαγίζειν Reiske καθαγιάζειν Porph αὐτὸν: αὐτῶν Bernays θεῶν Nauck τὸν δέ? 7 τὸ θῦσαι β. προεῖσθαι Bernays τοῦ θ. β. προνοεῖσθαι Porph. 12 ὑπὸ *Μαντοῦς* f p ἀπὸ *M.* L 13 ὑπὸ *Κλάρου* p ἀπὸ *K.* L τινὸς ἥρωος: τοῦ ἄλλως p 17—18 αὐτοῖς ἔθος ἔχουσι b τοῖς Χουσίν Schol οὕτως ἔ. ἔ.? 19 [καὶ] Rutherford ὑπὲρ b περὶ Schol 25 αὐτοῖς (αὐϑ' V?): οὕτως? 29 τῆι • ἡμέραι Rutherford τῆς ἡμέρας? 29—30 περιγενομένους Grenfell-Hunt (a) παραγιν., παραγεν. Schol

**349** (—) SCHOL. DEMOSTH. Ol. VIII 45 *οὐ γὰρ οὕτω γ' εὐήθης οὐδεὶς ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν μὲν ἐν Θράικῃ κακῶν — τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον* (F 83) *καὶ Καβύλην* (F 220) *καὶ Μάστειραν .... — τούτων μὲν ἐπιθυμεῖν .... τῶν δ' Ἀθηναίων λιμένων ... οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θραικίοις σιροῖς ἐν τῶι βαράθρωι χειμάζειν] σιροῖς· τὰ κατάγεια· Θεόπομπος καὶ Σοφοκλῆς ἐν Ἰνάχωι* (F 254 N²) *'σιροὶ κριθῶν'.*

**350** (339) SCHOL. A HOM. Il. *A* 38 *Κίλλαν τε ζαθέην*] *ἱστορία. Πέλοψ ὁ Ταντάλου καὶ * κατὰ μισθὸν παιδικῆς ὥρας λαβὼν παρὰ Ποσειδῶνος ἵππους ἀδαμάστους σὺν τῶι ὀχήματι ἔσπευσεν εἰς Πῖσαν τῆς Πελοποννήσου ἐπὶ τὸν Ἱπποδαμείας γάμον, τὸν μνησιηροκτόνον αὐτῆς πατέρα Οἰνόμαον καταγωνίσασθαι ἐπιθυμῶν. γενομένωι δὲ αὐτῶι περὶ Λέσβον Κίλλος ὁ ἡνίοχος τελευτᾶι τὸν βίον, ὃς καὶ καθ' ὕπνον ἐπιστὰς τῶι Πέλοπι σφόδρα ὀδυνηρῶς ἐπ' αὐτῶι ἔχοντι ἀπωδύρετό τε τὴν ἑαυτοῦ ἀπώλειαν καὶ περὶ κηδείας ἠξίου. διόπερ ἀναστὰς ἐξερυπάρου τὸ εἴδωλον διὰ πυρός, εἶθ' οὕτως ἔθαψε τὴν τέφραν ἐπιφανῶς τοῦ Κίλλου, ἡρίον ἐπ' αὐτῶι ἐγείρας· καὶ πρὸς τῶι ἡρίωι αὐτοῦ ἐδείματο ἱερόν, Κιλλαίου Ἀπόλλωνος προσαγορεύσας, διὰ τὸ αἰφνιδίως τὸν Κίλλον ἀποθανεῖν. οὐ μὴν ἀλλὰ καὶ πόλιν κτίσας Κίλλαν ὠνόμασεν. ὁ μέντοι Κίλλος καὶ μετὰ θάνατον τῶι Πέλοπι δοκεῖ συλλαβέσθαι, ὅπως περιγένηται τοῦ Οἰνομάου περὶ τὸν δρόμον. ἡ ἱστορία παρὰ Θεοπόμπωι.*

**351** (112) SCHOL. BT HOM. Il. *B* 135 *καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται*] *ταῦτα δὲ ἀμφοτέροις συνάιδει, τῶι μὲν ἀπιέναι πρὶν διαφθαρῆναι τέλεον τὰς νῆας, καὶ τῶι μένειν διὰ τὸ τέως σεσηπέναι καὶ μὴ δύνασθαι πλεῖν. Θεόπομπος δὲ ταύτην αἰτίαν αὐτοῖς τοῦ ναυαγίου φησίν, ὡς καὶ τοὺς περὶ Κάλχαντα καὶ Ἀμφίλοχον πεζοὺς ἀπαλλάττεσθαι.* IB

**352** (339) SCHOL. T HOM. Il. *Ω* 428: *καὶ Θεόπομπός φησιν Ἀλέξανδρον Φεραῖον Διόνυσον τὸν ἐν Παγασαῖς, ὃς ἐκαλεῖτο Πελάγιος, εὐσεβεῖν διαφόρως· καταποντωθέντος δὲ Ἀλεξάνδρου Διόνυσος ὄναρ ἐπισιάς τινι τῶν ἁλιέων ἐκέλευσεν ἀναλαβεῖν τὸν φορμὸν τῶν ὀστῶν. ὁ δὲ ἀπελθὼν ἐς Κραννῶνα τοῖς οἰκείοις ἀπέδωκεν· οἱ δὲ ἔθαψαν.* Ā?

**353** (336) SCHOL. EUST. Hom. Od. *Θ* 393: *τὸ μέντοι ἀνενεγκεῖν ἔχει πλείω τινὰ διατριβήν. ὅτι μὲν γὰρ ἀνενεγκεῖν λέγεται καὶ τὸ ἀναγαγεῖν τι καὶ τὸ ἀναβῆναι, δηλοῖ τὸ 'εἰς τὸ Κωρύκιον ἀνενείκαντο'* (Herod. VIII 36), *ἤγουν ἀνέβησαν. .... ὅτι δὲ καὶ ἀντὶ τοῦ 'ἀνέπνευσε'*

10 καὶ * κατὰ Bekker καὶ κάτω A καὶ κατὰ al 11 σὺν ⟨πτερω⟩τῶι ὀχ.? 12 *Πελοποννήσου*: *Λέσβου* A 14 ὁ om A 25 *πλέον* al *νῆες* T πλέονας *νῆας* Maass 30 *Πελάγιος*: Maass Herm. XXIII 70

κεῖται κατὰ Παυσανίαν (p. 110 Schw), δηλοῖ Θεόπομπος εἰπών· «ἄφωνος ἐγένετο, ἔπειτα μέντοι πάλιν ἀνηνέχθη», καὶ Ἡρόδοτος (I 116) ἐκπλαγεὶς δὲ τούτοισιν ἐπὶ χρόνον ἄφθογγος ἦν· μόγις δέ τε ἀνενεχθεὶς εἶπε καὶ πάλιν (I 86) . . . . .

354 (114) SCHOL. LYKOPHR. 806 ἐν Γορτυναίαι] Θεόπομπός φησιν ὅτι παραγενόμενος ὁ Ὀδυσσεὺς καὶ τὰ περὶ τὴν Πηνελόπην ἐγνωκὼς ἀπῆρεν εἰς Τυρσηνίαν καὶ ἐλθὼν ὤικησε τὴν Γορτυναίαν, ἔνθα καὶ τελευτᾶι ὑπ' αὐτῶν μεγάλως τιμώμενος.

355 (232) — — 1439: ἡ δὲ Ὀλυμπιὰς ἡ μήτηρ αὐτοῦ (sc. Ἀλε- F 257?
ξάνδρου) εἰς Πύρρον τὸν Ἀχιλλέως καὶ Ἕλενον τὸν Πριάμου τὸ γένος τὸ ἀνέκαθεν ἀνέφερεν, ὥς φησι Θεόπομπος καὶ Πύρανδρος (III). ἀναφέρεται δὲ ὁ Πύρρος εἰς Αἰακόν, ὁ δὲ Ἕλενος εἰς Δάρδανον.

356 (340) a) SCHOL. PIND. O XIII 74e: τὴν δὲ Μήδειαν ἐρασθῆναι Σισύφου φησὶ Θεόπομπος. b) TZETZ. Lykophr. 174: περὶ δὲ τῆς Ἠλίου βασιλείας εἰς τοὺς αὐτοῦ παῖδας Αἰήτην καὶ Ἀλωέα διαιρέσεως Θεόπομπος ὁ Χῖος Εὐμήλου τοῦ Κορινθίου ἱστορικοῦ ποιητοῦ μέμνηται λέγοντος· 'ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἀνδιχα χώρην δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός. ἣν μὲν ἔχ' Ἀσωπός, ταύτην πόρε δίωι Ἀλωεῖ· ἣν δ' Ἐφύρη κτεάτισσ', Αἰήτηι δῶκεν ἅπασαν. Αἰήτης δ' ἀρ' ἑκὼν Βούνωι παρέδωκε φυλάσσειν εἰσόκεν αὐτὸς ἵκοιτ' ἢ ἐξ αὐτοῖό τις ἄλλος, ἢ παῖς ἢ υἱωνός· ὁ δ' ἵκετο Κολχίδα γαῖαν.'

— — — O XIII 32: s. F 285 b.

357 (171) SCHOL. THEOKRIT. V 83 b: Κάρνεια ἑορτὴ τελουμένη τῶι Καρνείωι Ἀπόλλωνι κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς ἔχρησε τοῖς Ἡρακλείδαις· ἀπὸ δ' αὐτοῦ Κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν. ἡ δὲ ἱστορία παρὰ Θεοπόμπωι. ὅτι τὸν αὐτὸν καὶ Δία καὶ Ἥγήτορα καλοῦσιν Ἀργεῖοι διὰ τὸ κἀκεῖνον ἡγήσασθαι τοῦ στρατοῦ. τὸν οὖν Κάρνον οἱ Ἡρακλεῖδαι ἀπέκτειναν κατερχόμενοι εἰς Πελοπόννησον ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος· ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι.

358 (IV 644; 635) SCHOL. THUKYD. VI 4, 3 ἀπὸ τοῦ Γέλα ποτα- ΛΘ—ΜΙ
μοῦ] ἐξ Ἀντιφήμου δ' αὖ γέλωτός τις λέγει· — ὁ Θεόπομπος — 'χρησμῶι μαθὼν γὰρ ὡς πόλιν μὲν ἐκκτίσει, γελᾶι δοκήσας τῶν ἀνελπίστων τόδε, κλῆσιν ὅθεν τέθεικε τῆι πόλει Γέλαν'.

---

14—21 aus Schol. Pind. O XIII 74f, das mit ἄλλως beginnt. Theopomp ist aus 74e übertragen 23 ἑορτὴ δωρικῶς (G)UEA δωρική T 25 ἔχρησε T (e coni.) ἐφησε cett 26 θεοπέμπτωι KGE 27 κἀκεῖνον KU κρανεῖον GLEA κάρνον T 28 κατερχόμενοι Ziegler —ον K διερχόμενοι cett 30 λοιμοῦ GLT λιμοῦ cett 32 ὁ Θ. glosse zu den Tzetzesversen 33 μὲν ἐκκτίσει edd μ. ἐκτίσει Schol μέλλει κτίσαι C Mueller

**359** (335) SIMPLIC. i. Arist. Cat. 56 A (Comm. Arist. Gr. VIII 216, 16): *καὶ Θεόπομπος δὲ τὸ μὲν γλυκὺ σῶμα διὰ ταῦτα ἀπειρήνατο συνεστηκέναι, τὴν δὲ γλυκύτητα οὐκέτι.* F 259

**360** (303 a) STEPH. BYZ. s. *Ἀδράνη· πόλις Θρᾴκης, ἢ μικρὸν ὑπὲρ τῆς Βερενίκης κεῖται, ὡς Θεόπομπος.* $\overline{MZ}$?

**361** (303) — — s. *Αἴγυς· πόλις Λακωνικῆς, ὡς Εὐφορίων* (F 139 Scheid.). *οἱ πολῖται Αἰγῦται, ὡς Παυσανίας* (III 2, 5 VIII 27, 4). *Λυκόφρων* (Al. 850) *δὲ τὸ ἐθνικὸν Αἴγυος, τὸ θηλυκὸν λέγων οὕτως ‘καὶ πάντα τλήσεσθ’ οὕνεκ’ Αἰγύας κυνός . . . . . ’ . . . . Θεόπομπος δὲ Αἰγυέας αὐτούς φησιν.* $\overline{NF}$?

**362** (241) — — s. *Ἀκραιφία· πόλις Βοιωτίας. οἱ δὲ Ἀκραίφιον· Παυσανίας* (IX 23, 5) *δὲ ⟨Ἀκραίφνιον⟩, καὶ οὐδετέρως. . . . . τὸ ἐθνικὸν Ἀκραιφιαῖος καὶ Ἀκραίφιος (οὕτω γὰρ Ἀπόλλων τιμᾶται) καὶ ⟨Ἀκραιφιεὺς καὶ⟩ Ἀκραιφιάς . . . Ἔφορος* (70 F 229) *δὲ καὶ Ἀκραιφνίους καὶ Ἀκραιφνεώτας. Θεόπομπος δὲ τὰ Ἀκραίφνια φησί, καὶ τὸ ἐθνικὸν Ἀκραιφνιεύς.*

**363** (42) — — s. *Ἀκυλῖνα· πόλις Ἰλλυρική. Θεόπομπος.* $\overline{B}$ o. $\overline{\Delta H}$

**364** (304) — — s. *Ἀκύφας· πόλις μία τῆς Δωρικῆς τετραπόλεως, ὡς Θεόπομπος.*

**365** (208) — — s. *Ἀλικύαι· πόλις Σικελίας. Θεόπομπος.* $\overline{A\Theta}$—$\overline{M\Gamma}$

**366** (305) — — s. *Ἀλίσαρνα· πόλις τῆς Τρωάδος χώρας. Θεόπομπος. τὸ ἐθνικὸν ὁ αὐτὸς Ἀλισαρναῖος.* $E\Delta\Delta$, $\overline{Z}$ o. $\overline{H}$

**367** (306) — — s. *Ἀχανοί· ἔθνος πρὸς τῇι Σκυθίαι, οἳ καὶ Ἀχαρνοὶ λέγονται παρὰ Θεοπόμπωι.*

**368** (121) — — s. *Βούβαστος· πόλις Αἰγύπτου . . . καὶ νομὸς Βουβαστίτης. λέγεται καὶ Βουβάστιος παρὰ Θεοπόμπωι.* $\overline{IH}$—$\overline{I\Theta}$?

**369** (307) — — s. *Βουθία· πόλις Ἰωνίας. Θεόπομπος δὲ χωρίον φησί.*

**370** (308) — — s. *Ἑρμώνασσα· νῆσος μικρὰ πόλιν ἔχουσα ἐν τῶι Κιμμερίωι Βοσπόρωι Ἰώνων ἄποικος, ὡς ὁ Περιηγητής* (552) . . . . *Μένιππος δὲ χωρίον Τραπεζοῦντος ἐν Περίπλωι τῶν δύο Πόντων* (V). *Ἑκαταῖος* (1 F 208) *δὲ καὶ Θεόπομπος πόλιν αὐτὴν φασιν.* $\overline{AE}$-$\overline{AH}$?

**371** (251) — — s. *Ἰνδάρα· Σικανῶν πόλις. Θεόπομπος.* $\overline{A\Theta}$-$\overline{M\Gamma}$?

---

2 θεόπεμπτος A 4 θραικικὴ P 5 κεῖται om V 6 αἴγυς RP αἴγυς V 12 ⟨Ἀκραίφνιον⟩ Xylander 13 καὶ Ἀκραίφιος om P 14—15 Ἀκραιφνιώτας edd 18—19 τετράπολις V τετραπολ RP 20 ἀλικύαι VP ἀλικύα R 21 ἀλίσαρνα VP 22 ἀλισαρναῖος RVP 25 νόμος RVP 30 ἀποικον VP 31 ἕκατος RV 32 αὐτὴν φησὶν R 33 ἰνδ(ι)ασικανιπολ(ις) RV

372 (—) STEPH. BYZ. s. *Μελίβοια· πόλις Θετταλίας. Στράβων* ϑ̄ *Ā? Ī-P̄* (5, 16. 22). *τὸ ἐθνικὸν Μελιβοεύς, ὡς Θεόπομπος.*

373 (309) — — s. *Μελίταια· πόλις Θετταλίας. Ἀλέξανδρος* (V) *Ī-ϑ̄? Ἀσίαι. Θεόπομπος δὲ Μελίτειαν αὐτὴν φησιν. . . . . Ἔφορος* λ̄ (70 F 95)· *οἱ δὲ τύραννοι τῶν Φερῶν καὶ Μελιταιεῖς φίλοι πρότερον ὑπάρχοντες*'.

374 (310) — — s. *Νεάνδρεια· πόλις Τρωάδος ἐν Ἑλλησπόντωι ΕΛΛ. P̄ .... λέγεται καὶ Νεάνδρ⟨ε⟩ιον οὐδετέρως, ὡς Θεόπομπος.*

375 (311) — — s. *Σκίϑαι· πόλις Θράικης πλησίον Ποτιδαίας. K̄—K̄Ī τὸ ἐθνικὸν Σκιάϑιος, ὡς φησι Θεόπομπος.*

376 (312) — — s. *Σκύβρος· χωρίον Μακεδονίας, ὡς Θεόπομπος.*

377 (25) — — s. *Τραλλία· μοῖρα τῆς Ἰλλυρίας. λέγονται καὶ ΕΛΛ. Ī Τράλλοι· καὶ Τράλλ⟨ε⟩ις παρὰ Θεοπόμπωι.*

378 (313) — — s. *Τρῆρος· χωρίον Θράικης. καὶ Τρῆρες Θράικιον ἔθνος . . . . . Θεόπομπος Τρᾶρας αὐτοὺς καλεῖ.*

379 (314) — — s. *Ὑπερησία· πόλις τῆς Ἀχαίας ... τὸ ἐθνικὸν ... Ὑπερησιεύς ... Θεόπομπος δὲ Ὑπερασιεῖς φησι διὰ τοῦ ᾱ.*

380 (284) STOB. Flor. III 16, 16: *Θεοπόμπου· «εἴ τις πλεῖστα τῶν ἀγαϑῶν κεκτημένος μετὰ τοῦ λυπεῖσϑαι διάγοι τὸν βίον, ἁπάντων ἂν εἴη καὶ τῶν ὄντων καὶ τῶν ἐσομένων ἀϑλιώτατος.»*

381 (29) STRAB. I 2, 35: *Θεόπομπος δὲ ἐξομολογεῖται φήσας, ὅτι Ā καὶ μύϑους ἐν ταῖς ἱστορίαις ἐρεῖ κρεῖττον ἢ ὡς Ἡρόδοτος καὶ Κτησίας* (III) *καὶ Ἑλλάνικος* (4) *καὶ οἱ τὰ Ἰνδικὰ συγγράψαντες* (III).

382 (227) — VII 7, 5: *τῶν μὲν οὖν Ἠπειρωτῶν ἔϑνη* M̄Ī *φησὶν εἶναι Θεόπομπος τετταρεσκαίδεκα. τούτων δ' ἐνδο-* (F 206) *ξότατα Χάονες καὶ Μολοττοὶ διὰ τὸ ἄρξαι ποτὲ πάσης τῆς Ἠπειρώτιδος πρότερον μὲν Χάονας, ὕστερον δὲ Μολοττούς, οἳ καὶ διὰ τὴν συγγένειαν τῶν βασιλέων ἐπὶ πλέον ηὐξήϑησαν (τῶν γὰρ Αἰακιδῶν ἦσαν) καὶ διὰ τὸ παρὰ τούτοις εἶναι τὸ ἐν Δωδώνηι μαντεῖον* (s. F 319) . . . . . *Χάονες μὲν οὖν καὶ Θεσπρωτοὶ καὶ μετὰ τούτους ἑφεξῆς Κασσωπαῖοι — καὶ οὗτοι δ' εἰσὶ Θεσπρωτοί — τὴν ἀπὸ τῶν Κεραυνίων ὀρῶν μέχρι τοῦ Ἀμβρακικοῦ κόλπου παραλίαν νέμονται, χώραν εὐδαίμονα ἔχοντες . . . . . ἐγγὺς δὲ τῆς Κιχύρου πολίχνιον Βουχέτιον Κασσωπαίων, μικρὸν ὑπὲρ τῆς*

---

2 *μελοιβοεύς* P 3 *μελιταία* Berkel *μελιτταία* RVP (zwischen *Μέλισσα* und *Μελίτη*) *Μελισσαία?* *Θισσαλίας* R 4 *Ἀσίαι: Εὐρώπηι?* Meineke 8 *Νεάνδρ⟨ε⟩ιον* Holste 9 *Σκίϑαι* (zwischen *Σκιάς* und *Σκίδρος*) korrupt? 10 *Σκιάϑιος* RVP *Σκιϑαῖος* edd 11 *μακεδονικὸν* P 13 *Τράλλεις* Lobeck (Steph. s. *Βῆγις, Βόλουρος*) *τράλλις* RVP 15 *Θ. — καλεῖ* s. *Τρῆκις* RVP, transp Xylander *τράρας* P 34 *Βουχέτιον* Kramer *βουχαίτιον* Str

*Θαλάττης ὄν, καὶ Ἐλάτρια καὶ Πανδοσία καὶ Βατίαι ἐν μεσογείαι· καθήκει δὲ αὐτῶν ἡ χώρα μέχρι τοῦ κόλπου.*

**383** (191) STRAB. VIII 6, 11: *οἱ δ' ἐκ τῆς Ἀ⟨σίνης — ἔστι δ'⟩ αὕτη* ΑΒ? *κώμη τῆς Ἀργείας πλησίον Ναυπλ⟨ίας — ὑπὸ Λα⟩κεδαιμονίων εἰς τὴν Μεσσηνίαν μετωικίσθ⟨ησαν, ὅπου⟩ καὶ ἡ ὁμώνυμος τῇι Ἀργολικῇι Ἀσίνηι πολίχ⟨νη⟩. οἱ γὰρ Λακεδαιμόνιοι, φησὶν ὁ Θεόπομπος, πολλὴν κατακτησάμενοι τῆς ἀλλοτρίας εἰς ταύτην κατώικιζον, οὓς ἂν ὑποδέξαιντο τῶν φυγόντων ἐπ' αὐτο⟨ύς· καὶ οἱ⟩ ἐκ τῆς Ναυπλίας ἐκεῖσε ἀνεχώρησαν.*

**384** (109 a) — VIII 6, 15: *μεταξὺ δὲ Τροιζῆνος καὶ Ἐπιδαύρου χωρίον ἦν ἐρυμνὸν Μέθανα καὶ χερρόνησος ὁμώνυμος τούτωι· παρὰ Θουκυδίδηι* (IV 45, 2) *δὲ ἔν τισιν ἀντιγράφοις Μεθώνη φέρεται ὁμωνύμως τῇι Μακεδονικῇι, ἐν ἧι Φίλιππος ἐξεκόπη τὸν ὀφθαλμὸν πολιορκῶν* (F 52)*· διόπερ οἴεταί τινας ἐξαπατηθέντας ὁ Σκήψιος Δημήτριος* (V) *τὴν ἐν τῇι Τροιζηνίαι Μεθώνην ὑπονοεῖν, καθ' ἧς ἀράσασθαι λέγεται τοὺς ὑπ' Ἀγαμέμνονος πεμφθέντας ναυτολόγους, μηδέποτε παύσασθαι τειχοδομεῖν, οὐ τούτων, ἀλλὰ τῶν Μακεδόνων ἀνανευσάντων, ὥς φησι Θεόπομπος· τούτους δ' οὐκ εἰκὸς ἐγγὺς ὄντας ἀπειθῆσαι.*

**385** (264) — IX 3, 16: *Παραποτάμιοι δ' εἰσὶ κατοικία τις ἐπὶ* ΚΕ ο. ΝΓ *τῶι Κηφισσῶι ἱδρυμένη πλησίον Φανοτεῦσι καὶ Χαιρωνεῦσι καὶ Ἐλατείαι. φησὶ δὲ Θεόπομπος τὸν τόπον τοῦτον διέχειν τῆς μὲν Χαιρωνείας ὅσον τετταράκοντα σταδίους, διορίζειν δὲ τοὺς Ἀμβρυσέας καὶ Πανοπέας καὶ Δαυλιέας· κεῖσθαι δ' ἐπὶ τῆς ἐμβολῆς τῆς ἐκ Βοιωτίας εἰς Φωκέας ἐν λόφωι μετρίως ὑψηλῶι, μεταξὺ τοῦ τε Παρνασσοῦ καὶ τοῦ ⟨Ἀδυλίου ὄ⟩ρους πενταστάδιον σχεδόν τι ἀπολειπόντων ἀν⟨ὰ μέσον χω⟩ρίον, διαιρεῖν δὲ τὸν Κηφισσόν, στενὴν ἑκατέρωθεν διδόντα πάροδον, τὰς μὲν ἀρχὰς ἐκ Λιλαίας ἔχοντα Φωκικῆς πόλεως — καθάπερ καὶ Ὅμηρός φησιν* (Il. *B* 523) *'οἵ τε Λίλαιαν ἔχον πηγῆισ' ἔπι Κηφισσοῖο'* —, *εἰς δὲ τὴν Κωπαΐδα λίμνην ἐκδιδόντα· τὸ δὲ Ἀδύλιον παρατείνειν ἐφ' ἑξήκοντα σταδίους μέχρι τοῦ † Ὑφαντείου, ἐφ' ὧι κεῖται ὁ Ὀρχομενός. καὶ Ἡσίοδος* (F 38) *δ' ἐπὶ πλέον περὶ τοῦ ποταμοῦ λέγει καὶ τῆς ῥύσεως, ὡς δι' ὅλης ῥέοι τῆς Φωκίδος σκολιῶς καὶ δρακοντοειδῶς· 'παρὲκ Πανοπῆα διὰ Γλήχωνά τ'*

---

1 Ἐλάτρεια F 206 *Θάτρια* Str *Βιτία* F 206 3 *ἔστι δ'* erg. Meineke *ἔστιν* Kramer 4 *ὑπὸ* Casaubonus 5 *ὅπου* Meineke 6 *ὥς φησιν* B 7 [*ἂν*] Grenfell-Hunt *ὑπεδέξαντο* A 8 *καὶ οἱ* erg. recc 12 *ὁμωνύμως* Kramer —*ος* Str 14 *Τροιζηνίαι* Meineke *τροιζῆνι* Str *ἐπὶ τῆι Τροιζῆνι* Casaubonus 16 ⟨*τοῦ*⟩ *τειχ.* Meineke 21 *τοὺς* om B *πανοπῆας* A 23 erg. Politus, Kramer (F 157) 24 *ἀπολειποντῶν* A *ἀπολείποντι τῶν* Ald *ἀπολείποντι τῶν* Corais erg. Kramer *ἀν.....ρίων* A 28 *Ἀδύλιον* Kramer *δαύλιον* Str *Ἠδύλιον* Politus 29 *Ὑφαντείου*: *Ἀκοντίου* Le Paulmier (Strab. IX 2, 42) 31 *ὃς τε π. Πανοπῆα διὰ* Meineke, Rzach *ὃς* (B?) *παρὲκ* (*παρὰ* B?) *πανόπη διὰ* (A *πανοπίδα* B) Str

ἐρυμνὴν καί τε δι' Ὀρχομενοῦ εἰλιγμένος εἶσι δράκων ὡς'. τὰ δὲ στενὰ τὰ περὶ τοὺς Παραποταμίους ἢ τὴν Παραποταμίαν — λέγεται γὰρ ἀμφοτέρως — περιμάχητα ὑπῆρξεν ἐν τ⟨ῶι Φωκικῶι πολέ⟩μωι, μίαν ἐχόντων ταύτην ἐμβολὴν ⟨εἰς τὴν Φωκίδα (?)⟩.

386 (289) STRAB. IX 5, 19: καὶ ἐν Πελοποννήσωι ἥ τε τῶν Ἀργείων ἄκρα καὶ ὁ τὴν Ἠλείαν ἀπὸ Δύμης διορίζων Λάρισος ποταμός. Θεόπομπος δὲ καὶ πόλιν λέγει ἐν τῆι αὐτῆι μεθορίαι κειμένην Λάρισαν. ΕΛΛ. F—Z?

387 (164) — X 1, 3: μετώικησαν δ' εἰς τὴν Ἰστίαιαν οἱ Ἑλλοπιεῖς καὶ ηὔξησαν τὴν πόλιν Φιλιστίδου τοῦ τυράννου βιασαμένου μετὰ τὰ Λευκτρικά. Δημοσθένης (IX 33) δ' ὑπὸ Φιλίππου καταστα θῆναι τύραννόν φησι καὶ τῶν Ὠρειτῶν τὸν Φιλιστίδην· οὕτω γὰρ ὠνομάσθησαν ὕστερον οἱ Ἰστιαιεῖς, καὶ ἡ πόλις ἀντὶ Ἰστιαίας Ὠρεός. ἔνιοι δ' ὑπ' Ἀθηναίων ἀποικισθῆναί φασι τὴν Ἰστίαιαν ἀπὸ τοῦ δήμου τοῦ Ἰστιαιέων, ὡς καὶ ἀπὸ τοῦ Ἐρετριέων τὴν Ἐρέτριαν. Θεόπομπος δέ φησι Περικλέους χειρουμένου Εὔβοιαν τοὺς Ἰστιαιεῖς καθ' ὁμολογίας εἰς Μακεδονίαν μεταστῆναι, διοσχιλίους δ' ἐξ Ἀθηναίων ἐλθόντας τὸν Ὠρεὸν οἰκῆσαι, δῆμον ὄντα πρότερον τῶν Ἰστιαιέων. Κ–Λ?

388 (201) — XII 3, 4: τίνες δὲ καὶ πόθεν (sc. οἱ Μαριανδυνοί), οὐδὲν εἴρηται· οὐδὲ διάλεκτος οὐδ' ἄλλη διαφορὰ ἐθνικὴ περὶ τοὺς ἀνθρώπους φαίνεται, παραπλήσιοι δ' εἰσὶ τοῖς Βιθυνοῖς· ἔοικεν οὖν καὶ τοῦτο Θράικιον ὑπάρξαι τὸ φῦλον. Θεόπομπος δὲ Μαριανδυνόν φησι μέρους τῆς Παφλαγονίας ἄρξαντα ὑπὸ πολλῶν δυναστευομένης, ἐπελθόντα τὴν τῶν Βεβρύκων κατασχεῖν, ἣν δ' ἐξέλιπεν ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν. ΑΕ–Αθ?

389 (202) — XII 3, 14: Ἀμισός . . . . φησὶ δ' αὐτὴν Θεόπομπος πρώτους Μιλησίους κτίσαι, ⟨εἶτα * *⟩ Καππαδόκων ἄρχοντα, τρίτον δ' ὑπ' Ἀθηνοκλέους καὶ Ἀθηναίων ἐποικισθεῖσαν Πειραιᾶ μετονομασθῆναι. ΑΕ–Αθ?

390 (6) — XIII 1, 22: περὶ δὲ Σηστοῦ καὶ τῆς ὅλης Χερρονήσου προείπομεν ἐν τοῖς περὶ τῆς Θράικης τόποις. φησὶ δὲ τὴν Σηστὸν Θεόπομπος βραχεῖαν μέν, εὐερκῆ δέ· καὶ σκέλει διπλέθρωι συνάπτειν πρὸς τὸν Ἑλλήσποντον, καὶ διὰ ταῦτ' οὖν καὶ διὰ τὸν ῥοῦν κυρίαν εἶναι τῶν παρόδων. ΕΔΑ. Α?

391 (290) — XIII 4, 12: ὁ μέν γε Τμῶλος ἱκανῶς συνῆκται καὶ περιγραφὴν ἔχει μετρίαν, ἐν αὐτοῖς ἀφοριζόμενος τοῖς Λυδίοις μέρεσιν, ἡ δὲ Μεσωγὶς εἰς τὸ ἀντικείμενον μέρος διατείνει μέχρι Μυκάλης, ἀπὸ Κελαι-

---

1 καί τε Schol Arat 45 καὶ δὲ Str διερχομένου (= δι' Ἐρχομενοῦ) Schol Arat ἠπειγμένος Schol Arat 2 τοὺς Παραποταμίους edd τοὺς ποταμοὺς Str 3 τ⟨ῶι Φ. πολέ⟩μωι Groskurd 4 ⟨εἰς τ. Φ.⟩ Kramer 6 λάρισσος Str 8 δ' εἰς Coraïs δὲ Str 19 οὐδενὶ Meineke 22 μέρους E μέρος cett 26 ⟨εἶτα * * (name)⟩ Casaubonus 32 συνῆκται E συνῆπται cett 34 Μεσωγὶς Le Paulmier μεσόγειος (—αιος F) Str

νῶν ἀρξάμενον, ὡς φησι Θεόπομπος· ὥστε τὰ μὲν αὐτοῦ Φρύγες κατέχουσι, τὰ πρὸς ταῖς Κελαιναῖς καὶ τῇι Ἀπαμείαι, τὰ δὲ Μυσοὶ καὶ Λυδοί, τὰ δὲ Κᾶρες καὶ Ἴωνες.

392 (323) SUID. s. *Φορμίων· περὶ τούτου καὶ Θεόπομπος ἐν* H? *Φιλιππικοῖς. ἦν δὲ Κροτωνιάτης καὶ ἐν τῇι ἐπὶ Σάγραι μάχηι ἐτρώθη. ὑσιάτου δ' ὄντος τοῦ τραύματος χρησμὸν ἔλαβεν εἰς Λακεδαίμονα ἐλθεῖν· τοῦτον γὰρ αὐτοῦ ἰατρὸν ἔσεσθαι, ὃς [ἂν] αὐτὸν πρῶτος καλέσειεν ἐπὶ δεῖπνον. ὡς οὖν ἦκεν εἰς τὴν Σπάρτην, καταβάντα αὐτὸν ἀπὸ τοῦ ὀχήματος ἐκάλεσεν ἐπὶ δεῖπνον νεανίσκος, δειπνήσαντος δὲ ἤρετο ἐφ' ὅ τι ἥκει. ὡς δὲ ἤκουσε περὶ τοῦ χρησμοῦ, ἀποξύσας τοῦ ὁράτος ἐπιτίθησιν. ὡς δὲ ἀνέλυσαν ἀπὸ τοῦ δείπνου, δοκῶν ἀναβαίνειν ἐπὶ τὸ ἅρμα, τῆς θύρας αὐτοῦ τοῦ οἴκου τοῦ ἐν Κρότωνι ἐπιλαμβάνεται. ἀλλὰ καὶ θεοξένια αὐτοῦ ἄγοντος ἐκάλεσαν αὐτὸν οἱ Διόσκουροι πρὸς Βάττον ἐς Κυρήνην· καὶ ἀνέστη τε ἔχων σιλφίου καυλόν.*

393 (30) SYNKELL. p. 499, 5: *οὗτος ὁ Κάρανος ἀπὸ μὲν Ἡρακλέους* A *ια ἦν, ἀπὸ δὲ Τημένου . . . ἕβδομος. γενεαλογοῦσι δ' αὐτὸν οὕτως, ὡς φησιν ὁ Διόδωρος ⟨καὶ⟩ οἱ πολλοὶ τῶν συγγραφέων, ὧν εἷς καὶ Θεόπομπος. Κάρανος Φείδωνος τοῦ Ἀριστοδαμίδα τοῦ Μέροπος τοῦ Θεστίου τοῦ Κισσίου τοῦ Τημένου τοῦ Ἀριστομάχου τοῦ Κλεαδάτους τοῦ Ὕλλου τοῦ Ἡρακλέους.*

394 (—) TERTULLIAN. De an. 44: *sed et Neronem Suetonius* H? (Ner. 46) *et Thrasymedem Theopompus negant unquam somniasse,*

395 (302) THEON Progymn. 1 (II 63, 18 Sp): *ὁ δὲ Θεόπομπος· «ἐπίσταμαι γάρ, ὅτι τοὺς μὲν ζῶντας πολλοὶ μετὰ δυσμενείας ἐξετάζουσι, τοῖς δὲ τετελευτηκόσι διὰ τὸ πλῆθος τῶν ἐτῶν ἐπανιᾶσι τοὺς φθόνους.»*

396 (—) ZENOB. Prov. V 26: *Ξένος ἔλθοι ὅστις ὀνήσει· ταύτην φησὶ Θεόπομπος ὑπὸ Φιλίππου πρῶτον λεχθῆναι. θετταλῶν γὰρ καταστρεψάμενος πόλιν καὶ τοὺς αὐτόθι ξένους πωλήσας χλευάζων εἶπεν 'ἔλθοι ξένος ὅστις ὀνήσει.'*

## Zweifelhaftes.

397 (104) GELLIUS XV 20, 1: *Euripidi poetae matrem Theopompus agrestia olera vendentem victum quaesisse dicit.*

398 (328) LEX. SEGUER. p. 371, 5 Bk: *ἀκατος· φιάλη, διὰ τὸ ἐοικέναι στρογγύλωι πλοίωι. οὕτω Θεόπομπος.*

399 (329) — — p. 385, 14 Bk: *ἄλυπος· ὁ μὴ λυπούμενος. λέγεται δὲ καὶ ἀλύπητος. Θεόπομπος.*

---

2 ταῖς om E 7 [ἂν] Bernhardy v. l. *πρῶτον* 9 v. l. *ἥκοι* 14 *ἀπέστη γε* Bernhardy 17 ⟨καὶ⟩ Scaliger 18 *Ἀριστοδαμίδα τοῦ* Scaliger *Ἀριστοδαμηδάτου* B *Θεοστίου* AB *Κισσίου* A(?) *κισοῦ* B 19 l. *Κλεοδαίου*

400 (331) LEX. SEGUER. p. 403, 23: *ἀνθήλιος· ἡ σελήνη· καὶ τὸ ἀποσκίασμα τῆς τοῦ ἡλίου ἀντανγείας. ἐνίοτε δὲ καὶ τὸ μίμημα ἢ ἀντάλλαγμα, ὡς Θεόπομπος.*

401 (—) LIBAN. Hypoth. Demosth. VI (Phil. II): *παραινεῖ διὰ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ ῥήτωρ πολέμιον ὑποπτεύειν τὸν Φίλιππον . . . ἐπιβουλεύειν γὰρ αἰτιᾶται καὶ τοῖς Ἀθηναίοις καὶ πᾶσι τοῖς Ἕλλησι τὸν Φίλιππον, καὶ τοῦτ' αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησίν. ἐπαγγέλλεται δὲ καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις ἥκοντας, ἀπορούντων τῶν Ἀθηναίων ὅ τί ποτ' ἀποκρινασθαι δεῖ. πόθεν δ' οὗτοι καὶ περὶ τίνων ἥκουσιν, ἐν τῶι λόγωι μὲν οὐ δηλοῦται, ἐκ δὲ τῶν Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν. κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους, αἰτιώμενος ὅτι διαβάλλουσιν αὐτὸν μάτην πρὸς τοὺς Ἕλληνας ὡς ἐπαγγειλάμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, ψευσάμενον δέ· οὐδὲν γὰρ ὑπεσχῆσθαί φησιν οὐδ' ἐψεῦσθαι· καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. ἔπεμψαν δὲ μετὰ Φιλίππου καὶ Ἀργεῖοι καὶ Μεσσήνιοι πρέσβεις εἰς Ἀθήνας, αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον ὅτι Λακεδαιμονίοις καταδουλουμένοις τὴν Πελοπόννησον εὔνους τ' ἐστὶ καὶ συγκροτεῖ, αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦσιν ἐναντιοῦται.*

402 (325) PHOT. Lex. s. *λάβδα· ἐπὶ ταῖς ἀσπίσιν οἱ Λακεδαιμόνιοι ἐπέγραφον, ὥσπερ οἱ Μεσσήνιοι Μ. Εὔπολις* (I 354, 359 K)· *'ἐξεπλάγη γὰρ ἰδὼν στίλβοντα τὰ λάβδα'. οὕτως καὶ Θεόπομπος.*

403 (IV 645) — — s. *τετύχηκεν· οἷον συμβέβηκεν ..... τὸ μέντοι γεγράφηκεν παρὰ Θεοπόμπωι καὶ ἑτέροις βάρβαρον.*

404 (—) PLUTARCH. Demosth. 17, 3—4: *ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι καὶ παροξύνων συνέστησε πλὴν ὀλίγων ἅπαντας ἐπὶ τὸν Φίλιππον, ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων, χρήματα δὲ καὶ μισθοὺς εἰσφέρεσθαι τοῖς ξένοις προθύμως. ὅτι καί φησι Θεόφραστος, ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφοράς, εἰπεῖν Κρωβύλον τὸν δημαγωγόν, ὡς οὐ τεταγμένα σιτεῖται πόλεμος.*

405 (341) SCHOL. APOLL. RHOD. IV 1187: *Θεόπομπος ἀμφιφορεῖς λέγεσθαί φησι τοὺς ὑπ' ἐνίων μετρητάς· Λυσανίας δέ φησι τὸν ἀμφιφορέα ὑπὸ Ἀθηναίων ἀμφορέα καλεῖσθαι.*

406 (343) SCHOL. ARISTOPH. Wesp. 525: *ἔθος δὲ ἦν, ὁπότε μέλλοι ἡ τράπεζα αἴρεσθαι, ἀγαθοῦ δαίμονος ἐπιρροφεῖν, ὡς Θεόπομπός φησιν. ὁ δὲ Ἀπολλόδωρος* (244 F 215) ....

407 (—) STEPH. BYZ. s. *Χαιρώνεια· ... κέκληται ἀπὸ Χαίρωνος ..... τοῦτον δὲ μυθολογοῦσιν Ἀπόλλωνος καὶ Θηρόδς, ὡς Ἑλλάνικος ἐν β' Ἱερειῶν Ἥρας* (4 F 81) *** «Ἀθηναῖοι καὶ ⟨οἱ⟩ μετ' αὐτῶν ἐπὶ τοὺς ὀρχομενίζοντας τῶν Βοιωτῶν ἐπερχόμενοι καὶ Χαιρώνειαν πόλιν Ὀρχομενίων εἷλον.»*

408 (—) a) SUID. s. *λοπάς· παρὰ Συρακουσίοις τὸ τήγανον· παρὰ δὲ Θεοπόμπωι ἡ σορός, καὶ παρὰ τοῖς κωμικοῖς.* b) PHOT. s. *λοπάδα· τὴν † Θεόν. Θεόπομπος.*

---

17 u. 19 *λάβδα* Dindorf *λάμβδα* Phot 26 *Θεόπομπος* Buenger Theopompea 61 27 *ὁ πολ.* L 29 *νυσανίας* p *παυσανίας* f (?) 36 ** Theopomp vermutete O Mueller ⟨*οἱ*⟩ O Mueller *μετ' αὐτούς* P 37 *ἐπερχόμενοι* Meineke *ἐπὶ ὀρχομένους* Steph 37—38 *Ὀρχομενίων* Meineke *ὀρχομενῶν* Steph 40 *θεόν: σορόν* Meineke

409 (—) Suid. s. *παρ' οὐδὲν θέμενος· τοῦτο ἀντὶ τοῦ καταφρονήσας, παραλογισάμενος. «τὰς σπονδὰς πατήσας καὶ τοὺς ὅρκους παρ' οὐδὲν θέμενος Ἀλέξανδρος Πελοπίδαν καθείρξας ἐφρούρει.»*

## Unechtes.

410 (—) Fulgent. Myth. I 3 p. 19, 1 Helm: *nam et Teopompus in Cipriaco carmine et Hellanicus in Dios Politia* (4 F 90) *quam descripsit ait Iunonem ab Iove vinctam catenis aureis et degravatam incudibus ferreis.*

411 (IV 644) Natal. Com. Mythol. VII 12: *memoriae prodidit Nymphodorus libro* III *Historiarum et Theopompus libro* XXVII *Gorgones dictas fuisse a nonnullis non squamosarum anguium spiris capita habuisse implicita, sed ipsa capita fuisse draconum squamosorum, dentesque in morem aprorum habuisse ac oculum, singulas manus ferreas, alasque quibus volarent.*

*ΤΡΙΚΑΡΑΝΟΣ.*

s. 72 F 20—21.

---

## —. ANAXIMENES VON LAMPSAKOS. a. 360—336

*ΦΙΛΙΠΠΙΚΑ.*

s. 72 F 4—14.

## —. LEON VON BYZANZ. a. 341—339

*ΤΑ ΚΑΤΑ ΦΙΛΙΠΠΟΝ ΚΑΙ ΤΟ ΒΥΖΑΝΤΙΟΝ.*

s. 132 T 1.

## 116. LAMACHOS VON SMYRNA (?)

### T

1 (—) Plutarch. Demosth. 9,1: *πῶς δὲ Πύθωνι τῶι Βυζαντίωι θρασυνομένωι καὶ ῥέοντι πολλῶι κατὰ τῶν Ἀθηναίων ἀναστὰς μόνος ἀντεῖπεν* (sc. *Δημοσθένης*), *ἢ Λαμάχου τοῦ Σμυρναίου γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου τῶν βασιλέων, ἐν ὡι πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ τοῦτ' ἀναγινώσκοντος Ὀλυμπίασι παραναστὰς καὶ διεξελθὼν μεθ' ἱστορίας καὶ ἀποδείξεως, ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν ὅσων αἴτιοι γεγόνασι κακῶν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας, ὥστε δείσαντα τῶι θορύβωι τὸν σοφιστὴν ὑπεκδῦναι τῆς πανηγύρεως.* — Vit. X or. p. 845 C.

### F

*ΕΓΚΩΜΙΟΝ ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΠΠΟΥ.*

---

1 Th vermutete Heitz 12 *oculum* ⟨*unum ac*⟩? 23 δὲ καὶ N 24 πολλοῦ N 25 Σμυρναίου N μυρρηναίου Y τερειναίου Vit *Myrinaeo* Xylander 26 τοῦτ' om Y 27 παραστὰς Y ἀρχαίων ποιητῶν μαρτυρίας προηνέγκατο Vit

## c) ALEXANDERGESCHICHTE.

### 117. DIE KÖNIGLICHEN EPHEMERIDEN.

T

1 ATHEN. X 44 p. 434 B: *ἐν ταῖς Ἐφημερίσιν αὐτοῦ* (sc. *Ἀλεξάνδρου*), *ἃς ἀνέγραψαν Εὐμένης τε ὁ Καρδιανὸς καὶ Διόδοτος ὁ Ἐρυθραῖος.*

2 a) ARRIAN. Anab. VII 4, 6: *Εὐμενεῖ τῶι γραμματεῖ τῶι βασιλικῶι.* b) CORN. NEP. XVIII 1, 4—6: *hic* (sc. Eumenes) *peradulescentulus ad amicitiam accessit Philippi .... eum habuit ad manum scribae loco .... hunc locum tenuit amicitiae apud Philippum annos septem; illo interfecto eodem gradu fuit apud Alexandrum annos tredecim. novissimo tempore praefuit etiam alterae equitum alae, quae hetaerice appellabatur. utrique autem in consilio semper adfuit et omnium rerum habitus est particeps.* c) PLUT. Eum. 1: *. . . ἐκαλεῖτο μὲν ἀρχιγραμματεύς, τιμῆς δὲ ὥσπερ οἱ μάλιστα φίλοι καὶ συνήθεις ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως καὶ τὴν Περδίκκου παραλαβεῖν ἱππαρχίαν, ὅτε Περδίκκας ἀποθανόντος Ἡφαιστίωνος εἰς τὴν ἐκείνου προῆλθε τάξιν.*

3 SUID. s. Στράττις: s. 118 T 1.

F

1 (—) PLUT. Alex. 23: *πολλάκις δὲ παίζων καὶ ἀλώπεκας ἐθήρευε* (sc. *Ἀλέξανδρος*) *καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν Ἐφημερίδων.*

2 (Script. Al. M. 121, 1) a) AELIAN. VH III 23: *ἐκεῖνα δ' οὐκέτι καλὰ Ἀλεξάνδρου· Δίου* (?) *μηνός φασι πέμπτηι ἔπινε παρ' † Εὐμαίωι, εἶτα ἕκτηι ἐκάθευδεν ἐκ τοῦ πότου· καὶ τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἔζησεν, ὅσον ἀναστὰς χρηματίσαι τοῖς ἡγεμόσιν ὑπὲρ τῆς αὔριον πορείας, λέγων ὅτι ἔσται πρωί. καὶ ἑβδόμηι εἱστιᾶτο παρὰ Περδίκκαι, καὶ ἔπινε πάλιν· καὶ ὀγδόηι ἐκάθευδε. πέμπτηι δὲ ἐπὶ δέκα τοῦ αὐτοῦ μηνὸς καὶ ταύτηι ἔπινε, καὶ τῆι ἑπομένηι τὰ εἰθισμένα ἕδρα τὰ ἐκ τοῦ πότου. παρὰ Βαγώαι ἐδείπνησε τετράδι μετὰ εἰκάδα· ἀπεῖχε δὲ τῶν βασιλείων ὁ*

---

23 *Δίου* Gesner *δι' οὗ* Ael *Δαισίου* Scheffer *Εὐμένει* Scheffer *παρὰ Μηδίωι* Perizonius *Πτολεμαίωι?* Geier 29 ⟨*δι*⟩ *ἐδείπνησε* Corais

*Βαγώα οἶκος δέκα σταδίους· εἶτα τῇι τρίτηι ἐκάθευδε. δυοῖν οὖν θάτερον, ἢ Ἀλέξανδρος κακῶς τοσαύτας τοῦ μηνὸς ἡμέρας ἑαυτὸν ζημιοῖ διὰ τὸν οἶνον ἢ οἱ ταῦτα ἀναγράψαντες ψεύδονται· ἔξεστι δὲ ἐκ τούτων ἐννοεῖν καὶ τοῦ λοιποῦ χρόνου τὰ ὅμοια αὐτοὺς λέγοντας, ὧν καὶ Εὐμένης ὁ Καρδιανὸς καὶ † ἐκεῖνός ἐστι.* b) ATHEN. X 44 p. 434 B: *ἔπινε δὲ ὁ Ἀλέξανδρος πλεῖστον, ὡς καὶ ἀπὸ τῆς μέθης συνεχῶς κοιμᾶσθαι δύο ἡμέρας καὶ δύο νύκτας. δηλοῦται δὲ τοῦτο ἐν ταῖς Ἐφημερίσιν αὐτοῦ, ἃς ἀνέγραψαν Εὐμένης τε ὁ Καρδιανὸς καὶ Διόδοτος ὁ Ἐρυθραῖος.* c) PLUT. Quaest. conv. I 6, 1 p. 623 E: *λόγος ἦν περὶ Ἀλεξάνδρου . . . ὡς οὐ πολὺ πίνοντος, ἀλλὰ πολὺν χρόνον ἐν τῶι πίνειν ⟨τῶι⟩ διαλέγεσθαι τοῖς φίλοις ἔλκοντος. ἀπεδείκνυε δ' αὐτοὺς φλυαροῦντας Φιλῖνος ἐκ τῶν βασιλικῶν Ἐφημερίδων, ἐν αἷς συνεχέστατα γέγραπται καὶ πλειστάκις ὅτι «τήνδε τὴν ἡμέραν ἐκ τοῦ πότου καθεύδων», ἔστι δ' ὅτε «καὶ τὴν ἐφεξῆς».*

3 (2—3) a) ARRIAN. Anab. VII 25, 1—26, 3: *καὶ αἱ βασίλειοι Ἐφημερίδες ὧδε ἔχουσιν· πίνειν παρὰ Μηδίωι αὐτὸν κωμάσαντα· ἔπειτα ἐξαναστάντα καὶ λουσάμενον καθεύδειν τε καὶ αὖθις δειπνεῖν παρὰ Μηδίωι, καὶ αὖθις πίνειν πόρρω τῶν νυκτῶν. ἀπαλλαχθέντα δὲ τοῦ πότου λούσασθαι· καὶ λουσάμενον ὀλίγον τι ἐμφαγεῖν καὶ καθεύδειν αὐτοῦ, ὅτι ἤδη ἐπύρεσσεν.* (2) *ἐκκομισθέντα δὲ ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ θῦσαι ὡς νόμος ἐφ' ἑκάστηι ἡμέραι, καὶ τὰ ἱερὰ ἐπιθέντα κατακεῖσθαι ἐν τῶι ἀνδρῶνι ἔστε ἐπὶ κνέφας. ἐν τούτωι δὲ τοῖς ἡγεμόσι παραγγέλλειν ὑπὲρ τῆς πορείας καὶ τοῦ πλοῦ, τοὺς μὲν ὡς πεζῇι ἰόντας παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν, τοὺς δὲ ἅμα οἱ πλέοντας ὡς εἰς πέμπτην πλευσουμένους.* (3) *ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ τῆς κλίνης ὡς ἐπὶ τὸν ποταμὸν καὶ πλοίου ἐπιβάντα διαπλεῦσαι πέραν τοῦ ποταμοῦ ἐς τὸν παράδεισον· κἀκεῖ αὖθις λουσάμενον ἀναπαύεσθαι.*

b) PLUT. Alex. 76: *ἐν δὲ ταῖς Ἐφημερίσιν οὕτως γέγραπται ⟨τὰ⟩ περὶ τὴν νόσον· ὀγδόηι ἐπὶ δεκάτηι Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῶι λουτρῶνι διὰ τὸ πυρέξαι.*

5 [καὶ] C Mueller καὶ ⟨Διόδοτος ὁ⟩ Ἐρυθραῖος ? s. b 10 ⟨τῶι⟩ Jac ⟨καὶ⟩ vulg 17[2] ⟨τὰ⟩ Corais

ἐς δὲ τὴν ὑστεραίαν (19. Daisios) λούσασθαί τε αὖθις καὶ θῦσαι τὰ νομιζόμενα. καὶ εἰς τὴν καμάραν εἰσελθόντα κατακεῖσθαι διαμυθολογοῦντα πρὸς Μήδιον. παραγγεῖλαι δὲ καὶ τοῖς ἡγεμόσιν ἀπαντῆσαι ἕωθεν. (4) ταῦτα πράξαντα δειπνῆσαι ὀλίγον. κομισθέντα δὲ αὖθις ἐς τὴν καμάραν πυρέσσειν ἤδη ξυνεχῶς τὴν νύκτα ὅλην.

τῇι δὲ ὑστεραίαι (20. Daisios) λούσασθαι καὶ λουσάμενον θῦσαι. Νεάρχωι δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι παραγγεῖλαι τὰ ἀμφὶ τὸν πλοῦν ὅπως ἔσται ἐς τρίτην ἡμέραν.

τῇι δὲ ὑστεραίαι (21. Daisios) λούσασθαι αὖθις καὶ θῦσαι τὰ τεταγμένα, καὶ τὰ ἱερὰ ἐπιθέντα οὐκέτι ἑλινύειν πυρέσσοντα. ἀλλὰ καὶ ὡς τοὺς ἡγεμόνας εἰσκαλέσαντα παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν ὅπως αὐτῶι ἔσται ἕτοιμα· λούσασθαί τε ἐπὶ τῇι ἑσπέραι, καὶ λουσάμενον ἔχειν ἤδη κακῶς.

(5) τῇι δὲ ὑστεραίαι (22. Daisios) μετακομισθῆναι ἐς τὴν οἰκίαν τὴν πρὸς τῇι κολυμβήθραι καὶ θῦσαι μὲν τὰ τεταγμένα, ἔχοντα δὲ πονήρως ὅμως ἐσκαλέσαι τῶν ἡγεμόνων τοὺς ἐπικαιριωτάτους καὶ ὑπὲρ τοῦ πλοῦ αὖθις παραγγέλλειν.

τῇι δ' ἐπιούσηι (23. Daisios) μόγις ἐκκομισθῆναι πρὸς τὰ ἱερὰ καὶ θῦσαι, καὶ μηδὲν μεῖον ἔτι παραγγέλλειν ὑπὲρ τοῦ πλοῦ τοῖς ἡγεμόσιν.

(6) ἐς δὲ τὴν ὑστεραίαν (24. Daisios) κακῶς ἤδη ἔχοντα ὅμως θῦσαι τὰ τεταγ-

τῇι δὲ ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. εἶτ' ὀψὲ λουσάμενος καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς ἐμφαγὼν διὰ νυκτὸς ἐπύρεξε.

τῇι εἰκάδι λουσάμενος πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν. καὶ κατακείμενος ἐν τῶι λουτρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν.

τῇι δεκάτηι φθίνοντος ταὐτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη καὶ τὴν νύκτα βαρέως ἔσχε.

καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττε σφόδρα. καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν, ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες.

ἑβδόμηι σφόδρα πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά.

---

1[2] λουσάμενος (καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς) Plew De Alex. fort. II 6 p. 338 D  4[2]—5[1] λουσάμενος καὶ [τὰ ἱερὰ τ. θ. ἐ.] ἐμφαγὼν Plew  8[2] κυβεύων: Plut. 19[1] ἑλινύειν A[2] ἐλιννύειν B al  29[1] ἐπικαιριωτάτους Krueger ἐπικαιροτάτους A

μένα. παραγγεῖλαι δὲ τοὺς μὲν στρατηγοὺς διατρίβειν κατὰ τὴν αὐλήν, χιλιάρχας δὲ καὶ πεντακοσιάρχας πρὸ τῶν θυρῶν.

ἤδη δὲ παντάπασι πονήρως ἔχοντα (25. Daisios) διακομισθῆναι ἐκ τοῦ παραδείσου ἐς τὰ βασίλεια. εἰσελθόντων δὲ τῶν ἡγεμόνων γνῶναι μὲν αὐτούς, φωνῆσαι δὲ μηδὲν ἔτι ἀλλὰ εἶναι ἄναυδον. καὶ τὴν νύκτα πυρέσσειν κακῶς· καὶ τὴν ἡμέραν καὶ τὴν ἄλλην νύκτα (26. Daisios) καὶ τὴν ἡμέραν (27. Daisios).

(26) οὕτως ἐν ταῖς Ἐφημερίσι ταῖς βασιλείοις ἀναγέγραπται· καὶ ἐπὶ τούτοις ὅτι οἱ στρατιῶται ἐπύθησαν ἰδεῖν αὐτόν, οἱ μὲν ὡς ζῶντα ἔτι ἴδοιεν, οἱ δὲ ὅτι τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς ἔγωγε δοκῶ· τοὺς πολλοὺς ⟨δὲ⟩ ὑπὸ πένθους καὶ πόθου τοῦ βασιλέως βιάσασθαι ἰδεῖν Ἀλέξανδρον. τὸν δὲ ἄφωνον μὲν εἶναι λέγουσι παραπορευομένης τῆς στρατιᾶς, δεξιοῦσθαι δὲ ὡς ἑκάστους τήν τε κεφαλὴν ἐπαίροντα μόγις καὶ τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα.

(2) λέγουσι δὲ αἱ Ἐφημερίδες αἱ βασίλειοι ἐν τοῦ Σαράπιδος τῶι ἱερῶι Πείθωνά τε ἐγκομιηθέντα καὶ Ἄτταλον καὶ Δημοφῶντα καὶ Πευκέσταν, πρὸς δὲ Κλεομένην τε καὶ Μενίδαν καὶ Σέλευκον, ἐπερωτᾶν τὸν θεὸν εἰ λῶιον καὶ ἄμεινον Ἀλεξάνδρωι εἰς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα καὶ ἱκετεύσαντα θεραπεύεσθαι πρὸς τοῦ θεοῦ· καὶ γενέσθαι φήμην τινὰ ἐκ τοῦ θεοῦ μὴ κομίζεσθαι εἰς τὸ ἱερόν, ἀλλὰ αὐτοῦ μένοντι ἔσεσθαι ἄμεινον.

τῶν δὲ ἡγεμόνων ἐκέλευε τοὺς μεγίστους διατρίβειν ἐν τῆι αὐλῆι, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν.
εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς τῆι ἕκτηι μικρὸν ὕπνωσεν, ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. ἐπελθόντων δὲ τῶν ἡγεμόνων ἦν ἄφωνος· ὁμοίως δὲ καὶ τὴν πέμπτην.

διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι, καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας καὶ διηπειλοῦντο τοῖς ἑταίροις, ἕως ἐβιάσαντο· καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν ἐν τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον.

ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον ἀποσταλέντες ἠρώτων, εἰ κομίσωσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλε.

---

$8^1$—$9^1$ φωνῆσαι B al φωνῆναι $A^1$ $12^1$ ἡμέραν ⟨καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν (28. Daisios)⟩ Wilcken; der 27. und 28. Daisios sind vielmehr am schlusse vergessen. $20^1$ ⟨δὲ⟩ Vulcanius $27^2$ τετάρτηι δὲ ἡμέραι Usener

(3) ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους, καὶ Ἀλέξανδρον οὐ πολὺ ὕστερον ἀποθανεῖν, ὡς τοῦτο ἄρα ἤδη ὂν τὸ ἄμεινον. οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλωι (139 F 60) οὔτε Πτολεμαίωι (138 F 30) ἀναγέγραπται. οἱ δὲ καὶ τάδε ἀνέγραψαν . . . . .

τῆι δὲ τρίτηι φθίνοντος (28. Daisios) πρὸς δείλην ἀπέθανε.

τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς Ἐφημερίσιν οὕτω γέγραπται.

---

## 118. STRATTIS VON OLYNTH.

T

1 (Script. Al. M. 121) SUID. s. Στράττις Ὀλύνθιος, ἱστορικός. Περὶ τῶν Ἀλεξάνδρου Ἐφημερίδων βιβλία πέντε· Περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν· Περὶ τῆς Ἀλεξάνδρου τελευτῆς.

F

ΠΕΡΙ ΤΩΝ ΑΛΕΞΑΝΔΡΟΥ ΕΦΗΜΕΡΙΔΩΝ $\overline{Α}$—$\overline{Ε}$ (?).

---

ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΕΛΕΥΤΗΣ.

---

ΠΕΡΙ ΠΟΤΑΜΩΝ ΚΑΙ ΚΡΗΝΩΝ ΚΑΙ ΛΙΜΝΩΝ.

---

## 119—123. DIE BEMATISTEN.

### 119. BAITON.

T

1 ATHEN. X 59 p. 442 B: Βαίτων . . . ὁ Ἀλεξάνδρου βηματιστής (F 1). s. F 2; 5.

2 a) PLIN. NH I 5—6: situus, gentes .... ex .... Dicaearcho, Baetone, Timosthene. b) — I 7: gentium mirabiles figurae ... ex ... Herodoto (§ 10), Aristea (§ 10), Baetone (§ 11), Isigono (§ 12) .....

3 STRABON II 1, 6: οὐδὲ τοῦτο δὲ ἀπίθανον τοῦ Πατροκλέους, ὅτι φησὶ τοὺς Ἀλεξάνδρωι συστρατεύσαντας ἐπιδρομάδην ἱστορῆσαι ἕκαστα, αὐτὸν δὲ Ἀλέξανδρον ἀκριβῶσαι, ἀναγραψάντων τὴν ὅλην χώραν τῶν ἐμπειροτάτων αὐτῶι· τὴν δ' ἀναγραφὴν αὐτῶι δοῦναί φησιν ὕστερον ὑπὸ Ξενοκλείους τοῦ γαζοφύλακος.

10—12 περὶ — Ἐφεμερίδων· Περὶ ποταμῶν — τελευτῆς βιβλία πέντε A τελευτῆς καὶ ἄλλα Eudok Περὶ τῶν Ἀλ. Ἐφ. καὶ τῆς Ἀλ. τελ. βιβλία ε· Περὶ ποταμῶν — λιμνῶν Bernhardy 24 bione T

## F

### ΣΤΑΘΜΟΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΠΟΡΕΙΑΣ.

**1** (Script. Al. M. 134, 1) ATHEN. X 59 p. 442 B: *Βαίτων γοῦν ὁ Ἀλεξάνδρου βηματιστὴς ἐν τῶι ἐπιγραφομένωι Σταθμοὶ τῆς Ἀλεξάνδρου πορείας καὶ Ἀμύντας ἐν τοῖς Σταθμοῖς* (122.F 5) *τὸ τῶν Ταπύρων ἔθνος φησὶν οὕτω φίλοινον εἶναι ὡς καὶ ἀλείμματι ἄλλωι μηδενὶ χρῆσθαι ἢ τῶι οἴνωι. τὰ δ' αὐτὰ ἱστορεῖ καὶ Κτησίας* (III) . . . . *οὗτος δὲ καὶ δικαιοτάτους αὐτοὺς λέγει εἶναι.*

**2** (2) **a)** PLIN. NH VI 44—45; 61—63: *ipsum vero Parthiae caput Hecatompylos abest a portis* (sc. *Caspiis*) *CXXXIII p. ita Parthorum quoque regna foribus discluduntur.* (45) *egressos portis excipit protinus gens Caspia ad litora usque . . . ab ea gente retrorsus ad Cyrum amnem produntur CCXXV p., ab eodem amne si subeatur ad portas, DCC. hunc enim cardinem Alexandri Magni itinerum fecere ab his portis ad Indiae principium stadia* $\overline{XV}$ *DCLXXXX prodendo; ad Bactra oppidum quod appellant Zariasta, MMMDCC; inde ad Iaxartem amnem* $\overline{V}$.

**b)** STRAB. XI 8, 9: *τὰ δὲ διαστήματα οὕτω λέγει* (sc. *Ἐρατοσθένης*)· *ἀπὸ μὲν τοῦ Κασπίου ἐπὶ τὸν Κῦρον ὡς χιλίους ὀκτακοσίους σταδίους· ἐνθεν δ' ἐπὶ Κασπίας πύλας πεντακισχιλίους ἑξακοσίους· εἶτ' εἰς Ἀλεξάνδρειαν τὴν ἐν Ἀρίοις ἑξακισχιλίους τετρακοσίους·*

*εἶτ' εἰς Βάκτραν τὴν πόλιν, ἣ καὶ Ζαριάσπα καλεῖται, τρισχιλίους ὀκτακοσίους ἑβδομήκοντα· εἶτ' ἐπὶ τὸν Ἰαξάρτην ποταμόν, ἐφ' ὃν Ἀλέξανδρος ἦκεν, ὡς πεντακισχιλίους. ὁμοῦ διοχίλιοι δισμύριοι ἑξακόσιοι ἑβδομήκοντα.*
*λέγει δὲ καὶ οὕτω τὰ διαστήματα ἀπὸ Κασπίων πυλῶν εἰς Ἰνδούς·*

(61) *verum ut terrena demonstratio intellegatur, Alexandri Magni vestigiis insistimus. Diognetus* (120 F 1) *et Baeton itinerum eius mensores scripsere a portis Caspiis Hecatompylon Parthorum quot diximus milia esse; inde Alexandriam Arion, quam urbem is rex condidit, DLXXV; Prophthasiam Drangarum CXCVIIII; Arachosiorum oppidum DLXV; Hortospanum CLXXV;*

*εἰς μὲν Ἑκατόμπυλον χιλίους ἐνακοσίους ἑξήκοντά φασιν· εἰς δ' Ἀλεξάνδρειαν τὴν ἐν Ἀρίοις τετρακισχιλίους πεντακοσίους τριάκοντα· εἶτ' εἰς Προφθασίαν τὴν ἐν Δραγγῆι χιλίους ἑξακο-*

---

6 *φασὶν*? 12¹ *foribus* A *foris* rell 16¹ *CCXXV* E *CCXX* A 18¹ *itenerum* A *itinera* rell 20¹ *DCLXXXX* A *—LXXX* rell 21¹ *Zariaspa* Barbarus 22¹ *xartem, irataxen, —xan* Pl *Arachosiorum* Barb *caracosiorum* u. ä. Pl Barb 23² *ἀξάρτην* CD 34¹ *DLXV* 35¹ *CXCVIII* FE *CLXXV*: *CLXV* R *CCL* Barb 36² *Δραγγῆι* 36¹ *DLXV*: *DXV* Kiessling Xylander *δράπηι* Str *Δράγγας*? 36²—624, 1² *ἑξακοσίους ⟨ἑνενήκοντα⟩* Groskurd

(62) *inde ad Alexandri oppidum L — in quibusdam exemplaribus diversi numeri reperiuntur —, hanc urbem sub ipso Caucaso esse positam; ab ea ad flumen Copheta et oppidum Indorum Peucolatim CCXXXVII; unde ad flumen Indum et oppidum Taxilla LX, ad Hydaspen fluvium clarum CXX, ad Hypasin non ignobiliorem CCCLXXXX — |XXV|IIII — qui fuit Alexandri itinerum terminus exuperato tamen amne arisque in adversa ripa dicatis.*

σίους (οἱ δὲ πεντακοσίους)· εἶτ' εἰς Ἀραχωτοὺς τὴν πόλιν τετρακισχιλίους ἑκατὸν εἴκοσιν· εἶτ' εἰς Ὀρτόσπανα ἐπὶ τὴν ἐκ Βάκτρων τρίοδον δισχιλίους· εἶτ' εἰς τὰ ὅρια τῆς Ἰνδικῆς χιλίους. ὁμοῦ μύριοι πεντακισχίλιοι πεντακόσιοι.

(63) *epistulae quoque regis ipsius consentiunt his. reliqua inde Seleuco Nicatori peragrata sunt: ad Sydrum CLXVIIII; Iomanem amnem tantundem (aliqua exemplaria adiciunt V passuum); inde ad Gangen CXII D; ad Rhodaphan DLXVIIII (alii CCCXXV in hoc spatio produnt); ad Callinipaza oppidum CLXVII D (alii CCLXV); inde ad confluentem Iomanis amnis et Gangis DCXXV (plerique adiciunt XIII D); ad oppidum Palibothra CCCCXXV; ad ostium Gangis DCXXXVII D.*

3 (2) STRABON XV 2, 8: πλάτος δὲ τῆς χώρας (sc. τῆς Ἀριανῆς) τὸ τοῦ Ἰνδοῦ μῆκος τὸ ἀπὸ τοῦ Παροπαμισοῦ μέχρι τῶν ἐκβολῶν, μύριοι καὶ δισχίλιοι στάδιοι (οἱ δὲ τρισχιλίους φασί)· μῆκος δὲ ἀπὸ Κασπίων πυλῶν, ὡς ἐν τοῖς Ἀσιατικοῖς Σταθμοῖς ἀναγέγραπται, διττόν. μέχρι μὲν Ἀλεξανδρείας τῆς ἐν Ἀρίοις ἀπὸ Κασπίων πυλῶν διὰ τῆς Παρθυαίας μία καὶ ἡ αὐτὴ ὁδός· εἶθ' ἡ μὲν ἐπ' εὐθείας διὰ τῆς Βακτριανῆς καὶ τῆς ὑπερβάσεως τοῦ ὄρους εἰς Ὀρτόσπανα ἐπὶ τὴν ἐκ Βάκτρων τρίοδον, ἥτις ἐστὶν ἐν τοῖς Παροπαμισάδαις· ἡ δ' ἐκτρέπειται μικρὸν ἀπὸ τῆς Ἀρίας πρὸς νότον εἰς Προφθασίαν τῆς Δραγγιανῆς· εἶτα πάλιν ἡ αὐτὴ μέχρι τῶν ὅρων τῆς Ἰνδικῆς καὶ τοῦ Ἰνδοῦ· ὥστε μακροτέρα ἐστὶν αὕτη ἡ διὰ τῶν Δραγγῶν καὶ Ἀραχωτῶν, σταδίων μυρίων πεντακισχιλίων τριακοσίων ἡ πᾶσα.

4 (4) PLIN. NH VI 69 (SOLIN. 52, 13): *ab his* (sc. *Palibothris*) *in interiore situ Monaedes et Suari, quorum mons Maleus, in quo umbrae ad septentrionem cadunt hieme, aestate in austrum per senos*

---

1¹ *L R I* rell 6¹ *CCXXVII* E 6² χιλίους ⟨ἐνενήκοντα⟩ Falconer 7²—8² τριακόσιοι Kramer (F 3) 10² *CCCLXXXX — |XXV|IIII* Detlefsen [*XXVIIII*] Mayhoff 18 *CCXLV* DF *XXVIIII . CCCLXXXX* Pl 16 *CXIID* DFT *CXII* RE Str 26 καὶ (vor ἡ) om F 27 Ὀρτόσπανα Casaubonus ὁρόσπανα ἐπὶ Groskurd (F 2) διὰ Str καὶ Corais 29 ἡ αὐτὴ (o. ⟨μία⟩ ἡ λοιπὴ) Jac ἡ λοιτὴ CDF ἡ λοιπὴ Xylander 31 τριακοσίων: πεντακοσίους F 2

*menses. septentriones eo tractu semel anno adparere nec nisi quindecim diebus Baeton auctor est; hoc idem pluribus locis Indiae fieri Megasthenes.*

5 (3) PLIN. NH VII 11: *super alios autem Anthropophagos Scythas in quadam convalle magna Imavi montis regio est quae vocatur Abarimon, in qua silvestres vivunt homines aversis post crura plantis, eximiae velocitatis, passim cum feris vagantes. hos in alio non spirare caelo ideoque ad finitimos reges non pertrahi neque ad Alexandrum Magnum pertractos Baeton itinerum eius mensor prodidit.*

## Anhang.

6 (—) a) STRABON II 1, 7—8: (voraufgeht T 3) ἔτι φησὶν ὁ Ἵππαρχος ἐν τῶι δευτέρωι ὑπομνήματι αὐτὸν τὸν Ἐρατοσθένη διαβάλλειν τὴν τοῦ Πατροκλέους πίστιν ἐκ τῆς πρὸς Μεγασθένη διαφωνίας περὶ τοῦ μήκους τῆς Ἰνδικῆς τοῦ κατὰ τὸ βόρειον πλευρόν, τοῦ μὲν Μεγασθένους (III) λέγοντος σταδίων μυρίων ἑξακισχιλίων, τοῦ δὲ Πατροκλέους (V) χιλίοις λείπειν φαμένου· ἀπὸ γάρ τινος ἀναγραφῆς σταθμῶν ὁρμηθέντα τοῖς μὲν ἀπιστεῖν διὰ τὴν διαφωνίαν, ἐκείνηι δὲ προσέχειν ..... ἐρυθμεν δ', ὅτι οὐ ψιλὴν τὴν διαφωνίαν ἠιτιάσατο, ἀλλὰ συγκρίνων πρὸς τὴν ὁμολογίαν καὶ τὴν ἀξιοπιστίαν τῆς ἀναγραφῆς τῶν Σταθμῶν. b) — XV 1, 11: μῆκος δὲ (sc. τῆς Ἰνδικῆς) τὸ ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω· τούτου δὲ τὸ μὲν μέχρι Παλιβόθρων ἔχοι τις ἂν βεβαιοτέρως εἰπεῖν· καταμεμέτρηται γὰρ σχοινίοις καί ἐστιν ὁδὸς βασιλικὴ σταδίων [δισ]μυρίων· τὰ δ' ἐπέκεινα στοχασμῶι λαμβάνεται διὰ τῶν ἀνάπλων τῶν ἐκ θαλάττης διὰ τοῦ Γάγγου ποταμοῦ μέχρι Παλιβόθρων· εἴη δ' ἂν τι σταδίων ἑξακισχιλίων. ἔσται δὲ τὸ πᾶν, ἡι βραχύτατον, μυρίων ἑξακισχιλίων, ὡς ἔκ τε τῆς ἀναγραφῆς τῶν Σταθμῶν τῆς πεπιστευμένης μάλιστα λαβεῖν Ἐρατοσθένης φησί. καὶ ὁ Μεγασθένης οὕτω συναποφαίνεται, Πατροκλῆς δὲ χιλίοις ἐλαττόν φησι.

7 (—) — II 1, 23—26: (die dritte σφραγίς hat Eratosthenes nur roh bestimmen können) ὅτι οὐκ εὐκρινῶς ἀφώρισται ἡ ἀπὸ Κασπίων πυλῶν ἐπὶ Καρμανίαν ... πλευρά· ἔπειθ' ὅτι εἰς τὴν νότιον πλευρὰν ὁ Περσικὸς ἐμπίπτει κόλπος ... ὥστ' ἠνάγκασται τὴν ἐκ Βαβυλῶνος λαβεῖν γραμμὴν ὡς ἂν εὐθεῖάν τινα διὰ Σούσων καὶ Περσεπόλεως μέχρι τῶν ὀρων τῆς Καρμανίας καὶ τῆς Περσίδος, ἣι δυνατὸς ἦν εὑρεῖν μεμετρημένην ὁδόν, σταδίων οὖσαν τὴν ὅλην μικρῶι πλειόνων ἢ ἐννακισχιλίων. ..... καὶ μὴν [τὸ ἀπὸ Θαψάκου μέχρι τῆς Ἀρμενίας] οὐδὲ πᾶν μεμετρημένον ἔχει τὸ ἑσπέριον πλευρὸν τὸ ἀφοριζόμενον ὑπὸ τοῦ Εὐφράτου· ἀλλά φησι τὸ πρὸς τῆι Ἀρμενίαι μέρος καὶ τοῖς ἀρκτικοῖς ὄρεσι μὴ ἔχειν πόσον ἐστὶ διὰ τὸ ἀμέτρητον εἶναι. διὰ δὴ ταῦτα πάντα τυπωδῶς φησιν ἀποδιδόναι τὴν τρίτην μερίδα. καὶ γὰρ καὶ τὰ διαστήματα ἃ φησιν ἐκ πολλῶν συνάγειν τῶν τοὺς Σταθμοὺς πραγματευσαμένων, ⟨ὧν⟩ τινὰς καὶ ἀνεπιγράφους καλεῖ. ..... (24) ὁ μὲν δὴ οὕτως φησὶ τὴν τρίτην μερίδα τυπωδῶς ἀποδίδοσθαι μυρίων σταδίων ἀπὸ Κασπίων πυλῶν ἐπὶ τὸν Εὐφράτην· κατὰ μέρος δὲ διαιρῶν, ὡς ἀναγεγραμμένην εὗρε τὴν μέτρησιν, οὕτω τίθησιν, ἔμπαλιν τὴν ἀρχὴν ἀπὸ τοῦ Εὐφράτου ποιησάμενος καὶ τῆς κατὰ Θάψακον διαβάσεως αὐτοῦ. μέχρι μὲν δὴ τοῦ Τίγριδος, ὅπου Ἀλέξανδρος

2 *auctor est Baeton, qui perhibet hoc in plurimis Indiae locis evenire* Solin 10 ἔτι Kramer ὅτι Str 13 ἑξακισχιλίων Siebenkees πεντακισχιλίων Str 20 [δισ]μυρίων Casaubonus 21—22 ἔσται δή? Jac 31 [τὸ — Ἀρμενίας Groskurd] 33 ἔχειν ⟨εἰπεῖν⟩? Kramer 35 συναγαγεῖν Corais 36 ⟨ὧν⟩ Corais

διέβη, σταδίους ⟨δισ⟩χιλίους καὶ τετρακοσίους γράφει· ἐντεῦθεν δ' ἐπὶ τοὺς ἑξῆς τόπους διὰ Γαυγαμήλων καὶ τοῦ Λύκου καὶ Ἀρβήλων καὶ Ἐκβατάνων, ἣι Δαρεῖος ἐκ τῶν Γαυγαμήλων ἔφυγε μέχρι Κασπίων πυλῶν, τοὺς μυρίους ἐκπληροῖ, τριακοσίοις μόνον πλεονάσας. .... (25) ἀποδοὺς δὲ τὸ βόρειον οὕτω πλευρόν, τὸ δὲ νότιον, φησί, παρὰ μὲν τὴν θάλατταν οὐκ ἔστι λαβεῖν διὰ τὸ τὸν Περσικὸν ἐμπίπτειν κόλπον, ἀπὸ Βαβυλῶνος δὲ διὰ Σούσων καὶ Περσεπόλεως †καὶ τῶν ὁρίων τῆς τε Περσίδος καὶ τῆς Καρμανίας σταδίους εἶναι ἐννακισχιλίους καὶ διακοσίους ..... (26) τῶν δὲ πλαγίων πλευρῶν τὴν ἑσπερίαν λέγει πρῶτον, ἣν ὁποία τίς ἐστιν, εἴτε μία εἴτε δύο, ἐν μέσωι πάρεστι σκοπεῖν. ἀπὸ γὰρ τῆς κατὰ Θάψακόν φησι διαβάσεως παρὰ τὸν Εὐφράτην εἰς μὲν Βαβυλῶνα σταδίους εἶναι τετρακισχιλίους ὀκτακοσίους· ἐντεῦθεν δ' ἐπὶ τὰς ἐκβολὰς τοῦ Εὐφράτου καὶ πόλιν Τερηδόνα τριαχιλίους· τὰ δ' ἀπὸ Θαψάκου πρὸς τὰς ἄρκτους μέχρι μὲν τῶν Ἀρμενίων πυλῶν καταμεμετρῆσθαι καὶ εἶναι ὡς χιλίους ἑκατόν, τοὺς δὲ διὰ Γορδυαίων καὶ Ἀρμενίων μηκέτι· διὸ δὴ παραλείπειν αὐτούς. (folgt über die ostseite.)

8 (—) EUSEB. PE IX 36 p. 452 D: ὁ δὲ τῆς Συρίας σχοινομέτρησιν γράψας ἐν τῆι πρώτηι φησὶ κεῖσθαι Ἱεροσόλυμα ἐπὶ μετεώρου τε καὶ τραχέος τόπου· ὠικοδομῆσθαι δέ τινα μὲν μέρη τοῦ τείχους ἀπὸ λίθου ξεστοῦ, τὰ δὲ πλείονα ἀπὸ χάλικος· καὶ ἔχειν τὴν περίμετρον τὴν πόλιν σταδίων κξ, ὑπάρχειν δὲ καὶ πηγὴν ἐν τῶι χωρίωι ὕδωρ ἀφιλὲς ἀναβλύζουσαν.

## 120. DIOGNETOS (VON ERYTHRAI?)

### T

**1** (Script. Al. M. p. 134) PLIN. VI 61: *Diognetus et Baeton* (119 F 2 a) *itinerum eius* (sc. Alexandri) *mensores.*

**2 a)** — I 6: *situus gentes ..... ex ... Onesicrito Nearcho arboribus) .... ex ... Diogneto Nicobule Anticlide Charete Mytilenaeo.* *Megasthene Diogneto .... b)* — I 12. 13: *arborum naturae (de peregrinis*

### F

**1** (—) PLIN. VI 61—62: s. Baiton 119 F 2.

**2** (—) HYGIN. Poet. astr. II 30: *Diognetus Erythraeus ait quodam tempore loco repente Typhona ... apparuisse. Venerem autem cum filio in flumen se proiecisse et ibi figuram piscium forma mutasse. quo facto periculo esse liberatos. itaque postea Syros, qui in his locis sunt proximi, destitisse pisces edere, quod vereantur eos capere, ne simili causa aut deorum praesidia inpugnare videantur aut eos ipsos captare.* *Venerem cum Cupidine filio in Syriam ad flumen Euphraten venisse; eodem*

---

1 ⟨δισ⟩χιλίους Casaubonus 3—4 τριακοσίοις Casaubonus —ους Str 6 καί: μέχρι Groskurd 8 πλαγίων Casaubonus πελαγίων Str λέγειν Str λέγει Xylander 12 τριαχιλίους ⟨τριακοσίους⟩ Gosselin 13 Γορδυαίων Du Theil γορτυναίων Str 14 αὐτός ABC 15 σχοινομέτρησιν om J σχοινομέτρης σχοινομέτρησιν O 26 *Nicobule* Brunn —*lo* Pl

## 121. PHILONIDES VON KRETA.

T

1 (—) a) INSCHR. V. OLYMPIA V no. 276 (Syll.[3] 303): *Βασιλέως Ἀλε[ξάνδρου] ἡμεροδρόμας καὶ βηματιστὴς τῆς Ἀσίας Φιλωνίδης Ζωίτου Κρὴς Χερσονάσιος ἀνέθηκε Διὶ Ὀλυμπίωι.* b) PAUS. VI 16, 5: *τοῦ δὲ Ἀριστείδου ἐγγύτατα Μενάλκης ἕστηκεν . . . καὶ Φιλωνίδης Ζω⟨ί⟩του, γένος μὲν ἐκ Χερρονήσου τῆς Κρητῶν, Ἀλεξάνδρου δὲ ἡμεροδρόμος τοῦ Φιλίππου.*

2 PLIN. NH I 4; 5: *situus, gentes .... ex .... Isidoro, Philonide, Xenagora, Astynomo* (5: *Baetone, Timosthene, Philonide, Xen., Ast.*)

F

### Zweifelhaftes.

1 (IV 478, 1) PLIN. NH V 129: *huius* (sc. Cypri) *circuitum Timosthenes* (V) *CCCCXXVIIID p. prodidit; Isidoros* (V) *CCCLXXV longitudinem inter duo promunturia Clidas et Acamanta, quod est ab occasu; Artemidorus* (V) *CLXII D; Timosthenes CC; vocatam antea Acamantida Philonides; Cerastim Xenagoras* (240 F 26) *et Aspeliam et Amathusiam et Macariam; Astynomus* (VI) *Crypton et Colinian.*

## 122. AMYNTAS.

F

*ΑΣΙΑΣ ΣΤΑΘΜΟΙ.*

*Ā*

1 (Script. Al. M. p. 135, 1) ATHEN. XI 102 p. 500 D: *Ἀμύντας ἐν τῶι πρώτωι τῶν τῆς Ἀσίας Σταθμῶν περὶ τοῦ ἀερομέλιτος καλουμένου διαλεγόμενος γράφει οὕτως· «σὺν τοῖς φύλλοις δρέποντες συντιθέασιν εἰς παλάθης Συριακῆς τρόπον πλάττοντες, οἳ δὲ σφαίρας ποιοῦντες. καὶ ἐπειδὰν μέλλωσι προσφέρεσθαι, ἀποκλάσαντες ἀπ' αὐτῶν ἐν τοῖς ξυλίνοις ποτηρίοις, οὓς καλοῦσι ταβαίτας, προβρέχουσι καὶ διηθήσαντες πίνουσι. καί ἐστιν ὅμοιον ὡς ἂν ⟨εἴ⟩ τις μέλι πίνοι διειῆς, τούτου δὲ καὶ πολὺ ἥδιον.»*

6 *Ζώτου* Paus 7 *τῆς* Sylburg *τῶν* Paus 14 *CCCCXVII* R *CCCCXXVIII* FE 15 *CLII* F[1] *CLX* Gelenius 30 ⟨*εἰ*⟩ Kaibel 31 *τούτου* Meineke *τοῦτο* A

Γ

2 (2) ATHEN. XII 39 p. 529 E—530 A: Ἀμύντας δὲ ἐν τρίτωι Σταθμῶν ἐν τῆι Νίνωι φησὶν εἶναι χῶμα ὑψηλόν, ὅπερ κατασπάσαι Κῦρον ἐν τῆι πολιορκίαι ἀντιχωννύντα τῆι πόλει. λέγεσθαι δὲ τὸ χῶμα τοῦτ' εἶναι Σαρδαναπάλλου τοῦ βασιλεύσαντος Νίνου, ἐφ' οὗ καὶ ἐπιγεγράφθαι ἐν στήληι λιθίνηι Χαλδαικοῖς γράμμασιν ὃ μετενεγκεῖν Χοιρίλον ἔμμετρον ποιήσαντα. εἶναι δὲ τοῦτο· 'ἐγὼ δὲ ἐβασιλεύσα καὶ ἄχρι εἰώρων τοῦ ἡλίου ⟨τὸ⟩ φῶς, ἔπιον ἔφαγον ἠφροδισίασα, εἰδὼς τόν τε χρόνον ὄντα βραχὺν ὃν ζῶσιν οἱ ἄνθρωποι καὶ τοῦτον πολλὰς ἔχοντα μεταβολὰς καὶ κακοπαθείας, καὶ ὧν ἂν καταλίπω ἀγαθῶν ἄλλοι ἕξουσι τὰς ἀπολαύσεις. διὸ κἀγὼ ἡμέραν οὐδεμίαν παρέλιπον τοῦτο ποιῶν'.

OHNE BUCHZAHL.

3 (6) AELIAN. NA XVII 17: Ἀμύντας ἐν τοῖς ἐπιγραφομένοις οὕτως ὑπ' αὐτοῦ Σταθμοῖς κατὰ τὴν γῆν τὴν Κασπίαν καὶ βοῶν ἀγέλας λέγει πολλὰς καὶ κρειττονας ἀριθμοῦ εἶναι καὶ ἵππων. ἐπιλέγει δὲ ἄρα καὶ ἐκεῖνο, ἐν ὥρῶν τισι περιτροπαῖς μυῶν ἐπιδημίας γίνεσθαι πλῆθος ἄμαχον· καὶ τὸ μαρτύριον ἐπάγει λέγων, τῶν ποταμῶν τῶν ἀεννάων σὺν πολλῶι τῶι ῥοίζωι φερομένων, τοὺς δὲ καὶ μάλα ἀτρέπτως ἐπινήχεσθαί τε αὐτοῖς καὶ τὰς οὐρὰς ἀλλήλων ἐνδακόντας ἕρμα τοῦτο ἴσχειν, καὶ τοῦ διαβάλλειν τὸν πόρον σύνδεσμόν σφισιν ἰσχυρότατον ἀποφαίνει τόνδε. ἐς τὰς ἀρούρας δὲ ἀποπηξάμενοι, φησί, καὶ τὰ λήια ὑποκείρουσι καὶ διὰ τῶν δένδρων ἀνέρπουσι καὶ τὰ ὡραῖα δεῖπνον ἔχουσι καὶ τοὺς κλάδους δὲ διακόπτουσιν, οὐδὲ ἐκείνους κατατραγεῖν ἀδυνατοῦντες. οὐκοῦν ἀμυνόμενοι οἱ Κάσπιοι τὴν ἐκ τῶν μυῶν ἐπιδρομήν τε ἅμα καὶ λύμην φείδονται τῶν γαμψωνύχων, οἵπερ οὖν καὶ αὐτοὶ κατὰ νέφη πετόμενοι εἶτά αὐτοὺς ἀνασπῶσιν, καὶ ἰδίαι τινὶ φύσει τοῖς Κασπίοις ἀναστέλλουσι τὸν λιμόν.

ἀλώπηκες δὲ αἱ Κάσπιαι, τὸ πλῆθος αὐτῶν τοσοῦτόν ἐστιν ὡς καὶ ἐπιφοιτᾶν οὐ μόνον τοῖς αὐλίοις τοῖς κατὰ τοὺς ἀγρούς, ἤδη γε μὴν καὶ ἐς τὰς πόλεις παριέναι. καὶ ἐν οἰκίαι ἀλώπηξ φανεῖται οὐ μὰ Δία ἐπὶ λύμηι οὐδὲ ἁρπαγῆι, ἀλλὰ οἷα τιθασός· καὶ ὑποσαίνουσί τε αἱ Κάσπιοι καὶ ὑπαικάλλουσι τῶν παρ' ἡμῖν κυνιδίων ⟨δίκην⟩. οἱ δὲ μύες οἱ τοῖς Κασπίοις ἐπίδημον ὄντες κακόν, μέγεθος αὐτῶν ὅσον κατά γε τοὺς Αἰ-

8 ⟨τὸ⟩ Kaibel 15 καὶ ἵππων hinter πολλὰς He(rcher) 16 ἐκεῖνο He —να Ael 20 σφισιν Wyttenbach φησιν Ael ἀποφαίνει Jac —νειν Ael 23—24 ἀμυνόμενοι He 25 ⟨κατα⟩πετόμενοι? He 26 ἀνασπῶσιν 'vox corrupta' He (?) 30 τε He γε Ael αἱ Κάσπιοι (sc. ἀλώπηκες) Jac τοῖς Κασπίοις C Mueller (doch s. IV 45) del He 31 ⟨δίκην⟩ Bernhard 32 ἐπίδημον Jacobs —οι Ael —ων Reiske

γυπτίων ἰχνεύμονας ὁρᾶσθαι, ἄγριοι δὲ καὶ δεινοὶ καὶ καρτεροὶ τοὺς ὀδόντας, καὶ διακόψαι τε καὶ διατραγεῖν οἷοί τε εἰσὶ καὶ σίδηρον. τοιοῦτοι δὲ ἄρα καὶ οἱ μύες οἱ ἐν τῇι Τερηδόνι τῆς Βαβυλωνίας (F 7) εἰσίν, ὥνπερ οὖν καὶ τὰς δορὰς οἱ τούτων κάπηλοι ἐς Πέρσας ἄγουσι φόρτον. εἰσὶ δὲ ἀπαλαί, καὶ συνερραμέναι χιτῶνές τε ἅμα γίνονται καὶ ἀλεαίνουσιν αὐτούς. καλοῦνται δὲ ἄρα οὗτοι κανδυτᾶνες, ὡς ἐκείνοις φίλον. θαυμάσαι δὲ τῶν μυῶν τῶνδε ἄξιον ἄρα καὶ τοῦτο· ἐὰν ἁλῶι μῦς κύουσα, κἄιτα ἐξαιρεθῆι τὸ ἔμβρυον, αὐτῆς δὲ διατμηθείσης ἐκείνης εἶτα μέντοι καὶ αὐτὸ διανοιχθῆι, καὶ ἐκεῖνο ἔχει βρέφος.

4 (3) ATHEN. II 74 p. 67 A: Ἀμύντας ἐν Σταθμοῖς Περσικοῖς φησι· «φέρει τὰ ὄρη τέρμινθον καὶ σχῖνον καὶ κάρυα τὰ Περσικά, ἀφ' ὧν ποιοῦσι τῶι βασιλεῖ ἔλαιον πολύ.»

5 (5) — X 59 p. 442 B: s. Baiton 119 F 1.

6 (4) — XII 9 p. 514 F: (Chares 125 F 2 beschreibt den κοιτών des Perserkönigs) ἦν δ' ἐν τῶι κοιτῶνι καὶ λιθοκόλλητος ἄμπελος χρυσῆ ὑπὲρ τῆς κλίνης — τὴν δ' ἄμπελον ταύτην Ἀμύντας φησὶν ἐν τοῖς Σταθμοῖς καὶ βότρυας ἔχειν ἐκ τῶν πολυτελεστάτων ψήφων συντεθειμένους — . . . . . .

OHNE BUCHTITEL.

7 (7) AELIAN. NA V 14: ἐν τῇι Γυάρωι τῇι νήσωι Ἀριστοτέλης (θαυμ. ἀκ. 25) λέγει μῦς εἶναι καὶ μέντοι καὶ τὴν γῆν σιτεῖσθαι τὴν σιδηρῖτιν. Ἀμύντας δὲ καὶ τοὺς ἐν Τερηδόνι (F 3) — γῆς δέ ἐστιν αὕτη τῆς Βαβυλωνίας — τὴν αὐτὴν προσφέρεσθαι λέγει.

8 (8) SCHOL. NIKAND. Ther. 816: Ἀμύντας φησὶ τὴν μυγαλῆν ἐκ μυὸς καὶ γαλῆς γίνεσθαι. χαλεπὸν δ' ἐστὶ τὸ δῆγμα αὐτῆς, ὅταν τινὰ δάκηι.

## 123. ARCHELAOS VON KAPPADOKIEN.

T

1 (Script. Al. M. p. 134) DIOG. LAERT. II 17: γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀρχέλαοι· ὁ χωρογράφος τῆς ὑπὸ Ἀλεξάνδρου πατηθείσης γῆς· ὁ τὰ Ἰδιοφυῆ ποιήσας· ἄλλος τεχνογράφος ῥήτωρ.

2 PLIN. NH I 37: *origo gemmarum . . . . ex . . . . Archelao rege . . . .*

---

6 καννάκας Gesner (Poll. VII 59—60 χιτὼν χειριδωτὸς . . . . καὶ καυνάκης Περσῶν . . . . Βαβυλωνίων δ' ἐστὶν ὁ καυνάκης. Aristoph. Vesp. 1149 s. Steph. Thes. IV 930) κανατᾶνες Philes 68 20 Γυάρωι Holste (Antigon. Hist. mir. 18. Theophr.-Plin. NH VIII 222) πάρωι Ael κύπρωι Aristot 22 γῆς Holste γῇ Ael 25 δ' ἐστὶ: δὲ εἶναι G

F

1 (—) SOLIN. 52, 18—23: *Indis omnibus promissa caesaries, non sine fuco caerulei aut crocei coloris. cultus praecipuus in gemmis. nullus funerum apparatus. praeterea, ut Iubae et Archelai regum libris editum est, in quantum mores populorum dissonant, habitus quoque discrepantissimus: alii lineis alii laneis peplis vestiuntur, pars nudi pars obscaena tantum amiculati, plurimi etiam flexibilibus libris circumdati. quidam populi adeo proceri, ut elephantos velut equos facillima insultatione transiliant. plurimis placet neque animal occidere neque vesci carnibus, plerique tantum piscibus aluntur et mari viuunt. sunt qui proximos parentesque priusquam annis aut aegritudine in maciem eant velut hostias caedunt, deinde peremptorum viscera epulas habent, quod ibi non sceleris, sed pietatis loco numerant. sunt etiam qui cum incubuere morbi procul a ceteris in secreta abeunt nihil anxie mortem exspectantes.*

2 (—) PLIN. NH XXXVII 46: *nasci et in India certum est* (sc. sucinum). *Archelaus, qui regnavit in Cappadocia, illinc pineo cortice inhaerente tradit advehi rude polirique adipe suis lactentis incoctum.*

3 (—) — — 95: *Archelaus Carchedonios nigrioris aspectus esse, sed igni vel sole et inclinatione acrius quam ceteros excitari; eosdèm obumbrante tecto purpureos videri, sub caelo flammeos, contra radios solis scintillare, ceras signantibus his liquescere, quamvis in opaco.*

4 (—) — — 104: *Archelaus et in Aegypto circa Thebas nasci tradit fragiles* (sc. Carchedonios), *venosas, morienti carboni similes.*

5 (—) — — 107: *egregia etiam nunc sua topazo gloria est, ⟨e⟩ virenti genere et, cum reperta est, praelatae omnibus. accidit in Arabiae insula quae Cytis vocatur, in quam devenerant Trogodytae praedones fame et tempestate fessi, qui, cum herbas radicesque foderent, eruerunt topazon. haec Archelai sententia est. Juba* (III) . . . . . .

## Unsicheres.

6 (—) PAP. OX. II 218 col. II 8: (voraufgeht Kleitarchos 137 F 32) *ἐὰν ἱερεὺς ἀποθάνῃ τοῦ Ἄρεως, περιστέλλεται εὐκοσμίως ὑπὸ τῶν ἐγχωρίων καὶ εἴς τινα τόπον φέρεται δημόσιον μετὰ τὴν τρίτην ἡμέραν. καιόντων δὲ τῶν συγγενῶν (?) ὁ χειρο-*

---

5—15 *in quantum mores — exspectantes* Mela III 63—65 6 *aut lanis . . . alii avium ferarumque pellibus* Mel 8 *alii humiles parvique, alii ita proceri* Mel 13 *adipe suis* F Solin. 20, 12 om rell 24 *tradit* B *tradidit* rell insula sit quae Ophiodes Agatharchidi, Diodoro, Straboni' Mayhoff 25 ⟨e⟩ Mayhoff 27 *Cytis* Harduin *c(h)it(h)is* CF *echitis* B 'an recte? ut eadem 32 τηνα P 33 συγγενων ο. γειτονων P *vocabatur* B²

τονηθεὶς ὑπὸ τοῦ δήμου ζάκορος ὑποτίθησι τῶι νεκρῶι τὸ τοῦ θεοῦ ξίφος. καὶ σιγῆς γενομένης βαθείας, ἐὰν ἡι νομίμως, λαμβάνει τῶν γινομένων· ἐὰν δὲ ἐγκλήματός τινος ἔχηι συνείδησιν, ἐπὶ τῶι τὸν σίδηρον ὑποβληθῆναι ἀ . . . . . εται καὶ αὐτὸς ἑ[αυτ]ῷ κα[τηγ]ορεῖ ὅσα παρενόμησεν εἰς τὸν θεόν. διηγούμενος ὁ . . | ἐχν ὁ[. .]ν λόγων τῶν ἀμ[. .]|τη κατ[.] . . [.]ρονι[. . .] . ῳ[. . .]ραν ἑ[πιφ]έρει ὑπὲρ τ[ῆς] ὅλης [αἰτίας. οὕτως] | Ἀρχέλ[αο]ς καὶ Ζην[όδοτος | ἐν τοῖς] περὶ τύφου (?).

## Unechtes.

7 (—) [Plut.] De fluv. I 5: κατορύσσουσι δὲ (sc. die anwohner des Hydaspes) κατ' ἐνιαυτὸν γραῦν κατάκριτον παρὰ τὸν ὀνομαζόμενον λόφον Θηρογόνον· ἅμα γὰρ τὴν πρεσβῦτιν κατορυχθῆναι ἑρπετῶν πλῆθος ἐκ τῆς ἀκρωρείας ἐξέρχεται καὶ τὰ περιπτάμενα τῶν ἀλόγων ζώιων κατεσθίει. καθὼς ἱστορεῖ Χρύσερμος ἐν π̄ Ἰνδικῶν (III)· μέμνηται δὲ τούτων ἀκριβέστερον Ἀρχέλαος ἐν ιγ̄ Περὶ ποταμῶν.

8 (—) — — VIII 2 (= Stob. IV 36, 17): γεννᾶται δ' ἐν αὐτῶι (sc. im aitolischen Lykormas-Euenos) βοτάνη σάρισσα προσαγορευομένη, λόγχηι παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα. καθὼς ἱστορεῖ Ἀρχέλαος ἐν ᾱ Περὶ ποταμῶν.

9 (—) — — IX 3: γεννᾶται δ' ἐν αὐτῶι (sc. im asiatischen Maiandros) λίθος κατ' ἀντίφρασιν Σώφρων καλούμενος, ὃν ἐὰν βάλῃς τινὸς εἰς κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν· ἐξιλασάμενος δὲ τὴν Μητέρα τῶν θεῶν ἀπαλλάσσεται τοῦ πάθους. καθὼς ἱστορεῖ Δημάρατος ἐν γ̄ Περὶ ποταμῶν· μέμνηται δὲ τούτων καὶ Ἀρχέλαος ἐν ᾱ Περὶ λίθων.

---

# 124. KALLISTHENES VON OLYNTH.

## T

1 Suid. s. Καλλισθένης Δημοτίμου· οἱ δὲ Καλλισθένους· Ὀλύνθιος· μαθητὴς Ἀριστοτέλους καὶ ἀνεψιαδοῦς, ὃν ἔδωκεν ἔπεσθαι Ἀλεξάνδρωι τῶι Μακεδόνι. ὁ δ' ἐν γαλεάγραι σιδηρᾶι βαλὼν ἀνεῖλεν ἅμα Νεάρχωι (?) τῶι τραγικῶι, διότι συνεβούλευε μὴ ἐπιζητεῖν ὑπὸ Ἀθηναίων καλεῖσθαι δεσπότης· τινὲς δὲ αὐτὸν ὡς ἐπιβουλεύοντα Ἀλεξάνδρωι ἀνηιρῆσθαί φασιν ἅμα Νεάρχωι. εὐφυὴς πρὸς τὸ αὐτοσχεδιάζειν καὶ ῥύμηι πολλῆι φέρεσθαι. καὶ φέρεται λόγος, ὡς ὁ Καλλισθένης ὑπὸ φθειρῶν ὑπερβλύσεως καὶ ἐκβράσεως τὸν βίον καταστρέφει· καὶ μαρτυρεῖ ὁ ἰαμβος οὗτος 'καὶ φθειριῶσαν, ὡς ὁ πρὶν Καλλισθένης', περὶ τῆς ἰατρικῆς τέχνης λέγων ὡς ἠμέλητο πάνυ. s. T 6.

---

2 γινομένων: νομιζομένων? 3 ἀ[νίστ]αται o. ἀ[ναφθέγγ]εται Jac ἀ[μβλύν]εται o. α[ὐαίν]εται Grenfell-Hunt 4 αὐτὸς — ὅσα? Gr-H ε[. . .]|. ει κατ[. . .]ρρειασα P 5 ἁμ[αρ]τηματ[ω]ν? Jac 5—6 ἐ-τιφέρει — τύφου s. Arch. Pap-F I 530 14 σάρισσα Maussac ζάρισα Stob ἡ Plut 15—16 καθὼς — ποταμῶν om Plut 18 Σώφρων Maussac τέφρων Plut 26 Νεάρχωι: Νεόφρων ἢ Νεοφῶν Suid s. v. 27 διότι A αὐτῶι διότι rell 28 σὺν Ἀλεξάνδρωι BV εὐφυὴς ABV* ἦν δὲ εὐφυὴς rell

2 PLUTARCH. Alex. 55: *καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῶι* (sc. *Ἀριστοτέλει*) *διὰ τὴν συγγένειαν, ἐξ Ἡροΐς γεγονώς, ἀνεψιᾶς Ἀριστοτέλους.*

3 SIMPLIC. i. Aristot. De coelo II 12 [Comm. Arist. Gr. VII 506, 11]: . . . *διὰ τὸ μηδέπω τὰς ὑπὸ Καλλισθένους ἐκ Βαβυλῶνος ἐκπεμφθείσας τηρήσεις ἥκειν εἰς τὴν Ἑλλάδα, Ἀριστοτέλους τοῦτο ἐπισκήψαντος αὐτῶι, ἃς ἱστορεῖ Πορφύριος ἐτῶν εἶναι χιλίων καὶ μυριάδων τριῶν ἕως τῶν Ἀλεξάνδρου τοῦ Μακεδόνος σωζομένας χρόνων.*

4 DIOG. LAERT. V 39: *λέγεται δὲ ἐπ' αὐτοῦ* (sc. *Θεοφράστου*) *τε καὶ Καλλισθένους τὸ ὅμοιον εἰπεῖν Ἀριστοτέλην, ὅπερ Πλάτωνα, καθὰ προείρηται* (IV 6). *φασὶν εἰπεῖν ἐπί τε Ξενοκράτους καὶ αὐτοῦ τούτου· φάναι γὰρ τοῦ μὲν Θεοφράστου καθ' ὑπερβολὴν ὀξύτητος πᾶν τὸ νοηθὲν ἑρμηνεύοντος, τοῦ δὲ νωθροῦ τὴν φύσιν ὑπάρχοντος, ὡς τῶι μὲν χαλινοῦ δέοι, τῶι δὲ κέντρου.* — GNOMOL. VAT. (Wien. Stud. IX 199) 52.

5 JOH. LYD. De mens IV 77 p. 131, 8 Wü: *ὅτι ὁ Ἀριστοτέλης τὸν Καλλισθένην ἀπέσκωψεν εἰπὼν τὸν μὲν περιττὸν νοῦν ἔχειν, τὸν δὲ ἀνθρώπινον ἀποβεβληκέναι.* — T 7 p. 633, 19.

6 DIOG. LAERT. V 4—5: *ἐπειδὴ δ' ἐδόκει ἐπιεικῶς αὐτῶι συγγεγενῆσθαι [Ἀλεξάνδρωι]* (sc. *Ἀριστοτέλης*), *ἀπῆρεν εἰς Ἀθήνας* (335/4), *συστήσας αὐτῶι τὸν συγγενῆ Καλλισθένην τὸν Ὀλύνθιον. ὃν καὶ παρρησιαστικώτερον λαλοῦντα τῶι βασιλεῖ καὶ μὴ πειθόμενον αὐτῶι φασιν ἐπιπλήξαντα εἰπεῖν* (Il. Σ 95) *'ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἵ' ἀγορεύεις'. καὶ δὴ καὶ ἐγένετο· δόξας γὰρ Ἑρμολάωι συμμετέχειν τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς ἐν σιδηραῖς περιήγετο γαλεάραις, φθειριῶν καὶ ἀκόμιστος, καὶ τέλος λέοντι παραβληθεὶς οὕτω κατέστρεψεν.* — T 1.

7 PLUT. Alex. 52—55: (nach Kleitos' tod) *Καλλισθένην τε τὸν φιλόσοφον παρεισήγαγον Ἀριστοτέλους οἰκεῖον ὄντα καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον· ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πράως ὑποδυόμενος τῶι λόγωι καὶ περιὼν ἀλύπως λαβέσθαι τοῦ πάθους· ὁ δὲ Ἀνάξαρχος .... τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δὲ ἦθος εἰς πολλὰ καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν, οὐδὲ ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν, προσδιέβαλε.* (zänkereien zwischen Kallisthenes und Anaxarchos; 53) *τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν, ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος ἀνέβη πρὸς Ἀλέξανδρον. φθονούμενος δὲ διὰ τὴν δόξαν ἔστιν ἃ καὶ καθ' αὐτοῦ τοῖς διαβάλλουσι παρεῖχε, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος ἔν τε τῶι συν-*

7 μυριάδων: *nongentorum* interpr. lat. 19 [*Ἀλεξάνδρωι*] Jac 29 *πολλὰ*:

εἶναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις, ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ 'μισῶ σοφιστήν, ὅστις οὐδ' αὐτῶι σοφός'. λέγεται δέ ποτε πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ πυτηρίου Μακεδόνας ὁ Καλλισθένης οὕτως εὑροῖσαι πρὸς τὴν ὑπόθεσιν, ὥστε ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν. εἰπεῖν οὖν τὸν Ἀλέξανδρον ὅτι κατ' Εὐριπίδην τὸν λαβόντα τῶν λόγων 'καλὰς ἀφορμὰς οὐ μέγ' ἔργον εὖ λέγειν'· 'ἀλλ' ἔνδειξαι', φάναι, 'τὴν αὑτοῦ δύναμιν ἡμῖν κατηγορήσας Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμελοῦσιν'. οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινωιδίαν τραπόμενον πολλὰ παρρησιάσασθαι κατὰ τῶν Μακεδόνων καὶ τὴν Ἑλληνικὴν στάσιν αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως εἰπεῖν 'ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς'. ἐφ' ὧι πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι, καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης, ἀλλὰ τῆς δυσμενείας Μακεδόσιν ἀπόδειξιν δέδωκε. (54) ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησι (IV) τὸν ἀναγνώστην τοῦ Καλλισθένους Στρεῖβον Ἀριστοτέλει διηγεῖσθαι. τὸν δὲ Καλλισθένην συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν εἰπεῖν 'κάθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων'. οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριστοτέλης, ὅτι Καλλισθένης λόγωι μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δὲ οὐκ εἶχεν (s. T 5).

ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπωσάμενος καὶ φιλοσόφως καὶ μόνος ἐν φανερῶι διελθὼν ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης καὶ μείζονος Ἀλέξανδρον ἀποτρέψας τὴν προσκύνησιν, αὐτὸν δὲ ἀπώλεσεν ἐκβιάσασασθαι δοκῶν μᾶλλον ἢ πεῖσαι τὸν βασιλέα. Χάρης δὲ ὁ Μιτυληναῖός φησι (125 F 14) τὸν Ἀλέξανδρον ἐν τῶι συμποσίωι πιόντα φιάλην προτεῖναί τινι τῶν φίλων, τὸν δὲ δεξάμενον πρὸς ἑστίαν ἀναστῆναι καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον [ἐν τῶι συμποσίωι] καὶ κατακλιθῆναι. πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς τὸν Καλλισθένην λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως ἀλλὰ Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα· Δημητρίου δὲ τοῦ προσονομαζομένου Φείδωνος εἰπόντος 'ὦ βασιλεῦ, μὴ φιλήσῃς, οὗτος γάρ σε μόνος οὐ προσεκύνησε', διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον, τὸν δὲ Καλλισθένη μέγα φθεγξάμενον εἰπεῖν 'φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι'. (55) τοιαύτης ὑπογενομένης ἀλλοτριότητος πρῶτον μὲν Ἡφαιστίων ἐπιστεύετο λέγων ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι ψεύσαιτο τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἄγνωνες ἐπεφύοντο

28—29 [ἐν τῶι συμπ.] Sintenis 32 Φείδωνος s. p. 635, 21 35 ὑπογενομένης Corais ὑπογι— Pl

φάσκοντες περιιέναι τὸν σοφιστὴν ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια καὶ περιέπειν ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσι. διὸ καὶ τῶν περὶ Ἑρμόλαον ἐπιβουλευσάντων τῶι Ἀλεξάνδρωι καὶ φανερῶν γενομένων ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες, ὡς τῶι μὲν προβαλόντι πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος εἶπεν 'ἂν ἀποκτείνηι τὸν ἐνδοξότατον', τὸν δὲ Ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένωι πρόσεισιν ἀνθρώπωι. καίτοι τῶν περὶ Ἑρμόλαον οὐδεὶς οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης τοῦ Καλλισθένους κατεῖπεν. ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρατερῶι γράφων καὶ Ἀττάλωι καὶ Ἀλκέται φησὶ τοὺς παῖδας βασανιζομένους ὁμολογεῖν ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δὲ οὐδεὶς συνειδείη. ὕστερον δὲ γράφων πρὸς Ἀντίπατρον καὶ τὸν Καλλισθένην συνεπαιτιασάμενος 'οἱ μὲν παῖδες' φησίν 'ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν, τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω καὶ τοὺς ἐκπέμψαντας αὐτὸν καὶ τοὺς ὑποδεχομένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας', ἄντικρυς ἔν γε τούτοις ἀποκαλυπτόμενος πρὸς Ἀριστοτέλην (folgt T 2) . . . .

ἀποθανεῖν δὲ αὐτὸν οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν (Ptolem. 138 F 17), οἱ δὲ ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα (Aristob. 139 F 33)· Χάρης (125 F 15) δὲ μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῶι συνεδρίωι κριθείη παρόντος Ἀριστοτέλους, ἐν αἷς δὲ ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς Ὀξυδράκαις ἐτρώθη περὶ τὴν Ἰνδίαν, ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

8 Arrian. An. IV 10—14: Καλλισθένην δὲ τὸν Ὀλύνθιον Ἀριστοτέλους τε τῶν λόγων διακηκοότα καὶ τὸν τρόπον ὄντα ὑπαγροικότερον οὐκ ἐπαινεῖν ταῦτα (die einführung des persischen hofzeremoniells). τούτου μὲν δὴ ἕνεκα καὶ αὐτὸς Καλλισθένει ξυμφέρομαι, ἐκεῖνα δὲ οὐκέτι ἐπιεικῆ δοκῶ . . . εἴπερ ἀληθῆ ξυγγέγραπται, ὅτι ἐφ' αὑτῶι εἶναι ἀπέφαινε καὶ τῆι αὑτοῦ ξυγγραφῆι Ἀλέξανδρόν τε καὶ τὰ Ἀλεξάνδρου ἔργα· (2) οὔκουν αὐτός γε ἀφίχθαι ἐξ Ἀλεξάνδρου δόξαν κτησόμενος, ἀλλὰ ἐκεῖνον εὐκλεᾶ ἐς ἀνθρώπους ποιήσων· καὶ οὖν καὶ τοῦ θείου τὴν μετουσίαν Ἀλεξάνδρωι οὐκ ἐξ ὧν Ὀλυμπιὰς ὑπὲρ τῆς γενέσεως αὐτοῦ ψεύδεται ἀνηρτῆσθαι, ἀλλὰ ἐξ ὧν ἂν αὐτὸς ὑπὲρ Ἀλεξάνδρου ξυγγράψας ἐξενέγκηι ἐς ἀνθρώπους. (3) εἰσὶ δὲ οἳ καὶ τάδε ἀνέγραψαν, ὡς ἄρα ἤρετο αὐτόν ποτε Φιλώτας ὄντινα οἱοιτο μάλιστα τιμηθῆναι πρὸς τῆς Ἀθηναίων πόλεως, τὸν δὲ ἀποκρίνασθαι Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὅτι τὸν ἕτερον τοῖν τυράννοιν ἔκτειναν καὶ τυραννίδα ὅτι κατέλυσαν. (4) ἐρέσθαι δὲ αὖθις τὸν Φιλώταν εἰ τωι κτείναντι τύραννον ὑπάρχοι παρ' οὑστινασοῦν ἐθέλοι τῶν Ἑλλήνων φυγόντα σώζεσθαι, καὶ ἀποκρίνασθαι αὖθις Καλλισθένην, εἰ καὶ μὴ παρ' ἄλλους, παρά γε Ἀθηναίους ὅτι φυγόντι ὑπάρχοι σώζεσθαι. τούτους γὰρ καὶ πρὸς Εὐρυσθέα πολεμῆσαι ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους τυραννοῦντα ἐν τῶι τότε τῆς Ἑλλάδος.

5 προβαλόντι Reiske —λίοντι Pl Μαλλοῖς Ὀξ.] Schaefer sent.) ποτε αὐτοὺς A 6 εἶπεν Reiske εἰπεῖν Pl 22 [ὃν 28 ἐφ' Pflugk ὑφ' A 33 αὐτόν ποτε ὁ (= Exc de 36 δὲ om A ὑπάρχει ὁ 37 ἐθέλοι Roos —σι A ὁ

(5) ὑπὲρ δὲ τῆς προσκυνήσεως ὅπως ἠναντιώθη Ἀλεξάνδρωι καὶ τοιόσδε κατέχει λόγος. ξυγκεῖσθαι μὲν γὰρ τῶι Ἀλεξάνδρωι πρὸς τοὺς σοφιστάς τε καὶ τοὺς ἀμφ' αὐτὸν Περσῶν καὶ Μήδων τοὺς δοκιμωτάτους μνήμην τοῦ λόγου τοῦδε ἐν πότωι ἐμβαλεῖν· (6) ἄρξαι δὲ τοῦ λόγου Ἀνάξαρχον (mit einer empfehlung der proskynese). .....
5 (11, 1) λεχθέντων δὲ τούτων τε καὶ τοιούτων λόγων πρὸς Ἀναξάρχου τοὺς μὲν μετεσχηκότας τῆς βουλῆς ἐπαινεῖν τὸν λόγον καὶ δὴ ἐθέλειν ἄρχεσθαι τῆς προσκυνήσεως, τοὺς Μακεδόνας δὲ τοὺς πολλοὺς ἀχθομένους τῶι λόγωι σιγὴι ἔχειν. (2) Καλλισθένην δὲ ὑπολαβόντα 'Ἀλέξανδρον μέν' εἰπεῖν 'ὦ Ἀνάξαρχε, οὐδεμιᾶς ἀνάξιον ἀποφαίνω τιμῆς
10 grenzen zwischen verehrung von göttern und menschen nicht verwischen soll). ..... (12, 1) ταῦτα δὴ καὶ τοιαῦτα εἰπόντα Καλλισθένην ἀνιᾶσαι μὲν μεγαλωστὶ Ἀλέξανδρον, Μακεδόσι δὲ πρὸς ὑμοῦ εἰπεῖν· καὶ τοῦτο γνόντα Ἀλέξανδρον πέμψαντα κωλῦσαι Μακεδόνας μεμνῆσθαι ἔτι τῆς προσκυνήσεως. ....

(12, 3) ἀναγέγραπται δὲ δὴ καὶ τοιόσδε λόγος. προπίνειν φιάλην χρυσῆν ἐν
15 κύκλωι Ἀλέξανδρον πρώτοις μὲν τούτοις πρὸς οὐστινας ξυνέκειτο αὐτῶι τὰ τῆς προσκυνήσεως. τὸν δὲ πρῶτον ἐκπιόντα τὴν φιάλην προσκυνῆσαί τε ἀναστάντα καὶ φιληθῆναι πρὸς αὐτοῦ, καὶ τοῦτο ἐφεξῆς διὰ πάντων χωρῆσαι. (4) ὡς δὲ ἐς Καλλισθένην ἦκεν ἡ πρόποσις, ἀναστῆναι μὲν Καλλισθένην καὶ ἐκπιεῖν τὴν φιάλην καὶ προσελθόντα ἐθέλειν φιλῆσαι οὐ προσκυνήσαντα. τὸν δὲ τυχεῖν μὲν τότε δια-
20 λεγόμενον Ἡφαιστίωνι· οὔκουν προσέχειν τὸν νοῦν, εἰ καὶ τὰ τῆς προσκυνήσεως ἐπιτελῆ τῶι Καλλισθένει ἐγένετο. (5) ἀλλὰ Δημήτριον γὰρ τὸν Πυθώνακτος, ἕνα τῶν ἑταίρων, ὡς προσήιει αὐτῶι ὁ Καλλισθένης φιλήσων, φάναι ὅτι οὐ προσκυνήσας πρόσεισιν. καὶ τὸν Ἀλέξανδρον οὐ παρασχεῖν φιλῆσαι ἑαυτόν, τὸν δὲ Καλλισθένην 'φιλήματι' φάναι, 'ἔλαττον ἔχων ἄπειμι'.

25 (6) καὶ τούτων ἐγὼ ὅσα ἐς ὕβριν τε τὴν Ἀλεξάνδρου τὴν ἐν τῶι παραυτίκα καὶ ἐς ὀκαιότητα τὴν Καλλισθένους φέροντα οὐδὲν οὐδαμῆι ἐπαινῶ ..... (7) οὔκουν ἀπεικότως δι' ἀπειρίας γενέσθαι Ἀλεξάνδρωι Καλλισθένην τίθεμαι ἐπὶ τῆι ἀκαίρωι τε παρρησίαι καὶ ὑπερόγκωι ἀβελτερίαι· ἐφ' ὅτωι τεκμαίρομαι μὴ χαλεπῶς πιστευθῆναι τοὺς κατειπόντας Καλλισθένους ὅτι μετέσχε τῆς ἐπιβουλῆς τῆς γενομένης
30 Ἀλεξάνδρωι ἐκ τῶν παίδων, τοὺς δὲ ὅτι καὶ ἐπῆρεν αὐτοὺς ἐς τὸ ἐπιβουλεῦσαι. (13) verschwörung des Hermolaos, der φιλοσοφίαι ἐδόκει προσέχειν τὸν νοῦν καὶ Καλλισθένην θεραπεύειν; folterung der schuldigen, die σφῶν τε αὐτῶν κατεῖπον τὴν ἐπιβουλὴν καί τινας καὶ ἄλλους ὠνόμασαν. (14) Ἀριστόβουλος (139 F 31) μὲν λέγει ὅτι καὶ Καλλισθένην ἐπᾶραι σφᾶς ἔφασαν ἐς τὸ τόλμημα· καὶ Πτολεμαῖος
35 (138 F 16) ὡσαύτως λέγει. οἱ δὲ πολλοὶ οὐ ταύτηι λέγουσιν, ἀλλὰ διὰ μῖσος γὰρ τὸ ἤδη ὃν πρὸς Καλλισθένην ἐξ Ἀλεξάνδρου καὶ ὅτι ὁ Ἑρμόλαος ἐς τὰ μάλιστα ἐπιτήδειος ἦν τῶι Καλλισθένει, οὐ χαλεπῶς πιστεῦσαι τὰ χείρω ὑπὲρ Καλλισθένους Ἀλέξανδρον. ..... (8) .... Καλλισθένην δὲ Ἀριστόβουλος (139 F 33) μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῆι στρατιᾶι ἐπειτα νόσωι τελευτῆσαι· Πτολεμαῖος
40 δὲ ὁ Λάγου (138 F 17) στρεβλωθέντα καὶ κρεμασθέντα ἀποθανεῖν. οὕτως οὐδὲ οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν καὶ ξυγγενόμενοι ἐν τῶι τότε Ἀλεξάνδρωι ὑπὲρ τῶν γνωρίμων τε καὶ οὐ ταπεινῶν σφᾶς ὅπως ἐπράχθη ξύμφωνα ἀνέγραψαν. (4) πολλὰ

---

7 δὲ ὁ τε A ἀχθομένους Yxem μαχομένους A ὁ 13 Μακεδόνας om ὁ Arrian verkürzt ungeschickt; Curt. VIII 5, 21 *igitur ad Agin et Cleonem missi, procumbere suo more paterentur ut sermone finito barbaros tantum, cum intrassent, procumbere suo more paterentur* 14 φιάλην χρυσῆν ὁ 16 [πρῶτον]? 21 τῶι ὁ αὐτῶι A 29 ⟨τοὺς μὲν⟩ ὅτι Krüger 30 αὐτοὺς Vulcanius αὐτὸς A ⟨αὐτὸς⟩ αὐτοὺς?

δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο. — CURTIUS VIII 5—8; IUSTIN. XII 7, 1—2; ITIN. ALEX. 41 p. 22, 1 Volkm; VAL. MAX. VII 2 ext. 11; THEMIST. or. X 130 A p. 155, 6 Dind.

9 IUSTIN. XII 6, 17: *multum profuere Callisthenis philosophi preces, condiscipulatu apud Aristotelen familiaris illi et tunc ab ipso rege ad prodenda memoriae acta eius acciti.*

10 STRABON XIII 1, 27: φέρεται γοῦν τις διόρθωσις τῆς Ὁμήρου ποιήσεως ἡ ἐκ τοῦ νάρθηκος λεγομένη, τοῦ Ἀλεξάνδρου μετὰ τῶν περὶ Καλλισθένη καὶ Ἀνάξαρχον ἐπελθόντος καὶ σημειωσαμένου τινά.

11 a) [DIO CHRYS.] or. LXIV 20; II 153, 22 v. Arn.: ἀπέκτεινε (sc. Ἀλέξανδρος) ... τὸν διδάσκαλον Καλλισθένην. b) SOLIN. IX 18 p. 66, 10 Momms.: *peragravit orbem* (sc. Alexander) *rectoribus Aristotele et Callisthene usus.* OROS. III 18, 11; T 18.

12 ATHEN. X 44 p. 434 D: Καλλισθένης δὲ ὁ σοφιστής, ὡς Λυγκεὺς ὁ Σάμιος φησιν ἐν τοῖς Ἀπομνημονεύμασι (IV) καὶ Ἀριστόβουλος (139 F 32) καὶ Χάρης ἐν ταῖς Ἱστορίαις (125 F 13), ἐν τῶι συμποσίωι τοῦ Ἀλεξάνδρου τῆς τοῦ ἀκράτου κύλικος εἰς αὐτὸν ἐλθούσης ὡς διωθεῖτο εἰπόντος τέ τινος αὐτῶι 'διὰ τί οὐ πίνεις;' 'οὐδέν δέομαι' ἔφη 'Ἀλεξάνδρου πιὼν τοῦ Ἀσκληπιοῦ δεῖσθαι'. — PLUT. De coh. ira 8 p. 454 E; Quaest. conv. I 6, 1 p. 623 F. s. T 7 p. 632, 39.

13 SENECA Suas. I 5: *praeceptori eius, amitino Aristotelis ..... quem occidit propter intempestive liberos sales; nam cum se deum vellet videri et esset iχώρ, οἷός περ ῥέει μακάρεσσι θεοῖσιν. ille se ab hac urbanitate lancea vindicavit.*

14 DIOG. LAERT. VI 45: πρὸς τὸν μακαρίζοντα Καλλισθένην καὶ λέγοντα ὡς πολιτελῶν παρ' Ἀλεξάνδρωι μετέχει 'κακοδαίμων μὲν οὖν ἐστιν' εἶπεν (sc. Διογένης)

15 GNOMOL. VATIC. (Wien. Stud. XI 52) 368: ὁ αὐτὸς (sc. Καλλ.) ἐρωτῶντός τινος διὰ τί οὐ μετήγαγεν Ἀλέξανδρον ἀπὸ τοῦ τόφου, 'ὅτι' εἶπεν 'ἐμοῦ ἑνὸς οἰκοδομοῦντος πολλοὶ ἦσαν οἱ καταβάλλοντες.'

16 a) STRAB. XI 11, 4: Καριάτας μὲν τῆς Βακτριανῆς, ἐν ᾗ Καλλισθένης συνελήφθη καὶ παρεδόθη φυλακῇ (a. 329). b) ARRIAN. IV 22, 2: καὶ ἐν Βάκτροις τὸ ἀμφὶ Καλλισθένην τε καὶ τοὺς παῖδας πάθημα Ἀλεξάνδρωι ξυνηνέχθη. — ITIN. ALEX. 45 p. 25, 1 Volkm.

17 CURT. RUF. VIII 8, 21—22: *Callisthenes quoque tortus interiit, initi consilii in caput regis innoxius, sed haudquaquam aulae et adsentantium accomodatus ingenio. itaque nullius caedes maiorem apud Graecos Alexandro excitavit invidiam, quod praeditum optimis moribus artibusque, a quo revocatus ad vitam erat, cum interfecto Clito mori perseveraret, non tantum occiderit, sed etiam torserit indicta quidem causa.*

---

6 *acciti* Faber *accitus, accitis, acciti* s Just 20 *amitino Aristotelis* H J Mueller *autem Aristotelis* Sen *praeceptoris eius amitino* [*Aristotelis*] Gertz 21 *intempestive* Haase —*vos* Sen

18 a) TATIAN. ad Gr. 2 p. 2, 25 Schw: *Ἀλέξανδρον ... ὅστις Ἀριστοτελικῶς πάνυ τὸν ἑαυτοῦ φίλον διὰ τὸ μὴ βούλεσθαι προσκυνεῖν αὐτὸν καθείρξας ὥσπερ ἄρκτον ἢ πάρδαλιν περιέφερε* b) OVID. Ibis 519: *inclususque necem cavea patiaris, ut ille non profecturae conditor historiae.* c) SCHOL. Ov. a. o. *Callisthenes vel Choerilus, quia promiserat quod gesta Alexandri bene describeret et male descripsit, posuit eum in caveam, ubi frigore et fame periit.* d) PLUT. Sulla 36, 5: *λέγεται δὲ ... φθειριάσαντα ... τελευτῆσαι ... Καλλισθένη τὸν Ὀλύνθιον ἐν εἱρκτῇ φρουρούμενον.* e) SCHOL. LUKIAN. p. 258, 4 R: *Καλλισθένην δὲ τὸν φιλόσοφον, ὃς λέοντι συγκαθειρχθεὶς ὑπὸ Ἀλεξάνδρου διεφθάρη.* f) IUSTIN. XV 3, 3—7: *quippe cum Alexander Magnus Callisthenen philosophum propter salutationis Persicae interpellatum morem insidiarum, quae sibi paratae fuerant, conscium fuisse iratus finxisset eumque truncatis crudeliter omnibus membris abscisisque auribus ac naso labiisque deforme ac miserandum spectaculum reddidisset, insuper in cavea cum cane clausum ad metum ceterorum circumferret, tunc Lysimachus, audire Callisthenen et pracepta ab eo virtutis accipere solitus, miseratus tanti viri non culpae, sed libertatis poenas pendentis, venenum ei in remedia calamitatium dedit. quod adeo aegre Alexander tulit, ut eum obici ferocissimo leoni iuberet.*

19 a) DIOG. LAERT. V 44: (*Θεοφράστου*) *Καλλισθένης ἢ Περὶ πένθους* $\bar{\alpha}$. b) CIC. Tusc. III 21: *Theophrastus interitum deplorans Callisthenis sodalis sui ... dicit Callisthenem incidisse in hominem summa potentia summaque fortuna, sed ignarum quemadmodum rebus secundis uti conveniret.* ebd. V 25; pro Rab. Post. 23; SENECA NQ VI 23, 2; VAL. MAX. IX 3 ext. 1.

20 POLYB. XII 12 b: *ἐκεῖνος* (sc. *Τίμαιος*) *γὰρ κόλακα μὲν εἶναί φησι τὸν Καλλισθένην τοιαῦτα γράφοντα καὶ πλεῖστον ἀπέχειν φιλοσοφίας, κόραξι δὲ προσέχοντα καὶ κορυβαντιώσαις γυναιξί* (F 14), *δικαίως δ' αὐτὸν ὑπ' Ἀλεξάνδρου τετευχέναι τιμωρίας διεφθαρκότα τὴν ἐκείνου ψυχὴν καθόσον οἷός τε ἦν· καὶ Δημοσθένην μὲν καὶ τοὺς ἄλλους ῥήτορας τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν ἀκμάσαντας ἐπαινεῖ ... διότι ταῖς Ἀλεξάνδρου τιμαῖς ταῖς ἰσοθέοις ἀντέλεγον, τὸν δὲ φιλόσοφον αἰγίδα καὶ κεραυνὸν περιθέντα ἀνηκέστῳ φύσει δικαίως αὐτὸν ὑπὸ τοῦ δαιμονίου τετευχέναι τούτων ὧν ἔτυχεν.* — ders. XII 23; vgl. 70 T 6.

21 PHILODEM. *π. κολακ.* I² 4 (Comm. Momms. 480): . . . . . *κρί|σιν ἀνωμαλε[στέραν κ]αὶ | διὰ μὲν τὴν . . . . . | . . . δ[ιὰ] δὲ τὴν . . . . . | . . . . ὀργὴν ἀντιβαίν[ειν καὶ λ]οι|δορεῖν, οἷος καὶ Κ[αλλισ]θέ[ν]ης | ἦν, ἀλλ' οὐχ ὥς τι[νές φ]ασ[ι παρ]|ρ[ησι]αστὴς [φ]ιλό|σο[φος οὐ]δ[ὲ συν]|τόνως φίλος. ἐν μὲν γὰρ ταῖς ἱστορίαις ἀπεθέου τὸν Ἀλέξ|ανδρον, ἀντέκο[ψε δ']αὐτοῦ | ταῖς προσκυνήσεσι . . . .*

---

4 *profuture* v. l 27 *κόραξί τε* Bekker 31 *περιθέντα* Heyse *τιθέντα* Pol 34—39 'weit mehr zu holen ... die geschichte geht erst 5, 9 zu ende' Croenert Colot. u. Mened. 191

22 PLIN. NH XXXVI 36: *in hortis Servilianis reperio laudatos Calamidis Apollinem . . . . . Amphistrati Callisthenen historiarum scriptorem.*

23 INSCHR. DELPHI (Syll³ 275) * * συ]νέ[ταξαν πίνακα τ]ῶν ἀπ[ὸ Γυλίδα νεν]ικηκ[ότ]ων τ[ὰ Πύθια] καὶ τῶν ἐξ ἀρ[χῆς τὸ]ν ἀγῶνα κατασκ[ευα]σάντων, ἐπαινέ[σαι] Ἀριστοτέλην κ[αὶ Κ]αλ[λι]σθένην καὶ στεφανῶσαι· ἀνα[θεῖν]αι δὲ τὸν πίν[ακα το]ὺς ταμί[ας ἐν τῶι ἐ]ρῶι με[ταγεγραμμέν]ον [εἰς στήλην * *

24 DIOD. IV 1, 2—3: *διόπερ τῶν μεταγενεστέρων ἱστοριογράφων οἱ πρωτεύοντες τῇι δόξηι τῆς μὲν ἀρχαίας μυθολογίας ἀπέστησαν διὰ τὴν δυσχέρειαν, τὰς δὲ νεωτέρας πράξεις ἀναγράφειν ἐπεχείρησαν. Ἔφορος* (70 T 8) . . . . *ὁμοίως δὲ τούτωι Καλλισθένης καὶ Θεόπομπος* (115 T 12)*· κατὰ τὴν αὐτὴν ἡλικίαν γεγονότες, ἀπέστησαν τῶν παλαιῶν μύθων.*

25 CIC. ad f. V 12, 2: *an, ut multi Graeci fecerunt, Callisthenes Phocicum bellum* (F 1)*, Timaeus Pyrrhi, Polybius Numantinum, qui omnes a perpetuis suis historiis ea quae dixi bella separaverunt.*

26 GNOMOL. VATIC. (Wien. Stud. X 52) 367: *Καλλισθένης ὁ ἱστοριογράφος πρὸ τοῦ Ἀλεξάνδρωι συσταλῆναι γεγραφὼς τὰ Ἑλληνικά, μετὰ δὲ ταῦτα τὰς Ἀλεξάνδρου Πράξεις, ἐρωτώμενος ὑπό τινος, διὰ τί βέλτιον κεχορτασμένος.' τὰ Ἑλληνικὰ συνεγράψατο, 'ὅτι ἐκεῖνα μέν', εἶπε, 'πεινῶν ἔγραφον, ταῦτα δὲ*

27 a) DIOD. XIV 117, 8 (387/6): *Καλλισθένης δὲ ὁ ἱστοριογράφος [τὴν τῶν Ἑλλην⟨ικ⟩ῶν σύνταξιν] ἀπὸ τῆς κατὰ τοῦτον τὸν ἐνιαυτὸν γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς Ἀρταξέρξην . . . τὴν ἱστορίαν ἤρξατο γράφειν. διελθὼν δὲ τριακονταετῆ χρόνον ἔγραψε μὲν βύβλους δέκα, τὴν δὲ τελευταίαν κατέπαυσε τῆς συντάξεως εἰς τὴν ὑπὸ τοῦ ⟨Φιλο⟩μήλου τοῦ Φωκέως κατάληψιν τοῦ ἐν Δελφοῖς ἱεροῦ.* b) — XVI 14, 4 (357/6): *Καλλισθένης δὲ τὴν τῶν Ἑλληνικῶν πραγμάτων ἱστορίαν γέγραφεν ἐν βύβλοις δέκα καὶ κατέστροφεν εἰς τὴν κατάληψιν τοῦ ἱεροῦ καὶ παρανομίαν Φιλομήλου τοῦ Φωκέως.*

28 POLYB. VI 45, 1: *οἱ λογιώτατοι τῶν ἀρχαίων συγγραφέων, Ἔφορος* (70 T 13) *Ξενοφῶν Καλλισθένης Πλάτων . . . .* (F 50).

29 — XII 17—22: *ἵνα δὲ μὴ δόξωμεν τῶν τηλικούτων ἀνδρῶν καταξιοπιστεῖσθαι, μνησθησόμεθα μιᾶς παρατάξεως, ἣν ἅμα μὲν οἵαν ἐπιφανεστάτην εἶναι συμβέβηκεν, ἅμα δὲ τοῖς καιροῖς οὐ μακρὰν ἀπηρ-*

---

4—8 erg. Homolle
23 [τὴν — σύνταξιν] Dindorf
μίαν Pol del Casaubonus
15 *Phocicum* Westermann troicum, ticum Cic
26 ⟨Φιλο⟩μήλου Scaliger
34 οἵαν Büttner-Wobst

τῆσθαι, τὸ δὲ μέγιστον, παρατετευχέναι τὸν Καλλισθένη (F 35) . . . . . Ἀλεξάνδρωι μὲν οὖν οὐκ ἐποιστέον τὴν τοιαύτην ἀτοπίαν ⟨διὰ τὸ πᾶσιν⟩ ὁμολογουμένην παραλαμβάνεσθαι περὶ αὐτοῦ τὴν ἐν τοῖς πολεμικοῖς ἐμπειρίαν καὶ τριβὴν ἐκ παιδός· τῶι δὲ συγγραφεῖ μᾶλλον, ὃς διὰ τὴν ἀπειρίαν οὐδὲ τὸ δυνατὸν καὶ τὸ μὴ δυνατὸν ἐν τοῖς τοιούτοις δύναται διευκρινεῖν. περὶ μὲν οὖν Ἐφόρου καὶ Καλλισθένους ταῦθ' ἡμῖν εἰρήσθω.

30 CIC. De or. II 58: *denique etiam a philosophia profectus princeps Xenophon .... post ab Aristotele Callisthenes, comes Alexandri, scripsit historiam; et is quidem rhetorico paene more, ille autem superior leniore quodam sono est usus et qui illum impetum oratoris non habeat, vehemens fortasse minus, sed aliquanto tamen est, ut mihi quidem videtur, dulcior.*

31 — ad Q. fr. II 11, 4: *ad Callisthenem et ad Philistum redeo, in quibus te video volutatum. Callisthenes quidem vulgare et notum negotium, quemadmodum aliquot Graeci locuti sunt; Siculus ille capitalis, creber, acutus, brevis, paene pusillus Thucydides.*

32 ANON. π. ὕψ. 3, 2: καί τινα τῶν Καλλισθένους ὄντα οὐχ ὑψηλά, ἀλλὰ μετέωρα (sc. γελᾶται).

33 PORPHYR. b. EUSEB. PE X 3 p. 464 B: καὶ τί γὰρ Ἐφόρου (70 T 17) ἴδιον ἐκ τῶν Δαιμάχου (65) καὶ Καλλισθένους καὶ Ἀναξιμένους (72) αὐταῖς λέξεσιν ἔστιν ὅτε τρισχιλίους ὅλους μετατιθέντος στίχους.

34 [SKYMN.] Perieg. 124: ἀκολουθῶν δὲ καὶ Καλλισθέν[η]. s. F 6—7.

35 PLIN. I 12; 13: *continentur ... de peregrinis arboribus .... ex .... Theophrasto Herodoto Callisthene Isigono Clitarcho ....*

36 LISTEN D. GR. PROFANSCHRIFTST. tab. MC: ἱστορικοὶ ῑ· Θουκυδίδης. Ἡρόδοτος. Ξενοφῶν. Φίλιστος. Θεόπομπος. Ἔφορος. Ἀναξιμένης. Καλλισθένης. Ἑλλάνικος. Πολύβιος.

## F

ΠΙΝΑΞ ΤΩΝ ΑΠΟ ΓΥΑΙΔΑ ΝΕΝΙΚΗΚΟΤΩΝ ΤΑ ΠΥΘΙΑ.
(T 23)

ΠΕΡΙ ΤΟΥ ΙΕΡΟΥ ΠΟΛΕΜΟΥ.
(T 25)

1 (Script. Al. M. p. 17, 18) ATHEN. XIII 10 p. 560 BC: καὶ ὁ Κρισαικὸς δὲ πόλεμος ὀνομαζόμενος, ὡς φησι Καλλισθένης ἐν τῶι Περὶ τοῦ Ἱεροῦ πολέμου, ὅτε Κιρραῖοι πρὸς Φωκεῖς ἐπολέμησαν, δεκαέτης ἦν,

2 ⟨διὰ τὸ πᾶσιν⟩ Hultsch 36 ὅτε: ὃν (mg. γρ. ὅτε) E

ἁρπασάντων Κιρραίων τὴν Πελάγονιος τοῦ Φωκέως θυγατέρα Μεγιστὼ καὶ τὰς Ἀργείων θυγατέρας ἐπανιούσας ἐκ τοῦ Πυθικοῦ ἱεροῦ. δεκάτωι δὲ ἔτει ἑάλω καὶ ἡ Κίρρα.

## ΕΡΜΙΑΣ.

2 (—) Didym. zu Demosth. V 64: ἀλλὰ γὰρ καὶ Καλλισθέν[ης ἐγκώμιό]ν τι συντάξας περὶ αὐτοῦ (sc. Ἑρμίου) π[ολλά τε λέγει ἀλ]λα καὶ [ταυ]τί· «οὐ μόνον τοι[οῦτος ἐγίγνετο ἐκτὸς] χ[ι]νδύνων, ἀλλὰ καὶ πλησίον [γενόμενος ἀεὶ δ]μοιος ὢν διετέλει. καὶ μέγισ[τον δὴ που τεκμήριο]ν ἔδωκε τῆς ἀρετῆς ἐν αὐτοῖ[ς τοῖς τελευτα]ίοις. οἱ μὲν γὰρ βάρβαροι θεωροῦντες [ἀγόμενον ἐξεπλήττοντ]ο τὴν ἀνδρείαν, ὁ δ[ὲ] βασιλ[εὺς π(αρὰ) τ(ῶν) φίλων οὐδὲν ἀνα]χ[ω]ρ[ι]νόμενος ἕτερον ἀλλ' ἢ τοὺς αὐτοὺς λόγους ἀκούων, ἀγασθεὶς τὴν ἀνδρείαν καὶ τὴν βεβαιότητα τῶν τρόπων, διενοήθη μὲν αὐτὸν ὅλως ἀφεῖναι, νομίζων γενόμενον αὐτῶι φίλον πάντων ἔσεσθαι χρησιμώτατον. ἀντιπιπτόντων δὲ Βαγώου καὶ Μέντορος διὰ τὸ φθονεῖν καὶ φοβεῖσθαι, μὴ πρωτεύσηι μᾶλλον δ' αὐτῶν ἀφεθείς, ταύτην μὲν πάλιν μετεβάλετο τὴν γνώμην, δικάσων δὲ τῶν γιγνομένων παρ' [αὐτ]ῶι κακοπαθιῶν ἄμοιρον αὐτὸν ἐποίησε ῥ[ι]ὰ τὴν ἀρετήν. ἡ μὲν οὖν τοιαύτη μετριότης ὑπῆρ[ξε παρ]ὰ τῶν ἐχθρῶν παρὸ ξ[οτά]τ[η] χ(αὶ) π[ολὺ παρὰ τ]ὸν τῶν βαρβάρων τρό[πον. ὁ δ' οὖν] τελε[υτήσει]ν μέλλων φίλιρ[τον πρὸς ἑαυτ]ὸν [εἰσκαλ]εσάμενος ἄλλ[ο] μ(ὲν) [οὐδὲν εἶπεν, ἐπ]έσκη[ψε δ' α]ὐτῶι πρὸς τοὺ[ς] φί[λους καὶ τοὺ]ς ἑταίρους [ἐπισ]τέλλειν, ὡς οὐδὲν ἀ[νάξι]ο]ν ἑ[ἱ]η φιλοσοφία[ς οὐδ' ἄ]σχημον διαπεπραγμένος.»

3 (—) — — VI 50: ἀλλὰ γὰρ ἔτι διαλλάττουσι καὶ π[ερὶ τὴν σύ]λληψιν αὐτοῦ καὶ τὸν θάνατον. Ἑρμ[ιππος] γὰρ ἐν τῶι Περὶ Ἀριστοτέλους β̄ (IV) ἐν τ[οῖς δεσμο]ῖς φησιν αὐτὸν τελευτῆσαι, οἱ δ' ὑπ[ὸ βασιλ]έως βασανισθέντα ἀνασταυρωθῆνα[ι. καθ]άπερ προέκκειται, οἱ [δὲ] αὐτὸν ἐκ . . ι . . . αι μηδὲν τ[ῶ]ν Φιλίππωι συνεγνωσμένων [ὁμο]λογήσαντα, καθάπερ ὁ Καλλισθένης.

## ΑΠΟΦΘΕΓΜΑΤΑ.

4 (41) Pollux IX 93: Θουκυδίδης (IV 52, 2) μὲν δὴ καὶ στατῆράς τινας Φωκαΐτας κέκληκεν. ἦν δέ τι καὶ νομίσματος εἶδος οὕτως ὀνομαζόμενον. φησὶ γοῦν ἐν τοῖς Ἀποφθέγμασιν ὁ Καλλισθένης ὑπ' Εὐβούλου τοῦ Ἀταρνείτου τὸν ποιητὴν Περσῖνον ἀμελούμενον εἰς Μιτυλήνην ἀπελθόντα θαυμάζοντι γράψαι, διότι τὰς Φωκαΐδας, ἃς ἔχων ἦλθεν, ἤδιον ἐν Μιτυλήνηι μᾶλλον ἢ ἐν Ἀτάρνηι καταλλάττει.

---

2 Ἀργείων 'suspectum' Kaibel 5—24 erg. D(iels)-Sch(ubart), Croenert RhM LXII 383 5 ἐγκώμιό]ν Croenert σύγγραμμα] D-Sch 11 παρὰ τῶν φίλων περὶ αὐτοῦ πυνθανόμενος D-Sch² οὐ. παρ' αὐτοῦ πυνθ. A Koerte 15 Βαγώου Wil(amowitz) βαίωου P 16 ὁδ' αὐτῶν Wil 17 δικάσων 'in iudicium vocaturus' Usener ἀπασῶν Wil 23—24 ἀνάξιον εἴη Blass 25—29 erg. D-Sch 28 ἐξαγαγεῖν, ἐκπνεῦσαι, ἐναποθανεῖν 'vestigiis haud apta' ἐκόντα ἀποθανεῖν Wendland

5 (—) ATHEN. VIII 48—45 p. 350 D—352 C: (lemma ἐκ τῶν Καλλισθένους Στρατονίκου Ἀπομνημονεύματα) ἀναγράφει δὲ καὶ τάδε μετὰ τὰ προειρημένα τοῦ Στρατονίκου ἀπομνημονευμάτων οὕτως· Στρατόνικος πρὸς τὸν Χρυσογόνου πατέρα λέγοντα ὅτι πάντα αὐτῶι ὑπάρχει οἰκεῖα — αὐτὸς μὲν γὰρ ἐργολάβος εἶναι, τῶν δὲ υἱῶν ὁ μὲν διδάξει, ὁ δὲ αὐλήσει — 'προσδεῖ γ'', ἔφη ὁ Στρατόνικος, 'ἔτι ἑνός'. εἰπόντος δέ 'τίνος'; 'θεάτρου', ἔφη, 'οἰκείου.' (2) ἐρομένου δέ τινος ὅ τι τὴν Ἑλλάδα πᾶσαν περινοστεῖ, ἀλλ' οὐκ ἐν μιᾶι πόλει διαμένει, παρὰ τῶν Μουσῶν ἔφη εἰληφέναι τέλος τοὺς Ἕλληνας ἅπαντας, παρ' ὧν πράττεσθαι μισθὸν ἀμουσίας. (3) τὸν Φάωνα δὲ ἔφη αὐλεῖν οὐχ ἁρμονίαν, ἀλλὰ τὸν Κάδμον. προσποιουμένου δὲ εἶναι Φάωνος αὐλητικοῦ καὶ ἔχειν φάσκοντος Μεγαροῖ χορόν, 'ληρεῖς', ἔφη, 'ἐκεῖ μὲν γὰρ οὐκ ἔχεις, ἀλλ' ἔχει'. (4) μάλιστα δὲ θαυμάζειν ἔφη τὴν τοῦ σοφιστοῦ Σατύρου μητέρα, ὅτι ὃν οὐδεμία πόλις ἐνεγκεῖν οἵα τε ὀκτὼ ἡμέρας, ἐκείνη ὀκτὼ μῆνας ἤνεγκε. πυνθανόμενος δὲ ἐν Ἴλιοι ἐπιδημεῖν αὐτὸν ἐν τοῖς Ἰλιείοις 'αἰεί', ἔφησεν, ''Ιλίωι κακά'. (5) Μυννάκου δ' αὐτῶι περὶ μουσικῆς διαμφισβητοῦντος οὐ προσέχειν αὐτῶι ἔφη, ὅτι ἀνώτερον τοῦ σφυροῦ λέγει. (6) τὸν δὲ φαῦλον ἰατρὸν ἀπαυθημερίζειν ἔφη ποιεῖν εἰς Ἅιδου τοὺς θεραπευομένους. (7) ἀπαντήσας δέ τινι τῶν γνωρίμων ὡς εἶδεν ἐσπογγισμένα τὰ ὑποδήματα καλῶς συνη⟨χθέ⟩σθη ὡς πράττοντι κακῶς, νομίζων οὐκ ἂν οὕτως ἐσπογγίσθαι καλῶς, εἰ μὴ αὐτὸς ἐσπόγγισεν. (8) ἐν Τειχιοῦντι δὲ τῆς Μιλήτου μιγάδων οἰκούντων ὡς ἑώρα πάντας τοὺς τάφους ξενικοὺς ὄντας 'ἀπίωμεν' ἔφη 'πεῖ· ἐνταῦθα γὰρ οἱ ξένοι ἔοικασιν ἀποθνήισκειν, τῶν δ' ἀστῶν οὐδείς'. (9) Ζήθου δὲ τοῦ κιθαριστοῦ διεξιόντος περὶ μουσικῆς, μόνωι δὲ ⟨αὐτῶι⟩ οὐκ ἔφη προσήκειν περὶ μουσικῆς λαλεῖν, 'ὅς γε' ἔφη 'τὸ ἀμουσότατον τῶν ὀνομάτων εἶλον, εἰ σεαυτὸν ἀντ' Ἀμφίονος Ζῆθον καλεῖς'. (10) Μακεδόνα δέ τινα κιθαρίζειν διδάσκων ἐκπικρανθεὶς ἐπὶ τῶι μηδὲν αὐτὸν ποιεῖν τῶν δεόντων, 'εἰς Μακεδονίαν' ἔφη. (11) πρὸς βαλανεῖωι ψυχρῶι καὶ φαύλωι κεκοσμημένον ἰδὼν ἠρῶιον λαμπρῶς ὡς ἐξῆλθεν λελουμένος κακῶς 'οὐ θαυμάζω' ἔφη 'ὅτι πολλοὶ ἀνάκεινται πίνακες', ἕκαστον γὰρ τῶν λουομένων ὡς σωθέντα ἀνατιθέναι. (12) ἐν Αἴνωι δὲ ἔφη τοὺς μὲν ὀκτὼ μῆνας εἶναι ψῦχος, τοὺς δὲ τέτταρας χειμῶνα. (13) τοὺς δὲ Ποντικοὺς ἐκ τοῦ πολλοῦ ἥκειν πόντου, ὥσπερ ἐκ τοῦ ὀλέθρου. τοὺς δὲ 'Ροδίους ἐκάλει λευκοὺς Κυρηναίους καὶ μνηστῆρων πόλιν· τὴν δ' 'Ηράκλειαν Ἀνδροκόρινθον· καὶ τὸ Βυζάντιον μασχάλην τῆς Ἑλλάδος· τοὺς δὲ Λευκαδίους ἑώλους Κορινθίους· τοὺς δ' Ἀμβρακιώτας Μεμβρακιώτας. (14) ἐκ τῆς δ' Ἡρακλείας ὡς ἐξῆιει τὰς πύλας καὶ περιεσκόπει, ἐρομένου τινὸς τί περισκοπεῖ, αἰσχύνεσθαι, ἔφη, μὴ ὀφθῆι, ὥσπερ ἐκ πορνείου ἐξιών. (15) ἰδὼν δ' ἐν τῶι κύφωνι δεδεμένους δύο 'ὡς μικροπολιτικόν', ἔφη, 'τὸ μὴ δύνασθαι συμπληρῶσαι'. (16) πρὸς δὲ ἁρμονικόν τινα, κηπουρὸν ὄντα πρότερον, ἀμφισβητοῦντ' αὐτῶι περὶ ἁρμονίας ἔφη· 'ἄρδοι τις ἂν ἕκαστος εἰδείη πρότερον,' ἀμφισβητοῦντ' αὐτῶι περὶ ἁρμονίας ἔφη· 'ἄρδοι τις ἂν ἕκαστος εἰδείη τέχνην.' (17) ἐν Μαρωνείαι δὲ συμπίνων τισὶν ἐθέλειν ἔφη γνῶναι κατὰ τίνα τόπον ἐστὶ τῆς πόλεως, ἐὰν κατακαλύψαντες ἄγωσιν· εἶθ' ὡς ἦγον καὶ ἠρώτων, 'κατὰ τὸ καπηλεῖον' ἔφη, ὅτι καπηλεῖα ⟨πάντα⟩ ἐδόκει εἶναι ἡ Μαρώνεια. (18) τὸν δὲ Τηλεφάνην ἐπεὶ ἀναφυσᾶν ἤρχετο παρακατακείμενος, 'ἀνώ' ἔφη 'ὡς οἱ ἐρυγγάνοντες'. (19) τοῦ δὲ βαλανέως ἐν Καρδίαι ῥύμμα γῆν μοχθηρὰν καὶ ὕδωρ

---

2 ἀναγράφεται? Jac μετὰ τὰ πρ. ⟨ὁ Καλλισθένης τῶν⟩ τοῦ Στ.? Kai(bel) 6 ὅ τι A τι ὅτι C διὰ τί Casaubonus 8 παρ' C περὶ A 11 ἔχηι C 13 [ἐν] 22 ⟨αὐτῶι⟩ Jac τοῖς Kai 16 συνηχθέσθη Musurus συνήσθη A οὐ συνήσθη C 38 ἐθέλειν: ἔχειν C μόνωι δὲ 'corruptum' Kai 37 ἄρδοι Corais ἀιδοι AC 40 ⟨πάντα⟩ Jac καπηλεία Kai 40—41 Τηλεφάνει δὲ C 'sed oratio mutila' Kai

ἅλμυρὸν παρέχοντος, πολιορκεῖσθαι ἔφη κατὰ γῆν καὶ κατὰ θάλατταν. (20) νικήσας ὁ' ἐν Σικυῶνι τοὺς ἀνταγωνιστὰς ἀνέθηκεν εἰς τὸ Ἀσκληπιεῖον τρόπαιον ἐπιγράψας 'Στρατόνικος ἀπὸ τῶν κακῶς κιθαριζόντων'. (21) ἄισαντος δέ τινος, ἤρετο ⟨τίνος⟩ τὸ μέλος· εἰπόντος ὁ' ὅτι 'Καρκίνου', 'πολύ γε μᾶλλον' ἔφη 'ἢ ἀνθρώπου'. (22) ἐν Μαρωνείαι ὁ' ἔφη οὐ γίνεσθαι ἔαρ, ἀλλ' ἁλέαν. (23) ἐν Φασήλιδι δὲ πρὸς τὸν παῖδα διαμφισβητοῦντος τοῦ βαλανέως περὶ τοῦ ἀργυρίου — ἦν γὰρ νόμος πλείονος λούειν τοὺς ξένους — 'ὦ μιαρέ' ἔφη 'παῖ, παρὰ χαλκοῦν με μικροῦ Φασηλίτην ἐποίησας'. (24) πρὸς δὲ τὸν ἐπαινοῦντα, ἵνα λάβηι τι, αὐτὸς ἔφη μείζων εἶναι πτωχός. (25) ἐν μικρᾶι δὲ πόλει διδάσκων ἔφη 'αὕτη οὐ πόλις ἐστίν, ἀλλὰ μόλις'. (26) ἐν Πέλλῃι δὲ πρὸς φρέαρ προσελθὼν ἠρώτησεν εἰ πότιμόν ἔστιν. εἰπόντων δὲ τῶν ἰμώντων 'ἡμεῖς γε τοῦτο πίνομεν', 'οὐκ ἄρ'' ἔφη 'πότιμόν ἐστιν'. ἐτύγχανον ὁ' οἱ ἄνθρωποι χλωροὶ ὄντες. (27) ἐπακούσας δὲ τῆς Ὠδίνος τῆς Τιμοθέου 'εἰ δ' ἐργολάβον' ἔφη 'ἔτικτεν καὶ μὴ θεόν, ποίας ἂν ἠφίει φωνάς'. (28) Πολυίδου δὲ σεμνυνομένου ὡς ἐνίκησε Τιμόθεον ὁ μαθητὴς αὐτοῦ Φιλωτᾶς, θαυμάζειν ἔφη, 'εἰ ἀγνοεῖς ὅτι αὐτὸς μὲν ψηφίσματα ποιεῖ, Τιμόθεος δὲ νόμους'. (29) πρὸς Ἄρειον δὲ τὸν ψάλτην ὀχλοῦντά τι αὐτὸν 'ψάλλ' ἔς κόρακας' ἔφη. (30) ἐν Σικυῶνι δὲ πρὸς νακοδέψην γεγενημένον, ἐπεὶ ἐλοιδορεῖτό τι αὐτῶι ⟨καὶ⟩ 'νακόδαιμον' ἔφη, 'νακόδαιμον' ἔφη. (31) τοὺς δὲ Ῥοδίους ⟨ὁ⟩ αὐτὸς Στρατόνικος σπαταλῶνας καὶ θερμοπότας θεωρῶν ἔφη αὐτοὺς λευκοὺς εἶναι Κυρηναίους, καὶ αὐτὴν δὲ τὴν Ῥόδον ἐκάλει μνηστήρων πόλιν, † χρώματι μὲν εἰς ἀσωτίαν διαλλάττειν ἐκείνων ἡγούμενος αὐτούς, ὁμοιότητι δ' εἰς καταφέρειαν ἡδονῆς τὴν πόλιν μνηστήρων εἰκάζων.

## ΠΕΡΙΠΛΟΥΣ.

(T 34? F 39—40; 53—54?)

$\overline{A}$

6 (40) SCHOL. APOLL. RHOD. I 1037: *Καλλισθένης δὲ ἐν τῶι πρώτωι τοῦ Περίπλου κατ' ἔχθραν φησὶ τοὺς οἰκοῦντας τὴν Κύζικον ἐπιθέσθαι νυκτὸς τοῖς Ἀργοναύταις.*

### OHNE BUCHZAHL.

7 (39) SCHOL. APOLL. RHOD. II 672 *τῆμος ἐρημαίης νήσου λιμέν' εἰσελάσαντες Θυνιάδος*] *Καλλισθένης δὲ ἐν τῶι Περίπλωι ὑπὸ μὲν Ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον Θυνιάδα, ὑπὸ δὲ τῶν βαρβάρων ⟨Βι⟩θυνίαν.*

## ΕΛΛΗΝΙΚΑ $\overline{A}$—$\overline{I}$.

(T 26—27; F 15—27; 43? 48? 50?)

(F 15—16) $\overline{A}$ (?)

8 (12) ANON. i. Aristot. Eth. Nic. IV 8 [Comm. i. Arist. Gr. XX 189, 13]: *ἱστορεῖ Καλλισθένης ἐν τῆι πρώτηι* (?) *τῶν Ἑλληνικῶν,* a. 370/69?

2 Ἀσκληπιεῖον Dindorf ἀσκλήπιειον A 4 ⟨τίνος⟩ Casaubonus ⟨τοῦ⟩? Kai 7 [μικροῦ] Wilamowitz 16 ⟨καὶ⟩ Dindorf ⟨ὁ⟩ Dindorf 20 s. o. p. 641, 80 33 ⟨Βι⟩θυνίαν R Unger 39 πέμπτηι C Mueller ὃ E Schwartz $\overline{F}$ ?

⟨ὅτι⟩ Θηβαίων εἰς τὴν Λακωνικὴν ἐμβαλλόντων ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Ἀθηναίους περὶ συμμαχίας λέγοντες. καὶ ὅσα μὲν τοὺς Ἀθηναίους πεποιήκασιν οἱ Λακεδαιμόνιοι εὖ, τούτων ἑκόντες ἐπελανθάνοντο, ἃ δ' αὐτοὶ πρὸς Ἀθηναίων χρηστὰ ἐπεπόνθεισαν, τούτων ἐμέμνηντο, ὡς διὰ τούτων αὐτοὺς ἐπαξόμενοι πρὸς συμμαχίαν μᾶλλον.

Β̄

9 (2) HARPOKR. s. Σφοδρίας· ... στρατηγὸς Λακεδαιμονίων ... φησὶ δ' αὐτὸν ὁ Καλλισθένης ἐν β̄ Ἑλληνικῶν εὐήθη τε εἶναι λίαν καὶ κοῦφον πρὸς τὰς ἐλπίδας. a. 378

10 (15) a) SCHOL. EURIP. Hek. 910: Καλλισθένης ἐν β̄ τῶν Ἑλληνικῶν οὕτως γράφει· «ἑάλω μὲν ἡ Τροία Θαργηλιῶνος μηνός, ὡς μέν τινες τῶν ἱστορικῶν, ιβ̄ ἱσταμένου, ὡς δὲ ὁ τὴν Μικρὰν Ἰλιάδα, ῃ̄ φθίνοντος. διορίζει γὰρ αὐτὸς τὴν ἅλωσιν φάσκων συμβῆναι τότε τὴν κατάληψιν, ἡνίκα νὺξ μὲν ἦν μέσση, λαμπρὰ δ' ἐπέτελλε σελήνη· μεσονύκτιος δὲ μόνον τῇι ὀγδόηι φθίνοντος ἀνατέλλει, ἐν ἄλληι δ' οὔ.» a. 373?

b) PLUT. Camill. 19, 7: ἐνήνοχε δὲ καὶ ὁ Θαργηλιὼν μὴν τοῖς βαρβάροις ἐπιδήλως ἀτυχίας· καὶ γὰρ Ἀλέξανδρος ἐπὶ Γρανικῶι τοὺς βασιλέως στρατηγοὺς Θαργηλιῶνος ἐνίκησε, καὶ Καρχηδόνιοι περὶ Σικελίαν ὑπὸ Τιμολέοντος ἠττῶντο τῇι ἑβδόμηι φθίνοντος, περὶ ἣν δοκεῖ καὶ τὸ Ἴλιον ἁλῶναι [Θαργηλιῶνος], ὡς Ἔφορος (70 F 226) καὶ Καλλισθένης καὶ Δαμάστης (5 F 7) καὶ Φύλαρχος (81 F 74) ἱστορήκασιν.

Γ̄

(F 18)

11 (3) STEPH. BYZ. s. Τεγύρα· πόλις Βοιωτίας, ἐν ἧι Ἀπόλλωνά φασι γεννηθῆναι ..... Καλλισθένης ἐν γ̄ τῶν Ἑλληνικῶν εἶναι μαντεῖά φησι «τὸ μὲν Ἰσμήνιον ἐν Θήβαις, τὸ δὲ Τροφώνιον ἐν Λεβαδείαι, τὸ δὲ ἐν Ἀβαῖς λεγόμενον ἐν Φωκεῦσι, τὸ δὲ κυριώτερον ἐν Δελφοῖς, ὃ καὶ μάλιστά φασι μεμαρτυρηκέναι τὴν ἐν Τεγύραι **.» s. F 18. a. 375

Δ̄

(F 19—21?)

12 (6) a) JOHANN. LYD. De mens. IV 107 p. 146, 16 Wü: ἀλλὰ καὶ Θρασυάλκης ὁ Θάσιος (24 a Diels) τοὺς ἐτησίους φησὶν ἐξωθεῖν τὸν a. 374/3

1 ⟨ὅτι⟩ Ald 1—2 πρὸς τοὺς Ἀθηναίους B τοὺς del Ald 2 λέγοντας Diels 12 ιβ̄ Schwartz ῡ M ῃ̄ B 16—17 ἀνατέλλει, ἐν ἄλληι Schwartz ἀνατέλλειεν ἄλλη M ἀνατέλλει ἄλλα B 18 ἐπιδήλους S 21 [Θαργ.] Reiske τοῦ Θ. S 22 Φύλαρχος Y μάλακος S 28 δὲ ἐν R ἐν VP 30 ⟨γενομένην γένεσιν τοῦ θεοῦ⟩ o. ä.

*Νεῖλον· τῆς γὰρ Αἰθιοπίας ὑψηλοῖς παρὰ τὰ καθ' ἡμᾶς ὄρεσι διεζωσμένης ὑποδεχομένης τε τὰς νεφέλας πρὸς τῶν ἐτησίων ὠθουμένας ἐκδιδόναι τὸν Νεῖλον. ὡς καὶ Καλλισθένης ὁ Περιπατητικὸς ἐν τῷι τετάρτωι βιβλίωι τῶν Ἑλληνικῶν φησιν, ἑαυτὸν συστρατεύσασθαι Ἀλεξάνδρωι τῶι Μακεδόνι καὶ γενόμενον ἐπὶ τῆς Αἰθιοπίας εὑρεῖν τὸν Νεῖλον ἐξ ἀπείρων ὄμβρων κατ' ἐκείνην γενομένων καταφερόμενον.* b) STRABON XVII 1, 5: *φησὶ γὰρ* (sc. *Ποσειδώνιος* 87 F 79) *Καλλισθένη λέγειν τὴν ἐκ τῶν ὄμβρων αἰτίαν τῶν θερινῶν, παρὰ Ἀριστοτέλους λαβόντα, ἐκεῖνον δὲ παρὰ Θρασυάλκου τοῦ Θασίου (τῶν ἀρχαίων δὲ φυσικῶν εἷς οὗτος), ἐκεῖνον δὲ παρ' † ἄλλου, τὸν δὲ παρ' Ὁμήρου διιπετέα φάσκοντος τὸν Νεῖλον* (Od. δ 477) *'ἄψ δ' εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο'.* c) ANON. FLOR. *Περὶ τῆς τ. N. ἀναβ.* (Athen. I 130, 30 Mein): *Καλλισθένης δ' ὁ ἱστοριογράφος πρὸς τὰ μικρῶι πρότερον εἰρημένα ὑπ' Ἀναξαγόρου τε καὶ Εὐριπίδου ἀντεῖπεν. αὐτὸς δὲ τὴν αὐτοῦ γνώμην φησίν, ὑδάτων πολλῶν καὶ λαμπρῶν γινομένων κατὰ τὴν Αἰθιοπίαν κατὰ τὰς τοῦ Κυνὸς ἀνατολὰς ἕως τῆς ἐπιτολῆς Ἀρκτούρου, καθ' οὓς χρόνους καὶ οἱ ἐτησίαι πνέουσιν ἄνεμοι· τούτους γάρ φησι τοὺς ἀνέμους μάλιστα τὰ νέφη φέρειν πρὸς τὴν Αἰθιοπίαν· ὧν καὶ προσπιπτόντων πρὸς τὰ ὄρη καταρρήγνυσθαι πολὺ πλῆθος ὕδατος, ἀφ' οὗ τὸν Νεῖλον ἀναβαίνειν.*

(s. F 8; 23—24?) $\overline{F}$

OHNE BUCHZAHL.

13 (13) ATHEN. X 75 p. 452 AB: *τοιοῦτόν τι καὶ Καλλισθένης ἐν ταῖς Ἑλληνικαῖς φησιν, ὡς Ἀρκάδων πολιορκούντων Κρῶμνον — πολίχνιον δ' ἐστὶν ἱδρυμένον πλησίον Μεγάλης πόλεως — Ἱππόδαμος ὁ Λάκων εἷς ὢν τῶν πολιορκουμένων διεκελεύετο τῶι παρὰ Λακεδαιμονίων πρὸς αὐτοὺς ἥκοντι κήρυκι, δηλῶν ἐν αἰνιγμῶι τὴν περὶ αὐτοὺς κατάστασιν, ἀπαγγέλλειν τῆι μητρὶ λύεσθαι τὸ γύναιον δέχ' ἡμερῶν τὸ ἐν Ἀπόλλωνίωι δεδεμένον, ὡς οὐκ ἔτι λύσιμον ἐσόμενον ἐὰν αὖται παρέλθωσι. καὶ διὰ ταύτης τῆς γνώμης ἐμήνυεν σαφῶς τὸ μήνυμα. αὕτη γάρ ἐστιν ἐν τῶι Ἀπολλωνίωι παρὰ τὸν τοῦ Ἀπόλλωνος θρόνον διὰ γραφῆς ἀπομεμιμημένος Λιμὸς ἔχων γυναικὸς μορφήν. φανερὸν οὖν ἐγένετο πᾶσιν ὅτι δέκα ἡμέρας ἔτι καρτερῆσαι δύνανται οἱ πολιορκούμενοι διὰ τὸν λιμόν. συνέντες οὖν οἱ Λάκωνες τὸ λεχθὲν ἐβοήθησαν κατὰ κράτος τοῖς ἐν τῆι Κρώμνηι.*

7—8 *λέγοντα — λαβεῖν*? 10 *ἄλλου*: *Ἀλκαίου*? 14 *τῆι αὐτοῦ γνώμηι* ⟨*χρώμενος*⟩ Stephanus 15 *λαβρῶν* Meineke 28 *ἀπαγγέλλειν* Schneider *ἀπαγγελεῖν* A 29 *αὗται* Meineke *αὐταὶ* A 32 *Λιμὸς* Polyaen. II 15 *λαιμὸς* AC 34 *κατὰ τάχος* C *Κρώμνηι*: Steph. Byz. s. *Κρῶμνα· ἔστι καὶ Πελοποννήσου πόλις ἀρσενικῶς καὶ θηλυκῶς καὶ ἐνικῶς καὶ πληθυντικῶς.*

*ΑΛΕΞΑΝΔΡΟΥ ΠΡΑΞΕΙΣ.*

(T 20—21; 26; 36. F 25? 28—38. 39? 41—42?)

**14** (36) **a)** STRABON XVII 1, 43: *διόπερ καὶ τὸ ἐν Ἄμμωνι σχεδόν* a. 332/31
*τι ἐκλέλειπται χρηστήριον, πρότερον δὲ ἐτετίμητο. δηλοῦσι δὲ μάλιστα*
*τοῦτο οἱ τὰς Ἀλεξάνδρου πράξεις ἀναγράψαντες, προστιθέντες μὲν πολὺ*
*καὶ τὸ τῆς κολακείας εἶδος, ἐμφαίνοντες δέ τι καὶ πίστεως ἄξιον. ὁ γοῦν*
*Καλλισθένης φησὶ τὸν Ἀλέξανδρον φιλοδοξῆσαι μάλιστα ἀνελθεῖν ἐπὶ τὸ*
*χρηστήριον, ἐπειδὴ καὶ Περσέα ἥκουσε πρότερον ἀναβῆναι καὶ Ἡρακλέα.*
*ὁρμήσαντα δ' ἐκ Παραιτονίου, καίπερ νότων ἐπιπεσόντων, βιάσασθαι·*
*πλανώμενον δ' ὑπὸ τοῦ κονιορτοῦ σωθῆναι γενομένων ὄμβρων καὶ ὀνεῖν*
*κοράκων ἡγησαμένων τὴν ὁδόν, ἤδη τούτων κολακευτικῶς λεγομένων. τοι-*
*αῦτα δὲ καὶ τὰ ἑξῆς· μόνωι γὰρ δὴ τῶι βασιλεῖ τὸν ἱερέα ἐπιτρέψαι*
*παρελθεῖν εἰς τὸν νεὼ μετὰ τῆς συνήθους στολῆς, τοὺς δ' ἄλλους μετεν-*
*δῦναι τὴν ἐσθῆτα ἔξωθέν τε τῆς θεμιστείας ἀκροάσασθαι πάντας πλὴν*
*Ἀλεξάνδρου, τοῦτον δ' ἔνδοθεν εἶναι. ⟨γενέσθαι δὲ⟩ οὐχ ὥσπερ ἐν*
*Δελφοῖς καὶ Βραγχίδαις τὰς ἀποθεσπίσεις διὰ λόγων, ἀλλὰ νεύμασι καὶ*
*συμβόλοις τὸ πλέον, ὡς καὶ παρ' Ὁμήρωι 'ἢ καὶ κυανέηισιν ἐπ' ὀφρύσι*
*νεῦσε Κρονίων', τοῦ προφήτου τὸν Δία ὑποκριναμένου· τοῦτο μέντοι*
*ῥητῶς εἰπεῖν τὸν ἄνθρωπον πρὸς τὸν βασιλέα ὅτι εἴη Διὸς υἱός. προστρα-*
*γωιδεῖ δὲ τούτοις ὁ Καλλισθένης, ὅτι τοῦ Ἀπόλλωνος τὸ ἐν Βραγχίδαις*
*μαντεῖον ἐκλελοιπότος, ἐξ ὅτου τὸ ἱερὸν ὑπὸ τῶν Βραγχιδῶν σεσύλητο ἐπὶ*
*Ξέρξου περσισάντων, ἐκλελοιπυίας δὲ καὶ τῆς κρήνης, τότε ἥ τε κρήνη ἀνάσχοι*
*καὶ μαντεῖα πολλὰ οἱ Μιλησίων πρέσβεις κομίσαιεν εἰς Μέμφιν περὶ τῆς*
*ἐκ Διὸς γενέσεως τοῦ Ἀλεξάνδρου καὶ τῆς ἐσομένης περὶ Ἄρβηλα νίκης*
*καὶ τοῦ Δαρείου θανάτου καὶ τῶν ἐν Λακεδαίμονι νεωτερισμῶν. περὶ δὲ*
*τῆς εὐγενείας καὶ τὴν Ἐρυθραίαν Ἀθηναίδα φησὶν ἀνειπεῖν· καὶ γὰρ*
*ταύτην ὁμοίαν γενέσθαι τῆι παλαιᾶι Σιβύλληι τῆι Ἐρυθραίαι. τὰ μὲν δὴ*
*τῶν συγγραφέων τοιαῦτα.* **b)** PLUT. Alex. 27: ... *κόρακες ἐκφανέντες*
*ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν ἔμπροσθεν πετό-*
*μενοι καὶ σπεύδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας ἀναμένοντες. ὃ δὲ*
*ἦν θαυμασιώτατον, ὡς Καλλισθένης φησί, ταῖς φωναῖς ἀνακαλούμενοι*
*τοὺς πλανωμένους νύκτωρ καὶ κλάζοντες εἰς ἴχνος καθίστασαν τῆς πορείας.*

## Fragmente ohne Buchtitel.

AUS DEN *ΕΛΛΗΝΙΚΑ*.

**15** (1) PLUT. Kim. 12, 5: *Ἔφορος* (70 F 192) *μὲν οὖν Τιθραύστην Ā*
*φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν καὶ τοῦ πεζοῦ Φερενδάτην, Καλλισθένης*

6 δέ τι: δ' ἔτι x δ' ὅτι rell 8 ἥκουε DF 10 δ' ἀπὸ Corais 11 κολα-
κικῶς CD 15 ⟨γενέσθαι δὲ⟩ Jac ⟨εἶναι δ'⟩ Groskurd 18 ὑποκρινομένου Ald
23 κομίσαιεν Casaubonus κομισθέντες Str

δ' Ἀριομάνδην τὸν Γωβρύου κυριώτατον ὄντα τῆς δυνάμεως παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας.

16 (1) PLUT. Kim. 13, 4: τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾶι νηὶ καὶ χαλκεμβόλωι μὴ πλέειν. καίτοι Καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργωι δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης· καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα καὶ τριάκοντα μόναις Ἐφιάλτην ἐπέκεινα πλεῦσαι Χελιδονίων καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. Ā

17 (–) HARP. SUID. PHOT. BEROL. s. ἀναγαῖον· ἀντὶ τοῦ δεσμωτήριον Ἰσαῖος ἐν τῶι πρὸς Ἕρμωνα (XIII 1 S) καὶ Ξενοφῶν Ἑλληνικαῖς (V 4, 8; 14). Καλλισθένης δὲ ἀνώγεων εἶπεν, ὃ δεῖ μᾶλλον λέγεσθαι. a. 383 Ā–B

18 (5) PLUT. PELOP. 17: ἦσαν δὲ δύο μόραι Λακεδαιμονίων (bei Tegyra). τὴν δὲ μόραν Ἔφορος (70 F 210) μὲν ἄνδρας εἶναι πεντακοσίους φησί, Καλλισθένης δ' ἑπτακοσίους, ἄλλοι δέ τινες ἑνακοσίους, ὧν Πολύβιός ἐστιν. s. F 11. a. 375 Γ

19 (8) SENECA Nat. Q. VI 23: *rara terrae natura est multumque habens vacui; per has raritates spiritus fertur, qui, ubi maior influxit nec emittitur, concutit terram.* (2) *haec placet et aliis ... causa .... hanc etiam Callisthenes probat .....* (4) *hic Callisthenes in libris, quibus describit, quemadmodum Helice Burisque mersae sint, quis illas casus in mare vel in illas mare immiserit, dicit .....* «*spiritus intrat terram per occulta foramina, quemadmodum ubique, ita et sub mari; deinde, cum obstructus ille a tergo resistens aqua abstulit, huc et illuc refertur et sibi ipse occurrens terram labefactat. ideo frequentissime mari apposita vexantur et inde Neptuno haec assignata est maris movendi potentia. quisquis primas litteras didicit, scit illum apud Homerum Ἐνοσίχθονα vocari.*» a. 373/2 J?

20 (8) — — VI 26, 3: *Callisthenes et alio tempore ait hoc accidisse.* «*inter multa*» *inquit* «*prodigia, quibus denuntiata est duarum urbium Helices et Buris eversio, fuere maxime*

13 ἀναγαῖον Maass 14 Ξενοφῶν: Καλλισθένης Phot 15 ἀνώγαιον A Phot ἀνώγεον BF Suid A 32 *maris* om B 33 Ἐνοσίχθονα Fickert *mesiptona, mesibipthona* Sen

*notabilia columna ignis immensi et Delos agitata.*» *quam ideo stabilem videri vult, quia mari inposita sit habeatque concavas rupes et saxa pervia, quae dent deprehenso aeri reditum: ob hoc et insulas esse certioris soli urbesque eo tutiores, quo propius ad mare accesserint.*

21 (8) SENECA Nat. Q. VII 5, 3: *Charmander quoque in eo libro, quem de cometis composuit, ait Anaxagorae visum grande insolitumque caelo lumen magnitudine amplae trabis, et id per multos dies fulsisse. talem effigiem ignis longi fuisse Callisthenes tradit, antequam Burin et Helicen mare absconderet.* (4) *Aristoteles* (*meteor.* I 6, 10) *ait non trabem illam, sed cometen fuisse; ceterum ob nimium* ⟨*solis*⟩ *ardorem non apparuisse sparsum ignem, sed procedente tempore, cum iam minus flagraret, redditam suam cometae faciem. in quo igne multa quidem fuerunt digna quae notarentur, nihil tamen magis quam quod, ut ille fulsit in caelo, statim supra Burin et Helicen mare fuit.* (5) *numquid ergo Aristoteles non illam tantum sed omnes trabes cometas esse credebat hanc habentes differentiam, quod his continuus ignis est, ceteris sparsus? trabes enim flammam aequalem habent nec ullo loco intermissam aut languidam, in ultimis vero partibus coactam, qualem fuisse in illa, de qua modo rettuli, Callisthenes tradit.*

22 (9) a) CIC. De div. I 74—76: *quid? Lacedaemoniis paulo ante Leuctricam calamitatem quae significatio facta est, cum in Herculis fano arma sonuerunt Herculisque simulacrum multo sudore manavit. at eodem tempore Thebis, ut ait Callisthenes, in templo Herculis valvae clausae repagulis subito se ipsae aperuerunt, armaque quae fixae in parietibus fuerant ea sunt humi inventa. cumque eodem tempore apud Lebadiam Trophonio res divina fieret, gallos gallinaceos in eo loco sic adsidue canere coepisse, ut nihil intermitterent; tum augures dixisse Boeotios Thebanorum esse victoriam, propterea quod avis illa victa silere soleret, canere si vicisset.* (75) *eademque tempestate multis signis Lacedaemoniis Leuctricae pugnae calamitas denuntiabatur. namque et in Lysandri, qui Lacedaemoniorum clarissimus fuerat, statua quae Delphis stabat, in capite corona subito exstitit ex asperis herbis et agrestibus; stellaeque aureae, quae Delphis erant a Lacedaemoniis positae post navalem illam victoriam Lysandri, qua Athenienses conciderunt, qua in pugna, quia Castor et Pollux cum Lacedaemoniorum classe visi esse dicebantur, eorum insignia deorum, stellae aureae quas dixi Delphis* (a. 371)

8 *rupes*: *ripas* δ 11 ⟨*solis*⟩ Gercke 18 *cometas* Fortun. *cometis* Sen
*faciem*: *facem* Gercke 32 ⟨*dux*⟩ *fuerat*?

*positae paulo ante Leuctricam pugnam deciderunt neque repertae sunt.* (76) *maximum vero illud portentum isdem Spartiatis fuit, quod, cum oraclum a Iove Dodonaec petivissent de victoria sciscitantes legatique vas illud, in quo inerant sortes, collocavissent, simia, quam rex Molossorum in deliciis habebat, et sortes ipsas et cetera quae erant ad sortem parata disturbavit et aliud alio dissupavit. tum ea quae praeposita erat oraclo sacerdos dixisse dicitur de salute Lacedaemoniis esse, non de victoria cogitandum.* b) — — II 54: *multa ante Lacedaemoniorum malam pugnam in Leuctricis a Callisthene commemorata dixisti; de quibus dicam equidem singulis, quoad videbitur* (es wird § 56—57 nur das hühnerorakel von Lebadeia kritisiert), *sed dicendum etiam est de universis.*

23 (11) POLYB. IV 33: ὁ δὲ λόγος οὗτος ἔχει μὲν ἴσως καὶ διὰ τῶν πάλαι γεγονότων πίστιν. (2) οἱ γὰρ Μεσσήνιοι πρὸς ἄλλοις πολλοῖς καὶ παρὰ τὸν τοῦ Διὸς τοῦ Λυκαίου βωμὸν ἀνέθεσαν στήλην ἐν τοῖς κατ' Ἀριστομένην καιροῖς, καθάπερ καὶ Καλλισθένης φησίν, γράψαντες τὸ γράμμα τοῦτο· a. 369 F?

(3) *Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκωι βασιλῆι,*
*εὗρε δὲ Μεσσήνης σὺν Διὶ τὸν προδότην*
*ῥηιδίως· χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον.*
*χαῖρε, Ζεῦ βασιλεῦ, καὶ σάω Ἀρκαδίαν.*

(4) ἐπεὶ γὰρ τῆς αὐτῶν ἐστερήθησαν, οἱονεὶ περὶ δευτέρας πατρίδος, ὡς γ' ἐμοὶ δοκεῖ, τοῖς θεοῖς εὐχόμενοι σώιζειν τὴν Ἀρκαδίαν, τοῦτ' ἀνέθεσαν τὸ γράμμα. (5) καὶ τοῦτ' εἰκότως ἐποίουν· οὐ γὰρ μόνον αὐτοὺς Ἀρκάδες ὑποδεξάμενοι κατὰ τὴν ἔκπτωσιν τὴν ἐκ τῆς ἰδίας ὑπὸ τὸν Ἀριστομένειον πόλεμον ὁμιστίους ἐποιήσαντο καὶ πολίτας, ἀλλὰ καὶ τὰς θυγατέρας ἐψηφίσαντο τοῖς ἐν ἡλικίαι διδόναι τῶν Μεσσηνίων. (6) πρὸς δὲ τούτοις ἀναζητήσαντες τὴν Ἀριστοκράτους τοῦ βασιλέως προδοσίαν ἐν τῆι μάχηι τῆι καλουμένηι περὶ τάφρον αὐτόν τ' ἀνεῖλον καὶ τὸ γένος αὐτοῦ πᾶν ἠφάνισαν. (7) οὐ μὴν ἀλλὰ καὶ χωρὶς τῶν πάλαι τὰ τελευταῖα γεγονότα μετὰ τὸν Μεγάλης πόλεως καὶ Μεσσήνης συνοικισμὸν ἱκανὴν ἂν παράσχοι πίστιν .... (8) καθ' οὓς γὰρ καιροὺς τῆς περὶ Μαντίνειαν μάχης τῶν Ἑλλήνων ἀμφιδήριτον ἐχούσης τὴν νίκην διὰ τὸν Ἐπαμινώνδου θάνατον ἐκώλυον Λακεδαιμόνιοι μετέχειν τῶν σπονδῶν Μεσσηνίους, ἀκμὴν σφετεριζόμενοι ταῖς ἐλπίσι τὴν Μεσσηνίαν, (9) ἐπὶ τοσοῦτο διέσπευσαν Μεγαλοπολῖται καὶ πάντες οἱ κοινωνοῦντες Ἀρκάδων τῆς αὐτῶν συμμαχίας ὥστε Μεσσηνίους μὲν ὑπὸ τῶν συμμάχων προσδεχθῆναι καὶ μετασχεῖν τῶν ὅρκων καὶ διαλύσεων, Λακεδαιμονίους δὲ μόνους ἐκσπόνδους γενέσθαι τῶν Ἑλλήνων. a. 362

15 Λυκαίου Schweighäuser λυκ(ε)ίου Pol (Preger Inscr. gr. metr. 51; v. Wilamowitz Textg. d. gr. Lyr. 102, 2) 19 Μεσσήνης Paus. IV 22, 7 (Schwartz Herm. XXXIV 448) 29 Τάφρον edd 34—35 Μεσσηνίαν· ἐπὶ τοσοῦτο ⟨δὲ⟩?

24 (10) STRABON VIII 4, 10: * * καὶ γὰρ εἶναί φησιν (sc. Τυρταῖος) $\overline{F}$? ἐκεῖθεν ἐν τῇι ἐλεγείαι ἣν ἐπιγράφουσιν Εὐνομίαν·

'Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα,
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.'

ὥστ' ἢ ταῦτα ἠκύρωται τὰ ἐλεγεῖα ἢ Φιλοχόρωι (III) ἀπιστητέον τῶι φήσαντι 'Αθηναῖόν τε καὶ 'Αφιδναῖον, καὶ Καλλισθένει καὶ ἄλλοις πλείοσι τοῖς εἰποῦσιν ἐξ 'Αθηνῶν ἀφικέσθαι, δεηθέντων Λακεδαιμονίων κατὰ χρησμόν, ὃς ἐπέταττε παρὰ 'Αθηναίων λαβεῖν ἡγεμόνα.

25 (23) — XIII 1, 59: ἡ μὲν τοίνυν ἐκλειφθεῖσα ὑπ' αὐτῶν a. 367
(sc. τῶν Λελέγων) πόλις Πήδασος οὐκέτ' ἐστιν. ἐν δὲ τῇι μεσογαίαι τῶν 'Αλικαρνασέων τὰ Πήδασα ὑπ' αὐτῶν ὀνομασθέντα ἦν πόλις, καὶ ἡ νῦν χώρα Πηδασὶς λέγεται. φασὶ δ' ἐν αὐτῇι καὶ ὀκτὼ πόλεις ᾠκίσθαι ὑπὸ τῶν Λελέγων πρότερον εὐανδρησάντων, ὥστε καὶ τῆς Καρίας κατασχεῖν τῆς μέχρι Μύνδου καὶ Βαργυλίων καὶ τῆς Πισιδίας ἀποτεμέσθαι πολλήν. ὕστερον δ' ἅμα τοῖς Καρσὶ στρατευόμενοι κατεμερίσθησαν εἰς ὅλην τὴν 'Ελλάδα καὶ ἠφανίσθη τὸ γένος. τῶν δ' ὀκτὼ πόλεων τὰς ἐξ Μαύσωλος εἰς μίαν τὴν 'Αλικαρνασσὸν συνήγαγεν, ὡς Καλλισθένης ἱστορεῖ, Συάγγελα δὲ καὶ Μύνδον διεφύλαξε.

26 (14) PLUT. Ages. 34, 1: οἰκιζομένης δὲ Μεσσήνης ... χαλεπῶς a. 362
δὲ καὶ βαρέως πρὸς τὸν 'Αγησίλαον εἶχον (sc. οἱ Λακεδαιμόνιοι) ... (2) διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ 'Αγησίλαος οὐκ ἐδέξατο. μὴ βουλόμενος δὲ τῶι λόγωι προέσθαι τοῖς ἔργοις κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε καταστρατηγηθείς. (3) ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος ὁ 'Επαμεινώνδας τὸν 'Αγησίλαον ἐξεστρατευμένον μετὰ τῆς δυνάμεως καὶ προσιόντα, λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νυκτὸς ἐκ Τεγέας ἄγων ἐπ' αὐτὴν τὴν Λακεδαίμονα τὸ στράτευμα· καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν 'Αγησίλαον ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. (4) *Εὐθύνου δὲ θεσπιέως, ὡς Καλλισθένης φησίν, ὡς δὲ Ξενοφῶν* (Hell. VII 5, 10), Κρητός τινος, ἐξαγγείλαντος τῶι 'Αγησιλάωι, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇι πόλει φράσοντα μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν Σπάρτην.

a. 362

— POLYB. IV 33, 7: s. F 23.

27 (43) TERTULLIAN. De an. 46: *Balalirem Illyricum a Molossis* a. 359?
*usque Macedoniam ex somnio dominatum de Callisthene disco.*

7 τὰ: ὄντα A 11 μὲν τοίνυν Ald μέντοι νῦν Str καὶ ἡ μὲν Πήδασος ἡ ἐκλειφθεῖσα Eust. Il. Z 21 13—14 τὰ Πήδασα καὶ χώρα Πηδασίς Eust ἡ χ. ⟨ἔτι⟩ νῦν Groskurd νῦν ἡ χ. Meineke 14 ᾠκῆσθαι Tzschucke 15 τὰ (ο. τὴν) μέχρι Kramer 30 εὐώνου S 35 *Baralirem* A *Balaridem* BC *Bardylidem* Westermann (s. 115 F 28)

## AUS DEN *ΑΛΕΞΑΝΔΡΟΥ ΠΡΑΞΕΙΣ*.

**28** (20) STRABON XIII 1, 13: *ἐκαλεῖτο δὲ ἡ χώρα αὕτη Ἀδράστεια* a. 334
*καὶ Ἀδρασταία πεδίον, κατὰ ἔθος τι οὕτω λεγόντων τὸ αὐτὸ χωρίον διττῶς, ὡς καὶ Θήβην καὶ Θήβης πεδίον καὶ Μυγδονίαν καὶ Μυγδονίας πεδίον. φησὶ δὲ καὶ Καλλισθένης ἀπὸ Ἀδράστου βασιλέως, ὃς πρῶτος Νεμέσεως ἱερὸν ἱδρύσατο, καλεῖσθαι Ἀδράστειαν.*

**29** (21) — XIII 4, 8: *φησὶ δὲ Καλλισθένης ἁλῶναι τὰς Σάρδεις ὑπὸ Κιμμερίων πρῶτον, εἶθ' ὑπὸ Τηρῶν καὶ Λυκίων, ὅπερ καὶ Καλλῖνον δηλοῦν τὸν τῆς ἐλεγείας ποιητήν* (F 5 B), *ὕστατα δὲ τὴν ἐπὶ Κύρου καὶ Κροίσου γενέσθαι ἅλωσιν. λέγοντος δὲ τοῦ Καλλίνου τὴν ἔφοδον τῶν Κιμμερίων ἐπὶ τοὺς Ἰωνίας γεγονέναι, καθ' ἣν αἱ Σάρδεις ἑάλωσαν, εἰκάζουσιν οἱ περὶ τὸν Σκήψιον* (V) . . . .

**30** (22) — XIV 1, 7: *ἠτύχησε δ' ἡ πόλις* (sc. *Μίλητος*) *ἀποκλεισασα Ἀλέξανδρον καὶ βίαι ληφθεῖσα, καθάπερ καὶ Ἁλικαρνασσός· ἔτι δὲ πρότερον ὑπὸ Περσῶν· καί φησί γε Καλλισθένης ὑπ' Ἀθηναίων χιλίαις δραχμαῖς ζημιωθῆναι Φρύνιχον τὸν τραγικόν, διότι δρᾶμα ἐποίησε Μιλήτου ἅλωσιν ὑπὸ Δαρείου.*

**31** (25) SCHOL. T EUST. HOM. Il. *N* 29: *ὅπου γε Καλλισθένης τὸ Παμφύλιον πέλαγος Ἀλεξάνδρου παριόντος εἰ καὶ μὴ γηθόσυνον διαστῆναι, ὡς ἐν Ὁδοποιίαι, ἀλλ' ἐξυπαναστῆναι λέγει αἰσθόμενον οἷον τῆς ἐκείνου πορείας καὶ οὐδ' αὐτὸ ἀγνοῆσαι τὸν ἄνακτα, ἵνα ἐν τῶι ὑποκυρτοῦσθαί πως δοκῆι προσκυνεῖν.*

**32** (26) STRABON XIV 4, 1: *φασὶ δ' ἐν τῶι μεταξὺ Φασηλίδος καὶ Ἀκταλείας δείκνυσθαι Θήβην τε καὶ Λυρνησσόν, ἐκπεσόντων ἐκ τοῦ Θήβης πεδίου* (F 28) *τῶν Τρωικῶν Κιλίκων εἰς τὴν Παμφυλίαν ἐκ μέρους, ὡς εἴρηκε Καλλισθένης.*

**33** (30) — XIII 4, 6: *Καλλισθένης δ' ἐγγὺς τοῦ Καλυκάδνου καὶ* a. 333
*τῆς Σαρπηδόνος ἄκρας παρ' αὐτὸ τὸ Κωρύκιον ἄντρον εἶναι τοὺς Ἀρίμους, ἀφ' ὧν τὰ ἐγγὺς ὄρη λέγεσθαι Ἄριμα.*

— SCHOL. APOLL. RHOD. I 211: s. F 39.

**34** (32) PHOT. SUID. s. *Σαρδαναπάλους*· *ἐν β̄ Περσικῶν δύο φησὶ γεγονέναι γενναῖον, ἄλλον δὲ μαλακόν. ἐν Νίνωι δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ' ἐπιγέγραπται· Ἀνακυνδαράξου παῖς Ταρσόν τε καὶ Ἀγχιάλην ἔδειμεν ἡμέρηι μιῆι. ἔσθιε πῖνε ὄχευε, ὡς τἆλλα οὐδὲ τούτου ἐστὶν ἄξια', τουτέστι τοῦ τῶν δακτύλων ἀποκροτήματος. τὸ γὰρ ἐφεστὸς τῶι μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται ὡς ἂν ἀποληκοῦν τοῖς δακτύλοις. ταῦτὸ καὶ ἐν Ἀγχιάλωι τῆι πρὸς Ταρσῶι ἐπιγέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον.*

---

5 δὲ [καὶ] Καλλ. Corais 6 Ἀδράστειαν: sc. τὴν Νέμεσιν 19 τὸ κατὰ Παμφύλιον (—ίαν Maass) πελ. T 21 ἀγνοῆσαν Schol Eust 25 καὶ Κιλίκων E 32 ( ) erg. Jac

35 (33) POLYB. XII 17—22: (T 29) *λέγω δὲ περὶ τῆς ἐν Κιλικίαι γενομένης Ἀλεξάνδρωι πρὸς Δαρεῖον* (sc. *παρατάξεως*), *ἐν ἧι φησι μὲν Ἀλέξανδρον ἤδη διαπεπορεῦσθαι τὰ στενὰ καὶ τὰς λεγομένας ἐν τῆι Κιλικίαι Πύλας, Δαρεῖον δὲ χρησάμενον τῆι διὰ τῶν Ἀμανίδων λεγομένων Πυλῶν πορείαι κατᾶραι μετὰ τῆς δυνάμεως εἰς Κιλικίαν.* (3) *πυθόμενον δὲ παρὰ τῶν ἐγχωρίων προάγειν τὸν Ἀλέξανδρον ὡς ἐπὶ Συρίαν, ἀκολουθεῖν καὶ συνεγγίσαντα τοῖς στενοῖς στρατοπεδεῦσαι παρὰ τὸν Πίναρον ποταμόν.* (4) *εἶναι δὲ τοῦ μὲν τόπου τὸ διάστημ' οὐ πλείω τῶν τεττάρων καὶ δέκα σταδίων ἀπὸ θαλάττης ἕως πρὸς τὴν παρώρειαν·* (5) *διὰ δὲ τούτου φέρειν τὸν προειρημένον ποταμὸν ἐπικάρσιον, ἀπὸ μὲν τῶν ὀρῶν εὐθέως ἐκρήγματα τῶν πλευρῶν, διὰ δὲ τῶν ἐπιπέδων ἕως εἰς θάλατταν ἀποτόμους ἔχοντα καὶ δυσβάτους λόφους.*

(6) *ταῦτα δ' ὑποθέμενος, ἐπεὶ συνεγγίζοιεν οἱ περὶ τὸν Ἀλέξανδρον ἐξ ὑποστροφῆς ἐπ' αὐτοὺς ἀναχωροῦντες, κρῖναι φησι Δαρεῖον καὶ τοὺς ἡγεμόνας τὴν μὲν φάλαγγα τάξαι πᾶσαν ἐν αὐτῆι τῆι στρατοπεδείαι, καθάπερ ἐξ ἀρχῆς εἶχε, χρήσασθαι δὲ τῶι ποταμῶι προβλήματι διὰ τὸ παρ' αὐτὴν ῥεῖν τὴν στρατοπεδείαν.* (7) *μετὰ δὲ ταῦτά φησι τοὺς μὲν ἱππεῖς τάξαι παρὰ θάλατταν, τοὺς δὲ μισθοφόρους ἐξῆς τούτοις παρ' αὐτὸν τὸν ποταμόν, ἐχομένους τούτων τοὺς πελταστὰς συνάπτοντας τοῖς ὄρεσι.* (18) *πῶς δὲ προέταξε τούτους πρὸ τῆς φάλαγγος, τοῦ ποταμοῦ ῥέοντος παρ' αὐτὴν τὴν στρατοπεδείαν, δυσχερὲς κατανοῆσαι, καὶ ταῦτα τῶι πλήθει τοσούτων ὑπαρχόντων.* (2) *τρισμύριοι μὲν γὰρ ἱππεῖς ὑπῆρχον, ὡς αὐτὸς ὁ Καλλισθένης φησί, τρισμύριοι δὲ μισθοφόροι.* (3—5: die 14 stadien reichen aber nur für 11200 reiter). *εἰς ποῖον οὖν τόπον ἐτάττετο τὸ τῶν μισθοφόρων πλῆθος, εἰ μὴ νὴ Δία κατόπιν τῶν ἱππέων. ἀλλ' οὔ φησιν, ἀλλὰ συμπεπτωκέναι τούτους τοῖς Μακεδόσι κατὰ τὴν ἐπαγωγήν.* (7) *ἐξ ὧν ἀνάγκη ποιεῖσθαι τὴν ἐκδοχὴν διότι τὸ μὲν ἥμισυ τοῦ τόπου τὸ παρὰ θάλατταν ἡ τῶν ἱππέων ἐπεῖχε τάξις, τὸ δ' ἥμισυ τὸ πρὸς τοῖς ὄρεσιν ἡ τῶν μισθοφόρων.* (8) *ἐκ δὲ τούτων εὐσυλλόγιστον πόσον ὑπῆρχε τὸ βάθος τῶν ἱππέων καὶ ποῖον ἔδει τόπον ἀπέχειν τὸν ποταμὸν ἀπὸ τῆς στρατοπεδείας.* (9) *μετὰ δὲ ταῦτα συνεγγιζόντων τῶν πολεμίων φησὶ τὸν Δαρεῖον αὐτὸν κατὰ μέσην ὑπάρχοντα τὴν τάξιν καλεῖν τοὺς μισθοφόρους ἀπὸ τοῦ κέρατος πρὸς αὐτόν.* (10: das ist überhaupt unmöglich. 11) *τὸ δὲ τελευταῖόν φησι τοὺς ἀπὸ τοῦ δεξιοῦ κέρατος ἱππεῖς ἐπαγαγόντας ἐμβαλεῖν τοῖς περὶ τὸν Ἀλέξανδρον, τοὺς δὲ γενναίως δεξαμένους ἀντεπάγειν καὶ ποιεῖν μάχην ἰσχυράν.* (12) *ὅτι δὲ ποταμὸς ἦν ἐν μέσωι, καὶ ποταμὸς οἷον ἀρτίως εἶπεν, ἐπελάθετο.* (19) *τούτοις δ' ἐστὶ*

23 *τούτων* Schweighaeuser *τούτοις* Pol del Reiske

παραπλήσια τὰ κατὰ τὸν Ἀλέξανδρον. φησὶ γὰρ αὐτὸν ποιήσασθαι τὴν εἰς τὴν Ἀσίαν διάβασιν πεζῶν μὲν ἔχοντα τέτταρας μυριάδας, ἱππεῖς δὲ τετρακισχιλίους καὶ πεντακοσίους· (2) μέλλοντι δ' εἰς Κιλικίαν ἐμβάλλειν ἄλλους ἐλθεῖν ἐκ Μακεδονίας πεζοὺς μὲν πεντακισχιλίους, ἱππεῖς δ' ὀκτακοσίους. (3) ἀφ' ὧν εἴ τις ἀφέλοι τρισχιλίους μὲν πεζούς, τριακοσίους δ' ἱππεῖς, ἐπὶ τὸ πλεῖον ποιῶν τὴν ἀπουσίαν πρὸς τὰς γεγενημένας χρείας, ὅμως πεζοὶ μὲν ἀπολειφθήσονται τετρακισμύριοι διοχίλιοι, πεντακισχίλιοι δ' ἱππεῖς. (4) τούτων οὐν ὑποκειμένων, φησὶ τὸν Ἀλέξανδρον πυθέσθαι τὴν Δαρείου παρουσίαν εἰς Κιλικίαν ἑκατὸν ἀπέχοντα σταδίους ἀπ' αὐτοῦ, διαπεπορευμένον ἤδη τὰ στενά. (5) διόπερ ἐξ ὑποστροφῆς πάλιν ποιεῖσθαι τὴν πορείαν διὰ τῶν στενῶν, ἄγοντα πρῶτον μὲν τὴν φάλαγγα, μετὰ δὲ ταῦτα τοὺς ἱππεῖς, ἐπὶ πᾶσι τὸ σκευοφόρον. (6) ἅμα δὲ τῶι πρῶτον εἰς τὰς εὐρυχωρίας ἐκπεσεῖν, διασκευάζεσθαι παραγγείλαντα πᾶσιν ἐπιπαρεμβαλεῖν τὴν φάλαγγα καὶ ποιῆσαι τὸ βάθος αὐτῆς ἐπὶ τριάκοντα καὶ δύο, μειὰ δὲ ταῦτα πάλιν εἰς ἑκκαίδεκα, τὸ δὲ τελευταῖον, σύνεγγυς ὄντα τοῖς πολεμίοις, εἰς ὀκτώ. (7) ταῦτα δ' ἐστὶ μείζω τῶν προειρημένων ἀλογήματα .... (9) ἐκ δὲ τούτων εὐθεώρητον ὅτι καθ' ὃν καιρὸν ἐποίησε τὴν δύναμιν Ἀλέξανδρος ἑκκαίδεκα τὸ βάθος, ἀναγκαῖον ἦν εἴκοσι σταδίων ὑπάρχειν τὸ τοῦ τόπου διάστημα καὶ περιττεύειν ἔτι τοὺς μὲν ἱππεῖς πάντας, τῶν δὲ πεζῶν μυρίους.

(20) μετὰ δὲ ταῦτά φησι μετωπηδὸν ἄγειν τὴν δύναμιν, ἀπέχοντα τῶν πολεμίων περὶ τετταράκοντα σταδίους. (2—8) eine solche marschaufstellung für Kilikien unmöglich. ἓν δὲ τῶν ὑπ' αὐτοῦ Καλλισθένους λεγομένων ἱκανὸν ὑπάρχει πρὸς πίστιν· (4) τοὺς γὰρ ἀπὸ τῶν ὀρῶν χειμάρρους καταφερομένους τοσαῦτά φησι ποιεῖν ἐκρήγματα κατὰ τὸ πεδίον, ὥστε καὶ τῶν Περσῶν κατὰ τὴν φυγὴν διαφθαρῆναι λέγουσι τοὺς πλείστους ἐν τοῖς τοιούτοις κοιλώμασι. (5) νὴ Δί', ἀλλ' ἕτοιμος ἐβούλετ' εἶναι πρὸς τὴν τῶν πολεμίων ἐπιφάνειαν. (6—8) dafür war diese marschordnung das ungeeignetste. (21) τὸ δὲ δὴ πάντων μέγιστον· ἤδη γὰρ σύνεγγυς ὄντα τοῖς πολεμίοις αὐτὸν εἰς ὀκτὼ ποιῆσαί φησι τὸ βάθος. (2—8) dazu hätte er 40 oder allerwenigstens 20 stadien frontbreite gebraucht. (4) αὐτὸς δέ φησι λείπειν τῶν δεκατεττάρων σταδίων ** καὶ τούτου μέρος μέν τι πρὸς θαλάττηι τοὺς ἡμίσεας ἐπὶ τοῦ δεξιοῦ ** ἔτι δὲ τὴν ὅλην τάξιν ἀπὸ τῶν ὀρῶν ἱκανὸν τόπον ἀφεστάναι πρὸς τὸ μὴ τοῖς πολεμίοις ὑποπεπτωκέναι τοῖς κατέχουσι τὰς παρωρείας. (6) ἴσμεν γὰρ ὃ ποιεῖ πρὸς τούτους ἐπικάμπιον. (7—10) so erweist sich die ganze darstellung aus K.s eigenen angaben als unmöglich. (22) τὰ μὲν γὰρ ἅμα τούτοις ἀλογήματα μακρὸν ἂν εἴη λέγειν πάντα πλὴν τελέως ὀλίγων. (2) φησὶ γὰρ τὸν Ἀλέξανδρον σπουδάζειν

---

13 ἐπιπαρεμβαλεῖν dett ἐπιπαρέκβαλεῖν F 15 σύνεγγυς ὄντα Büttner-Wobst εἰσεγγίζοντα Pol ἐγγίζοντα Reiske 32 Schweighäuser vermutet, daß von der ausdehnung und aufstellung der reiter (τὸ ἱππικόν) auf den flügeln die rede war. 34 ἰστέον γὰρ ὡς ἐποίει Büttner-Wobst

*κατὰ τὴν τάξιν, ἵνα κατὰ τὸν Δαρεῖον αὐτὸν ποιήσηται τὴν μάχην· ὁμοίως δὲ κατὰ μὲν ἀρχὰς καὶ τὸν Δαρεῖον αὐτὸν βούλεσθαι κατὰ τὸν Ἀλέξανδρον, ὕστερον δὲ μετανοῆσαι.* (3—5) auch hier entstehen wieder unmöglichkeiten. T 29.

36 (37) PLUT. Alex. 33: *τότε δὲ* (vor dem angriff bei Arbela) *τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπέρρωσαν αὐτὸν βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν ἀριστερὰν μεταβαλὼν τῇι δεξιᾶι παρεκάλει τοὺς θεούς, ὡς Καλλισθένης φησίν, ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν ἐστὶν γεγονώς, ἀμῦναι καὶ συνεπιρρῶσαι τοὺς Ἕλληνας.* a. 331

37 (37) — — 33: *οὐ μὴν τότε ἂν ἐδόκει διαφυγεῖν* (sc. *ὁ Δαρεῖος*), *εἰ μὴ πάλιν ἦκον ἕτεροι παρὰ τοῦ Παρμενίωνος ἱππεῖς μετακαλοῦντες Ἀλέξανδρον, ὡς συνεστώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ καὶ τῶν πολεμίων οὐκ ἐνδιδόντων. ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ' ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον, εἴτε τοῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησί, τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα. τότε δ' οὖν ὁ βασιλεὺς ἀναθεὶς τῇι μεταπέμψει τοῖς μὲν στρατιώταις οὐκ ἔφρασε τὸ ἀληθές, ἀλλ' ὡς ἀνέχων τοῦ φονεύειν καὶ σκότους ὄντος ἀνάκλησιν ἐσήμανεν. ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος ἤκουσε καθ' ὁδὸν ἡττῆσθαι παντάπασι καὶ φεύγειν τοὺς πολεμίους.*

38 (38) STRABON XI 14, 13: *φησὶ γὰρ* (sc. *Ἡρόδοτος* I 202) *ἐκ Ματιηνῶν αὐτὸν* (sc. *τὸν Ἀράξην*) *ῥέοντα εἰς τετταράκοντα ποταμοὺς σχίζεσθαι, μερίζειν δὲ Σκύθας καὶ Βακτριανούς· καὶ Καλλισθένης δὲ ἠκολούθησεν αὐτῶι.* a. 3337

## AUS DEM *ΠΕΡΙΠΛΟΥΣ*.

39 (31) SCHOL. APOLL. RHOD. I 211: *τὴν δὲ Ὠρείθυιαν Σιμωνίδης ἀπὸ Βριλησσοῦ φησιν ἁρπαγεῖσαν ἐπὶ τὴν Σαρπηδονίαν πέτραν τῆς Θράικης ἐνεχθῆναι· ἔστι γὰρ καὶ τῆς Κιλικίας ὁμώνυμος, ὡς Καλλισθένης.* s. F 33.

40 (27) — — Π 936 *καὶ δὴ Παρθενίοιο ῥοάς*] *ποταμὸς Παφλαγονίας . . . . Παρθένιον δέ φησιν αὐτὸν ὠνομάσθαι Καλλισθένης διὰ τὸ τὴν Ἄρτεμιν ἐν αὐτῶι λούεσθαι· ἔνιοι δὲ διὰ τὸ στάσιμον τοῦ ῥεύματος καὶ ἤρεμόν φασιν οὕτω προσαγορεύεσθαι.* s. F 53.

## Fragmente unsicherer Stellung.

41 (24) AELIAN. NA XVI 30: *ἐν Λυκίαι λέγει Καλλισθένης ὁ Ὀλύνθιος κείρεσθαι καὶ τὰς αἶγας ὥσπερ οὖν πανταχῆ τὰ πρόβατα· γίνεσθαι γὰρ δασυτάτας καὶ εὐτριχας δεινῶς τὰς αἶγας, ὡς εἰπεῖν βοστρύ-*

χους ἢ τινας ἕλικας κόμης ἐξηρτῆσθαι αὐτῶν· καὶ μέντοι καὶ τοὺς τεχνίτας τῆς τῶν νεῶν ἐργασίας καταχρῆσθαι αὐταῖς τὰς σειρὰς συμπλέκοντας ὡς καὶ τοὺς κάλως ἄλλοι.

42 (34) [ARISTOT.] π. θαυμ. ἀκ. 132: ἐν μιᾶι τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι. οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθές, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν.

43 (16) ATHEN. XIII 2 p. 555 D: τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτώ — οὐ τοῦ δικαίου καλουμένου (οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν), ἀλλὰ τοῦ τρίτου ἀπ' ἐκείνου. εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Φαληρεύς (228 F 44), Σάτυρος ὁ περιπατητικός (IV), Ἀριστόξενος (IV), οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν ἱστορῶν τοῦτο ἐν τῶι Περὶ εὐγενείας (F 93 Rose) ..... ἀντεῖπε δὲ τοῖς λέγουσι περὶ τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος. s. F 48.

44 (19) ATHEN. MECHAN. (Schneider Abh. Gött. Ges. d. W. NF XII 1912) p. 10: ... ὀλίγα προπαραστησάμενοι διὰ τοὺς εἰωθότας εὐθύνειν πικρῶς τὰς συνθέσεις τῶν λέξεων. οὐ γὰρ ὑπολαμβάνω καθήκειν ἐξεργαζόμενον αὐτὰς ὑστερῆσαι τῆς προθέσεως, καθάπερ συνέβη τῶι Ἰσοκράτει ἐν τῶι συμβουλευτικῶι τῶι πρὸς Φίλιππον αὐτῶι γραφέντι· ἐλύθη γὰρ πρότερον ὁ πόλεμος ἢ ἐκεῖνος ἐτέλεσε τὴν συμβουλίαν. .... ἔτι δὲ καὶ καλῶς ἔχειν μοι δοκεῖ τοῖς ὀρθῶς παραινοῦσι πείθεσθαι περὶ τῶν τοιούτων. ὁ μὲν γὰρ ἱστοριογράφος Καλλισθένης φησί· «δεῖ τὸν γράφειν τι πειρώμενον μὴ ἀστοχεῖν τοῦ προσώπου, ἀλλ' οἰκείως αὐτῶι τε καὶ τοῖς πράγμασι τοὺς λόγους θεῖναι.»

45 (—) HARPOKR. SUID. s. Βόθυνος· τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῆι Ἱερᾶι ὁδῶι. Ἰσαῖος ἐν τῶι Πρὸς Ἕρμωνα περὶ ἐγγύης μνημονεύει τοῦ τόπου καὶ Καλλισθένης.

46 (—) LUKIAN. Demosth. enc. 15: οὐ γὰρ ὡς τὸν Αἰσχύλον ὁ Καλλισθένης ἔφη που λέγων τὰς τραγωιδίας ἐν οἴνωι γράφειν ἐξορμῶντα καὶ ἀναθερμαίνοντα τὴν ψυχήν ....

47 (—) PHOT. BEROL. SUID. s. ἀναρᾶσθαι· ἀντὶ τοῦ διαλύειν τὴν γενομένην καταράν. οὕτως Καλλισθένης.

48 (16) PLUT. Aristeid. 27, 2: καὶ τὰς μὲν θυγατέρας (sc. Ἀριστείδου) ἱστοροῦσιν ἐκ τοῦ πρυτανείου τοῖς νυμφίοις ἐκδοθῆναι δημοσίαι τῆς πόλεως τὸν γάμον ἐγγυώσης καὶ προῖκα τρισχιλίας δραχμὰς ἑκατέραι ψηφισαμένης· Λυσιμάχωι δὲ τῶι υἱῶι μνᾶς μὲν ἑκατὸν ἀργυρίου καὶ γῆς τοσαῦτα πλέθρα

19 ὑστερῆσαι Schneider ἱστορῆσαι Ath 23 ὁ μὲν γὰρ Wescher ὁ μὲν M ὁ γὰρ PV 24 δεῖ P V Byz δεῖν M 25 αὐτῶι $P^b$ αὐτοῦ M $P^a$ V Byz τοὺς om M 28 καὶ Καλλ. om Harp add Epit

πεφυτευμένης ἔδωκεν ὁ δῆμος, καὶ ἄλλας δραχμὰς τέσσαρας εἰς ἡμέραν ἑκάστην ἀπέταξεν, Ἀλκιβιάδου τὸ ψήφισμα γράψαντος. (3) ἔτι δὲ Ἀυσιμάχου θυγατέρα Πολυκρίτην ἀπολιπόντος, ὡς Καλλισθένης φησί, καὶ ταύτῃ σίτησιν ὅσην καὶ τοῖς Ὀλυμπιονίκαις ὁ δῆμος ἐψηφίσατο. s. F 43.

49 (4) PLUT. Aet. gr. 9 p. 292 D—F: τίς ὁ παρὰ Δελφοῖς ὁσιωτὴρ καὶ διὰ τί βύσιον ἕνα τῶν μηνῶν καλοῦσιν; .... ὁ δὲ βύσιος μήν, ὡς μὲν οἱ πολλοὶ νομίζουσι, φύσιός ἐστιν· ἔαρος γὰρ ἄρχει καὶ τὰ πολλὰ φύεται τηνικαῦτα καὶ διαβλαστάνει. τὸ δ' ἀληθὲς οὐκ ἔχει οὕτως· οὐ γὰρ ἀντὶ τοῦ ϖ τῶι β χρῶνται Δελφοί, καθάπερ Μακεδόνες ...., ἀλλ' ἀντὶ τοῦ π ... ἔστιν οὖν πύσιος ὁ βύσιος, ἐν ὧι πυστιῶνται καὶ πυνθάνονται τοῦ θεοῦ· † τὸ γὰρ ἐννοεῖν καὶ πάτριον. ἐν τῶι μηνὶ γὰρ τούτωι χρηστήριον ἐγίγνετο, καὶ ἑβδόμην ταύτην νομίζουσι τοῦ θεοῦ γενέθλιον· καὶ πολύφθοον ὀνομάζουσιν οὐ διὰ τὸ πέττεσθαι φθοῖς, ἀλλὰ πολυπευθῆ καὶ πολυμάντευτον οὖσαν. ὀψὲ γὰρ ἀνείθησαν αἱ κατὰ μῆνα μαντεῖαι τοῖς δεομένοις· πρότερον δ' ἅπαξ ἐθεμίστευεν ἡ Πυθία τοῦ ἐνιαυτοῦ κατὰ ταύτην τὴν ἡμέραν, ὡς Καλλισθένης καὶ Ἀναξανδρίδης (III) ἱστορήκασιν.

50 (17) POLYB. VI 45, 1: ἐπὶ δὲ τῶν Κρηταιῶν (sc. πολιτείαν) μεταβάντες ἄξιον ἐπιστῆσαι κατὰ δύο τρόπους, πῶς οἱ λογιώτατοι τῶν ἀρχαίων συγγραφέων, Ἔφορος (70 F 148) Ξενοφῶν Καλλισθένης Πλάτων, πρῶτον μὲν ὁμοίαν εἶναί φασι καὶ τὴν αὐτὴν τῆι Λακεδαιμονίων, δεύτερον δ' ἐπαινετὴν ὑπάρχουσαν ἀποφαίνουσιν· ὧν οὐδέτερον ἀληθὲς εἶναί μοι δοκεῖ.

51 (7) PROKLOS. i. Plat. Tim. 21 E (I 97, 27 Diehl): τοὺς δὲ Ἀθηναίους Καλλισθένης μὲν καὶ Φανόδημος (III) πατέρας τῶν Σαιτικῶν ἱστοροῦσι γενέσθαι, Θεόπομπος (Anaxim. 72 F 20) δὲ ἀνάπαλιν ἀποίκους αὐτῶν εἶναί φησιν.

52 (—) SCHOL. LYKOPHR. 520: ἢ ὅτι τριγέννητος θεὰ ἡ Ἀθηνᾶ· Καλλισθένης γάρ φησι τρίτηι † τοῦ μηνὸς γεννηθῆναι, διὸ καὶ παρ' Ἀθηναίοις ἡ τρίτη ἱερὰ αὐτῆς καλεῖται. ἢ ὅτι παρὰ τῶι Τρίτωνι ποταμῶι γεννηθῆναι ⟨λέγεται⟩ ....

53 (28) STRABON XII 3, 5: τοὺς δὲ Καύκωνας, οὓς ἱστοροῦσι τὴν ἐφεξῆς οἰκῆσαι παραλίαν τοῖς Μαριανδυνοῖς μέχρι τοῦ Παρθενίου ποταμοῦ (F 40) πόλιν ἔχοντας τὸ Τίειον, οἱ μὲν Σκύθας φασίν, οἱ δὲ τῶν Μακεδόνων τινάς, οἱ δὲ τῶν Πελασγῶν .... Καλλισθένης δὲ καὶ ἔγραφε τὰ ἔπη ταῦτα εἰς τὸν Διάκοσμον μετὰ τὸ (Il. B 855) Κρῶμναν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους τιθεὶς Καύκωνας ⟨δ'⟩ αὖτ' ἦγε Πολυκλέος υἱὸς ἀμύμων, οἳ περὶ Παρθένιον ποταμὸν κλυτὰ δώματ' ἔναιον'. παρήκειν

1 καὶ ἄλλας S ἃ. δὲ Y 4 καὶ om S 27 τοῦ μηνός: φθίνοντος Schol. Il. Θ 39 29 ⟨λέγεται⟩ Scheer 32 (u. p. 656, 2) Τίειον Salmasius τήιον Str 35 δ' αὖτ' Eust αὖτ' Str 36 Ἀμειβος ἢ ἀμύμων Eust κλυτὰ δώματα ναῖον ἢ κλ. δ. ἔναιον Eust

γὰρ ἀφ' Ἡρακλείας καὶ Μαριανδυνῶν μέχρι Λευκοσύρων . . . τό τε τῶν Καυκώνων γένος τὸ περὶ τὸ Τίειον μέχρι Παρθενίου καὶ τὸ τῶν Ἐνετῶν τὸ συνεχὲς μετὰ τὸν Παρθένιον τῶν ἐχόντων τὸ Κύτωρον· καὶ νῦν δ' ἔτι Καυκωνίτας εἶναί τινας περὶ τὸν Παρθένιον.

54 (29) STRABON XIV 5, 28: φήσας δὲ (sc. Ἀπολλόδωρος 244 F 170) ἀγνώτων τινῶν μεμνῆσθαι τὸν ποιητήν, Καύκωνας μὲν ὀρθῶς λέγει καὶ Σολύμους καὶ Κητ⟨ε⟩ίους καὶ Λέλεγας καὶ Κίλικας τοὺς ἐκ Θήβης πεδίου, τοὺς δ' Ἀλιζῶνας αὐτὸς πλάττει, μᾶλλον δ' οἱ πρῶτοι τοὺς Ἀλιζῶνας ἀγνοήσαντες, τίνες εἰσί, καὶ μεταγράφοντες πλεοναχῶς καὶ πλάττοντες τὴν τοῦ ἀργύρου γενέθλην καὶ ἄλλα πολλὰ μέταλλα ἐκλελειμμένα ἅπαντα. πρὸς ταύτην δὲ τὴν φιλοτιμίαν κἀκείνας συνήγαγον τὰς ἱστορίας, ἃς ὁ Σκήψιος (V) τίθησι παρὰ Καλλισθένους λαβὼν καὶ ἄλλων τινῶν οὐ καθαρευόντων τῆς περὶ τῶν Ἀλιζώνων ψευδοδοξίας· ὡς ὁ μὲν Ταντάλου πλοῦτος καὶ τῶν Πελοπιδῶν ἀπὸ τῶν περὶ Φρυγίαν καὶ Σίπυλον μετάλλων ἐγένετο, ὁ δὲ Κάδμου ⟨ἐκ τῶν⟩ περὶ Θράικην καὶ τὸ Παγγαῖον ὄρος, ὁ δὲ Πριάμου ἐκ τῶν ἐν Ἀστύροις περὶ Ἄβυδον χρυσείων (ὧν καὶ νῦν ἔτι μικρὰ λείπεται, πολλὴ δ' ἡ ἐκβολὴ καὶ τὰ ὀρύγματα σημεῖα τῆς πάλαι μεταλλείας), ὁ δὲ Μίδου ἐκ τῶν περὶ τὸ Βέρμιον ὄρος, ὁ δὲ Γύγου καὶ Ἀλυάττου καὶ Κροίσου ἀπὸ τῶν ἐν Λυδίαι ⟨καὶ *⟩ τῆς μεταξὺ Ἀπαρνέως τε καὶ Περγάμου πολίχνη⟨ς⟩ ἐρήμη⟨ς⟩ ἐκμεμεταλλευμένα ἐχούσης τὰ χωρία.

## Zweifelhaftes.

55 (—) PAP. OXYRH. 222 col. I 41 (siegerliste ol. 78; 468) . . . ]ημος Παρρά[σιος παι]δ πάλ]ην ō καλλισ . . . .

## Unechtes.

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

56 (45) STOB. Flor. III 7, 66 = [PLUT.] Parall. 5 p. 306 EF: Καλλισθένους ἐν δευτέρωι Μεταμορφώσεων. κατὰ Κελαινὰς πόλιν τῆς Φρυγίας διὰ μῆνιν Ἰδαίου Διὸς χάσμα μεθ' ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε. τοῦ δὲ δήμου κινδυνεύοντος Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνοι βίωι. τῶν δὲ Κελαινιτῶν χρυσόν τε καὶ ἄργυρον καὶ τὸν κόσμον τῶν γυναικῶν εἰς τὸ χάσμα ῥιψάντων, καὶ μηδ' οὕτω τοῦ κακοῦ λήξαντος, Ἄγχουρος ὁ υἱὸς Μίδα λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίωι ψυχῆς ἀνθρωπίνης, ὃους περιπλοκὰς τῶι γεννήσαντι καὶ ἀποκώνεια 7 Κητείους Xylander 10 μέταλλα Corais μεγάλα Str 15 ⟨ἐκ τῶν⟩ ⟨καὶ⟩ Corais 20 πολίχνης ἐρήμης — ἐχούσης Casaubonus πολίχνη ἐρήμη — ἔχουσα Str πολίχνηι ἐρήμηι — ἔχουσα Epit ἐκμεμεταλλευμένα Epit ἐκμεταλλευόμενα Str 23 οὕτως Καλλισθένης Diels Herm. XXXVI 75 27 Ἰδαίου A Tr Ἰδίου M 32 λήγοντος M Tr ἄγχουρος A ἄγχουρος Plut ἄγχουρας M αἰγιστέος Tr 33 ἀνθρωπίνης M A Plut ἀναποδήσας (ἀναπη— Apostol. I 58 b) καὶ Tr

4 Καυκωνιάτας Strab. VIII 3, 7 Καυκωνείτης Steph. Byz. s. Ἀγκώνεια, Kau-

ταξάμενος τῇι γυναικὶ Τιμοθέαι, μεθ' ὁρμῆς ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη. τῆς δὲ γῆς εἰς τὴν φυσικὴν ἁρμονίαν συνελθούσης Μίδας βωμὸν ἱδρύσατο Διὸς Ἰδαίου, ὃν χρύσεον ἐποίησε ταῖς χερσὶν ἁψάμενος. οὗτος ὁ βωμὸς περὶ ἐκεῖνον τὸν καιρόν, ἐν ὧι τὸ χάσμα συνέβη γενέσθαι, λίθινος γίνεται· τῆς δ' ὡρισμένης προθεσμίας παρελθούσης χρύσεος ὁρᾶται.

## ΜΑΚΕΔΟΝΙΚΑ.

57 (42) Stob. III 7, 67 = [Plut.] Parall. 8 p. 307 D: *Καλλισθένους ἐν τρίτωι Μακεδονικῶν. Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς δύο καὶ τριάκοντα Χαλκιδικὰς πόλεις τοῖς ἰδίοις ὑποτάξας σκήπτροις Μεθωναίους καὶ Ὀλυνθίους λεηλατεῖν ἤρξατο. γενόμενος δὲ κατὰ γέφυραν ποταμοῦ Σάρδωνος καὶ εἰς τὸ πέραν διαβῆναι βιαζόμενος ὑπὸ τοῦ πλήθους τῶν Ὀλυνθίων ἐπεσχέθη. τοξότης δέ τις Ἀστὴρ τοὔνομα τόξον ἐντείνας ἐτύφλωσε τὸν Φίλιππον εἰπών 'Ἀστὴρ Φιλίππωι θανάσιμον πέμπει βέλος.' ἀποβαλὼν δὲ ὁ βασιλεὺς τὸν ὀφθαλμὸν εἰς τὸν ποταμὸν ἑαυτὸν ἔρριψε καὶ πρὸς τοὺς οἰκείους διανηξάμενος τὸν κίνδυνον ἐξέφυγεν.*

## ΘΡΑΙΚΙΚΑ.

58 (44) [Plut.] Parall. 31 p. 313 B: *Ἀθηναίων πόλεμον ἐχόντων πρὸς Εὔμολπον καὶ τῆς εὐθηνίας μὴ ἐπαρκούσης, Πύρανδρος ταμίας τῶν δημοσίων ὑπεσπάσατο τὸ μέτρον φειδωλῶς χρώμενος· οἱ δ' ἐγχώριοι ὡς προδότην ὑποπτεύσαντες λιθόλευστον ἐποίησαν. ὡς Καλλισθένης ἐν τρίτωι Θρακικῶν.*

## ΚΥΝΗΓΕΤΙΚΑ.

59 (46) [Plut.] De fluv. IV 2: *γεννᾶται δὲ παρ' αὐτῶι* (sc. *τῶι Γάγγηι*) *βοτάνη παραπλησία βουγλώσσωι, ἣν λειοτριβοῦντες τὸν χυλὸν αὐτῆς τηροῦσι, καὶ νυκτὸς βαθείας τοὺς φωλεοὺς τῶν τίγρεων περιῤῥαίνουσιν. αἱ δὲ διὰ τὴν δύναμιν τῆς ἐκχυθείσης ὑγρασίας προχωρῆσαι μὴ δυνάμεναι θνήσκουσι, καθὼς ἱστορεῖ Καλλισθένης ἐν $\overline{\gamma}$ τῶν Κυνηγετικῶν.*

---

## —. ANAXIMENES VON LAMPSAKOS.

*ΤΑ ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΝ.*

S. 72 F 15—17.

---

## 125. CHARES VON MITYLENE.

T

1 Athen. XII 9 p. 514 E (= F 2): *Χάρης . . ὁ Μιτυληναῖος.* F 3; 5; 9; 14; 16—17; 19.

2 Plut. Alex. 46 (= F 12): *Χάρης ὁ εἰσαγγελεύς.*

3 *Ἰδαίου* A Plut *Ἰουδαίου* M 10 *Σανδάνωι* Plut 21 *ἐν αὐτῶι* Hercher *παρ' αὐτόν* Duebner 22 *λειοτριβοῦντες* Maussac *δεῖ τρίβοντες* Pl 24 *ὑγρασίαι* Westermann *πρασίας* Pl

3 a) PLIN. NH I 12. 13: *arborum naturae . . . ex . . . Nicobule* (127), *Anticlide* (140), *Charete Mytilenaeo, Menaechmo* (131) . . . . b) — I 37 .... *origo gemmarum ... de sucino .... ex ... Theophrasto* (§ 33), *Charete* (F 8) . . . . . .

F

*ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΝ ΙΣΤΟΡΙΑΙ Α—Ι (?)*

$\overline{Γ}$

1 (Script. Al. M. p. 116, 6) ATHEN. IV 71 p. 171 BC: *ἐκάλουν δέ, φησί* (sc. Ἀρτεμίδωρος), *καὶ τοὺς προγεύστας ἐδεάτρους, ὅτι προήσθιον τῶν βασιλέων πρὸς ἀσφάλειαν. νῦν δὲ ὁ ἐδέατρος ἐπιστάτης γέγονε τῆς ὕλης διακονίας. ἦν δὲ ἐπιφανὴς καὶ ἔντιμος ἡ χρεία· Χάρης γοῦν ἐν τῇι $\overline{γ}$ τῶν Ἱστοριῶν Πτολεμαῖόν φησι τὸν Σωτῆρα ἐδέατρον ἀποδειχθῆναι Ἀλεξάνδρου.*

$\overline{Ε}$

2 (10) ATHEN. XII 9 p. 514 EF: *Χάρης δ' ὁ Μιτυληναῖος ἐν τῇι πέμπτηι τῶν Περὶ Ἀλέξανδρον Ἱστοριῶν «εἰς τοῦτο» φησίν «ἦκον τρυφῆς οἱ τῶν Περσῶν βασιλεῖς ὥστε ἔχεσθαι τῆς βασιλικῆς κλίνης ὑπὲρ κεφαλῆς οἴκημά τι πεντάκλινον, ἐν ὧι χρυσίου πενταχισχίλια διὰ παντὸς ἔκειτο τάλαντα, καὶ τοῦτο ἐκαλεῖτο προσκεφάλαιον βασιλικόν· καὶ πρὸς ποδῶν ἕτερον οἴκημα τρίκλινον, οὗ τάλαντα τρισχίλια ἔκειτο ἀργυρίου, καὶ προσηγορεύετο βασιλικὸν ὑποπόδιον. ἦν δ' ἐν τῶι κοιτῶνι καὶ λιθοκόλλητος ἄμπελος χρυσῆ ὑπὲρ τῆς κλίνης»* — *τὴν δ' ἄμπελον ταύτην Ἀμύνιας φησὶν ἐν τοῖς Σταθμοῖς* (122 F 6) *καὶ βότρυας ἔχειν ἐκ τῶν πολυτελεστάτων ψήφων συντεθειμένους* — *«οὐ μακράν τε ταύτης ἀνακεῖσθαι κρατῆρα χρυσοῦν, Θεοδώρου τοῦ Σαμίου ποίημα.»*

$\overline{Ζ}$

3 (12) ATHEN. III 45 p. 93 CD: *Χάρης δ' ὁ Μιτυληναῖος ἐν ἑβδόμηι τῶν Περὶ Ἀλέξανδρον Ἱστοριῶν φησι· «θηρεύεται δὲ* (sc. ὁ μαργαρίτης) *κατὰ τὴν Ἰνδικὴν θάλασσαν, ὡσαύτως δὲ καὶ κατὰ τὴν Ἀρμενίαν καὶ Περσικὴν καὶ Σουσιανὴν καὶ Βαβυλωνίαν, παρόμοιον ὀστρέωι· τὸ δ' ἐστὶν ἁδρὸν καὶ πρόμηκες, ἔχον ἐν αὑτῶι σάρκα καὶ μεγάλην καὶ λευκήν, εὐώδη σφόδρα. ἐξ ὧν ἐξαιροῦντες ὁστᾶ λευκὰ προσα-*

1 *Nicobule* Brunn —o Pl 9 ἐδεάτρους Valckenaer αιδεελαιατρους A 10 ελαιατρος A ἐλεάτρους C 12 αἰδέατρον A ἐλέατρον C 22 ἔκειτο Dindorf (v. 19) ἔκειντο AE 23 ἐν τῶι E ἐν τι τῶι A

γορεύουσι μὲν μαργαρίτας, κατασκευάζουσι δ' ἐξ αὐτῶν ὁρμίσκους τε καὶ ψέλια περὶ τὰς χεῖρας καὶ τοὺς πόδας· περὶ ἃ σπουδάζουσι Πέρσαι καὶ Μῆδοι καὶ πάντες Ἀσιανοὶ πολὺ μᾶλλον τῶν ἐκ χρυσίου γεγενημένων.»

*I*

4 (16) ATHEN. XII 54 p. 538 B—539 A: Χάρης δ' ἐν τῇι δεκάτηι s. 324
τῶν Περὶ Ἀλέξανδρον Ἱστοριῶν «ὅτε» φησίν «εἶλε Δαρεῖον, γάμους συνετέλεσεν ἑαυτοῦ τε καὶ τῶν ἄλλων φίλων, ἐνενήκοντα καὶ δύο θαλάμους κατασκευασάμενος ἐν τῶι αὐτῶι τύπωι. ἦν δὲ ὁ οἶκος ἑκατοντάκλινος, ἐν ὧι ἑκάστη ἦν κλίνη κεκοσμημένη στολῆι γαμικῆι εἴκοσι μνῶν ἀργυρᾶι· ἡ δὲ αὐτοῦ χρυσόπους ἦν. συμπαρέλαβεν δὲ εἰς τὸ συμπόσιον καὶ τοὺς ἰδιοξένους ἅπαντας καὶ κατέκλινεν ἀντιπροσώπους ἑαυτῶι τε καὶ τοῖς ἄλλοις νυμφίοις, τὴν δὲ λοιπὴν δύναμιν πεζήν τε καὶ ⟨ἱππικὴν καὶ⟩ ναυτικὴν καὶ τὰς πρεσβείας καὶ τοὺς παρεπιδημοῦντας ἐν τῆι αὐλῆι. κατεσκεύαστο δὲ ὁ οἶκος πολυτελῶς καὶ μεγαλοπρεπῶς ἱματίοις τε καὶ ὀθονίοις πολυτελέσιν, ὑπὸ δὲ ταῦτα πορφυροῖς καὶ φοινικοῖς χρυσουφέσιν. οὗ δὲ μένειν τὴν σκηνὴν ὑπέκειντο κίονες εἰκοσαπήχεις περίχρυσοι καὶ διάλιθοι καὶ περιάργυροι. περιεβέβλητο δὲ ἐν τῶι περιβόλωι πολυτελεῖς αὐλαῖαι ζωιωτοὶ καὶ διάχρυσοι, κανόνας ἔχουσαι περιχρύσους καὶ περιαργύρους. τῆς δ' αὐλῆς ἦν τὸ περίμετρον στάδιοι τέσσαρες. ἐγίνετο δὲ τὰ δεῖπνα πρὸς σάλπιγγα τότε μὲν ἐν τοῖς γάμοις καὶ ἄλλως δ' αἰεὶ ὅτε τύχοι σπονδοποιούμενος, ὥστε πᾶν εἰδέναι τὸ στρατόπεδον. ἐπὶ πέντε δ' ἡμέρας ἐπετελέσθησαν οἱ γάμοι, καὶ ἐλειτούργησαν πάνυ πολλοὶ καὶ βαρβάρων καὶ Ἑλλήνων, †καὶ οἱ ἀπὸ τῆς Ἰνδικῆς θαυματοποιοὶ ἦσαν διαπρέποντες, † Σκύμνος Ταραντῖνος καὶ Φιλιστίδης Συρακόσιος Ἡράκλειτός τε ὁ Μιτυληναῖος· μεθ' οὓς ἐπεδείξατο ῥαψωιδὸς Ἄλεξις Ταραντῖνος. παρῆλθον δὲ καὶ ψιλοκιθαρισταὶ

1 μαργαρίτας EC —την A 9 καὶ δύο om Aelian. V H VIII 7 11 ἀργυρᾶι A ἀργυρᾶ E ἀργυρόπους ἦν Ael s. 126 F 4 15 δὲ Kaibel τε AE ⟨ἱππικὴν A ἀργυρᾶ E ἀργυρόπους ἦν Ael s. 126 F 4 15 δὲ Kaibel τε AE ⟨ἱππικὴν καὶ⟩ Kaibel δυνάμεις al πεζαὶ καὶ al ναυτικαὶ καὶ οἱ ἱππεῖς Ael 25 πρὸς σάλπιγγα, τὸ μὲν συγκλητικὸν μέλος διδούσης, ὅτε αὐτοὺς ἐχρῆν παριέναι ἐπὶ τὴν σάλπιγγα, τὸ δὲ ἀνακλητικόν, ὅτε ἐσήμαινεν ἀπαλλάττεσθαι Ael 26—27 σπονδοποιούμενος Dindorf σπενδ— A 29—32 ἦσαν δὲ καὶ ἐκ τῆς Ἰνδικῆς θαυματοποιοὶ διαπρέποντες, καὶ ἔδοξαν δὲ αὐτοὶ κρατεῖν τῶν ἄλλων τῶν ἀλλαχόθεν Ael

Κρατῖνος Μηθυμναῖος, Ἀριστώνυμος Ἀθηναῖος, Ἀθηνόδωρος Τήιος· ἐκιθαρώιδησαν δὲ Ἡράκλειτός τε ὁ Ταραντῖνος καὶ Ἀριστοκράτης ὁ Θηβαῖος. αὐλωιδοὶ δὲ παρῆλθον Διονύσιος ὁ Ἡρακλεώτης, Ὑπέρβολος Κυζικηνός. παρῆλθον δὲ καὶ αὐληταί, οἳ πρῶτον τὸ Πύθικὸν ηὔλησαν, εἶθ' ἑξῆς μετὰ τῶν χορῶν, Τιμόθεος, Φρύνιχος, Καφισίας, Διόφαντος, ἔτι δὲ Εὔιος ὁ Χαλκιδεύς. καὶ ἔκτοτε οἱ πρότερον καλούμενοι Διονυσοκόλακες Ἀλεξανδροκόλακες ἐκλήθησαν διὰ τὰς τῶν δώρων ὑπερβολάς, ἐφ' οἷς καὶ ἤσθη ὁ Ἀλέξανδρος. ὑπεκρίθησαν δὲ τραγωιδοὶ μὲν Θεσσαλὸς καὶ Ἀθηνόδωρος καὶ Ἀριστόκριτος, κωμωιδοὶ δὲ Λύκων καὶ Φορμίων καὶ Ἀρίστων. παρῆν δὲ καὶ Φρασίμηλος ὁ ψάλτης. οἱ δὲ πεμφθέντες, φησί, «στέφανοι ὑπὸ τῶν πρεσβευτῶν καὶ τῶν λοιπῶν ταλάντων ἦσαν μυρίων πεντακισχιλίων.» (es folgt 128 F 1).

5 (17) ATHEN. XIII 35 p. 575 A—F: οὐ χρὴ δὲ θαυμάζειν, εἰ ἐξ ἀκοῆς τινες ἠράσθησάν τινων, ὁπότε Χάρης ὁ Μιτυληναῖος ἐν τῶι δεκάτωι τῶν Ἱστοριῶν τῶν περὶ Ἀλέξανδρόν φησιν ὀνείρατι θεασαμένους τινὰς οὓς μὴ πρότερον εἶδον ἐρασθῆναι αὐτῶν. γράφει δὲ οὕτως· «Ὑστάσπηι νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, περὶ ὧν λέγουσιν οἱ ἐπιχώριοι ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν· ἐκυρίευσεν δὲ ὁ μὲν Ὑστάσπης Μηδίας καὶ τῆς ὑποκάτω χώρας, ὁ δὲ Ζαριάδρης τῆς ὑπεράνω Κασπίων πυλῶν μέχρι τοῦ Τανάιδος. τῶν δὲ ἐπέκεινα τοῦ Τανάιδος Ὁμάρτηι βασιλεῖ †Μαραθῶν θυγάτηρ ἦν ὄνομα Ὀδάτις, περὶ ἧς ἐν ταῖς ἱστορίαις γέγραπται ὡς ἄρα κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν Ζαριάδρην ἐρασθείη, τὸ δ' αὐτὸ τοῦτο κἀκείνωι πάθος συμπεσεῖν πρὸς αὐτήν. διετέλουν οὖν ἀλλήλων ἐπιθυμοῦντες διὰ τὴν κατὰ τὸν ὕπνον φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδρης δὲ ἦν καλός. πέμποντος οὖν τοῦ Ζαριάδρου πρὸς τὸν Ὁμάρτην καὶ φιλοτιμουμένου γῆμαι τὴν ἄνθρωπον, οὐ συνετίθετο ὁ Ὁμάρτης διὰ τὸ εἶναι ἀρρένων παίδων ἔρημος· ἤθελεν γὰρ αὐτὴν δοῦναι ἐνὶ τῶν περὶ αὐτὸν οἰκείων. καὶ μετ' οὐ πολὺν χρόνον ὁ Ὁμάρτης συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας καὶ φίλους καὶ συγγενεῖς ἐποιεῖτο τοὺς γάμους,

7 σκαφισίας A
13 Φρασίμηλος vel potius Φρασίδημος Kaibel φασι — A
23 τῆς Kaibel τῶν A
24 τῶν: τῶι Kaibel
25 Σαρματῶν o. Μαιωτῶν Holste
28 οὖν Kaibel γοῦν A
33 ὁ ὠμάρτης A

οὐ προειπὼν ὅτωι μέλλοι διδόναι τὴν θυγατέρα. ἀκμαζούσης οὖν τῆς μέθης εἰσκαλέσας τὴν Ὀδάτιν ὁ πατὴρ εἰς τὸ συμπόσιον εἶπεν ἀκουόντων τῶν συνδείπνων· ἡμεῖς, ὦ θύγατερ Ὀδάτι, νῦν ποιούμεθα τοὺς σοὺς γάμους. περιβλέψασα οὖν καὶ θεωρήσασα πάντας λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσασα ὃς ὤι θέλεις γαμηθῆναι· τούτου γὰρ κεκλήσηι γυνή.' κἀκείνη περιβλέψασα πάντας ἀπήιει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῶι ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ δὲ στρατοπεδεύων ἐπὶ τοῦ Ταναίδος καὶ διαλαθὼν τὴν στρατοπεδείαν διέβη μετὰ μόνου τοῦ ἁρματηλάτου καὶ νυκτὸς ὁρμήσας ἐπὶ τοῦ ἅρματος διῆλθεν διὰ γῆς πολλῆς, διώξας περὶ τοὺς ὀκτακοσίους σταδίους. πλησίον δὲ τῆς κώμης γενόμενος ἐν ἧι τοὺς γάμους συνετέλουν καὶ καταλιπὼν ἔν τινι τόπωι αὐτῶι ἅρματι τὸν ἁρματηλάτην προῆγεν ἐνδεδυκὼς στολὴν Σκυθικήν. καὶ παρελθὼν εἰς τὴν αὐλὴν καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλικείου καὶ δακρύουσαν χειρᾶσάν τε βραδέως τὴν φιάλην εἶπεν πλησίον στὰς παρ' αὐτήν· 'ὦ Ὀδάτι, πάρειμί σοι καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης.' ἣ δὲ κατανοήσασα ξένον ἄνδρα καὶ καλὸν καὶ ὅμοιον τῶι κατὰ τὸν ὕπνον ἑωραμένωι περιχαρὴς γενομένη δίδωσιν αὐτῶι τὴν φιάλην· καὶ ὃς ἁρπάσας αὐτὴν ἀπήγαγεν ἐπὶ τὸ ἅρμα καὶ ἔφυγεν ἔχων τὴν Ὀδάτιν. οἱ δὲ παῖδες ταὶ αἱ θεράπαιναι συνειδυῖαι τὸν ἔρωτα κατεσιώπησαν καὶ κελεύοντος τοῦ πατρὸς λαλεῖν οὐκ ἔφασαν εἰδέναι ὅποι πεπόρευται. μνημονεύεται δὲ ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν οἰκοῦσι βαρβάροις καὶ περισσῶς ἐστι ζηλωτός, καὶ τὸν μῦθον τοῦτον ζωγραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ τοῖς βασιλείοις, ἔτι δὲ ταῖς ἰδιωτικαῖς οἰκίαις, καὶ ταῖς ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν ὄνομα τίθενται Ὀδάτιν.»

## OHNE BUCHZAHL ODER BUCHTITEL.

6 (1) PLUT. De Alex. fort. II 9 p. 341 C: ἐν Ἰσσῶι ξίφει τὸν a. 333
μηρόν (sc. ἐτρώθη Ἀλέξανδρος), ὡς Χάρης φησίν, ὑπὸ Δαρείου τοῦ βασιλέως εἰς χεῖρας αὐτοῦ συνδραμόντος. αὐτὸς δ' Ἀλέξανδρος ἁπλῶς γράφων

4 Ὀδάτι om E 7 [γαμηθῆναι] Kaibel 11 καὶ διαλαθὼν A διαλ. E 12 νυκτὸς καὶ? Kaibel 18 γῆς πολλῆς Kaibel τῆς πόλεως AE 27 λαλεῖν Kaibel καλεῖν A ὅποι Meineke ὅπου A 29 ὡς περισσῶς? Jac

καὶ μετὰ πάσης ἀληθείας πρὸς Ἀντίπατρον 'συνέβη δέ μοι' φησί 'καὶ αὐτῶι ἐγχειριδίωι πληγῆναι [εἰς] τὸν μηρόν· ἀλλ' οὐδὲν ἄτοπον οὔτε παραχρῆμα οὔτ' ὕστερον ἐκ τῆς πληγῆς ἀπήντησεν.' — PLUT. Alex. 20.

7 (2) PLUT. Alex. 24: *Τύρον δὲ πολιορκῶν ἑπτὰ μῆνας χώμασι καὶ* n. 333/3
μηχαναῖς καὶ τριήρεσι διακοσίαις ἐκ Φαλάττης, ὕναρ εἶδε τὸν Ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ τοῦ τείχους καὶ καλοῦντα. τῶν δὲ Τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους ἔδοξεν ὁ Ἀπόλλων λέγειν, ὡς ἄπεισι πρὸς Ἀλέξανδρον· οὐ γὰρ ἀρέσκειν αὐτῶι τὰ πρασσόμενα κατὰ τὴν πόλιν. ἀλλ' αὐτοὶ μὲν ὥσπερ ἄνθρωπον αὐτομολοῦντα πρὸς τοὺς πολεμίους ἐπ' αὐτοφώρωι τὸν θεὸν εἰληφότες σειρᾶς τε τῶι κολοσσῶι περιέβαλλον αὐτοῦ καὶ καθήλουν πρὸς τὴν βάσιν, Ἀλεξανδριστὴν καλοῦντες. ἑτέραν δὲ ὄψιν Ἀλέξανδρος εἶδε κατὰ τοὺς ὕπνους· σάτυρος αὐτῶι φανεὶς ἐδόκει προσπαίζειν πόρρωθεν, εἶτα βουλομένου λαβεῖν ὑπεξέφυγε, τέλος δὲ πολλὰ λιπαρήσαντος καὶ περιδραμόντος ἦλθεν εἰς χεῖρας. οἱ δὲ μάντεις τοὔνομα διαιροῦντες οὐκ ἀπιθάνως ἔφασαν αὐτῶι· 'σὴ γενήσεται Τύρος.' καὶ χρήνην δέ τινα δεικνύουσι, πρὸς ἣν κατὰ τοὺς ὕπνους ἰδεῖν ἔδοξε τὸν σάτυρον.

διὰ μέσου δὲ τῆς πολιορκίας ἐπὶ τοὺς Ἄραβας τοὺς προσοικοῦντας τῶι Ἀντιλιβάνωι στρατεύσας ἐκινδύνευσε διὰ τὸν παιδαγωγὸν Λυσίμαχον· ἐξηκολούθησε γὰρ αὐτῶι λέγων τοῦ Φοίνικος οὐκ εἶναι χείρων οὐδὲ πρεσβύτερος. ἐπεὶ δὲ πλησιάσας τοῖς ὀρεινοῖς καὶ τοὺς ἵππους ἀπολιπὼν πεζὸς ἐβάδιζεν, οἱ μὲν ἄλλοι πολὺ προῆλθον, αὐτὸς δὲ τὸν Λυσίμαχον, ἐσπέρας ἤδη καταλαμβανούσης καὶ τῶν πολεμίων ἐγγὺς ὄντων, ἀπαγορεύοντα καὶ βαρυνόμενον οὐχ ὑπομένων ἀπολιπεῖν, ἀλλ' ἀνακαλούμενος καὶ παρακομίζων ἔλαθε τοῦ στρατεύματος ἀποσπασθεὶς μετ' ὀλίγων καὶ σκότους ἅμα καὶ ὄρους σφοδροῦ νυκτερεύων ἐν χωρίοις χαλεποῖς. εἶδεν οὖν πόρρω πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολεμίων. θαρρῶν δὲ τοῦ σώματος τῆι κουφότητι καὶ τῶι ποδεῖν αὐτὸς ἀεὶ παραμυθούμενος τὴν ἀπορίαν τὴν Μακεδόνων, προσέδραμε τοῖς ἔγγιστα πῦρ καίουσι· καὶ περικαθημένους τῆι πυρᾶι δύο βαρβάρους πατάξας τῶι ἐγχειριδίωι καὶ δαλὸν ἁρπάσας ἦκε πρὸς τοὺς ἑαυτοῦ κομίζων. ἐγκαύσαντες δὲ πῦρ πολὺ τοὺς μὲν εὐθὺς ἐφόβησαν ὥστε φυγεῖν, τοὺς δ' ἐπιόντας ἐτρέψαντο καὶ κατηλίσθησαν ἀκινδύνως. ταῦτα μὲν οὖν Χάρης ἱστόρηκεν.

8 (3) PLIN. NH XXXVII 33: *Chares vero Phaetontem in* n. 332/1
*Aethiopia Ammonos* [Ἄμμωνος] *insoi obisse, ibi et delubrum eius esse atque oraculum electrumque gigni.*

9 (4) ATHEN. VII 4 p. 277 A: *Χάρης δ' ὁ Μυτιληναῖος ἱστορεῖ ὡς* n. 334/1
*κάλλιστα μῆλα εὑρὼν ὁ Ἀλέξανδρος περὶ τὴν Βαβυλωνίαν χώραν τούτων*

---

2 [εἰς] Abresch 13 ὑπεξέφευγε Corais 15 ὅτι 'σὰ Τύρος', τουτέστι 'σὴ' Δωρικῶς Eust. Dion. 911 34 Ἄμμωνος νήσοι Mayhoff (VI 186) *hammonesso* B *hammonis* L *eam monis* F *Hammonis insula* Urlichs

τε πληρώσας τὰ σκάφη μηλομαχίαν ἀπὸ τῶν νεῶν ἐποιήσατο, ὡς τὴν θέαν ἡδίστην γενέσθαι.

10 (4 a) PLUT. Phok. 17: ἰδίαι δὲ τὸν Φωκίωνα ποιησάμενος αὐτοῦ φίλον καὶ ξένον εἰς τοσαύτην ἔθετο τιμήν, ὥσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. ὁ γοῦν Δοῦρις (76 F 51) εἴρηκεν, ὡς μέγας γενόμενος καὶ Δαρείου κρατήσας ἀφεῖλε τῶν ἐπιστολῶν τὸ 'χαίρειν' πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι· τοῦτον δὲ μόνον, ὥσπερ Ἀντίπατρον, μετὰ τοῦ χαίρειν προσηγόρευε. τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε.

11 (5) ATHEN. XII 8 p. 513 F: κληθῆναι δὲ τὰ Σοῦσά φησιν Ἀριστόβουλος (139 F 18) καὶ Χάρης διὰ τὴν ὡραιότητα τοῦ τόπου· σοῦσον γὰρ εἶναι τῇ Ἑλλήνων φωνῇ τὸ κρίνον.

12 (5) PLUT. Alex. 46: Ἀριστόβουλος (139 F 21) δὲ καὶ Χάρης ὁ εἰσαγγελεὺς .... πλάσμα φασὶ γεγονέναι τοῦτο (sc. die geschichte vom besuch der Amazone). s. 76 F 46.

13 (7) ATHEN. X 44 p. 434 D: Καλλισθένης δὲ ὁ σοφιστής, ὡς Λυγκεὺς ὁ Σάμιός φησιν ἐν τοῖς Ἀπομνημονεύμασι (IV) καὶ Ἀριστόβουλος (139 F 32) καὶ Χάρης ἐν ταῖς Ἱστορίαις ἐν τῷ συμποσίῳ τοῦ Ἀλεξάνδρου τῆς τοῦ ἀκράτου κύλικος εἰς αὐτὸν ἐλθούσης ὡς διωθεῖτο εἰπόντος τέ τινος αὐτῷ 'διὰ τί οὐ πίνεις;' 'οὐδὲν δέομαι', ἔφη, 'Ἀλεξάνδρου πιὼν τοῦ Ἀσκληπιοῦ δεῖσθαι.'

14 (8) a) PLUT. Alex. 54: Χάρης δὲ ὁ Μιτυληναῖός φησι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην προτεῖναί τινι τῶν φίλων, τὸν δὲ δεξάμενον πρὸς ἑστίαν ἀναστῆναι καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ καὶ κατακλιθῆναι. πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς τὸν Καλλισθένην λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλὰ Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα· Δημητρίου δὲ τοῦ προσονομαζομένου Φείδωνος εἰπόντος 'ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος γάρ σε μόνος οὐ προσεκύνησε', διακλῖναι τὸ

b) ARRIAN. Anab. IV 12, 3—5: ἀναγέγραπται δὲ δὴ καὶ τοιόσδε λόγος. προπίνειν φιάλην χρυσῆν ἐν κύκλῳ Ἀλέξανδρον πρώτοις μὲν τούτοις πρὸς οὐστινας ξυνέκειτο αὐτῷ τὰ τῆς προσκυνήσεως, τὸν δὲ πρῶτον ἐκπιόντα τὴν φιάλην προσκυνῆσαί τε ἀναστάντα καὶ φιληθῆναι πρὸς αὐτοῦ, καὶ τοῦτο ἐφεξῆς διὰ πάντων χωρῆσαι. ὡς δὲ ἐς Καλλισθένην ἦκεν ἡ πρόποσις, ἀναστῆναι μὲν Καλλισθένην καὶ ἐκπιεῖν τὴν φιάλην καὶ προσελθόντα ἐθέλειν φιλῆσαι οὐ προσκυνήσαντα. τὸν δὲ τυχεῖν μὲν τότε διαλεγόμενον Ἡφαιστίωνι· οὔκουν προσέχειν τὸν νοῦν, εἰ καὶ τὰ τῆς προσκυνήσεως ἐπιτελῇ τῷ Καλλισθένει ἐγένετο. ἀλλὰ Δημήτριον γὰρ τὸν Πυθώνακτος, ἕνα τῶν ἑταίρων, ὡς προσήει αὐτῷ ὁ Καλλισθένης φιλήσων, φάναι ὅτι οὐ προσκυνήσας πρόσεισιν. καὶ τὸν Ἀλέξανδρον οὐ παρασχεῖν φιλῆσαι

25¹—27¹ [πρὸς ἑστίαν (φιλοτησίαν Birt)] und [ἐν τ. συμπ.] del. Sintenis; 'späte zusätze der zwischenquelle' Berve 26² ἀναστάντα ⟨καὶ φιλῆσαι⟩ Sintenis

φίλημα τὸν Ἀλέξανδρον. τὸν δὲ Καλλισθένη μέγα φθεγξάμενον εἰπεῖν 'φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι.'

ἑαυτόν, τὸν δὲ Καλλισθένην 'φιλήματι' φάναι 'ἔλαττον ἔχων ἄπειμι.'

15 (9) PLUT. Alex. 55: ἀποθανεῖν δὲ αὐτὸν (sc. Καλλισθένην) οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν (Ptolem. 138 F 17), οἱ δὲ ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα (Aristob. 139 F 33)· Χάρης δὲ μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῶι συνεδρίωι κριθείη παρόντος Ἀριστοτέλους, ἐν αἷς δὲ ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς Ὀξυδράκαις ἐριώθη περὶ τὴν Ἰνδίαν, ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

16 (11) ATHEN. III 97 p. 124 C: Χάρης δ' ὁ Μιτυληναῖος ἐν ταῖς περὶ Ἀλέξανδρον Ἱστορίαις καὶ ὅπως δεῖ χιόνα διαφυλάσσεσθαι εἴρηκε, διηγούμενος περὶ τῆς πολιορκίας τῆς ἐν Ἰνδοῖς πόλεως Πέτρας, ὀρύξαι φάσκων τὸν Ἀλέξανδρον ὀρύγματα [τριάκοντα] συχνά, ἃ πληρώσαντα χιόνος παρεμβαλεῖν δρυὸς κλάδους. οὕτω γὰρ παραμένειν πλείω χρόνον τὴν χιόνα. a. 326

17 (13) — I 48 p. 27 D: ὅτι παρ' Ἰνδοῖς τιμᾶται δαίμων, ὃς φησι Χάρης ὁ Μιτυληναῖος, ὃς καλεῖται Σοροάδειος· ἑρμηνεύεται δὲ Ἑλλάδι φωνῆι οἰνοποιός. a. 326

18 (14) GELL. V 2, 1: *equus Alexandri regis et capite et nomine Bucephalas fuit.* (2) *emptum Chares scripsit talentis trecedim et regi Philippo donatum.* ... (3) *super hoc equo dignum memoria visum, quod, ubi ornatus erat armatusque ad proelium, haud unquam inscendi sese ab alio nisi ab rege passus sit.* (4) *id etiam de isto equo memoratum est, quod, cum insidens in eo Alexander bello Indico et facinora faciens fortia in hostium cuneum non satis sibi providens inmisisset coniectisque undique in Alexandrum telis vulneribus altis in cervice atque in latere equus perfossus esset, moribundus tamen ac prope iam exanguis e mediis hostibus regem vivacissimo cursu retulit atque, ubi eum extra tela extulerat, ilico concidit et domini iam superstitis securus quasi cum sensus humani solacio animam exspiravit.* (5) *tum rex Alexander parta eius belli victoria oppidum in isdem locis condidit idque ob equi honores 'Bucephalon' appellavit.*

19 (15) a) ATHEN. X 49 p. 437 AB: Χάρης δ' ὁ Μυτιληναῖος ἐν ταῖς Περὶ Ἀλέξανδρον Ἱστορίαις περὶ Καλάνου εἰπών ..., ὅτι ῥίψας ἑαυτὸν εἰς πυρὰν ἐνεπέμφθη ἀπέθανε, φησὶν ὅτι καὶ ἐπὶ τῶι μνήματι αὐτοῦ διέθηκεν Ἀλέξανδρος γυμνικὸν ἀγῶνα καὶ μουσικὸν ἐγκωμίων. «ἔθηκε δέ» φησι «καὶ διὰ τὴν φιλοινίαν τῶν Ἰνδῶν καὶ ἀκρατοποσίας ἀγῶνα, καὶ ἦν ἄθλον τῶι μὲν πρώτωι τάλαντον, τῶι δὲ δευτέρωι τριάκοντα μναῖ καὶ τῶι τρίτωι δέκα. τῶν οὖν πιόντων τὸν οἶνον παραχρῆμα μὲν a. 324

8 [ἐν M. O.] Schaefer 13 [τριάκοντα (= .l nach A)] Jac [ὀρύγματα] τριάκοντα ψυχεῖα Kaibel 15 Ἰνδῶν E 16 Χάρης Musurus χάρις CE Σοροάδεύς Lagarde 23 *cum eum* P *cuneum (eum)* Hertz 25 *esset* Hertz *est* Gell

ἐτελεύτησαν ὑπὸ τοῦ ψύχους τριάκοντα καὶ πέντε, μικρὸν δὲ διαλιπόντες ἐν ταῖς σκηναῖς ἕξ. ὁ δὲ πλεῖστον πιὼν καὶ νικήσας ἔπιε μὲν ἀκράτου χοᾶς τέσσαρας καὶ τὸ τάλαντον ἔλαβεν, ⟨ἐπ⟩εβίωσε δὲ ἡμέρας τέσσαρας· ἐκαλεῖτο δὲ Πρόμαχος.» b) PLUT. Alex. 70: ὁ δὲ Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον ἀγῶνα προὔθηκε καὶ στέφανον ἀκρατοποσίας. ὁ μὲν οὖν πλεῖστον πιὼν Πρόμαχος ἄχρι χοῶν τεσσάρων προῆλθε, καὶ λαβὼν τὸ νικητήριον, στέφανον ταλαντ⟨ιαῖ⟩ον, ἡμέρας τρεῖς ἐπέζησε. τῶν δὲ ἄλλων, ὡς Χάρης φησί, τετταράκοντα καὶ εἷς ἀπέθανον πιόντες, ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου.

---

## 126. EPHIPPOS VON OLYNTH.

### T

1 SUID. s. Ἔφιππος· (folgt βίος des Ephoros 70 T 1).

2 ARRIAN. Anab. III 5, 2—3 (a. 332/1): καὶ τὰ κατὰ τὴν Αἴγυπτον ἐνταῦθα ἐκόσμησε (sc. Ἀλέξανδρος)· ὑπὸ μὲν νομάρχας Αἰγύπτου κατέστησεν Αἰγυπτίους .... φρουράρχους δὲ τῶν ἑταίρων ἐν Μέμφει μὲν Πανταλέοντα κατέστησε τὸν Πυθναῖον, ἐν Πηλουσίοις δὲ Πολέμωνα τὸν Μεγακλέους Πελλαῖον· τῶν ξένων δὲ ἄρχειν Λυκίδαν Αἰτωλόν, γραμματέα δὲ ἐπὶ τῶν ξένων Εὔγνωστον τὸν Ξενοφάντου τῶν ἑταίρων· ἐπισκόπους δὲ αὐτῶν Αἰσχύλον τε καὶ Ἔφιππον τὸν Χαλκιδέως.

3 PLIN. NH I 12. 13: *arborum naturae (de peregrinis arboribus) ... ex ... Dorotheo Athenaeo, Lyco, Antaeo, Ephippo, Dinone, Adimanto, Ptolemaeo Lagi .....*

### F

*ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙ ΗΦΑΙΣΤΙΩΝΟΣ ΤΕΛΕΥΤΗΣ.*

1 (Script. Al. M. p. 125, 1) ATHEN. III 91 p. 120 CD: Μακεδόνες δ', ὡς φησιν Ἔφιππος ὁ Ὀλύνθιος ἐν τῷι Περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος ταφῆς, οὐκ ἠπίσταντο πίνειν εὐτάκτως, ἀλλ' εὐθέως ἐχρῶντο μεγάλαις προπόσεσιν, ὥστε μεθύειν ἔτι παρακειμένων τῶν πρώτων τραπεζῶν καὶ μὴ δύνασθαι τῶν σιτίων ἀπολαύειν.

2 (2) — IV 27 p. 146 CD: ὁ δὲ μέγας Ἀλέξανδρος δειπνῶν ἑκάστοτε μετὰ τῶν φίλων, ὡς ἱστορεῖ Ἔφιππος ὁ Ὀλύνθιος ἐν τῷι Περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος μεταλλαγῆς, ἀνήλισκε τῆς ἡμέρας μνᾶς ἑκατόν, δειπνούντων ἴσως ἑξήκοντα ἢ ἑβδομήκοντα φίλων. ὁ δὲ Περσῶν βασιλεύς, ὡς φησι Κτησίας καὶ Δίνων ἐν τοῖς Περσικοῖς (III), ἐδείπνει μὲν μετὰ ἀνδρῶν μυρίων πεντακισχιλίων, καὶ ἀνηλίσκετο εἰς τὸ δεῖπνον τάλαντα τετρα-

4 ⟨ἐπ⟩εβίωσε Meineke 9 ταλαντ⟨ιαῖ⟩ον Sintenis 20 Χαλκιδέα Geier

κόσια. γίνεται δὲ ταῦτα Ἰταλικοῦ νομίσματος ἐν μυριάσι διακοσίαις τεσσαράκοντα, αὗται δὲ εἰς μυρίους πεντακισχιλίους μεριζόμεναι ἑκάστῳ ἀνδρὶ γίνονται ἀνὰ ἑκατὸν ἑξήκοντα Ἰταλικοῦ νομίσματος, ὥστ' εἰς ἴσον καθίστασθαι τῶι τοῦ Ἀλεξάνδρου ἀναλώματι· ἑκατὸν γὰρ μνᾶς ἀνήλισκεν ⟨εἰς ξ̄⟩, ὡς ὁ Ἔφιππος ἱστόρησε.

3 (4) ATHEN. X 44 p. 434 AB: ἔπινε δὲ καὶ Πρωτέας ὁ Μακεδὼν πλεῖστον, ὥς φησιν Ἔφιππος ἐν τῶι Περὶ τῆς Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος ταφῆς, καὶ εὐρώστωι τῶι σώματι διῆγε, καίτοι τῶι πιεῖν ἐγγεγυμνασμένος ὤν. Ἀλέξανδρος γοῦν αἰτήσας ποτὲ ποτήριον δίχουν καὶ πιὼν προῦπιε τῶι Πρωτέαι· καὶ ὃς λαβὼν καὶ πολλὰ ὑμνήσας τὸν βασιλέα ἔπιεν, ὡς ὑπὸ πάντων κροταλισθῆναι. καὶ μετ' ὀλίγον τὸ αὐτὸ ποτήριον αἰτήσας ὁ Πρωτέας καὶ πάλιν πιὼν προῦπιε τῶι βασιλεῖ. ὁ δὲ Ἀλέξανδρος λαβὼν ἔσπασε μὲν γενναίως, οὐ μὴν ὑπήνεγκεν, ἀλλ' ἀπέκλινεν ἐπὶ τὸ προσκεφάλαιον ἀφεὶς τῶν χειρῶν τὸ ποτήριον. καὶ ἐκ τούτου νοσήσας ἀπέθανε, «τοῦ Διονύσου» φησί «μηνίσαντος αὐτῶι, διότι τὴν πατρίδα αὐτοῦ τὰς Θήβας ἐπολιόρκησεν.»

4 (3) — XII 53 p. 537 D: περὶ δὲ τῆς Ἀλεξάνδρου τοῦ πάνυ τρυφῆς Ἔφιππος μὲν ὁ Ὀλύνθιος ἐν τῶι Περὶ τῆς Ἡφαιστίωνος καὶ Ἀλεξάνδρου τελευτῆς φησιν ὅτι ἐν τῶι παραδείσωι ἔκειτο αὐτῶι χρυσοῦς θρόνος καὶ κλῖναι ἀργυρόποδες, ἐφ' ὧν καθεζόμενος ἐχρημάτιζε μετὰ τῶν ἑταίρων.

5 (3) — — p. 537 E—538 B: Ἔφιππος δέ φησιν ὡς Ἀλέξανδρος καὶ τὰς ἱερὰς ἐσθῆτας ἐφόρει ἐν τοῖς δείπνοις, ὁτὲ μὲν τὴν τοῦ Ἄμμωνος πορφυρίδα καὶ περισχιδεῖς καὶ κέρατα καθάπερ ὁ Θεός, ὁτὲ δὲ τὴν τῆς Ἀρτέμιδος, ἣν καὶ ἐπὶ τοῦ ἅρματος ἐφόρει πολλάκις, ἔχων τὴν Περσικὴν στολήν, ὑποφαίνων ἄνωθεν τῶν ὤμων τό τε τόξον καὶ τὴν σιβύνην, ἐνίοτε δὲ καὶ τὴν τοῦ Ἑρμοῦ· τὰ μὲν ἄλλα σχεδὸν καὶ καθ' ἑκάστην ἡμέραν, χλαμύδα τε πορφυρᾶν καὶ χιτῶνα μεσόλευκον καὶ τὴν καυσίαν ἔχουσαν τὸ διάδημα τὸ βασιλικόν, ἐν δὲ τῆι συνουσίαι τά τε πέδιλα καὶ τὸν πέτασον ἐπὶ τῆι κεφαλῆι καὶ τὸ κηρύκειον ἐν τῆι χειρί· πολλάκις δὲ καὶ λεοντῆν καὶ ῥόπαλον ὥσπερ ὁ Ἡρακλῆς· . . . . . ἔρανε δὲ ὁ Ἀλέξανδρος καὶ μύρωι σπουδαίωι καὶ οἴνωι εὐώδει τὸ δάπεδον· ἐθυμιᾶτο δὲ αὐτῶι σμύρνα καὶ τὰ ἄλλα θυμιάματα. εὐφημία δὲ καὶ σιγὴ κατεῖχε πάντας ὑπὸ δέους τοὺς παρόντας· ἀφόρητος γὰρ ἦν καὶ φονικός· ἐδόκει γὰρ εἶναι μελαγχολικός.

ἐν Ἐκβατάνοις (herbst 324) δὲ ποιήσας τῶι Διονύσωι θυσίαν καὶ

---

4 ⟨εἰς ξ̄⟩ Wilamowitz 15 ἐπόρθησεν? Kaibel doch s. p. 667, 8 23 περισχιδῆ E πολυσχιδεῖς? Jac (Hes. s. περισχιδεῖς· εἶδος ὑποδήματος εὐτελές. Phot. s. περι- . . . περιπορφύρους . . . καὶ πολυσχιδῆ σανδάλια.) 30 ἔρανε A 32 δὲ E τε A 35—667, 2 'haec turbata et mutila' Kaibel

πάντων δαψιλῶς ἐν τῇι θοίνηι παρασκευασθέντων, καὶ Σατραβάτης (?) ὁ σατράπης τοὺς στρατιώτας εἱστίασε πάντας. ἀθροισθέντων δὲ πολλῶν ἐπὶ τὴν θέαν, φησὶν ὁ Ἔφιππος, κηρύγματα ἐγίνετο ὑπερήφανα καὶ τῆς Περσικῆς ὑπεροψίας αὐθαδέστερα. ἄλλων γὰρ ἄλλο τι ἀνακηρυττόντων καὶ στεφανούντων τὸν Ἀλέξανδρον, εἷς τις τῶν ὁπλοφυλάκων ὑπερπεπαικὼς πᾶσαν κολακείαν κοινωσάμενος τῶι Ἀλεξάνδρωι ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν ὅτι Γόργος ὁ ὁπλοφύλαξ Ἀλέξανδρον Ἄμμωνος υἱὸν στεφανοῖ χρυσοῖς τρισχιλίοις· καὶ ὅταν Ἀθήνας πολιορκῆι, μυρίαις πανοπλίαις καὶ τοῖς ἴσοις καταπέλταις καὶ πᾶσι τοῖς ἄλλοις βέλεσιν εἰς τὸν πόλεμον ἱκανοῖς'.

## 127. NIKOBULE.

### T

1 ATHEN. X 44 p. 434 C: *Νικοβούλη . . ᾗ ὁ ἀναθεὶς ταύτηι τὰ συγγράμματα.*

2 PLIN. NH I 12. 13: *arborum naturae .... ex .... Polyclito, Olympiodoro, Diogneto, Nicobule, Anticlide, Charete .....*

### F

1 (Script. Al. M. p. 157, 1) ATHEN. X 44 p. 434 C: *Νικοβούλη δὲ ᾗ ὁ ἀναθεὶς ταύτηι τὰ συγγράμματά φησιν, ὅτι παρὰ Μηδείωι τῶι Θεσσαλῶι δειπνῶν ὁ Ἀλέξανδρος εἴκοσιν οὖσιν ἐν τῶι συμποσίωι πᾶσι προὔπιε, παρὰ πάντων τὰ ἴσα λαμβάνων, καὶ ἀναστὰς ⟨ἐκ⟩ τοῦ συμποσίου μεῖ' οὐ πολὺ ἀνεπαύετο.*

2 (2) — XII 53 p. 537 D: *Νικοβούλη δέ φησιν ὅτι παρὰ τὸ δεῖπνον πάντες οἱ ἀγωνισταὶ ἐσπούδαζον τέρπειν τὸν βασιλέα· καὶ ὅτι ἐν τῶι τελευταίωι δείπνωι αὐτὸς ὁ Ἀλέξανδρος ἐπεισόδιόν τι ⟨ἀπο⟩μνημονεύσας ἐκ τῆς Εὐριπίδου Ἀνδρομέδας ἠγωνίσατο, καὶ τὸν ἄκρατον προθύμως προπίνων καὶ τοὺς ἄλλους ἠνάγκαζεν.*

## 128. POLYKLEITOS VON LARISSA.

### T

1 EUSEB. ARM. Chron. p. 115, 8 Karst: (Thessalerkönige) *'nach welchem Antigonos* (sc. Doson), *des Demetr⟨i⟩os, der nach Kyrene gezogen war, und der Olimpia⟨s⟩, der tochter des Larissaeers Poliklites, ⟨sohn⟩, 9 Jahre.'*

---

1 Ἀτροβάτης Arrian. An. III 8, 4 ö.; Ἀτροπάτης (ἀτραπης hss) Diod. XVIII 3, 3; *Atropatos* Justin. XIII 4, 13 5 ὁπλοφυλάκων Schweighaeuser ὀπισθοφυλάκων A 8 πολιορκήσηι Wilamowitz 13 ᾗ ὁ δ. ταύτηι Musurus ᾗτι ὁ δ. ταυτὶ A 15 *Polyclito* Brunn *polycrito* Pl 16 *Nicobule* Brunn —*lo* Pl 19 *Μηδίωι* Meineke; s. zu 129 T 1 21 ⟨ἐκ⟩ Kaibel 25—26 ⟨ἀπο⟩μνημονεύσας Kaibel

2 a) PLIN. NH I 12. 13: *arborum naturae .... ex ... Anaximene, Duride, Nearcho, Onesicrito, Polyclito, Olympiodoro Diogneto, .....* b) — — I 31: *medicinae ex aquatilibus* .... (s. 14) *quae olei vicem praestent .... ex Theopompo* (§ 17), *Polyclito* (F 11), *Juba* (§ 18), *Lyco* (§ 17. 26).

## F

### *ΙΣΤΟΡΙΑΙ.*

### *Η̄*

1 (Script. Al. M. p. 132, 8) ATHEN. XII 55 p. 539 A: (Chares 125 F 4) *Πολύκλειτος δ' ὁ Λαρισαῖος ἐν τῇι ὀγδόηι τῶν Ἱστοριῶν καὶ ἐπὶ χρυσῆς κλίνης κοιμᾶσθαί φησι τὸν Ἀλέξανδρον· καὶ αὐλητρίδας αὐτῶι καὶ αὐλητὰς αἰεὶ ἕπεσθαι ἐπὶ τὸ στρατόπεδον· καὶ πίνειν ἄχρι τῆς ἕω.*

### OHNE BUCHTITEL.

2 (3) STRABON. XV 3, 2: *τὸ δὲ τεῖχος* (sc. von Susa) *ᾠκοδόμητο τῆς πόλεως καὶ ἱερὰ καὶ βασίλεια παραπλησίως ὥσπερ τὰ τῶν Βαβυλωνίων ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, καθάπερ εἰρήκασί τινες· Πολύκλειτος ⟨δὲ σταδίων⟩ τε διακοσίων φησὶ τὸν κύκλον καὶ ἀτείχιστον.*

3 (4) a) — XV 3, 21: *ἔστι δ' ἴσως καὶ ταῦτα τῶν ἐθίμων ἃ φησι Πολύκλειτος. ἐν γὰρ Σούσοις ἑκάστωι τῶν βασιλέων ἐπὶ τῆς ἄκρας ἰδίαι πεποιῆσθαι οἴκησιν καὶ θησαυροὺς καὶ παραθέσεις ὧν ἐπράττοντο φόρων, ὑπομνήματα τῆς οἰκονομίας· πράττεσθαι δ' ἐκ μὲν τῆς παραλίας ἀργύριον, ἐκ δὲ τῆς μεσογαίας ἃ φέρει ἑκάστη χώρα, ὥστε καὶ χρώματα καὶ φάρμακα καὶ τρίχα ⟨καὶ⟩ ἐρέαν ἤ τι τοιοῦθ' ἕτερον καὶ θρέμματα ὁμοίως. τὸν δὲ διαπλῆθ τοῦ μήκους τῶν βραχιόνων καὶ τῶν πήχεων· ἅπτεσθαι γὰρ καὶ τῶν γονάτων. τὸν δὲ πλεῖστον χρυσὸν καὶ ἄργυρον ἐν κατασκευαῖς εἶναι, νομίσματι δὲ οὐ πολλῶι· πρός τε τὰ δωρεὰς ἐκεῖνα κεχαρισμένα νομίζειν μᾶλλον καὶ πρὸς χειμελίων ἀπόθεσιν· τὸ δὲ νόμισμα τὸ πρὸς τὰς χρείας ἀρκοῦν ἱκανὸν εἶναι, κόπτειν δὲ πάλιν τὸ τοῖς ἀναλώμασι σύμμετρον.* b) POLLUX II 150—151: *μακρόχειρ — εἴτε κατὰ Πολύκλειτον ὁ Ὑστάσπου Δαρεῖος εἴτε κατὰ Ἀντιλέοντα* (247 F 2) *Ξέρξης, εἴτε κατὰ τοὺς πλείστους Ὦχος ὁ ἐπικληθεὶς Ἀρταξέρξης — ἤτοι τὴν δεξιὰν ἔχων προμηκεστέραν ἢ τὴν ἀριστερὰν ἢ ἀμφοτέρας· οἱ δὲ ὅτι τὴν δύναμιν ἐπὶ πλεῖστον ἐξέτεινεν.*

4 (p. 133, 3) ATHEN. V 40 p. 206 DE: *γράφει οὖν ὁ Μοσχίων (III) οὕτως· Διοκλείδης (VI) μὲν ... θαυμάζεται ἐπὶ τῇι .... ἐλεπόλει,*

2 *Polyclito* Brunn *polycrito* Pl 4 *Polycrito* Harduin 16 ⟨δὲ σταδίων⟩ Jac *δέ φησι* Corais 18 *Πολύκλειτος* C Mueller *πολύκριτος* Str 22 ⟨καὶ⟩ Corais 23 [καὶ] *κάλλιστον* Corais ⟨εἶναι δὲ αὐτὸν⟩ καὶ καλλ.? Jac (oder größere Lücke vor *τὸν M.*). [*τὸν — γονάτων*] Kramer

*Τίμαιος* (III) *δ' ἐπὶ τῇι πυρᾶι τῇι κατασκευασθείσηι Διονυσίωι . . . ., καὶ Ἱερώνυμος ἐπὶ τῇι κατασκευῆι τῆς ἁρμαμάξης* (154 F 2) *. . . ., Πολύκλειτος δ' ἐπὶ τῶι λυχνίωι τῶι κατασκευασθέντι τῶι Ἱέρωνι.*

5 (1) STRABON XVI 1, 13: *Πολύκλειτος δέ φησι μὴ πλημμυρεῖν τὸν Εὐφράτην· διὰ γὰρ πεδίων φέρεσθαι μεγάλων, τὰ δ' ὄρη τὰ μὲν δισχιλίους ἀφεστάναι σταδίους, τὰ δὲ Κοσσαῖα μόλις χιλίους, οὐ πάνυ ὑψηλὰ οὐδὲ νιφόμενα σφοδρῶς οὐδ' ἀθρόαν ἐπιφέροντα τῇι χιόνι τὴν τῆξιν· εἶναι γὰρ καὶ τὰ ὕψη τῶν ὀρῶν ἐν τοῖς ὑπὲρ Ἐκβατάνων μέρεσι τοῖς προσβορείοις, ἐν δὲ τοῖς πρὸς νότον σχιζόμενα καὶ πλατυνόμενα πολὺ ταπεινοῦσθαι· ἅμα δὲ καὶ τὸ πολὺ τοῦ ὕδατος ἐκδέχεσθαι τὸν Τίγριν. τὸ μὲν οὖν ὕστατον ῥηθὲν φανερῶς ἄτοπον . . . . .*

6 (2) — XV 3, 4: *φησὶ δὲ Πολύκλειτος εἰς λίμνην τινὰ συμβάλλειν τόν τε Χοάσπην καὶ τὸν Εὔλαιον καὶ ἔτι τὸν Τίγριν, εἶτ' ἐκεῖθεν εἰς τὴν θάλατταν ἐκδιδόναι. πρὸς δὲ τῇι λίμνηι καὶ ἐμπόριον εἶναι, τῶν ποταμῶν μὲν οὐ δεχομένων τὰ ἐκ τῆς θαλάττης οὐδὲ καταπεμπόντων διὰ τοὺς καταῤῥάκτας ἐπίτηδες γενομένους, πεζῇι δ' ἐμπορευομένων· ὀκτακοσίους γὰρ εἶναι σταδίους εἰς Σοῦσα † λέγουσιν ἄλλοι. ἄλλοι δέ φασι τοὺς διὰ Σούσων ποταμοὺς εἰς ἓν ῥεῦμα τὸ τοῦ Τίγριος συμπίπτειν καὶ τὰς μεταξὺ διώρυγας τοῦ Εὐφράτου· διὰ δὲ τοῦτο κατὰ τὰς ἐκβολὰς ὀνομάζεσθαι Πασίτιγριν.* (es folgt Nearch. 133 F 25).

7 (5) — XI 7, 4: *προσεδοξάσθη δὲ καὶ περὶ τῆς θαλάττης ταύτης* (sc. τῆς Ὑρκανίας) *πολλὰ ψευδῆ διὰ τὴν Ἀλεξάνδρου φιλοτιμίαν. ἐπειδὴ γὰρ ὡμολόγητο ἐκ πάντων, ὅτι διείργει τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης ὁ Τάναις ποταμός, τὸ δὲ μεταξὺ τῆς θαλάττης καὶ τοῦ Τανάιδος, πολὺ μέρος τῆς Ἀσίας ὄν, οὐχ ὑπέπιπτε τοῖς Μακεδόσι, στρατηγεῖν [δ'] ἔγνωστο, ὥστε τῇι φήμηι γε κἀκείνων δόξαι τῶν μερῶν κρατεῖν τὸν Ἀλέξανδρον· εἰς ἓν οὖν συνῆγον τήν τε Μαιῶτιν λίμνην τὴν δεχομένην τὸν Τάναιν καὶ τὴν Κασπίαν θάλατταν, λίμνην καὶ ταύτην καλοῦντες καὶ συντετρῆσθαι φάσκοντες πρὸς ἀλλήλας ἀμφοτέρας, ἑκατέραν δὲ εἶναι μέρος τῆς ἑτέρας. Πολύκλειτος δὲ καὶ πίστεις προσφέρεται περὶ τοῦ λίμνην εἶναι τὴν θάλατταν ταύτην — ὄψεις τε γὰρ ἐκτρέφειν καὶ ὑπόγλυκυ εἶναι τὸ ὕδωρ —, ὅτι δὲ καὶ οὐχ ἑτέρα τῆς Μαιώτιδός ἐστι τεκμαιρόμενος ἐκ τοῦ τὸν Τάναιν εἰς αὐτὴν ἐμβάλλειν — ἐκ γὰρ τῶν αὐτῶν ὀρῶν τῶν Ἰνδικῶν, ἐξ ὧν ὅ τε Ὦχος καὶ ὁ Ὄξος καὶ ἄλλοι πλείους, φέρεται καὶ ὁ Ἰαξάρτης ἐκδίδωσί τε ὁμοίως ἐκείνοις εἰς τὸ Κάσπιον πέλαγος, πάντων ἀρκτικώτατος. τοῦτον οὖν ὠνόμασαν*

9 *ἐν* Corais *del* Str 13 *εἰς* F *ἐς* rell 14 *ἐμπόριον* F —*εῖον* rell 16 *(χιλίους) ὀκτακοσίους* Gosselin 17 *δὲ εἶναι?* Jac [*λέγουσιν ἄλλοι*] Kramer 18 [*ἄλλοι*] Corais 23 *ὅτι ἐκ πάντων* CD 24 *θαλάττης ταύτης* D 25 [*δ'*] Jac *ἔγνωστο* Corais (decreverant Xylander) *ἐγνωρίστο* Str 30 *προσφέρεται* Corais 32 *τεκμαίρεται* Groskurd 34 *φέρεται* nach Ὄξος Str, transp. Corais; *φέρονται — ⟨ἡέρεται⟩ καὶ* Groskurd

*Τάναιν, καὶ προσέθεσαν καὶ τοῦτῳ πίστιν, ὡς εἴη Τάναις, ὃν εἴρηκεν ὁ Πολύκλειτος· τὴν γὰρ περαίαν τοῦ ποταμοῦ τούτου φέρειν ἐλάιην καὶ διστοῖς ἐλατίνοις χρῆσθαι τοὺς ταύτῃ Σκύθας· τοῦτο δὲ καὶ τεκμήριον εἶναι τοῦ τὴν χώραν τὴν πέραν τῆς Εὐρώπης εἶναι, μὴ τῆς Ἀσίας· τὴν γὰρ Ἀσίαν τὴν ἄνω καὶ τὴν πρὸς ἕω μὴ φύειν ἐλάτην. Ἐρατοσθένης* (V) *δέ φησι καὶ ἐν τῇι Ἰνδικῇι φύεσθαι ἐλάτην . . . . .*

**8** (6) PLUT. Alex. 46: *ἐνταῦθα* (am Orexartes — Tanais) *δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι* (137 F 15) *καὶ Πολύκλειτος καὶ Ὀνησίκριτος* (134 F 1) *καὶ Ἀντιγένης* (141 F 1) *καὶ Ἴστρος* (III).

**9** (7) AELIAN. NA XVI 41: *Μεγασθένης* (III) *φησὶ κατὰ τὴν Ἰνδικὴν σκορπίους γίνεσθαι πετρωτοὺς μεγέθει μεγίστους . . . . . Πολύκλειτός γε μήν φησιν ἐν τῇι αὐτῇι γῇι σαύρους γίνεσθαι μεγίστους καὶ πολυχρόους, καὶ βαφαῖς τισιν εὐανθέσι τὰς δορὰς πεποικίλθαι δεινῶς· εἶναι δὲ καὶ ἅψασθαι ταύτας ἁπαλωτάτας.*

**10** (—) PARADOX. VAT. ROHD. 10: *Πολύκλειτος χελώνας γίνεσθαί φησιν ἐν τῶι Γάγγηι, ὧν τὸ χελώνιον μεδίμνους χωρεῖν πέντε.*

## Zweifelhaftes.

**11** (p. 133, 5) **a)** ANTIGON. Hist. mir. 135 (Exc. Vat. De reb. mir. 16—17 Stef): *Πολύκριτον δὲ καταγεγραφέναι* (sc. *φησὶ Καλλίμαχος*) *τὸν μὲν ἐν Σόλοις* (sc. *ποταμόν*) *οὐ ψευδῶς ὠνομάσθαι Λίπαριν, ἀλλ' οὕτως ἀπολιπαίνειν* ⟨*τοὺς λουομένους*⟩ *ὥστε μὴ προσδεῖσθαι ἀλείμματος· τὸν δὲ ἐν Παμφυλίαι Μούαβιν ἀπολιθοῦν, ἐάν τις ἐμβάλῃι στοιβὴν ἢ πλίνθον.* **b)** PLIN. NH XXXI 17: *Polyclitus ex Lipari iuxta Solos Ciliciae ungui; Theophrastus hoc idem in Aethiopia eiusdem nominis fonte; Lycos* (III) *in Indis Oratis fontem esse cuius aqua lucernae luceant. idem Ecbatanis traditur.*

---

## 129. MEDEIOS VON LARISSA.

T

**1** STRABON XI 14, 12: *οἱ περὶ Κυρσίλον* (130) *τὸν Φαρσάλιον καὶ Μήδιον τὸν Λαρισσαῖον, ἄνδρες συνεστρατευκότες Ἀλεξάνδρωι . . . . .* (F 1).

---

1 *ὡς* Corais *ὥστ'* Str *ὃν: ἢν*? Jac 9 *Πολύκλειτος* Corais *πολύκριτος* Pl 20 *Πολύκλειτός φησιν ἐν Σόλοις* Exc 21 *δν* (*ὃ* a b) *δὴ λιπαίνειν* (*ὃν διαλιπαίνειν* e d e) Exc *τοὺς λουομένους* add Exc 22 *ἀλείμματος: χρίσματος* Exc *τὸν δὲ: ὁ αὐτός φησι* Exc *Μούαβιν: Μύαμιν* Exc 23 *πλίνθον* O Schneider *λίθον* Ant *ἀπολιθοῦν τὴν ἐμβληθεῖσαν στοιβὴν* Exc *Lipari* Urlichs Detlefsen *expleri* Pl 24 *congui* VR 25 *in Indis Oratis* Detlefsen Mayhoff (VI 75) *inditis oraeis, indistraeo, inditistra* Pl 27 *Μήδειος* IG IX 2, 588 (Larissa); 89 a 27; 127 F 1

2 ARRIAN. Ind. 18, 7: (trierarchen der Indusflotte) *Ἑλλήνων δὲ Μήδιος μὲν ὁ Ὀξυθέμιδος Λαρισαῖος.*

3 — Anab. VII 24, 4—25, 1: *ἀπὸ δὲ τοῦ πότου αὐτὸν* (sc. *Ἀλέξανδρον*) *μὲν ἀπαλλάττεσθαι ἐθέλειν ἐπὶ κοιτῶνά εἰσιν οἱ ἀνέγραψαν· Μήδιον δὲ αὐτῶι ἐντυχόντα, τῶν ἑταίρων ἐν τῶι τότε τὸν πιθανώτατον, δεηθῆναι κωμάσαι παρὰ οἱ· .... καὶ αἱ βασίλειοι Ἐφημερίδες* (117 F 3) *ὧδε ἔχουσιν· 'πίνειν παρὰ Μηδίωι ...'* — NIKOBULE 127 F 1; DIODOR. XVII 117, 1; JUSTIN. XII 13, 7; ITIN. AL. M. 53.

4 — — VII 27, 2: *οἱ δὲ καὶ Μήδιον μετασχεῖν τοῦ ἔργου* (Alexanders vergiftung), *ἐραστὴν ὄντα τοῦ Ἰόλλα· καὶ αὐτὸν γὰρ εἶναι τὸν εἰσηγητὴν γενόμενον Ἀλεξάνδρωι τοῦ κώμου.* — Ps. KALLISTH. III 31.

5 PLUT. Quom. adulat. 24 p. 65 CD: *ἦν δ' ὁ Μήδιος τοῦ περὶ Ἀλέξανδρον χοροῦ τῶν κολάκων οἷον ἔξαρχος καὶ σοφιστὴς κορυφαῖος ἐπὶ τοὺς ἀρίστους συντεταγμένος. ἐκέλευεν οὖν θαρροῦντας ἅπτεσθαι καὶ δάκνειν ταῖς διαβολαῖς, διδάσκων ὅτι, κἂν θεραπεύσηι τὸ ἕλκος ὁ δεδηγμένος, ἡ οὐλὴ μενεῖ τῆς διαβολῆς.* — De tuend. san. 5 p. 124 C.

6 ARRIAN. 156 F 10 § 6 (a. 321): Perdikkas sendet eine flotte gegen die mit Ptolemaios verbündeten kyprischen fürsten, *Σωσιγένην τὸν Ῥόδιον ἐπιτάξας ναύαρχον καὶ ξεναγὸν ἐπὶ τῶι ξενικῶι Μήδιον τὸν Θεσσαλόν ....*

7 **a)** DIOD. XIX 69, 3 (a. 314/3): *μετὰ δὲ ταῦτα τὸν στόλον ἐκ Φοινίκης μετεπέμψατο* (sc. *Ἀντίγονος*) *Μηδίου ναυαρχοῦντος, ὃς περιτυχὼν ταῖς † Πυθναίων ναυσὶν οὔσαις τριάκοντα ἔξ καὶ καταναυμαχήσας αὐτάνδρων τῶν σκαφῶν ἐκυρίευσεν.* **b)** — XIX 75, 3 (a. 313/2): *Ἀντίγονος ... δύναμιν ἀπέστειλεν ἐπὶ τὴν ἐλευθέρωσιν τῶν πόλεων* (sc. *τῶν Ἑλληνίδων*) *.... τοῦ μὲν στόλου ναύαρχον ἀποδείξας Μήδιον, τοῦ δὲ στρατοπέδου ... Δόκιμον.* s. ebd. 77, 2; 5 (312/11). **c)** — XX 50, 3 (a. 307/6): *καὶ τὸ μὲν εὐώνυμον κέρας* (sc. des Demetrios in der seeschlacht bei Salamis) *ἐπεῖχον ἑπτήρεις ἑπτὰ Φοινίκων, τετρήρεις δὲ τριάκοντα τῶν Ἀθηναίων, Μηδίου τοῦ ναυάρχου τὴν ἡγεμονίαν ἔχοντος.* **d)** PLUT. Demetr. 19: *Ἀντίγονος δὲ τοῖς πεπραγμένοις ὑπὸ Δημητρίου περὶ Κύπρον ἐπαρθεὶς εὐθὺς ἐστράτευσεν ἐπὶ Πτολεμαῖον* (a. 306) *.... ὃν δὲ τρόπον ἔμελλε κρίνεσθαι τὰ πράγματα Μήδιος, Ἀντιγόνου φίλος, ὄψιν εἶδε κατὰ τοὺς ὕπνους κτλ.*

## F

1 (Script. Al. M. p. 128) STRABON XI 14, 12—14: *ἀρχαιολογία δὲ τίς ἐστι περὶ τοῦ ἔθνους τοῦδε τοιαύτη. Ἄρμενος ἐξ Ἀρμενίου πόλεως Θετταλικῆς, ἣ κεῖται μεταξὺ Φερῶν καὶ Λαρίσσης ἐπὶ τῆι Βοίβηι . . ., συνεστράτευσεν Ἰάσονι εἰς τὴν Ἀρμενίαν· τούτου φασὶν ἐπώνυμον τὴν Ἀρμενίαν οἱ περὶ Κυρσίλον τὸν Φαρσάλιον καὶ Μήδιον τὸν Λαρισσαῖον, Ἀρμενίου τοῦ Ἀρμένου τοὺς μὲν ἄνδρας συνεστρατευκότες Ἀλεξάνδρωι. τῶν δὲ μετὰ τοῦ Ἀρμένου τοὺς μὲν τὴν Ἀκιλισηνὴν οἰκῆσαι τὴν ὑπὸ τοῖς Σωφηνοῖς πρότερον οὖσαν, τοὺς δὲ τὴν Ἀκιλισηνὴν οἰκῆσαι τὴν ὑπὸ τοῖς Σωφηνοῖς πρότερον οὖσαν, τοὺς δὲ ἐν τῆι Συσπιρίτιδι ἕως τῆς Καλαχηνῆς καὶ τῆς ⟨Ἀ⟩διαβηνῆς ἔξω τῶν Ἀρμενιακῶν ὀρῶν. καὶ τὴν ἐσθῆτα δὲ τὴν Ἀρμενιακὴν θετταλικήν*

---

2 ὁ Ὀξυθέμιθος Hercher ὀξυνθέμιδος A 4 κοιτῶνα Sintenis —νι A 11 τὸν Ἀλ. O 13 v. l. ἐκέλευσεν 20 *Πτολεμαίου* o. *Πολυκλείτου* Vogel 33 Ὀρμενίου C Mueller 39 ⟨Ἀ⟩διαβηνῆς Xylander 40 ὀρων Xylander ὀρῶν Str

φασιν, οἷον τοὺς βαθεῖς χιτῶνας, οὓς καλοῦσιν Θετταλικοὺς ἐν ταῖς τραγωιδίαις καὶ ζωννύουσι περὶ τὰ στήθη, καὶ ἐφαπτίδας, ὡς καὶ τῶν τραγωιδῶν μιμησαμένων τοὺς Θετταλούς. ἔδει μὲν γὰρ αὐτοῖς ἐπιθέτου κόσμου τοιούτου τινός, οἱ δὲ Θετταλοὶ μάλιστα βαθυστολοῦντες, ὡς εἰκός, διὰ τὸ πάντων εἶναι Ἑλλήνων βορειοτάτους καὶ ψυχροτάτους νέμεσθαι τόπους ἐπιτηδειοτάτην παρέσχοντο μίμησιν τῆι τῶν ὑποκριτῶν [δὲ] διασκευῆι ἐν τοῖς ἀναπλάσμασιν. καὶ τὸν τῆς ἱππικῆς ⟨δὲ⟩ ζῆλόν φασιν εἶναι Θετταλικὸν καὶ τούτοις ὁμοίως καὶ Μήδοις. τὴν δὲ Ἰάσονος στρατείαν καὶ τὰ Ἰασόνια μαρτυρεῖ, ὧν τινα οἱ δυνάσται κατέσκαψαν παραπλησίως, ὥσπερ τὸν ἐν Ἀβδήροις νεὼν τοῦ Ἰάσονος Παρμενίων. (13) τὸν δὲ Ἀράξην κληθῆναι νομίζουσι κατὰ τὴν ὁμοιότητα τὴν πρὸς τὸν Πηνειὸν ὑπὸ τῶν περὶ τὸν Ἄρμενον ὁμωνύμως ἐκείνωι· καλεῖσθαι γὰρ Ἀράξην κἀκεῖνον διὰ τὸ ἀπαράξαι τὴν Ὄσσαν ἀπὸ τοῦ Ὀλύμπου, ῥήξαντα τὰ Τέμπη. καὶ τὸν ἐν Ἀρμενίαι δὲ ἀπὸ τῶν ὀρῶν καταβάντα πλατύνεσθαί φασι τὸ παλαιὸν καὶ πελαγίζειν ἐν τοῖς ὑποκειμένοις πεδίοις οὐκ ἔχοντα διέξοδον, Ἰάσονα δὲ μιμησάμενον τὰ Τέμπη ποιῆσαι τὴν διασφάγα, δι' ἧς καταράττει νυνὶ τὸ ὕδωρ εἰς τὴν Κασπίαν θάλατταν· ἐκ δὲ τούτου γυμνωθῆναι τὸ Ἀραξηνὸν πεδίον, δι' οὗ τυγχάνει ῥέων ἐπὶ τὸν καταρράκτην ὁ ποταμός. οὗτος μὲν οὖν ὁ λόγος περὶ τοῦ Ἀράξου ποταμοῦ λεγόμενος ἔχει τι πιθανόν, ὁ δὲ Ἡροδότειος (I 202) οὐ πάνυ· φησὶ γὰρ ἐκ Ματιηνῶν αὐτὸν ῥέοντα εἰς τετταράκοντα ποταμοὺς σχίζεσθαι, μερίζειν δὲ Σκύθας καὶ Βακτριανούς. καὶ Καλλισθένης (124 F 38) δὲ ἠκολούθησεν αὐτῶι. (14) λέγονται δὲ καὶ τῶν Αἰνιάνων τινὲς οἱ μὲν τὴν Οὐιτίαν οἰκῆσαι, οἱ δ' ὑπερθε τῶν Ἀρμενίων ὑπὲρ τὸν Ἄβον καὶ τὸν Νίβαρον· μέρη δ' ἐστὶ τοῦ Ταύρου ταῦτα, ὧν ὁ Ἄβος ἐγγύς ἐστι τῆς ὁδοῦ τῆς εἰς Ἐκβάτανα φερούσης παρὰ τὸν τῆς Βάριδος νεών. φασὶ δὲ καὶ Θρακῶν τινας τοὺς προσαγορευομένους Σαραπάρας [οἷον κεφαλοτόμους] οἰκῆσαι ὑπὲρ τῆς Ἀρμενίας πλησίον Γουρανίων καὶ Μήδων, θηριώδεις ἀνθρώπους καὶ ἀπειθεῖς, ὀρεινούς, περισκυθιστάς τε καὶ ἀποκεφαλιστάς· τοῦτο γὰρ δηλοῦσιν οἱ Σαραπάραι. εἴρηται δὲ καὶ τὰ περὶ τῆς Μηδείας ἐν τοῖς Μηδικοῖς (XI 13, 10), ὥστ' ἐκ πάντων τούτων εἰκάζουσι καὶ τοὺς Μήδους καὶ Ἀρμενίους συγγενεῖς πως τοῖς Θετταλοῖς εἶναι καὶ τοῖς ἀπὸ Ἰάσονος καὶ Μηδείας. (15) ὁ μὲν δὴ παλαιὸς λόγος οὗτος . . . .

---

1 Θετταλικούς Du Theil αἰτωλικοὺς Str  τὴν — διασκευὴν Str  6—7 [δὲ] — ⟨δὲ⟩ Corais  9 κατέσκαψαν: κατεσκεύασαν Casaubonus (*structa sunt* Guarinus) doch s. Iustin. XLII 3, 5  14 τὸν: τὸ CD  18 τυγχάνει Kramer συγχαίνει C E συγχέει D  23 οὐτίαν D  24 Νίβαρον Corais (XI 14, 2) Ἰμβαρον Str Ἰμμαρον E  26 ἀβάριδος C (Ἀ)ζάριδος Groskurd  27 [οἷον κεφ.] Jac  29 περισκελιστάς dett. (Hes. s. σαράβαρα· τὰ περὶ τὰς κνημῖδας ἐνδύματα)

## 130. KYRSILOS VON PHARSALOS.

s. 129 F 1 (p. 671, 36).

## 131. MENAICHMOS VON SIKYON.

T

1 SUID. s. *Μέναιχμος· Σικυώνιος, υἱὸς Ἀλκιβίου ἢ Ἀλκιβιάδου, ἱστορικός. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. ἔγραψεν ἱστορίαν τὴν κατὰ τὸν Μακεδόνα Ἀλέξανδρον.*

2 PLIN. NH XXXIV 80: *Menaechmi vitulus genu premitur replicata cervice. ipse Menaechmus scripsit de sua arte.*

3 HESYCH. Ind. Aristot. 123: *Πυθιονίκας βιβλίον ᾱ, ἐν ᾧ Μέναιχμον ἐνίκησεν.*

4 a) PLIN. NH I 4: *situus, gentes .... ex .... Callidemo* (§ 64; 67), *Menaechmo* (F 7), *Aglaosthene* (§ 65) .... b) — — I 12. 13: *arborum naturae ..... ex .... Charete Mytilenaeo, Menaechmo, Dorotheo Atheniense ....* c) — — I 33. 34: *metallorum naturae .... ex .... Menaechmo qui de toreutice scripsit, Xenocrate qui item, Antigono qui item, Duride* (76 T 12) *qui item .....*

F

*ΤΑ ΚΑΤΑ ΤΟΝ ΜΑΚΕΔΟΝΑ ΑΛΕΞΑΝΔΡΟΝ.*

(T 1; 4 b. F 11?).

*ΣΙΚΥΩΝΙΚΑ.*

(F 7? 10. 11?).

1 (Script. Al. M. p. 145, 2) ATHEN. VI 101 p. 271 D: *ὁ δ' αὐτὸς* (sc. *Θεόπομπος* 115 F 176) *ἱστορεῖ .... παρὰ Σικυωνίοις κατωνακοφόρους καλεῖσθαι δούλους τινὰς παραπλησίους ὄντας τοῖς ἐπευνάκτοις, τὰ παραπλήσια ἱστορεῖ καὶ Μέναιχμος ἐν τοῖς Σικυωνιακοῖς.*

*ΠΥΘΙΚΟΣ.*

(T 3? F 8?).

2 (11) SCHOL. PIND. P IV 313 a: *ὁ μέντοι Χαῖρις οὐκ ἀπιθάνως τούτους φησὶν ὠνομάσθαι τοὺς ἐκ θεῶν γεγονότας, οἷον Διοσκούρους καὶ Ἡρακλέα· οὕτω δὴ καὶ Ὀρφέα διὰ τὸ Ἀπόλλωνος εἶναι υἱὸν γόνωι. παρατίθεται δὲ καὶ χρησμόν τινα, ὃν φησι Μέναιχμον ἀναγράφειν ἐν*

5 *Μάναιχμος* hss 6 *τὴν: τῶν*? Gaisford 24 *κατανακοφόρους* AC 30 *τοῦτο* G(?)Q *τούτους* ⟨*πρώτους*⟩ Lehrs *πρώτους* Drachmann 32 *ἀναγράψαι* GQ

τῶι Πυθικῶι. ἔχει δὲ οὕτως· 'Πίερες αἰνοπαθεῖς, συγγνὴν ἀποτίσετε λώβην Ὀρφέ' ἀποκτείναντες Ἀπόλλωνος φιλὸν υἱόν'. καὶ Ἀσκληπιάδης (12 F 6) . . . . .

ΠΕΡΙ ΤΕΧΝΙΤΩΝ.

(F 5; 6; 9).

3 (8) ATHEN. II 68 p. 65 AB: ὅτι τὸ εἰς Ὅμηρον ἀναφερόμενον ἐπύλλιον, ἐπιγραφόμενον δὲ Ἐπικιχλίδες, ἔτυχε ταύτης τῆς προσηγορίας διὰ τὸ τὸν Ὅμηρον ἄιδοντα αὐτὸ τοῖς παισὶ κίχλας δῶρον λαμβάνειν, ἱστορεῖ Μέναιχμος ἐν τῶι Περὶ τεχνιτῶν·

4 (5) a) ATHEN. XIV 36 p. 635 B: Μέναιχμος δ' ἐν τοῖς Περὶ τεχνιτῶν τὴν πηκτίδα, ἣν ⟨ἣν⟩ αὐτήν εἶναι τῆι μαγάδι⟨δι⟩, Σαπφώ φησιν εὑρεῖν. Ἀριστόξενος (IV) δὲ τὴν μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρέχεσθαι τὴν χρείαν. b) — XIV 37 p. 635 E: πηκτὶς δὲ καὶ μάγαδις ταὐτόν, καθά φησιν ὁ Ἀριστόξενος καὶ Μέναιχμος ὁ Σικυώνιος ἐν τοῖς Περὶ τεχνιτῶν. καὶ τὴν Σαπφὼ δέ φησιν οὗτος, ἥτις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῆι πηκτίδι.

(T 2)

ΠΕΡΙ ΤΟΡΕΥΤΙΚΗΣ.

**Fragmente ohne Buchtitel.**

5 (6) ATHEN. XIV 42 p. 637 F: τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτόν φησιν Μέναιχμος εἰσαγαγεῖν Ἀριστόνικον τὸν Ἀργεῖον, τῆι ἡλικίαι γενόμενον κατὰ Ἀρχίλοχον, κατοικήσαντα ἐν Κορκύραι.

6 (7) — — p. 638 A: Δίωνα δὲ τὸν Χῖον τὸ τοῦ Διονύσου σπονδεῖον πρῶτον κιθαρίσαι Μέναιχμος.

7 (4) PLIN. NH IV 64: *antea vocitata est* (sc. Euboia) . . . . *ut Menaechmus Abantias.* s. 70 F 151.

8 (—) SCHOL. EURIP. Andr. 32: Σωσιφάνης (om. N²) δὲ καὶ Ἀσκληπιάδης (12 F 23) φασὶν ἐξ αὐτῆς (sc. τῆς Ἑρμιόνης) Νεοπτολέμωι Ἀγχίαλον γενέσθαι, Δεξιὸς (—) δὲ Φθῖον, Ἀλέξανδρος (—) δὲ Πηλέα· Σκληριὰς δὲ ἐκ μὲν Ἀνδρομάχης Μεγαπένθην, ἐκ δὲ Ἑρμιόνης Ἀγέλαον· Μενεσθεὺς δὲ ὁ Ἀθηναῖος (VI) ὑπὸ Μήσιορος εἰς εἱρκτὴν ἐμβληθῆναι αὐτήν, Μέναιχμος δὲ καὶ Ἀπολλόδωρος (244 F 304) ἑαυτὴν διαχρήσασθαι.

9 (9) SCHOL. PIND. N II 1: ὅθεν περ καὶ Ὁμηρίδαι] τοὺς ῥαψῳδοὺς οἱ μὲν ῥαβδωιδοὺς ἐτυμολογοῦσι διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ

2 λώβαν BE 11 μαγάδιδι Kaibel μαγάδι E μαγίδι A 30 Σκληριὰς Schwartz σκληρὶς O .κληρὶς M ἀγλαὸν M 32 Μέναιχμος Schwartz ('an Νικόμαχος? Nicomachus Alexandreus scripsit Neoptolemum') μενέμαχος O μενέλαος M

'Ομήρου ἔπη διεξιέναι· Καλλίμαχος (F 138) 'καὶ τὸν ἐπὶ ῥάβδωι μῦθον ὑφαινόμενον ἡνεκὲς ἀείδω δεδειγμένος.' οἱ δέ φασι τῆς 'Ομήρου ποιήσεως μὴ ὑφ' ἓν συνηγμένης, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διειρημένης, ὁπότε ῥαψωιδοῖεν αὐτήν, εἱρμῶι τινι καὶ ῥαφῆι παραπλήσιον ποιεῖν, εἰς ἓν αὐτὴν ἄγοντας· οὕτω καὶ ὁ Πίνδαρος ἐκδέδεκται. οἱ δὲ ὅτι κατὰ μέρη πρόιερον τῆς ποιήσεως διαδεδομένης τῶν ἀγωνιστῶν ἕκαστος ὅ τι βούλοιτο μέρος ἤιδε, τοῦ δὲ ἄθλου τοῖς νικῶσιν ἀρνὸς ἀποδεδειγμένου προσαγορευθῆναι τότε μὲν ἀρνωιδούς, αὖθις δὲ ἑκατέρας τῆς ποιήσεως εἰσενεχθείσης τοὺς ἀγωνιστὰς οἷον ἀκουμένους πρὸς ἄλληλα τὰ μέρη καὶ τὴν σύμπασαν ποίησιν ἐπιόντας, ῥαψωιδοὺς προσαγορευθῆναι· ταῦτά φησι Διονύσιος ὁ Ἀργεῖος (III). Φιλόχορος (III) δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ὠιδὴν οὕτω φησὶν αὐτοὺς προσκεκλῆσθαι· δηλοῖ δὲ Ἡσίοδος λέγων (F 265 Rz[3]) 'ἐν Δήλωι τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντας ἀοιδήν, Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ'. ῥαψωιδῆσαι δέ φησι πρῶτον τὸν Ἡσίοδον Νικοκλῆς (III). Μέναιχμος δὲ ἱστορεῖ τοὺς ῥαψωιδοὺς στιχωιδοὺς καλεῖσθαι διὰ τὸ τοὺς στίχους ῥάβδους λέγεσθαι ὑπό τινων.

10 (3) SCHOL. PIND. N IX 30: περὶ τῆς Ἀδράστου εἰς Σικυῶνα μεταστάσεως Ἡρόδοτος (V 67) μὲν οὕτω φησίν· 'οἱ δὲ Σικυώνιοι εἰώθεισαν μεγαλωστὶ κάρτα τιμᾶν τὸν Ἄδραστον. ἡ γὰρ χώρη αὕτη ἦν Πολύβου, ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατριδέος, ἄπαις δὲ ὁ Πόλυβος τελευτῶν διδοῖ Ἀδρήστωι τὴν χώρην.' Μέναιχμος δὲ ὁ Σικυώνιος οὕτω γράφει· «χρόνου παρελθόντος πολλοῦ Πρῶναξ μὲν ὁ Ταλαοῦ καὶ Λυσιμάχης τῆς Πολύβου βασιλεύων Ἀργείων ἀποθνήσκει, καταστασιασθεὶς ὑπὸ Ἀμφιαράου καὶ τῶν Μελαμποδιδῶν καὶ τῶν Ἀναξαγοριδῶν· Ἄδραστος δὲ ὁ ἀδελφὸς τοῦ Πρώνακτος φυγὼν ἦλθεν εἰς Σικυῶνα καὶ τὴν Πολύβου τοῦ μητροπάτορος βασιλείαν παραλαβὼν ἐβασίλευσε τῆς Σικυῶνος καὶ τὸ τῆς Ἥρας τῆς Ἀλέας καλουμένης ἱερὸν καθ' ὃν περ ᾤκει τόπον ἱδρύσατο. τὴν δὲ ἐπωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν διὰ τὸ φεύγοντα τὸν Ἄδραστον ἱδρύσασθαι καὶ καλέσαι ἱερὸν Ἥρας Ἀλέας· τὸ δὲ φυγεῖν τινες ἀλᾶσθαι ὠνόμαζον.» Διευχίδας (III) δὲ

---

2 δεδειγμένος Bentley δεδεγμένος Schol 3 μέρος V Eust 5 συνάγοντας T συναγαγόντες U εἰσδέδεκται Boeckh 8 συνεχθείσης T συναχθείσης U 9 ἀκουμένους Boeckh ἀκουομένους Schol 15—16 μέλαιχκος D 19 εἰώθασι D ἐώθεσαν Her 20 ἦν αὕτη Her 21 ὁ Πόλυβος: Πόλυβος Her 22 χώραν D 29 τῆς ἀρχὴν Her 25 καταστασιασθεὶς D κατασταθεὶς B 28 ἐβασίλευε D 29 τῆς ἀλέας D τῆς ἀλ$^{έ}$ B 32 Ἀλέας Mommsen ἀλεξάνδρου B (ἡ ἀλ$^{ς}$ Bmg) καὶ — Ἀλέας om D 33 τὸ δὲ τινὲς φυγεῖν ἀντὶ τοῦ ἀλ. ὠν. D

. . . . τὸ μὲν κενήριον τοῦ Ἀδράστου ἐν Σικυῶνί φησιν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις.

11 (1) STEPH. BYZ. s. *Τηλέφιος* δῆμος καὶ *Τηλέφου κρήνη Λυκίας. Μέναιχμος γάρ φησιν ὅτι «ἀπὸ ζ σταδίων Πατάρων Τηλέφου κρήνη δείκνυται. θολερὰν δὲ εἶναι διὰ τὸ Τήλεφον ἀπονίψασθαι ἐκεῖ τὸ τραῦμα.» ἔστι καὶ δῆμος Τηλέφιος.*

## 132. LEON VON BYZANZ.

### T

1 SUID. s. *Λέων Λέοντος Βυζάντιος· φιλόσοφος περιπατητικὸς καὶ σοφιστής, μαθητὴς Πλάτωνος ἢ, ὥς τινες, Ἀριστοτέλους. ἔγραψε Τὰ κατὰ Φίλιππον καὶ τὸ Βυζάντιον ⟨ἐν⟩ βιβλίοις ζ· Τευθραντικόν· Περὶ Βησαίου (?)· Τὸν ἱερὸν πόλεμον· Περὶ στάσεων· Τὰ κατ' Ἀλέξανδρον.*

*οὗτος ἦν σφόδρα παχύς, καὶ πρεσβεύσας πρὸς Ἀθηναίους γέλωτά τε ἐκίνησε καὶ τῆς πρεσβείας ἐκράτησεν.*

*ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα. ταραχθεὶς δὲ οὐδὲν ἀπὸ τοῦ γέλωτος, 'τί' ἔφη 'γελᾶτε, ὦ Ἀθηναῖοι; ἢ ὅτι παχὺς ἐγὼ καὶ τοσοῦτος; ἴστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα, καὶ ὁμονοοῦντας μὲν ἡμᾶς χωρεῖ ἡ κλίνη, διαφερομένους δὲ οὐδὲ ἡ οἰκία'. καὶ εἰς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος, ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος σοφῶς ἐπισχεδιάσαντος τῷι καιρῷι.*

*οὗτος ὁ Λέων ἀποκρουόμενος τὸν Φίλιππον ἀπὸ τοῦ Βυζαντίου διεβλήθη παρὰ Φιλίππου πρὸς τοὺς Βυζαντίους ὅτ' ἐπιστολῆς ἐχούσης οὕτως· 'εἰ τοσαῦτα χρήματα παρεῖχον Λέοντι, ὁπόσα με ἠιτεῖτο, ἐκ πρώτης ἂν ἔλαβον τὸ Βυζάντιον.' ταῦτα ἀκούσαντος τοῦ δήμου καὶ ἐπισυστάντος τῇι οἰκίαι τοῦ Λέοντος, φοβηθεὶς μή πως λιθόλευστος παρ' αὐτῶν γένηται, ἑαυτὸν ἦγξε, μηδὲν ἀπὸ τῆς σοφίας καὶ τῶν λόγων κερδάνας ὁ δείλαιος.*

2 — s. *Λέων Ἀλαβανδεύς· ῥήτωρ. ἔγραψε Καρικῶν βιβλία δ· Λυκιακὰ ἐν βιβλίοις β· Τέχνην· Περὶ στάσεων· Τὸν ἱερὸν πόλεμον Φωκέων καὶ Βοιωτῶν.*

### F

*ΤΑ ΚΑΤΑ ΦΙΛΙΠΠΟΝ ΚΑΙ ΤΟ ΒΥΖΑΝΤΙΟΝ Ᾱ—Ζ̄.* (s. F 1).

---

4 *Μέναιχμος* Salmasius *μενέμαχμος*(?) R *μενέμαχος* V *μενέμαιχμος* P 5 *δείκνυται κρήνη* R 5—6 *θολερὰν δὲ εἶναι διὰ — τραῦμα* Jac *διὰ — τραῦμα, θολερὰν δὲ εἶναι* Steph 10 *σοφιστής* aus Philostrat. Vit Soph. I 2 *μαθητής — Ἀριστοτέλους* variante zu *Περιπατητικός*. 11 ⟨*ἐν*⟩ Jac *Τευθραντικόν* AB *τευθρ—* V 12 *βησαίου* AV om E *βησάλου* al *Βη⟨ρι⟩σά⟨δ⟩ου* Ber(nhardy) 13 *γέλωτά τε* A *τε* om cett edd 14 *καὶ — ἐκράτησεν* 'ad finem oportuit collocari' Ber; aber *ἐπειδή — καιρῷι* (15—20) ist variante aus Philostrat. a. o. 16 *ὦ Ἀθ. γελᾶτε* V• 19 *σοφῶς* Philostr *σαφῶς* AB

## *ΙΕΡΟΣ ΠΟΛΕΜΟΣ.*

## *ΤΑ ΚΑΤΑ ΑΛΕΞΑΝΔΡΟΝ.*

### OHNE BUCHTITEL.

**1** (Π 329, 1) ATHEN. XII 74 p. 550 F: *καὶ Πύθων δ' ὁ Βυζάντιος ῥήτωρ, ὡς Λέων ἱστορεῖ ὁ πολίτης αὐτοῦ, πάνυ ἦν παχὺς τὸ σῶμα· καὶ [Βυζαντίοις] ποτε στασιάζουσι πρὸς ἀλλήλους τοῖς πολίταις παρακαλῶν εἰς φιλίαν ἔλεγεν· 'ὁρᾶτέ με, ἄνδρες πολῖται, οἷός εἰμι τὸ σῶμα· ἀλλὰ καὶ γυναῖκα ἔχω πολλῶι ἐμοῦ παχυτέραν. ὅταν οὖν ὁμονοῶμεν, καὶ τὸ τυχὸν ἡμᾶς σκιμπόδιον δέχεται· ἐὰν δὲ στασιάσωμεν, οὐδὲ ἡ σύμπασα οἰκία.'*

### Unechtes.

**2** (2) [PLUT.] De fluv. 2, 2: *παράκειται δ' αὐτῶι Κιθαιρὼν ὄρος, ὀνομαζόμενον δὲ πρότερον Ἀστέριον δι' αἰτίαν τοιαύτην· Βοιωτοῦ τοῦ Ποσειδῶνος, ἐκ δυεῖν γυναικῶν τῶν ἐπισήμων θέλοντος γῆμαι τὴν ὠφελιμωτέραν καὶ ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς ἀνωνύμου νυκτὸς περιμένοντος ἀμφοτέρας, αἰφνιδίως ἐξ οὐρανοῦ κατενεχθεὶς ἀστὴρ ⟨ἐν⟩έπεσεν τοῖς Εὐρυθεμίστης ὤμοις καὶ ἀφανὴς ἐγένετο. Βοιωτὸς δὲ τὸ σημαινόμενον νοήσας τὴν μὲν κόρην ἔγημε, τὸ δ' ὄρος ὠνόμασεν Ἀστέριον ἀπὸ τοῦ συγκυρήματος. ὕστερον δ' ἐκλήθη Κιθαιρὼν δι' αἰτίαν τοιαύτην· Τισιφόνη, μία τῶν Ἐρινύων, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα παιδὸς εὐπρεποῦς, Κιθαιρῶνος τοὔνομα, καὶ μὴ στέγουσα τὴν ἐπίτασιν τῶν ἐρώτων, λόγους αὐτῶι περὶ συνόδων ἀπέστειλεν. ὁ δὲ τὸ καταπληκτικὸν τῆς προειρημένης φοβηθεὶς οὐδ' ἀποκρίσεως αὐτὴν ἠξίωσεν· ἡ δ' ἀποτυχοῦσα τῆς προαιρέσεως ἐκ τῶν πλοκάμων ἕνα τῶν δρακόντων ἀπέσπασεν καὶ ἐπὶ τὸν ὑπερήφανον ἔβαλεν· ὁ δ' ὄφις τοῖς κόλποις περισφίγξας αὐτὸν ἀνεῖλεν Ἀστερίου ποιμαίνοντα ἐν ταῖς ἀκρωρείαις. κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος ἀπ' αὐτοῦ μετωνομάσθη Κιθαιρών, καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν τοῖς Βοιωτιακοῖς.*

**3** (3) — — 24, 2: *γεννᾶται δ' ἐν αὐτῶι (sc. τῶι Τίγρει) λίθος Μυνδὰν καλούμενος πάνυ λευκός, ὃν ἐὰν κατέχηι τις, οὐδὲν ὑπὸ θηρίων ἀδικεῖται, καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν ᾱ Περὶ ποταμῶν.*

---

## 133. NEARCHOS VON KRETA.

### T

**1** SUID. s. *Νέαρχος*· *οὗτος ξυνεστράτευσεν Ἀλεξάνδρωι καὶ συγγραφὴν συνεγράψατο ὑπὲρ Ἀλεξάνδρου. ἐψεύσατο δὲ ναύαρχον ἑαυτὸν ἀναγράψας εἶναι κυβερνήτης ὤν.*

---

4—5 *Λέων δ' ὁ Βυζάντιος παχὺς ὢν κτλ.* E *καὶ Πύθων δ' ὁ Β. ῥ. ἱστορεῖ, ὡς Λέων* Toup *καὶ Π. ὁ Β. ῥ. ⟨ἡ⟩ ὡς ἱστορεῖ⟨ται⟩ Λέων* o. *⟨ἡ Λέων⟩, ὡς Λέων ἱστορεῖ* Ber 6 [*Βυζαντίοις*] Wilamowitz 18 [*τῶν*]? 14 *αἰφνιδίως* Hercher —*ιος* Pl 15 *⟨ἐν⟩έπεσεν* Westermann 19 *συνόδου*? 23 *ποιμαίνοντα* Maussac —*τος* Pl

2 INSCHR. DELPHI Syll[3] 266: *Θεός. Τύχα. Δελφοὶ ἔδωκαν Νεάρχωι Ἀνδροτίμου Κρητὶ αὐτῶι καὶ ἐκγόνοις προξενίαν προμαντείαν προεδρίαν προδικίαν ἀσ[φάλεια]ν ἀτέλειαν* * *

3 STEPH. BYZ. s.*Λητή πόλις Μακεδονίας· ... τὸ ἐθνικὸν Ληταῖος· οὕτως γὰρ ἱστορεῖται Νίκαρχος (?) Ληταῖος, τῶν Ἀλεξάνδρωι τῶι μεγάλωι συστρατευσαμένων ὁ διασημότατος.*

4 ARRIAN. An. III 6, 5—6: *Ἅρπαλος γὰρ τὰ μὲν πρῶτα ἔφυγε, Φιλίππου ἔτι βασιλεύοντος, ὅτι πιστὸς ἦν· καὶ Πτολεμαῖος ὁ Λάγου ἐπὶ τῶι αὐτῶι ἔφυγε καὶ Νέαρχος ὁ Ἀνδροτίμου καὶ Ἐριγύιος ὁ Λαρίχου καὶ Λαομέδων ὁ τούτου ἀδελφός, ὅτι ὕποπτα ἦν Ἀλεξάνδρωι ἐς Φίλιππον, ἐπειδὴ Εὐρυδίκην γυναῖκα ἠγάγετο Φίλιππος, Ὀλυμπιάδα δὲ .... ἠτίμασε. τελευτήσαντος δὲ Φιλίππου κατελθόντας ἀπὸ τῆς φυγῆς ... Πτολεμαῖον μὲν σωματοφύλακα κατέστησεν ..... Νέαρχον δὲ σατραπεύειν Λυκίας καὶ τῆς ἐχομένης Λυκία⟨ς⟩ χώρας ἔστε ἐπὶ τὸν Ταῦρον τὸ ὄρος* (a. 334).

5 PLUT. Alex. 10.

6 — — IV 7, 2: (winterquartier in Zariaspa 329/8) *καὶ Ἀσανδρος δὲ ἐν τούτωι ἦκεν καὶ Νέαρχος, στρατιὰν Ἑλλήνων μισθοφόρων ἄγοντες ..... καὶ Ἀσκληπιόδωρος .....*

7 — — IV 30, 5: (im lande der Assakenen 327) *Νέαρχόν τε καὶ Ἀντίοχον τοὺς χιλιάρχους τῶν ὑπασπιστῶν ....*

8 — Ind. 18, 3 (a. 326): *τριήραρχοι δὲ αὐτοῖς* (für die Indusflotte) *ἐπεστάθησαν ἐκ Μακεδόνων μὲν .... οὗτοι μὲν Πελλαῖοι.* (4) *ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε·* [*ἐκ Κρήτης*] *Νέαρχος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῶι παράπλωι ἀνέγραψε ..... οὗτοι μὲν οἱ ξύμπαντες Μακεδόνες.* (7) *Ἑλλήνων δὲ ..... (10) ναύαρχος δὲ αὐτοῖς ἐπεστάθη Νέαρχος Ἀνδροτίμου* [*τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος· ὤικει δὲ ἐν Ἀμφιπόλει τῆι ἐπὶ Στρυμόνι*]. Anab. VI 2, 3; PHILOSTR. Vit. Apoll. III 53.

9 a) — Ind. 20, 1 (a. 325): *πόθον μὲν εἶναι Ἀλεξάνδρωι ἐκπεριπλῶσαι τὴν θάλασσαν τὴν ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν .... οὕτω δὴ ἀγαπῆσαί τε Ἀλέξανδρον τοῦ Νεάρχου τὴν προθυμίην καὶ ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου παντός.* b) STRABON XV 2, 4: *τὸ δὲ ναυτικὸν Νεάρχωι καὶ Ὀνησικρίτωι τῶι ἀρχικυβερνήτηι παραδοὺς ἐκέλευσεν οἰκείας στάσεως ἐπιλαμβανομένους ἑπακολουθεῖν καὶ ἀντιπαραπλεῖν αὐτοῦ τῆι πορείαι.* c) DIOD. XVII 104, 3 (= Kleitarchos): *ὁ δ' στόλον παραδοὺς Νεάρχωι καὶ τισιν ἄλλοις τῶν φίλων προσέταξε τὴν*

---

5 *Νίκαρχος*: *Νέαρχος* Berkel vulg *λῆταιος* R[1] *Κρηταῖος* 'e vitioso Theagenis codice' Berkel ⟨*ἔστι καὶ Λατὼ πόλις Κρήτης· τὸ ἐθνικὸν Λατῶιος·*⟩ *οὕτως γ. l. Νέαρχος Λατῶιος* Meineke 9 *Ἀνδροτίμου* Schmieder —*νου* A 14 *Λυκία⟨ς⟩* Vulcanius [*Λυκία*] Polak 23 [*ἐκ Κρήτης*] Schmieder 26—27 [*τὸ — Στρυμόνι*] Jac

παραλίαν πᾶσαν παραπλεῦσαι δι' ὠκεανοῦ καὶ πάντα κατασκεψαμένους ἀπαντᾶν ἐπὶ τὰς ἐκβολὰς τοῦ Εὐφράτου ποταμοῦ. CURT. IX 10, 3; PLUT. Alex. 66; ARRIAN. An. VI 19, 5; 21, 3; ITIN. ALEX. 51.

9 a) ARRIAN. Ind. 42, 9 (Anab. VII 5, 6): καὶ χρυσῶι στεφάνωι στεφανοῦται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεόννατος, Νέαρχος μὲν ἐπὶ τοῦ ναυτικοῦ τῆι σωτηρίηι, Λεόννατος δὲ ἐπὶ τῆι νίκηι, ἣν Ὀρείτας .... ἐνίκησε. b) — Anab. VII 4, 6: ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν Σούσοις αὐτοῦ τε καὶ τῶν ἑταίρων .... Νεάρχωι δὲ τὴν Βαρσίνης τε καὶ Μέντορος παῖδα (sc. δίδωσι).

10 a) DIOD. XVII 112, 3: (die Chaldaier warnen Alexandros vor dem betreten Babylons) τῶν δὲ ἀποσταλέντων Χαλδαίων ὁ προχριθείς, ὄνομα Βελεφάντης, τῶι μὲν βασιλεῖ συνελθεῖν εἰς λόγους οὐκ ἐτόλμησε διὰ τὸν φόβον, Νεάρχωι δ' ἐνὶ τῶν Ἀλεξάνδρου φίλων κατ' ἰδίαν ἐντυχὼν ... ἠξίου δηλῶσαι τῶι βασιλεῖ. PLUT. Alex. 73 b) ARRIAN. Anab. VII 19, 3: κατέλαβε δὲ ἐν Βαβυλῶνι, ὡς λέγει Ἀριστόβουλος (139 F 55), καὶ τὸ ναυτικόν, τὸ μὲν κατὰ τὸν Εὐφράτην ποταμὸν ἀναπεπλευκὸς ἀπὸ θαλάσσης τῆς Περσικῆς, ὅ τι περ σὺν Νεάρχωι ἦν. c) — — VII 25, 4 (= Ephemeriden 117 F 3 über Alexanders letzte tage): Νεάρχωι δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι παραγγεῖλαι τὰ ἀμφὶ τὸν πλοῦν (zur erkundung des Kaspischen meeres) ὅπως ἔσται ἐς τρίτην ἡμέραν (wiederholte gespräche mit ihnen). PLUT. Alex. 75—76. d) HIST. ALEX. M. (Ps. KALLISTH) III 31, 8: (vergiftung Alexanders beim gastmahl des Medeios) ἦσαν δὲ οἱ παρόντες ῑ· Περδίκκας Μελέαγρος Πύθων Λεόννατος Κάσανδρος Πευκέστης Πτολεμαῖος Λυσίμαχος Φίλιππος ὁ ἰατρός Νέαρχος Κρής Στασάνωρ ..... (9) τούτων δὲ τὸ μέλλον γίνεσθαι Περδίκκας τε καὶ Πτολεμαῖος Ὑλλίας Λυσίμαχος Εὐμένης Ἀσανδρος οὐκ ἤιδεσαν, οἱ δὲ ἄλλοι πάντες μετειλήφασι τῆς πράξεως ..... EPIT. RER. GEST. ALEX. M. § 97 Wagner.

11 CURTIUS X 6, 10—12: (beratung in Babylon über Alexanders nachfolge; Perdikkas empfiehlt, die entbindung Roxanes abzuwarten). *tum Nearchus Alexandri modo sanguinem ac stirpem regiae maiestati convenire neminem ait posse infitiari, ceterum exspectari nondum ortum regem et qui iam sit praeteriri nec animis Macedonum convenire nec tempori eorum. esse e Barsine filium regis; huic diadema dandum. nulli placebat oratio; itaque suo more hastis scuta quatientes obstrepere perseverabant; iamque prope ad seditionem perveneranat Nearcho pervicacius tuente sententiam .....*

8 *Μέντορος*: *Μέμνονος* Beloch (s. Berve Alexanderreich II 102, 3) 23 *Μελέαγρος* Epit Arm *μιλιανὸς* A *Πύθων* A *πείθων* Arm *erat teon* Epit 24 *Κάσανδρος*: l. *Ἀσανδρος* (v. 26) 24—25 *Νέαρχος Κρὴς Στασάνωρ* Schwartz *νέαρχος κρίτιος ἀνανάνορ* A *nearchus staion* Epit *Νέαρχος ὁ Κρὴς* (*Στασάνωρ* om) Arm 26 *ἀνανδρος* (?) A *κάσ(σ)ανδρος* Epit Arm B' 31 *infitiari* Bentley *mirari* Curt 32 *eorum* Hedicke *rerum* Curt *e Barsine* Frobenius *abarsine* Curt

12 JUSTIN. XIII 4, 14—15: (erste teilung der provinzen a. 323) *Phrygia maior Antigono Philippi filio adsignatur. Lyciam et Pamphyliam Nearchus* (sc. sortitur).

13 a) DIOD. XIX 19, 4—5 a. 317: (Antigonos will nach Ekbatana durch das Gebiet der Kossaeer ziehen) *προχειρισάμενος δὲ τῶν πελταστῶν τοὺς ἐπισημοτάτους καὶ τοὺς τοξότας καὶ τοὺς σφενδονήτας καὶ τοὺς ἄλλους ψιλοὺς εἰς δύο μέρη διελόμενος τοὺς μὲν Νεάρχωι παρέδωκε, προστάξας προάγειν καὶ τὰ στενὰ καὶ τὰς δυσχωρίας προκαταλαμβάνεσθαι .... οἱ μὲν οὖν μετὰ Νεάρχου προαποσταλέντες ὀλίγας μὲν σκοπὰς προκατελάβοντο, τῶν δὲ πολλῶν καὶ μάλιστα ἀναγκαίων τόπων ὑστερήσαντες συχνοὺς ἀπέβαλον καὶ μόλις διεξέπεσαν ἐπικειμένων τῶν βαρβάρων.* b) PLUT. Eum. 18 (a. 316): *βουλευόμενος δὲ* (sc. *ὁ Ἀντίγονος*) *περὶ αὐτοῦ πλείονας ἡμέρας προσίετο καὶ λόγους καὶ ὑποσχέσεις, Νεάρχου τε τοῦ Κρητὸς καὶ Δημητρίου τοῦ υἱοῦ φιλοτιμουμένων τὸν Εὐμένη σῶσαι .....* c) DIOD. XIX 69, 1: (als Antigonos a. 314 Demetrios zum schutze Syriens zurückläßt) *παρακατέστησε δ' αὐτῶι καὶ συμβούλους τέσσαρας, Νέαρχόν τε τὸν Κρῆτα καὶ Πίθωνα τὸν Ἀγήνορος .... πρὸς δὲ τούτοις Ἀνδρόνικόν τε τὸν Ὀλύνθιον καὶ Φίλιππον, ἄνδρας πρεσβυτέρους καὶ συνεστρατευκότας Ἀλεξάνδρωι πᾶσαν τὴν στρατείαν.*

14 STRABON II 1, 9: *ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δήιμαχος* (III)· *τὰ δὲ δεύτερα λέγει Μεγασθένης* (III)· *Ὀνησίκριτος* (134 T 11) *δὲ καὶ Νέαρχος καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη .... Πατροκλῆς* (V) *δὲ ἥκιστα τοιοῦτος· καὶ οἱ ἄλλοι δὲ μάρτυρες οὐκ ἀπιθανοι, οἷς κέχρηται ὁ Ἐρατοσθένης* (V).

15 a) ARRIAN. Anab. V 6, 1: *ἀλλὰ ὑπὲρ Ἰνδῶν ἰδίαι μοι γεγράψεται ὅσα πιστότατα ἐς ἀφήγησιν οἵ τε ξὺν Ἀλεξάνδρωι στρατεύσαντες καὶ ὁ ἐκπεριπλεύσας τῆς μεγάλης θαλάσσης τὸ κατ' Ἰνδοὺς Νέαρχος, ἐπὶ δὲ ὅσα Μεγασθένης* (III) *τε καὶ Ἐρατοσθένης* (V), *δοκίμω ἄνδρε, ξυνεγραψάτην, καὶ νόμιμα ἄττα Ἰνδοῖς ἐστι καὶ εἰ δή τινα ἄτοπα ζῶια αὐτόθι φύεται καὶ τὸν παράπλουν αὐτὸν τῆς ἔξω θαλάσσης.* s. F 1 p. 681, 3—5 b) — — VI 28, 6: *τοῦτον μὲν δὴ καταπέμπει αὖθις ἐκπεριπλεύσοντα ἔστε ἐπὶ τὴν Σουσιανῶν τε γῆν ... ὅπως δὲ ἐπλεύσθη αὐτῶι τὰ ἀπὸ τοῦ Ἰνδοῦ ποταμοῦ ἐπὶ τὴν θάλασσαν τὴν Περσικὴν καὶ τὸ στόμα τοῦ Τίγρητος, ταῦτα ἰδίαι ἀναγράψω αὐτῶι Νεάρχωι ἑπόμενος.*

16 a) PLIN. NH I 6 ... *situus, gentes .... ex ... Posidonio* (§ 56), *Onesicrito* (81; 96; 109; 124), *Nearcho* (96; 107; 109; 124 = F 13—15; 1 h), *Megasthene* (58; 69; 81) .... b) — I 12. 13 ... *ex .... Duride, Nearcho, Onesicrito* (XII 34), *Polyclito* .....

## F

### ⟨ΠΑΡΑΠΛΟΥΣ ΤΗΣ ΙΝΔΙΚΗΣ?⟩

**1** (GG Min. I 329) ARRIAN. Ind. 17, 6—42, 10: *ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω ἄνδρε, ἀνεγραψάτην* (T 15), *ἐπεὶ οὐδὲ ἡ ὑπόθεσίς μοι τῆσδε τῆς ξυγγραφῆς τὰ Ἰνδῶν νόμιμα ἀναγράψαι ἦν, ἀλλ' ὅπως γὰρ παρεκομίσθη Ἀλεξάνδρωι ἐς Πέρσας ἐξ Ἰνδῶν ὁ στόλος. ταῦτα δὲ ἐκβολή μοι ἔστω τοῦ λόγου.*

(18) *Ἀλέξανδρος γάρ, ἐπειδὴ οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ* (F 12; 20; 22) *Ὑδάσπεω τῆισιν ὄχθηισιν, ἐπιλεγόμενος ὅσοι τε Φοινίκων καὶ ὅσοι Κύπριοι ἢ Αἰγύπτιοι εἵποντο ἐν τῆι ἄνω στρατηλασίηι ἐκ τούτων ἐπλήρου τὰς νέας, ὑπηρεσίας τε αὐτῆισι καὶ ἐρέτας ἐπιλεγόμενος ὅσοι τῶν θαλασσίων ἔργων δαήμονες.* (2) *ἦσαν δὲ καὶ νησιῶται ἄνδρες οὐκ ὀλίγοι ἐν τῆι στρατιῆι οἷς ταῦτα ἔμελλε, καὶ Ἴωνες καὶ Ἑλλησπόντιοι.* (3) *τριήραρχοι δὲ αὐτοῖς ἐπεστάθησαν ἐκ Μακεδόνων μὲν Ἡφαιστίων τε ⟨ὁ⟩ Ἀμύντορος καὶ Λεοννάτος ὁ † Εὔνου καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέους καὶ Ἀσκληπιόδωρος ὁ Τιμάνδρου καὶ Ἄρχων ὁ Κλεινίου καὶ Δημόνικος ὁ Ἀθηναίου καὶ Ἀρχίας ὁ Ἀναξιδότου καὶ Ὀφέλλας ⟨ὁ⟩ Σειληνοῦ καὶ Τιμάνθης ⟨ὁ⟩ Παντιάδου· οὗτοι μὲν Πελλαῖοι.* (4) *ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε· [ἐκ Κρήτης] Νέαρχος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῶι παράπλωι ἀνέγραψε, καὶ Λαομέδων Λαρίχου καὶ Ἀνδροσθένης Καλλιστράτου.* (5) *ἐκ δὲ Ὀρεστίδος Κράτερός τε ὁ Ἀλεξάνδρου καὶ Περδίκκας ὁ Ὀρόντεω. Ἐορδαῖοι δὲ Πτολεμαῖός τε ὁ Λάγου καὶ Ἀριστόνους ὁ Πειταίου. ἐκ Πύδνης δὲ Μήτρων τε ὁ Ἐπιχάρμου καὶ Νικαρχίδης ὁ Σίμου.* (6) *ἐπὶ δὲ Ἀτταλός τε ὁ Ἀνδρομένεος*

---

hss: A = Vindob. hist gr. 4, von Roos, dem ich eine revision der 'sehr genauen' collation Eberhards verdanke, als archetypon erwiesen.

al = die übrigen, soweit nötig und mir bekannt; häufiger genannt nur B = Parisin. gr. 1753 und k = Laurent. IX 32.

Bl = Blancardus (ed. Amsterdam 1668) Cast = Castiglioni (Collectanea graeca Pisa 1911) Due = Duebner (Arriani Anab. et Indica Paris 1846) Eb = Eberhard (Arriani Scripta min. Leipzig 1885) He = Hercher (Arriani Scripta min. Leipzig 1854) Mue = C Mueller (GG Min. I) Rei = Reiske (s. Roos Mnemos. NS XL 1912, 137) Schm = Schmieder (Arriani Hist. Ind. 1799) Vulc = Vulcanius.

den dialekt habe ich weder hergestellt noch egalisiert; er ist in den abgeleiteten hss (besonders in B) teilweise stärker durchgeführt als in A.

5 *ἐπεὶ δὲ* vulg 6 *ἀνεκομίσθη* Rei *περιεκομίσθη* He 7 *δὲ*: *δὴ* vulg 9—10 *ἐκ τῶν ξυνεπομένων τῆι στρατιᾶι Φοινίκων καὶ Κυπρίων καὶ Καρῶν καὶ Αἰγυπτίων* An. VI 1, 6 14 *αὐτοῖς*: *αὐτῶι* A *αὐτοῖσιν* He (s. p. 682, 11) ⟨ὁ⟩ He 15 *Εὔνου*: *Ὀνάσου* An. III 5, 5 *Ἀντέου* ebd. VI 28, 4 *Ἄνθους* Phot. bibl. 60 (Arrian. 156 F 1) *Λεοννάτος ὁ* (* *καὶ Ἀσκληπιόδωρος ὁ*) *Εὐν⟨ίκ⟩ου*? 18 [*ἐκ Κρήτης*] Schm 19 *Λαομέδων* Schm *λαμπέδων* A 21 *Ὀρόντεω* He (s. Hoffmann, Die Makedonen 153) *ὀρώντεω* A *Ἐορδαῖοι δὲ* He *Ἐ. τὲ* A 22 *Πειταίου* Bl (s. An. VI 28, 4; 156 F 1) *νειταίου* A *Πιταίου* He *Πύδνης δὲ* He *Π. τὲ* A 23 *Ἀνδρομένεος* He *—νέω* A

Τυμφαῖος καὶ Πευκέστας Ἀλεξάνδρου Μιεζεύς καὶ Πείθων Κρατεύα Ἀλκομενεύς καὶ Λεοννάτος Ἀντιπάτρου Αἰγαῖος καὶ Πάνταυχος Νικολάου Ἀλωρίτης καὶ Μυλλέας Ζωίλου Βεροιαῖος. οὗτοι μὲν οἱ ξύμπαντες Μακεδόνες. (7) Ἑλλήνων δὲ Μήδιος μὲν Ὀξυθέμιδος Λαρισαῖος, Εὐμένης δὲ Ἱερωνύμου ἐκ Καρδίης, Κριτόβουλος δὲ Πλάτωνος Κῶος, καὶ Θόας Μηνοδώρου (?) καὶ Μαίανδρος Μανδρογένεος Μάγνητες, Ἄνδρων δὲ Καβήλεω Τήιος. (8) Κυπρίων δὲ Νικοκλέης Πασικράτεος Σόλιος καὶ Νιθάφων Πνυταγόρεω Σαλαμίνιος. ἦν δὲ δὴ καὶ Πέρσης αὐτῶι τριήραρχος Βαγώας ὁ Φαρνούχεω. (9) τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὼς κυβερνήτης ἦν Ὀνησίκριτος Ἀστυπαλαιεύς, γραμματεὺς δὲ τοῦ στόλου παντὸς Εὐαγόρας Εὐκλέωνος Κορίνθιος. (10) ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη Νέαρχος Ἀνδροτίμου· [τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος, ὤικει δὲ ἐν Ἀμφιπόλει τῆι ἐπὶ Στρυμόνι].

(11) ὡς δὲ ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρωι, ἔθυε τοῖς θεοῖσιν ὅσοι πάτριοι ἦ μαντευτοὶ αὐτῶι, καὶ Ποσειδῶνι καὶ Ἀμφιτρίτηι καὶ Νηρηίσι καὶ αὐτῶι τῶι Ὠκεανῶι καὶ τῶι Ὑδάσπηι ποταμῶι, ἀπ' ὄρου ὠρμᾶτο, καὶ τῶι Ἀκεσίνηι ἐς ὄντινα ἐκδίδωσιν ⟨ὁ⟩ Ὑδάσπης, καὶ τῶι Ἰνδῶι ἐς ὄντινα ἄμφω ἐκδιδοῦσιν· (12) ἀγῶνές τε αὐτῶι μουσικοὶ καὶ γυμνικοὶ ἐποιεῦντο, καὶ ἱερεῖα τῆι στρατιῆι πάσηι κατὰ τέλεα ἐδίδοτο.

(19) ὡς δὲ πάντα ἐξήρτητο αὐτῶι ἐς ἀναγωγήν, Κράτερον μὲν τὰ ἐπὶ τε καὶ ἱππικῆι· ἐς τὸ ἐπὶ θάτερα ⟨δὲ⟩ Ἡφαιστίων αὐτῶι παρεπορεύετο σὺν ἄλλῃ στρατιῆι πλείονι ἔτι τῆς Κρατέρωι συντεταγμένης. καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων αὐτῶι ἦγεν, ὄντας ἐς διακοσίους. (2) αὐτὸς δὲ τούς τε ὑπασπιστὰς καλεομένους ἅμα οἱ ἦγε καὶ τοὺς τοξότας πάντας καὶ τῶν ἱππέων τοὺς ἑταίρους καλεομένους, τοὺς πάντας ἐς ὀκτακισχιλίους. (3) τοῖσι μὲν δὴ ἀμφὶ Κράτερον καὶ Ἡφαιστίωνα ἐτέτακτο, ἵνα προεωρευθέντες ὑπομένοιεν τὸν στόλον. (4) Φίλιππον δέ, ὃς αὐτῶι σατράπης τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ Ἀκεσίνου ποταμοῦ τὰς ὄχθας πέμπει, ἅμα στρατιῆι πολλῆι καὶ τοῦτον. (5) ἤδη γὰρ καὶ δώδεκα μυριάδες αὐτῶι

---

1 Τυμφαῖος He Στυ–A ⟨ὁ⟩ Ἀλεξάνδρου ⟨ὑπερασπίσας⟩ He (s. c. 19, 8; An. VII 5, 4; 28, 4) Μιεζεύς Bl μιοζεος A μιεζέος B 2 Ἀλκομενεύς Bl ἀλκομένεος A 3 Ἀλωρίτης al (?) Bl ἀλαρίτης A Βεροιαῖος Bl βεροιέως A 4 Ὀξυθέμιδος He Λαρισαῖος al δαρεισαῖος A 5—6 Μηνοδώρου: Μανδροδώρου An. VI 23, 2 (Iss. Magnesia 88, 1; Roos) 6 Μαίανδρος: Μέναν δρος Bl Mue ‘alius est ac Θ. Μηνοδώρου’ Μανδρογένεος Benseler δὲ Κεβαλέος He δὲ Καβήλεω vulg δεμαβήλεω A δὲ Κεβάλου He 7 νικοκλέης B νικοκλέως A νιθάφων A¹(?) ans νιθάφων 9 Φαρνούχεω He —χέως A —ούχεος? 12 [τὸ γένος — Στρυμόνι] Jac 15 ἀπ' ὄρου al ἀπότου A ἐκδιδοῖ Due ἐκδιδοῖ ὁ Cast ἐκδίδωσιν ὁ Jac ἐκδιδοίη A 16 προεπορεύετο He (s. v. 27—28) 20 [πεζῆι] Vulc 21 ⟨δὲ⟩ o. ⟨καὶ⟩ al om A ἄγημα τῶν ἱππέων An. VI 2, 2 24—25 τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὸ

μάχιμοι εἵποντο σὺν οἷς ἀπὸ θαλάσσης τε αὐτὸς ἀνήγαγε καὶ αὖθις οἱ ἐπὶ συλλογὴν αὐτῶι στρατιᾶς πεμφθέντες ἦκον ἔχοντες, παντοῖα ἔθνη βαρβαρικὰ ἅμα οἱ ἄγοντι καὶ πᾶσαν ἰδέην ὡπλισμένα. (6) αὐτὸς δὲ ἅρας ταῖς ναυσὶ κατέπλει κατὰ τὸν Ὑδάσπεα ἔστε ἐπὶ τοῦ Ἀκεσίνου τε καὶ τοῦ Ὑδάσπεω τὰς συμβολάς. (7) νῆες δὲ αἱ σύμπασαι αὐτῶι ὀκτακόσιαι ἦσαν αἵ τε μακραὶ καὶ ὅσα στρογγύλα πλοῖα καὶ ἄλλα ἱππαγωγὰ καὶ σιτία ἅμα τῆι στρατιᾶι ἄγουσαι.

(8) ὅπως μὲν δὴ κατὰ τοὺς ποταμοὺς κατέπλευσεν αὐτῶι ὁ στόλος, καὶ ὅσα (F 2; 21; 22)
ἐν τῶι παράπλωι ἔθνεα κατεστρέψατο, καὶ ὅπως διὰ κινδύνου αὐτὸς ἐν Μαλλοῖς ἦκε, καὶ τὸ τρῶμα ὃ ἐτρώθη ἐν Μαλλοῖς, καὶ Πευκέστας τε καὶ Λεοννάτος ὅπως ὑπερήσπισαν αὐτὸν πεσόντα, πάντα ταῦτα λέλεκταί μοι ἤδη ἐν τῆι ἄλληι τῆι Ἀττικῆι ξυγγραφῆι. ὁ δὲ λόγος ὅδε τοῦ παράπλου μοι ἀφήγησις ἐστιν, ὃν Νέαρχος σὺν τῶι στόλωι παρέπλευσεν ἀπὸ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς κατὰ τὴν θάλασσαν τὴν μεγάλην ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν, ἣν δὴ Ἐρυθρὴν θάλασσαν μετε-
ξέτεροι καλέουσι.

(20) Νέαρχοι δὲ λέλεκται ὑπὲρ τούτων ὅδε ὁ λόγος· (F 33)
πρῶτον μὲν εἶναι Ἀλεξάνδρωι ἐκπεριπλῶσαι τὴν θάλασσαν τὴν ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν, (2) ὀκνέειν δὲ αὐτὸν τοῦ τε πλούου τὸ μῆκος καὶ μή τινι ἄρα χώρηι ἐρήμωι ἐγκύρσαντες ἢ ὅρμων ἀπόρωι ἢ οὐ ξυμμέτρως ἐχούσηι τῶν ὡρέων, οὕτω δὴ διαφθαρῆι αὐτῶι ὁ στόλος, καὶ οὐ φαύλη κηλὶς αὕτη τοῖς ἔργοις αὐτοῦ τοῖσι μεγάλοισιν ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίην αὐτῶι ἀφανίσοι· ἀλλὰ ἐκνικῆσαι γὰρ αὐτῶι τὴν ἐπιθυμίαν τοῦ καινόν τι αἰεὶ καὶ ἄτοπον ἐργάζεσθαι. (3) ἀπόρως δὲ ἔχειν, ὄντινα οὐκ ἀδύνατόν τε ἐς τὰ ἐπινοούμενα ἐπιλέξαιτο, καὶ ἅμα τῶν ἐν νηὶ ἀνδρῶν, ὡς καὶ τῶν τοιοῦτον στόλον στελλομένων ἀφελεῖν τὸ δεῖμα τοῦ δὴ ἠμελημένως αὐτοὺς ἐς προῦπτον κίνδυνον ἐκπέμπεσθαι. (4) λέγει δὴ ὁ Νέαρχος, ἑωυτῶι ξυνοῦσθαι τὸν Ἀλέξανδρον, ὄντινα προχειρίσηται ἐξηγέεσθαι τοῦ στόλου· ὡς δὲ ἄλλου καὶ ἄλλου ἐς μνήμην ἰόντα τοὺς μὲν ὡς οὐκ ἐθέλοντας κινδυνεύειν ὑπὲρ οὗ ἀπολέγειν, τοὺς δὲ ὡς μαλακοὺς τὸν θυμόν, τοὺς δὲ ὡς πόθωι τῆς οἰκηίης κατεχομένους, τοῖς δὲ ἄλλο καὶ ἄλλο ἐπικαλέοντα, (5) τότε δὴ αὐτὸν ὑποστάντα εἰπεῖν ὅτι Ὦ βασιλεῦ, ἐγώ τοι ὑποδέκομαι ἐξηγήσασθαι τοῦ στόλου καὶ εἰ τὰ ἀπὸ τοῦ θεοῦ ξυνεπιλαμβάνοι περι-

---

2 συλλογὴν (An. VII 20, 7): συλλογῆι He (An. I 24, 3; III 6, 4) 10 [ἐν Μαλλοῖς]? He 12 ὅδε B ὧδε A 20 ἐρήμωι He ὅρμων Rei ὅρμω A 21 ὡρέων He (F 10 § 12) ὡραίων A 21—25 διαφθαρῆι — ἐργάζεσθαι Suid. s. φαύλη κηλίς 28 αὐτοῦ ἀφανίσοι Suid 27 [τῶν] τοιοῦτον? Roos 29 δὴ A δὲ B 37 θείου He

ἄξω τοι σώας τὰς νέας καὶ τοὺς ἀνθρώπους ἔστε ἐπὶ τὴν Περσίδα γῆν, εἰ δὴ πλωτός τέ ἐστιν ὁ ταύτηι πόντος καὶ τὸ ἔργον οὐκ ἄπορον γνώμηι ἀνθρωπί⟨ν⟩ηι. (6) Ἀλέξανδρον δὲ λόγωι μὲν οὐ φάναι ἐθέλειν ἐς τοσήνδε ταλαιπορίην καὶ τοσόνδε κίνδυνον τῶν τινα ἑαυτοῦ φίλων ἐμβάλλειν, αὐτὸν δὲ ταύτηι ⟨ἤ⟩δη καὶ μᾶλλον οὐκ ἀνιέναι, ἀλλὰ λιπαρεῖν. (7) οὕτω δὴ ἀγαπῆσαί τε Ἀλέξανδρον τοῦ Νεάρχου τὴν προθυμίην, καὶ ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου παντός. (8) καὶ τότε δὴ ἔτι μᾶλλον τῆς στρατιῆς ὅτι περ ἐπὶ τῶι παράπλωι τῶιδε ἐτάσσετο, καὶ τὰς ὑπηρεσίας ἕλεω ἔχειν τὴν γνώμην ὅτι δὴ Νέαρχον γε οὔποτε ἂν Ἀλέξανδρος προήκατο ἐς κίνδυνον καταφανέα, εἰ μή σφι σωθήσεσθαι ἔμελλον· (9) λαμπρότης τε πολλὴ τῆι παρασκευῆι ἐποῦσα καὶ κόσμος τῶν νεῶν, καὶ σπουδαὶ τῶν τριηράρχων ἀμφὶ τὰς ὑπηρεσίας τε καὶ τὰ πληρώματα ἐκπρεπέες καὶ τοὺς πάντη ⟨ἤ⟩δη πάλαι κατοκνέοντας ἐς ῥώμην ἅμα καὶ ἐλπίδας χρηστοτέρας ὑπὲρ τοῦ παντὸς ἔργου ἐπηρκότα στρατιῆι τὸ δὴ αὐτὸν Ἀλέξανδρον ὁρμηθέντα κατὰ τοῦ Ἰνδοῦ τὰ στόματα ἀμφότερα ἐκπλῶσαι ἐς τὸν πόντον, σφάγιά τε τῶι Ποσειδῶνι ἐντεμεῖν καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι, καὶ δῶρα μεγαλοπρεπέα τῆι θαλάσσηι χαρίσασθαι, (11) τῆι τε ἄλληι τῆι Ἀλεξάνδρου παραλόγωι εὐτυχίηι πεποιθότας οὐδὲν ὅτι οὐ τολμητόν τε ἐκείνωι καὶ ἐρκτὸν ἐξηγέεσθαι.

(21) ὡς δὲ τὰ ἐτήσια πνεύματα ἐκοιμήθη, ἃ δὴ τοῦ θέρεος τὴν ὥραν πᾶσαν κατέχει ἐκ τοῦ πελάγεος ἐπιπνέοντα ἐπὶ τὴν γῆν, καὶ ταύτηι ἄπορον τὸν πλοῦν ποιέοντα, τότε δὴ ὥρμηντο ἐπὶ ἄρχοντος Ἀθήνησι Κηφισοδώρου, εἰκάδι τοῦ Βοηδρομιῶνος μηνός, καθότι Ἀθηναῖοι ἄγουσιν. ὡς δὲ Μακεδόνες τε καὶ Ἀσιανοὶ ἦγον * * τὸ ἑνδέκατον

1 a) (19) STRAB. XV 2, 5 καὶ δὴ καί φησιν ὁ Νέαρχος, ἤδη τοῦ βασιλέως τελοῦντος τὴν ὁδόν, αὐτὸς μετοπώρου κατὰ πλειάδος ἐπιτολὴν ἐσπερίαν ἄρξασθαι τοῦ πλοῦ, μήπω μὲν τῶν πνευμάτων οἰκείων ὄντων, τῶν δὲ βαρβάρων ἐπιχειρούντων αὐτοῖς καὶ ἐξελαυνόντων· καταθαρρῆσαι γὰρ, ἀπελθόντος τοῦ βασιλέως, καὶ ἐλευθεριάσαι.

3 ἀνθρωπίνηι edd —ίη A 6 ἤδη Rei δὴ A 17 πάνυ ἤδη πάλαι Rei πάντη δὴ πάλαι A πάντη ἤ πάλαι Cast [πάλαι] He ῥώμην: ὁρμὴν He 26 ἐρκτόν: ἐπικτὸν He 37 * * Usserius

βασιλεύοντος Ἀλεξάνδρου. (2) Θύει δὲ καὶ Νέαρχος πρὸ τῆς ἀναγωγῆς Διὶ Σωτῆρι, καὶ ἀγῶνα ποιεῖ καὶ οὗτος γυμνικόν. ἄραντες δὲ ἀπὸ τοῦ ναυστάθμου τῇι πρώτηι ἡμέρηι κατὰ τὸν Ἰνδὸν ποταμὸν ὁρμίζονται πρὸς διώρυχι μεγάληι, καὶ μένουσιν αὐτοῦ δύο ἡμέρας· Στοῦρα δὲ ὄνομα ἦν τῶι χώρωι· στάδιοι ἀπὸ τοῦ ναυστάθμου ἐς ἑκατόν. (3) τῇι τρίτηι δὲ ἄραντες ἔπλεον ἔστε ἐπὶ διώρυχα ἄλλην σταδίους τριάκοντα, ἁλμυρὴν ἤδη ταύτην τὴν διώρυχα· ἀνήιει γὰρ ἡ θάλασσα ἐς αὐτήν, μάλιστα μὲν ἐν τηῖσι πλημμυρίηισιν, ὑπέμενε δὲ καὶ ἐν τηῖσιν ἀμπώτεσι τὸ ὕδωρ μεμιγμένον τῶι ποταμῶι· Καύμανα δὲ οὔνομα ἦν τῶι χώρωι. (4) ἐνθένδε εἴκοσι σταδίους καταπλώσαντες ἐς Κορέεστιν ὁρμίζονται ἔτι κατὰ τὸν ποταμόν. (5) ἐνθένδε ὁρμηθέντες ἔπλεον οὐκ ἐπὶ πολλόν· ἔρμα γὰρ ἐφάνη αὐτοῖσι κατὰ τὴν ἐκβολὴν τὴν ταύτηι τοῦ Ἰνδοῦ, καὶ τὰ κύματα ἐρρύηθει πρὸς τῆι ἠιόνι, καὶ ἡ ἠιὼν αὕτη τραχεῖα ἦν. (6) ἀλλὰ ὕναπερ μαλθακὸν ἦν τοῦ ἔρματος, ταύτηι διώρυχα ποιήσαντες ἐπὶ σταδίους πέντε, διῆγον τὰς νέας, ἐπειδὴ ἡ πλήμμυρα ἐπῆλθεν ἡ ἐκ τοῦ πόντου. (7) ἐκπεριπλώσαντες δὲ σταδίους πεντήκοντα καὶ ἑκατὸν ὁρμίζονται ἐς Κρώκαλα νῆσον ἀμμώδεα, καὶ μένουσιν αὐτοῦ τὴν ἄλλην ἡμέραν. (8) προσοικέει δὲ ταύτηι ἔθνος (F 24) Ἰνδικόν, οἱ Ἀράβιες καλεούμενοι, ὧν καὶ ἐν τῆι μέζονι ξυγγραφῆι (VI 21, 3—4) μνήμην ἔσχον· καὶ ὅτι εἰσὶν ἐπώνυμοι ποταμοῦ Ἀράβιος, ὃς διὰ τῆς γῆς αὐτῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν, ὁρίζων τούτων τε τὴν χώρην καὶ τὴν Ὠρειτέων. (9) ἐκ δὲ Κρωκάλων ἐν δεξιᾶι μὲν ἔχοντες ὄρος τὸ καλεόμενον αὐτοῖσιν Εἶρον, ἐν ἀριστεραῖ δὲ νῆσον ἀλιτενέα ἔπλεον· ἡ δὲ νῆσος παρατεταμένη τῇι ἠιόνι κόλπον στεινὸν ποιέει. (10) διεκπλεύσαντες δὲ ταύτην ὁρμίζονται ἐν λιμένι εὐόρμωι· ὅτι δὲ μέγας τε καὶ καλὸς ὁ λιμὴν Νέαρχωι ἔδοξεν, ἐπονομάζει αὐτὸν Ἀλεξάνδρου λιμένα. (11) νῆσος δέ ἐστιν ἐπὶ τῶι στόματι τοῦ λιμένος ὅσον σταδίους δύο ἀπέχουσα· Βίβακτα ὄνομα τῇι νήσωι· ὁ δὲ χῶρος ἅπας Σάγγαδα· ἡ δὲ νῆσος καὶ τὸν λιμένα,

4 στουρα A 8 πλημμύρηισι o. πλημμυρίσι Due τῆισιν ἀμπώτεσι B τῇ ἀμπώτεσι $A^2$ ($A^1$?) τῆι ἀμπώτει al 9 ποταμῶι: ποτίμωι Rei καύμανα $A^1$(?) B al καύμαρα $A^2$ ('ein tîrtha der göttin Kumârî' Lassen, Tomaschek) ἐνθένδε He ἔνθεν δὲ A (so öfter) 10 κορέεστιν $A^1$ ('Kâryasthiti' Lassen) κορέατιν $A^2$ 18 Ἀράβιες (u. c. 22, 11): Ἄρβιες F 24 (Strab. XV 2, 1); Ἄρβιες (edd. —ιος RVP) ἢ Ἀραβῖται Steph. Byz. s. Ἄρβις; *Arbii* Plin. NH VI 95; 110; Ἀρβῖται Diod XVII 104, 4 (Ἀβρ— hss); Ptolem. VI 21, 4; Curt IX 10, 5 (*regio Aboriton* hss *Abariton* Bentley vulg); *montes* [*b*]*arbitani* Ammian. Marc. XXIII 6, 73; Ἀραβῖται An. VI 21, 4; Steph. Byz. a. o. und s. Ἄραβις καλεούμενοι: καλεύμενοι He καλεόμενοι? 19 Ἄραβις: c 22, 8; 23, 1; Plin NH VI 109; VII 30 (= 137 F 27); Ptolem. VI 21, 2; Steph. Byz. s. v. Ἀράβιος An. VI 21, 3; Ammian. a. o. (Wagner; *Artabius* hss). Ἄρβις F 24; Plin. NH VI 96 (= 134 F 28); Steph. Byz. s. v. *Barbarus* (! *Arabus* vulg) Curt. IX 10, 6. 22 [αὐτοῖσιν] He 25 ἐπονομάζων A —άζει al 26 Βίβακτα: *Bibaga* Plin. NH VI 80 Βίβλος Philostrat. vit. Apoll. III 58

προκειμένη πρὸ τοῦ πελάγεος, αὐτὴ ἐποίεεν. (12) ἐνταῦθα πνεύματα μεγάλα ἐκ τοῦ πόντου ἔπνεε καὶ συνεχέα, καὶ Νέαρχος δείσας τῶν βαρβάρων μή τινες συνταχθέντες ἐφ' ἁρπαγὴν τοῦ στρατοπέδου τραποίατο, ἐκ- (P 19) τειχίζει τὸν χῶρον λιθίνωι τείχει. (13) τέσσαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῆι μονῆι ἐγένοντο· καὶ λέγει ὅτι μύας τε ἐθήρων τοὺς θαλασσίους οἱ στρατιῶται, καὶ ὄστρεα δὲ καὶ τοὺς σωλῆνας καλεομένους, ἄτοπα τὸ μέγεθος, ὡς τοῖσιν ἐν τῆιδε τῆι ἠμετέρηι θαλάσσηι συμβαλέειν· καὶ ὕδωρ ὅτι ἁλμυρὸν ἐπίνετο. (22) ἅμα τε ὁ ἄνεμος ἐπαύσατο καὶ οἱ ἀνήγοντο· καὶ περαιωθέντες σταδίους ἐς ἑξήκοντα ὁρμίζονται πρὸς αἰγιαλῶι ψαμμώδει· νῆσος δὲ ἐπῆν τῶι αἰγιαλῶι ἐρήμη. (2) ταύτην δὲ πρόβλημα ποιησάμενοι ὡρμίσθησαν. Δόμαι οὔνομα τῆι νήσωι. ὕδωρ δὲ οὐκ ἦν ἐν τῶι αἰγιαλῶι, ἀλλὰ προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους ἐπιτυγχάνουσιν ὕδατι καλῶι. (3) τῆι δὲ ὑστεραίηι ἐς νύκτα αὐτοῖς ὁ πλόος ἐγίνετο ἐς Σάραγγα σταδίους τριακοσίους, καὶ ὁρμίζονται πρὸς αἰγιαλῶι καὶ ὕδωρ ἦν ἀπὸ τοῦ αἰγιαλοῦ ὅσον ὀκτὼ σταδίους. (4) ἐνθένδε πλώσαντες ὁρμίζονται ἐν Σακάλοισι τόπωι ἐρήμωι· καὶ διεκπλώσαντες σκοπέλους δύο, οὕτω τι ἀλλήλοις πελάζοντας ὥστε τοὺς ταρσοὺς τῶν νεῶν ἅπτεσθαι ἔνθεν καὶ ἔνθεν τῶν πετρέων, καθορμίζονται ἐν Μοροντοβάροις, σταδίους διελθόντες ἐς τριακοσίους. (5) ὁ δὲ λιμὴν μέγας καὶ εὔκυκλος καὶ βαθὺς καὶ ἄκλυστος, ὁ δὲ ἔσπλους ἐς αὐτὸν στεινός. τοῦτον τῆι γλώσσηι τῆι ἐπιχωρίηι Γυναικῶν λιμένα ἐκάλεον ὅτι γυνὴ τοῦ χώρου τούτου πρώτη ἐπῆρξεν. (6) ὡς δὲ διὰ τῶν σκοπέλων διεξέπλεον, κύμασί τε μεγάλοις ἐνέκυρσαν καὶ τῆι θαλάσσηι ῥοώδει· ἀλλὰ ἐκπεριπλῶσαι γὰρ ὑπὲρ τοὺς σκοπέλους μέγα ἔργον ἐφαίνετο. (7) ἐς δὲ τὴν ὑστεραίην ἔπλεον νῆσον ἐς ἀριστερὰ ἔχοντες πρὸ τοῦ πελάγεος, οὕτω τι τῶι αἰγιαλῶι συναφέα ὥσπε εἰκάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰγιαλοῦ καὶ τῆς νήσου· στάδιοι οἱ πάντες ἑβδομήκοντα τοῦ διέκπλου· καὶ ἐπί τε τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολλὰ καὶ δασέα, καὶ ἡ νῆσος ὕλης παντοίης σύσκιος. (8) ὑπὸ δὲ τὴν ἕω ἔπλεον ἔξω τῆς νήσου κατὰ ῥηχίην στενήν· ἔτι γὰρ ἡ ἀνάπωτις κατεῖχε. πλώσαντες δὲ ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους ὁρμίζονται ἐν τῶι στόματι τοῦ Ἀράβιος ποταμοῦ· καὶ λιμὴν μέγας καὶ καλὸς πρὸς τῶι στόματι· ὕδωρ δὲ οὐκ ἦν πότιμον· τοῦ γὰρ Ἀράβιος αἱ ἐκβολαὶ ἀναμεμιγμέναι τῶι πόντωι ἦσαν. (9) ἀλλὰ τεσσαράκοντα σταδίους ἐς τὸ ἄνω προχωρήσαντες λάκκωι ἐπιτυγχάνουσι, καὶ ἔνθεν ὑδρευσάμενοι ὀπίσω ἀπενόστησαν. (10) νῆσος δὲ ἐπὶ τῶι λιμένι ὑψηλὴ καὶ ἔρημος· καὶ περὶ ταύτην ὀστρέων τε καὶ ἰχθύων παντοδαπῶν θήρα.

16 ἐνθένδε He ἔνθεν δὲ A 17 διεκπλώσαντες Schm διὴ ἐκπλ— A
30 (u. p. 687, 5; 9 δ.) ῥηχείην A

(11) μέχρι μὲν τοῦδε Ἀράβιες, ἔσχατοι Ἰνδῶν ταύτῃ οἰκισμένοι, τὰ δὲ ἀπὸ τοῦδε Ὠρεῖται ἐπεῖχον.

(23) ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολῶν τοῦ Ἀράβιος παρέπλεον τῶν Ὠρειτέων τὴν χώρην, καὶ ὁρμίζονται ἐν Παγάλοισι, πλώσαντες σταδίους ἐς διακοσίους, πρὸς ῥηχίῃ· ἀλλὰ ἀγκύρῃσι γὰρ ἐπίβολος ἦν ὁ χῶρος. τὰ μὲν οὖν πληρώματα ἀπεσάλευον ἐν τῇσι νηυσίν· οἱ δὲ ἐφ' ὕδωρ ἐκβάντες ὑδρεύοντο. (2) τῇ δὲ ὑστεραίῃ ἀναχθέντες ἅμα ἡμέρῃ καὶ πλώσαντες σταδίους ἐς τριάκοντα καὶ τετρακοσίους κατάγονται ἑσπέριοι ἐς Κάβανα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ· καὶ ἐνταῦθα ῥηχίη τραχείη ἦν, καὶ ἐπὶ τῷιδε μετεώρους τὰς νέας ὡρμίσαντο. (3) κατὰ τοῦτον τὸν πλόον πνεῦμα ὑπολαμβάνει τὰς νέας μέγα ἐκ πόντου, καὶ νέες δύο μακραὶ διαφθείρονται ἐν τῶι πλόωι, καὶ κέρκουρος· οἱ δὲ ἄνθρωποι σώζονται ἀπονηξάμενοι, ὅτι οὐ πόρρω τῆς γῆς ὁ πλόος ἐγίνετο. (4) ἀμφὶ δὲ μέσας νύκτας ἀναχθέντες πλέουσιν ἔστε ἐπὶ Κώκαλα, ⟨ἃ⟩ τοῦ αἰγιαλοῦ ἔνθεν ὡρμήθησαν ἀπεῖχε σταδίους διακοσίους· καὶ αἱ μὲν νῆες σαλεύουσαι ὥρμεον, τὰ πληρώματα δὲ ἐκβιβάσας Νέαρχος πρὸς τῇι γῆι ηὐλίσθη, ὅτι ἐπὶ πολλὸν τεταλαιπωρηκότες ἐν τῇι θαλάσσηι ἀναπαύσασθαι ἐπόθεον· στρατόπεδον δὲ περιεβάλετο τῶν βαρβάρων τῆς φυλακῆς ἕνεκα. (5) ἐν τούτωι τῶι χώρωι Λεοννάτος, ὅτωι τὰ Ὠρειτῶν ἐξ Ἀλεξάνδρου ἐπιτέτραπτο, μάχηι μεγάληι νικᾶι Ὠρείτας τε καὶ ὅσοι Ὠρείταις συνεπέλαβον τοῦ ἔργου· καὶ κτείνει αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάντας. τῶν δὲ σὺν Λεοννάτωι ἱππεῖς μὲν ἀποθνήσκουσι πεντεκαίδεκα, τῶν δὲ πεζῶν ἄλλοι τε οὐ πολλοὶ καὶ Ἀπολλοφάνης ὁ Γαδρωσίων σατράπης. (6) ταῦτα μὲν δὴ ἐν τῇι ἄλλῃι ξυγγραφῇι (Anab. VI 22, 1—3; VII 5, 5) ἀναγέγραπται, καὶ ὅπως Λεοννάτος ἐπὶ τῷιδε ἐστεφανώθη πρὸς Ἀλεξάνδρου χρυσῶι στεφάνωι ἐν Μακεδόσιν. (7) ἐνταῦθα σῖτος ἦν νενεμημένος κατὰ πρόσταγμα Ἀλεξάνδρου ἐς ἐπισιτισμὸν τῶι στρατῶι, καὶ ἐμβάλλονται σιτία ἡμερέων δέκα ἐς τὰς νέας. (8) καὶ τῶν νεῶν ὅσαι πεπονήκεσαν κατὰ τὸν πλόον μέχρι τοῦδε ἐπεσκεύασαν· καὶ τῶν ναυτέων ὅσοι ἐν τῶι ἔρχωι βλακεύειν ἐφαίνοντο Νεάρχωι, τούτους μὲν πεζῇ ἄγειν Λεοννάτωι ἔδωκεν· αὐτὸς δὲ ἀπὸ τῶν σὺν Λεοννάτωι στρατιωτῶν συμπληροῖ τὸ ναυτικόν. (24) ἐνθένδε ὁρμηθέντες ἔπλεον ἀκραιέϊ· καὶ διελθόντες σταδίους ἐς πεντακοσίους ὡρμίζοντο πρὸς ποταμῶι χειμάρρωι· Τόμηρος ἦν ὄνομα τῶι ποταμῶι. (2) καὶ λίμνη ἦν ἐπὶ ταῖς ἐκβολαῖς τοῦ ποταμοῦ· τὰ δὲ βραχέα τὰ πρὸς τῶι αἰγιαλῶι ἐπώικιον ἄνθρωποι ἐν καλύβαις πνιγηραῖς. καὶ οἵτοι ὡς

---

4 *Παγάλοισι*: *Πηγάδαι* Philostr. vit. Apoll. III 54 5 *ἐπίβολος*? Rei 8 τριάκοντα καὶ τετρακ. A (υλ' mg) τριακοσίους al 9 *Κάβανα*: *Κοίαμβα* Ptolem. VI 21, 2? 14 ⟨ἃ⟩ Rei Schm 20 συνεπελάβοντο al 26 *νενημένος* Dobree 38 *Tonberus* (*tonbrerus*, *tormenus*) Plin. NH VI 96 *Tubero* Mela III 71 (*πόλιν Στόβηρα* Philostr. vit. Apoll. III 55)

προσπλέοντας εἶδον, ἐθάμβησάν τε καὶ παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλὸν ἐτάχθησαν ὡς ἀπομαχοίμενοι πρὸς τοὺς ἐκβαίνοντας. (3) λόγχας δὲ ἐφόρεον παχέας, μέγεθος ὡς ἑξαπήχεας· ἀκωκὴ δὲ οὐκ ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτῆισι πεπυρακτωμένον ταὐτὸ ἐποίεε. πλῆθος δὲ ἦσαν ὡς ἑξακόσιοι. (4) καὶ τούτους Νέαρχος ὡς ὑπομένοντάς τε καὶ παρατεταγμένους κατεῖδε, τὰς μὲν νέας ἀνακωχεύειν κελεύει ἐντὸς βέλους, ὡς τὰ τοξεύματα ἐς τὴν γῆν ἀπ' αὐτῶν ἐξικνεῖσθαι· αἱ γὰρ τῶν βαρβάρων λόγχαι παχέαι φαινόμεναι ἀγχέμαχοι μέν, ἄφοβοι δὲ ἐς τὸ ἐσακοντίζεσθαι ἦσαν. (5) αὐτὸς δὲ τῶν στρατιωτῶν ὅσοι αὐτοί τε κουφότατοι καὶ κουφότατα ὡπλισμένοι τοῦ τε νεῖν δαημονέστατοι, τούτους δὲ ἐκνήξασθαι κελεύει ἀπὸ ξυνθήματος. (6) πρόσταγμα δὲ σφίσιν ἦν, ὅπως τις ἐκνήξάμενος σταίη ἐν τῶι ὕδατι, προσμένειν τὸν παραστάτην οἱ ἑσόμενον, μηδ' ἐμβάλλειν πρόσθεν πρὸς τοὺς βαρβάρους, πρὶν ἐπὶ τριῶν ἐς βάθος ταχθῆναι τὴν φάλαγγα· τότε δρόμωι ἤδη ἰέναι ἐπαλαλάξαντας. (7) ἅμα δὲ ἐρρίπτουν ἑωυτοὺς οἱ ἐπὶ τῶιδε τεταγμένοι ἐκ τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο ὀξέως. καὶ ἵσταντο ἐν κόσμωι, καὶ φάλαγγα ἐκ σφῶν ποιησάμενοι δρόμωι ἐπήισαν αὐτοί τε ἀλαλάζοντες τῶι Ἐνυαλίωι, καὶ οἱ ἐπὶ τῶν νεῶν ξυνεπηχέοντες, τοξεύματά τε καὶ ἀπὸ μηχανῶν βέλεα ἐφέροντο ἐς τοὺς βαρβάρους. (8) οἱ δὲ τήν τε λαμπρότητα τῶν ὅπλων ἐκπλαγέντες καὶ τῆς ἐφόδου τὴν ὀξύτητα, καὶ πρὸς τῶν τοξευμάτων τε καὶ τῶν ἄλλων βελῶν βαλλόμενοι οἷα δὴ ἡμιγυμνοι ἄνθρωποι οὐδὲ ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι· καὶ οἱ μὲν αὐτοῦ φεύγοντες ἀποθνήσκουσιν, οἱ δὲ καὶ ἁλίσκονται, ἔστι δὲ οἳ καὶ διέφυγον ἐς τὰ ὄρεα. (9) ἦσαν δὲ οἱ ἁλόντες τά τε ἄλλα σώματα δασέες καὶ τὰς κεφαλάς, καὶ τοὺς ὄνυχας θηριώδεις· τοῖσι γὰρ δὴ ὄνυξιν ὅσα σιδήρωι διαχρᾶσθαι ἐλέγοντο, καὶ τοὺς ἰχθύας τούτοισι παρασχίζοντες κατεργάζεσθαι καὶ τῶν ξύλων ὅσα μαλακώτερα· τὰ δὲ ἄλλα τοῖς λίθοισι τοῖσιν ὀξέσιν ἔκοπτον· σίδηρος γὰρ αὐτοῖσιν οὐκ ἦν. ἐσθῆτα δὲ ἐφόρεον δέρματα θήρεια· οἱ δὲ καὶ ἰχθύων τῶν μεγάλων τὰ παχέα. (25) ἐνταῦθα νεωλκοῦσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι αὐτῶν ἐπισκευάζουσι. τῆι δὲ ἕκτηι ἡμέρηι ἐστέλλοντο, καὶ πλώσαντες σταδίους ἐς τριακοσίους ἀφικνέονται ἐς χῶρον, ὃς δὴ ἔσχατος ἦν τῆς Ὠρειτῶν γῆς· Μάλανα τῶι χώρωι ὄνομα.

---

2—4 λόγχας — ἐποίεε Suid. s. ἀκωκή 3 ἐφόρεον: εἶχον Suid οὐκ ὑπῆν Suid 4 αὐτοῖσι B αὐταῖς Suid ἐποίησεν Suid 5 ὡς al εὖς (!) A 8 ἐσακοντίζεσθαι AB ἄκον — al 9—11 ὅσοι — ξυνθήματος Suid. s. νεῖν 11 συνθήματος Suid 11—12 πρόσταγμα — ἑσόμενον Suid. s. παραστατεῖν 13 μηδ' ἐμβάλλειν Schm μηδὲ βάλλειν A ἐς τοὺς βαρβάρους Schm 14 τότε δὴ B vulg ἰέναι A om al 16—17 φάλαγγα — Ἐνυαλίωι Suid. s. Ἐνυάλιος. 18 συνεπήχεον He 19 ἐφέρετο He 22 αὐτοῦ: αὐτῶν Cast 24 ⟨καὶ τά⟩ σώματα Cast [σώματα] He

(2) Ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης οἰκέουσιν ἐσταλμένοι μὲν κατάπερ Ἰνδοί εἰσι, καὶ τὰ ἐς πόλεμον ὡσαύτως παραρτέονται. γλῶσσα δὲ ἄλλη αὐτοῖσι καὶ ἄλλα νόμαια.

(3) μῆκος τοῦ παράπλου παρὰ μὲν χώρην τὴν Ἀραβίων ἐς χιλίους (F 24)
μάλιστα σταδίους, ἔνθενπερ ὡρμήθησαν, παρὰ δὲ τὴν Ὠρειτῶν γῆν ἑξακόσιοι καὶ χίλιοι. (4) παραπλεόντων δὲ τὴν Ἰνδῶν γῆν — τὸ ἐντεῦθεν γὰρ οὐκέτι Ἰνδοί εἰσιν — λέγει Νέαρχος ὅτι αἱ σκιαὶ αὐτοῖσιν οὐ ταὐτὸ ἐποίεον· (5) ἀλλὰ ὅπου μὲν ἐπὶ πολὺ τοῦ πόντου ὡς πρὸς μεσημβρίην προχωρήσειαν, αἳ δὲ καὶ αὐταὶ [αἱ σκιαὶ] πρὸς μεσημβρίην τεταραμμέναι ἐφαίνοντο, ὁπότε δὲ τὸ μέσον τῆς ἡμέρης ἐπέχοι ὁ ἥλιος, ἤδη δὲ καὶ ἔρημα σκιῆς πάντα ὥφθη αὐτοῖσι· (6) τῶν τε ἀστέρων ὅσους πρόσθεν μετεώρους κατεώρων, (F 16)
οἱ μὲν ἀφανέες πάντη ἦσαν, οἱ δὲ πρὸς αὐτῇ τῇ γῇ ἐφαίνοντο, καταδύνοντές τε καὶ αὐτίκα ἀνατέλλοντες, οἱ πάλαι ἀειφανέες. (7) καὶ ταῦτα οὐκ ἀπεικότα δοκεῖ μοι ἀναγράψαι Νέαρχος, ἐπεὶ καὶ ἐν Συήνῃ .....

(26) ἐπὶ δὲ Ὠρείτῃσι κατὰ μὲν μεσογαίην Γαδρώσιοι ἐπεῖχον, ὧν (F 9)
τὴν χώραν χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρατιῇ Ἀλέξανδρος, καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ ξύμπαντα τῆς [συμ]πάσης στρατηλασίης· ταῦτά μοι ἐν τῇι μέζονι ξυγγραφῇι (Anab. VI 22—27) ἀναγέγραπται. (2) κάτω δὲ Γαδρωσίων παρὰ τὴν θάλασσαν αὐτὴν οἱ Ἰχθυοφάγοι καλεόμενοι οἰκοῦσι. παρὰ τούτων τὴν γῆν ἔπλεον. τῇι μὲν πρώτηι ἡμέρηι περὶ τὴν δευτέρην φυλακὴν ἀναχθέντες καταίρουσιν εἰς Βαγίσαρα· στάδιοι τοῦ παράπλου ἑξακόσιοι. (3) λιμήν τε ἔνι αὐτόθι εὔορμος, καὶ κώμη Πάσιρα, ἀπέχουσα ἀπὸ θαλάσσης ἑξήκοντα σταδίους· καὶ οἱ πρόσοικοι αὐτῆς Πασιρέες. (4) ἐς δὲ τὴν ὑστεραίαν πρωιαίτερον τῆς ὥρης ἀναχθέντες περιπλέουσιν ἄκρην ἐπὶ πολύ τι ἀνέχουσαν ἐς τὸν πόντον, καὶ αὐτὴν ὑψηλὴν καὶ κρημνώδεα. (5) φρέατα δὲ ὀρύξαντες, ὕδωρ οὐκ † ὀλίγον καὶ πονηρὸν ἀρυσάμενοι ταύτηι μὲν τῇι ἡμέραι ἐπὶ ἀγκυρέων ὥρμεον, ὅτι ῥηχίη κατὰ τὸν αἰγιαλὸν ἀνεῖχεν. (6) ἐς δὲ τὴν ὑστεραίην καταίρουσιν ἐς Κόλτα, σταδίους ἐλθόντες διακοσίους. ἐνθένδε ἔωθεν πλεύσαντες σταδίους ἑξακοσίους ἐν Καλίμοισιν ὁρμίζονται. κώμη πρὸς τῶι αἰγιαλῶι, φοίνικες δὲ περὶ αὐτὴν ὀλίγοι πεφύκεσαν, καὶ βάλανοι ἐπ' αὐτοῖσι χλωραὶ ἐπῆσαν·

---

3 νόμαια B νόμεα A 10 αὐταὶ Vulc αὖται A [αἱ σκιαί] He 16 ἀειφανέες ἐόντες al 20 [συμ]πάσης Cast 23 περὶ [τὴν] Krueger 25 πασιρα A 27 πρωιαίτερον al πρωίτερον A 28 τι Eb τε A 29 [οὐκ] Rei Schm οὐκ ὀλ. καίπερ Geier καὶ ὀλ. Due οὐ πολλὸν Mue 30 ὥρμεον He ὥρμων A ῥηχίη B ῥηχείη A 31 ἐπεῖχεν He 32 ἐνθένδε He ἔνθεν δὲ A 33 Καλάμοισιν Vulc; Tomaschek 23 (Gloss. ined. Κάλαμα τόπος Γεδρωσίας, καὶ χώρα ὁμώνυμος)

καὶ νῆσος ὡς ἑκατὸν σταδίους ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, Καρνίνη ὄνομα. (7) ἐνταῦθα ξένια Νεάρχωι προσφέρουσιν οἱ κωμῆται πρόβατα καὶ ἰχθύας· καὶ τῶν προβάτων τὰ κρέα λέγει ὅτι ἦν ἰχθυώδεα ὡς τοῖς τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι καὶ αὐτὰ ἰχθύων σιτέεται· πόα γὰρ οὐκ ἔνι ἐν τῆι χώρηι. (8) ἀλλὰ τῆι ὑστεραίηι πλεύσαντες ἐς σταδίους διακοσίους ὁρμίζονται πρὸς αἰγιαλῶι καὶ κώμηι ἀπὸ θαλάσσης ἐς σταδίους τριάκοντα ἀπεχούσηι. ἡ μὲν κώμη Κύσα ἐκαλέετο· Καρδὶς δὲ τῶι αἰγιαλῶι ὄνομα ἦν. (9) ἐνταῦθα πλοίοισιν ἐπιτυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων εἶναι πλοῖα οὐκ εὐδαιμόνων· αὐτοὺς δὲ οὐ καταλαμβάνουσιν· ἀλλ' ἔφυγον γὰρ καθορμιζομένας κατιδόντες τὰς νέας. σῖτός τε αὐτόθι οὐκ ἐνῆν, καὶ ἐπελελοίπει τὴν στρατιὴν ὁ πολλός· ἀλλὰ αἶγας ἐμβαλόμενοι ἐς τὰς νέας, οὕτω δὴ ἀπέπλεον. (10) καὶ περιπλώσαντες ἄκρην ὑψηλὴν ὅσον πεντήκοντα καὶ ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν πόντον, κατάγονται ἐν λιμένι ἀκλύστωι. καὶ ὕδωρ αὐτόθι ἦν, καὶ ἁλιέες ὤικεον. Μόσαρνα ὄνομα ἦν τῶι λιμένι. (27) ἐνθένδε κατηγεῖ Ὑδράκης οὔνομα Γαδρώσιος· ὑπέστη δὲ Ὑδράκης καταστήσειν αὐτοὺς μέχρι Καρμανίης. τὸ δὲ ἀπὸ τοῦδε οὐκέτι καλεπὰ ἦν ἀλλὰ μᾶλλόν τι ὀνομαζόμενα, ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν. (2) ἐκ δὲ Μοσάρνων νυκτὸς ἐπάραντες πλώουσι σταδίους ἑπτακοσίους καὶ πεντήκοντα ἐς Βάλωμον αἰγιαλόν· ἐνθένδε ἐς Βάρνα κώμην σταδίους τετρακοσίους, ἵνα φοίνικές τε πολλοὶ ἐνῆσαν καὶ κῆπος· καὶ ἐν τῶι κήπωι μύρριναι ἐπεφύκεσαν καὶ ἄλλα ἄνθεα, ἀφ' ὅτων στεφανώματα τῆισι κόμηισιν ἐπλέκοντο. ἐνταῦθα πρῶτον δένδρεά τε εἶδον ἥμερα καὶ ἀνθρώπους οὐ πάντη θηριώδεας ἐποικέοντας. (3) ἐνθένδε ἐς διακοσίους σταδίους περιπλώσαντες καταίρουσιν ἐς Δενδρόβοσα, καὶ αἱ νέες ἐπ' ἀγκυρέων ἐσάλευσαν. (4) ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες ἐς Κώφαντα λιμένα ἀπίκοντο, τετρακοσίους μάλιστα σταδίους διεκπλώσαντες. (5) ἐνταῦθα ἁλιέες τε ὤικεον, καὶ πλοῖα αὐτοῖσιν ἦν μικρὰ καὶ πονηρά· καὶ ταῖς κώπαις οὐ κατὰ σκαλμὸν ἤρεσσον, ὡς ὁ Ἑλλήνων νόμος, ἀλλ' ὥσπερ ἐν

---

1 καρνίνη A καρβίνη Paris. 1488 (Mue) Κάρμινα Ptol. VI 8, 16; Steph. Byz. s. v. 3—4 ὡς τοῖς: ἴσα τοῖς Due 11 ἐπελελοίπει He (c. 27, 9; 29, 2) ὑπολελείποι A (Lysias 27, 1) ἐπιλελοίπει Ellendt 15 ⟨ἐτ⟩ώικεον Cast Μουσάρνα Ptolem. VI 8, 9 15—16 κατηγεμών He καὶ ἡγεμὼν A 18 τὰ δὲ Vulc vulg 19 ὀνομαζόμενα (vgl. Peripl. P. Eux. 20 ἔρημα καὶ ἀνώνυμα): εὐλιμενώτερα o. συνοικεόμενα He εὔορμα Eb ὁρμίζεσθαι παρεχόμενα Cast ὅρμον παρεχόμενα Vitelli 20 μοσάρνων A [επ]ἀραντες He 21 Βάρνα: Βάδ(α)ρα Mue Tomaschek 29 (Ptolem. VI 8, 9; Βαλάρους Philostrat. vit. Apoll. III 56) 23—24 τῆισι κόμηισιν Schm ('intellege de nautis et classiariis Nearchi'; An. V 2, 6) τῆισι κωμήτηισιν A 25 ἐπωκέοντας A

ποταμῶι τὸ ὕδωρ ἐπιβάλλοντες ἔνθεν καὶ ἔνθεν, κατάπερ οἱ σκάπτοντες τὴν γῆν. ὕδωρ δὲ πολύ τε ἦν ἐν τῶι λιμένι καὶ καθαρόν. (6) περὶ δὲ πρώτην φυλακὴν ἄραντες καταίρουσιν ἐς Κύιζα ἐς ὀκτακοσίους σταδίους διεκπλώσαντες, ἵνα αἰγιαλός τε ἔρημος ἦν καὶ ῥαχίη. αὐτοὶ ὧν ἐπ' ἀγκυρέων ὥρμεον κατὰ ναῦν τε ἐδειπνοποιέοντο. (7) ἐνθένδε διεκπλώσαντες σταδίους πεντακοσίους ἀπίκοντο ἔς τινα πόλιν μικρήν, οἰκεομένην ἐπὶ γηλόφου οὐ πόρρω τοῦ αἰγιαλοῦ. (8) καὶ Νέαρχος ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν χώρην εἰκός, λέγει πρὸς Ἀρχίην, ὃς ἦν Ἀναξιδότου μὲν παῖς, Πελλαῖος, συνέπλει δὲ Νεάρχωι, τῶν ἐν αἴνηι ὧν Μακεδόνων, πρὸς τοῦτον λέγει, ὅτι καταληπτέον σφίσιν εἴη τὸ χωρίον· (9) ἑκόντας τε γὰρ οὐκ ἂν οἴεσθαι δοῦναι τῆι στρατιῆι σιτία, βίηι τε οὐχ οἷόν τε εἶναι ἐξαιρέειν, πολιορκίης δὲ καὶ τριβῆς δεήσειν· σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία· ὅτι δὲ ἡ γῆ σιτοφόρος, τῆι καλάμηι τεκμηριοῦσθαι, ἤντινα οὐ πόρρω τοῦ αἰγιαλοῦ ἀφεώρων βαθέην. (10) ταῦτα ἐπεὶ σφίσιν ἐδόκεε, τὰς μὲν ἄλλας νέας κελεύει παραρτέεσθαι ὡς ἐς πλόον· καὶ ὁ Ἀρχίης αὐτῶι ἐξήρτυε τὰ ἐς τὸν πλόον· αὐτὸς δὲ ὑπολειφθεὶς μετὰ μιῆς νεὼς ἐπὶ θέαν δῆθεν τῆς πόλιος ἤιει. (28) προσάγοντι δὲ αὐτῶι πρὸς τὰ τείχεα φιλίως ξένια ἔφερον ἐκ τῆς πόλιος θύννους τε ἐν κριβάνοισιν ὀπτούς — οὗτοι γὰρ ἔσχατοι τῶν Ἰχθυοφάγων οἰκέοντες πρῶτοι αὐτοῖσιν ὤφθησαν οὐκ ὠμοφαγέοντες — καὶ πέμματα ὀλίγα καὶ βαλάνους τῶν φοινίκων. (2) ὁ δὲ ταῦτα μὲν ἀσμένως δέκεσθαι ἔφη, ἐθέλειν δὲ θείσασθαι τὴν πόλιν· οἱ δὲ εἴων παρελθεῖν. (3) ὡς δὲ εἴσω πυλῶν παρῆλθε, δύο μὲν τῶν τοξοτῶν κατέχειν κελεύει τὴν πυλίδα, αὐτὸς δὲ μετὰ δύο ἄλλων καὶ τοῦ ἑρμηνέως ἐπὶ τὸ τεῖχος τὸ ταύτηι ἀνελθὼν ἐσήμηνε τοῖς ἀμφὶ τὸν Ἀρχίην ὅπως συνέκειτο· τὸν μὲν ⟨ὧν⟩ σημῆναι, τὸν δὲ συμβαλόντα ποιέειν τὸ τεταγμένον. (4) ἰδόντες δὲ τὸ σημήιον οἱ Μακεδόνες ἐπώκελλόν τε κατὰ τάχος τὰς νέας καὶ ἐξεπήδων σπουδῆι ἐς τὴν θάλασσαν. οἱ δὲ βάρβαροι ἐκπλαγέντες τοῖς γινομένοις ἐπὶ τὰ ὅπλα ἔθεον. (5) ὁ δὲ ἑρμηνεὺς ὁ σὺν Νεάρχωι ἐκήρυσσε σῖτον διδόναι τῆι στρατιῆι, εἰ σώαν ἐθέλουσιν ἔχειν τὴν πόλιν· οἱ δὲ ἠρνοῦντο εἶναι σφίσιν, καὶ ἅμα προσέβαλον τῶι τείχει· ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ τοξόται οἱ ἀμφὶ τὸν Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες. (6) ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω ἀνδραπο-

1 ⟨χώματι τῶι⟩ ποταμῶι Rei ἀναβάλλοντες He 4 ῥαχίη AB ῥηχίη al 5 ναῦν $A^1$ (?) al νέαν $A^2$ (?) νέας Schm αὐτοὶ A αὐτοῦ He αὐτόθι Eb 6 σμικρὴν B ⟨ὧν⟩? He 7—10 Νέαρχος — χωρίον Suid. s. ἐπιφρασθείς 9 πρὸς τοῦτον 10 καταληπτέα Suid 17—20 ξένια — φοινίκων Suid. s. πέμματα; s. κρίβανον 19 πρῶτοι Raphelius πρώτοισιν A πρῶτοι ἐν Rei 20 βαλάνους φοινίκων Suid 21 ἀσμενος He 25—26 συνέκειτο — τεταγμένον Suid. s. συμβαλόντα 25 ⟨ὧν⟩ Vulc συνέκειτο γὰρ τὸν μὲν Suid 26 δὲ: γὰρ? 29 εἰ σώαν B εἰσω ἂν A al ἐθέλουσιν Due ἐθέλωσιν A

διισθησομένην σφίσι τὴν πόλιν, τότε δὲ δὴ ἐδέοντο τοῦ Νεάρχου, τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσι λαβόντα ἀπάγειν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. (7) Νέαρχος δὲ τὸν μὲν Ἀρχίην κελεύει καταλαβεῖν τὰς πύλας καὶ τὸ κατ' αὐτὰς τεῖχος· αὐτὸς δὲ συμπέμπει τοὺς κατοψομένους τὸν σῖτον, εἰ ἀδόλως δεικνύουσιν. (8) οἱ δὲ τὸ μὲν ἀπὸ τῶν ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολὺ ἐδείκνυσαν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας· καὶ γὰρ καὶ ἐτύγχανον σίτωι μὲν τῶι ἀπὸ τῶν ἰχθύων, τοῖσι δὲ ἄρτοισιν ὅσα ὄψωι διαχρεόμενοι. (9) ὡς δὲ τὰ ὄντα ἐπιδείκνυον, οὕτω δὴ ἐκ τῶν παρόντων ἐπισιτισάμενοι ἀνήγοντο, καὶ ὁρμίζονται πρὸς ἄκρην, ἣντινα οἱ ἐπιχώριοι ἱρὴν Ἡλίου ἦγον· οὔνομα τῆι ἄκρηι Βάγεια. (29) ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες διεκπλώουσι σταδίους ἐς χιλίους ἐς Τάλμενα λιμένα εὔορμον. ἐνθένδε ἐς Κανασίδα πόλιν ἐρήμην σταδίους ἐς τετρακοσίους, ἵνα τινὶ φρέατι ὀρυκτῶι ἐπιτυγχάνουσι, καὶ φοίνικες ἄγριοι ἐπεφύκεσαν· τούτων τοὺς ἐγκεφάλους κόπτοντες ἐσιτέοντο. (2) σῖτος γὰρ ἐπελελοίπει τὴν στρατιήν· καὶ κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες ἔπλεον τήν τε ἡμέρην καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῶι ἐρήμωι. (3) Νέαρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες ἀπολίποιεν τὰς νέας ὑπὸ ἀθυμίης, ἐπὶ τῶιδε μετεώρους ἔσχε τὰς νέας ἐπ' ἀγκυρέων. (4) ἐνθένδε ἀναχθέντες ἐς Κανάτην ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεντήκοντα διεκπλώσαντες. ἔστι δὲ καὶ αἰγιαλὸς ἐν αὐτῶι καὶ διώρυχες βραχεῖαι. (5) ἐνθένδε σταδίους ὀκτακοσίους πλώσαντες ἐν Ταοῖσιν ὁρμίζονται· κῶμαι δὲ μικραὶ καὶ πονηραὶ ἐπῆσαν· καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκία, αὐτοὶ δὲ σίτωι τινὶ ὀλίγωι ἐπιτυγχάνουσι, καὶ βαλάνοις ἐκ φοινίκων· καὶ καμήλους ἑπτὰ ὅσαι ἐγκατελείφθησαν κατασταδίους τριακοσίους πλώουσι, καὶ καθορμίζονται ἐς Δαγάσειρα· ἔνθα νομάδες τινὲς ἄνθρωποι ὤικεον. (7) ἐνθένδε ἄραντες τήν τε νύκτα καὶ τὴν ἡμέρην οὐδέν τι ἐλινύοντες ἔπλεον· ἀλλὰ διελθόντες γὰρ σταδίους χιλίους τε καὶ ἑκατὸν ἐξέπλωσαν τὸ ἔθνος τῶν Ἰχθυοφάγων, πολλὰ κακὰ ταύτηι παθόντες ἀπορίηι τῶν ἀναγκαίων. (8) ὁρμίζονται δὲ οὐ πρὸς τῆι γῆι, ῥηχίη γὰρ ἦν ἐπὶ πολλὸν ἀνέχουσα, ἀλλὰ μετέωροι ἐπ' ἀγκυρέων.

μῆκος τοῦ παράπλου τῶν Ἰχθυοφάγων τῆς χώρης ὀλίγω πλεῦνες στάδιοι μύριοι.

(9) οὗτοι οἱ Ἰχθυοφάγοι σιτέονται, κατότι περ καὶ κληίζονται, ἰχθύας· ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς ἰχθύας· ὀλίγοισι γὰρ καὶ

---

1 τότε [δὲ] δὴ He 2 ἀπαγαγεῖν He 9 ἄκρηι He 11 Γάλμενα? Mue Mue ὡς: ἐς He 12 Κανασίδα: Καναδίσα Vincent 19 Κανάγην? 22 ταοισιν A 23 ἐνθεν δὲ A 28 οικία Due οικεῖα A 27 ἐνθένδε He

πλοῖα ἐπὶ τῶιδε πεποίηται καὶ τέχνη ἐξεύρηται ἐπὶ τῇι θήρηι τῶν ἰχθύων· τὸ πολὺ δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει. (10) οἱ δὲ καὶ δίκτυα ἐπὶ τῶιδε πεποίηνται, μέγεθος καὶ ἐς δύο σταδίους τὰ πολλὰ αὐτῶν· πλέκουσι δὲ αὐτὰ ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων, στρέφοντες τὸν φλοιὸν ὥσπερ λίνον. (11) ἐπειὰν δὲ ἡ θάλασσα ὑπονοστήσηι, καὶ γῆ ὑπολειφθῆι, ἵνα μὲν ξηρὴ ἡ γῆ ὑπολείπεται, ἐρήμη τὸ πολύ ἐστιν ἰχθύων· ἔνθα δὲ βαθέα ἐστίν, ὑπολείπεταί τι τοῦ ὕδατος, καὶ ἐν τῶιδε κάρτα πολλοὶ ἰχθύες, οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ καὶ μέζονες· τούτοις περιβάλλοντες τὰ δίκτυα αἱρέουσι. (12) σιτέονται δὲ ὠμοὺς μέν, ὅπως ἀνειρύουσιν ἐκ τοῦ ὕδατος, τοὺς ἀπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς τε καὶ σκληροτέρους ὑπὸ ἡλίωι αἰαίνοντες, εὖτ' ἂν ἀφανανθῶσι, καταλοῦντες ἄλευρα ἀπ' αὐτῶν ποιέονται καὶ ἄρτους· οἱ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσσουσι. (13) καὶ τὰ βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέονται· ἡ γὰρ χώρη ἔρημος λειμώνων, οὐδὲ ποίην φέρει. (14) θηρεύουσι δὲ καὶ καράβους πολλαχῆ καὶ ὄστρεα καὶ τὰ κογχύλια. ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῆι χώρηι. * * ἀπὸ τούτων ἔλαιον ποιέουσιν. (15) οἱ μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰκέουσιν, ἀδενδρόν τε τὴν χώρην καὶ ἄφορον καρπῶν ἡμέρων, τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δίαιτα πεποίηται· ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον τῆς χώρης, καὶ τούτωι κατάπερ ὄψωι χρῶνται πρὸς τοὺς ἰχθύας· ὁ γὰρ σῖτος αὐτοῖσίν εἰσιν οἱ ἰχθύες. (16) οἰκία δὲ πεποίηνται οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν, ὅσα (F 30) κήτεα ἐκβάλλει ἡ θάλασσα τούτων τὰ ὀστᾶ ἐπιλεγόμενοι καὶ τούτοισιν ἀντὶ ξύλων χρεόμενοι· καὶ θύρας τὰ ὀστέα ὅσα πλατέα αὐτῶν ἁλίσκεται ἀπὸ τούτων ποιέονται. τοῖσι δὲ πολλοῖς καὶ πενεστέροισιν ἀπὸ τῶν ἀκανθῶν τῶν ἰχθύων τὰ οἰκία ποιέεται.

(30) κήτεα δὲ μεγάλα ἐν τῆι ἔξω θαλάσσηι βόσκεται, καὶ ἰχθύες πολὺ μέζονες ἢ ἐν τῆιδε τῆι εἴσω. (2) καὶ λέγει Νέαρχος, ὁπότε ἀπὸ Κυίζων (c. 27, 6) παρέπλεον, ὑπὸ τὴν ἕω ὀφθῆναι ὕδωρ ἄνω ἀναφυσώμενον τῆς θαλάσσης, οἷά περ ἐκ πρηστήρων βίαι ἀναφερόμενον. (3) ἐκπλαγέντας δὲ σφᾶς πυνθάνεσθαι τῶν κατηγεομένων τοῦ πλόου, ὅτι εἴη

**1 b)** (25) STRAB. XV 2, 11—13: καὶ μικρὸν ὕστερον οἱ περὶ Νέαρχον εἰσέπλεον εἰς τὸν Περσικὸν κόλπον, πολλὰ ταλαιπωρήσαντες διὰ τὴν ἄλην καὶ τὴν ταλαιπωρίαν καὶ τὰ μεγέθη τῶν κητῶν. (12) εἰκὸς μὲν οὖν πρὸς ὑπερβολὴν ἠδολεσχηκέναι πολλὰ τοὺς πλεύ-

6 ἵνα μὲν ξ. [ἡ γῆ] ὑ. od. L. μ. ξ. ἡ γῆ [ὑπολείπεται] Cast 15 ὄστρεα Vulc ὄστρια A 16 * * (ἀπὸ θύννων?) Schm 'scil. e piscibus, ostreis et conchyliis atque sale faciunt oleum, hoc est muriam, garum' Rei 19 ⟨ὀλίγον⟩ ὅσον? Rei 29¹—30¹ κυιζων A

καὶ ἀπ' ὄτου τὸ πάθημα· τοὺς δὲ ὑποκρίνασθαι ὅτι κήτεα ταῦτα φερόμενα κατὰ τὸν πόντον ἀναφυσᾶι ἐς τὸ ἄνω τὸ ὕδωρ. (3) καὶ τοῖσι ναύτηισιν ἐκπλαγεῖσιν ἐκ τῶν χειρῶν τὰ ἐρετμὰ ἐκπεσεῖν. (4) αὐτὸς δὲ ἐπιὼν παρακαλεῖν τε καὶ θαρσύνειν, καὶ κατ' οὔστινας παραπλέων ἐγένετο, ἐς μέτωπόν τε κελεῦσαι καταστῆσαι ὡς ἐπὶ ναυμαχίηι τὰς νέας, καὶ ἐπαλαλάζοντας ὁμοῦ τῶι ῥοθίωι πυκνήν τε καὶ ξὺν κτύπωι πολλῶι τὴν εἰρεσίαν ποιέεσθαι. (5) οὕτως ἀναθαρσήσαντας ὁμοῦ δὴ πλέειν ἀπὸ ξυνθήματος· ὡς δὲ ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνταῦθα αὐτοὺς μὲν ὅσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι, τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν κτύπον ἀπὸ τῆς εἰρεσίης ὡς ἐπὶ μήκιστον κατασχεῖν. (6) οὕτω δὴ ὁρώμενα ἤδη κατὰ τὰς πρῴρας τῶν νεῶν τὰ κήτεα ἐς βυθὸν δῦναι ἐκπλαγέντα, καὶ οὐ πολλῶι ὕστερον κατὰ τὰς πρύμνας ἀναδύντα ἀνασχεῖν, καὶ τῆς θαλάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα. (7) ἔνθεν κρότον τε ἐπὶ τῆι παραλόγωι σωτηρίαι γενέσθαι τῶν ναυτέων, καὶ αἶνον ἐς τὸν Νέαρχον τῆς τε τόλμης καὶ τῆς σοφίης. (8) τούτων σαντας, ὅμως δ' οὖν εἰρήκασι παραδηλοῦντες ἅμα καὶ τὸ παραστὰν αὐτοῖς πάθος, διότι προσδοκία μᾶλλον ἢ κίνδυνος ὑπῆρχε τοῖς ἀληθέσι. τὸ δὲ μάλιστα ταράττον φυσητήρων μεγέθη, ῥοῦν ἀπεργαζομένων μέγαν ἀθρόων καὶ ἀχλὺν ἐκ τῶν ἀναφυσημάτων, ὥστε τὰ πρὸ ποδῶν μέρη μὴ ὁρᾶσθαι. ἐπεὶ δ' οἱ καθηγεμόνες τοῦ πλοῦ, δεδιότων ταῦτα τῶν ἀνθρώπων, τὴν δ' αἰτίαν οὐχ ὁρώντων, ἐμήνυσαν ὅτι θηρία εἴη, τάχα δ' ἀπαλλάττοιτο σάλπιγγος ἀκούσαντα καὶ κρότου, ἐκ τούτου Νέαρχος ταῖς ναυσὶν ἐπῆγε μὲν τὸ ῥόθιον, καθ' ἅπερ ἐκώλυον, καὶ ἅμα ταῖς σάλπιγξιν ἐφόβει· τὰ δὲ θηρία ἔδυνεν, εἶτ' ἀνεφαίνετο κατὰ πρύμναν, ὥστε ναυμαχίας ἀγωνίαν παρεῖχεν· ἀλλ' αὐτίκα ἀφίστατο. (13) λέγουσιν μὲν οὖν καὶ οἱ νῦν πλέοντες εἰς Ἰνδοὺς μεγέθη θηρίων καὶ ἐπιφανείας, ἀλλ' οὔτε ἀθρόων οὔτ' ἐπιφερομένων πολλάκις, ἀλλ' ἀποσοβηθέντα τῆι κραυγῆι καὶ τῆι σάλπιγγι ἀπαλλάττεσθαι. φασὶ δ' αὐτὰ μὲν μὴ πλησιάζειν τῆι γῆι, τὰ δ' ὁστᾶ διαλυθέντων

1[1] ἀπ' ὄτου ⟨τοῦτο⟩ He ἀπό τοῦ A  3[1] [ταῦτα] He  6[1] ἐρετμὰ A[1](?) ἐρέτμα A[2]  9[2] ἀθρόων Kramer ἀθρόον Strab  16[1]—17[1] ἀναθαρσήσαντας B —τες A  22[2] μέγα τὸ ῥόθιον E  23[1] κτύπον ⟨τὸν⟩ He  24[2] ἐφόβει: ἐφώνει E  32[1] κρότον Jac κρότω A κρότους B vulg

μετεξέτερα τῶν κητέων ἐποκέλλειν πολλαχοῦ τῆς χώρης, ἐπειδὰν ἀνάπωτις κατάσχηι ἐν τοῖσι βραχέσιν ἐχόμενα, τὰ δὲ καὶ ὑπὸ χειμώνων σκληρῶν ἐς τὴν χερσὸν ἐξωθέεσθαι, καὶ οὕτω δὴ κατασηπόμενα ἀπόλλυσθαί τε καὶ τὰς σάρκας αὐτοῖσι περιρρεούσας ὑπολείπειν τὰ ὀστέα χρῆσθαι τοῖσιν ἀνθρώποισιν ἐς τὰ οἰκία. (2) εἶναι ὧν τὰ μὲν ἐν τῆισι πλευρῆισιν αὐτῶν ὀστέα δοκοὺς τοῖσιν οἰκήμασιν ὅσα μεγάλα, τὰ δὲ μικρότερα στρωτῆρας· τὰ δὲ ἐν τῆισι σιαγόσι, ταῦτα δὲ εἶναι τὰ θύρετρα, οἷα δὴ πολλῶν καὶ εἰς εἴκοσι καὶ πέντε ὀργυιὰς ἀνηκόντων τὸ μέγεθος.

(31) εὖτε δὲ παρέπλεον τὴν χώρην τῶν Ἰχθυοφάγων, λόγον ἀκούουσι περὶ νήσου τινός, ἣ κεῖται μὲν ἀπέχουσα τῆς ταύτηι ἠπείρου σταδίους ἐς ἑκατόν, ἐρήμη δέ ἐστιν οἰκητόρων. (2) ταύτην ἱρὴν Ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι καὶ Νόσαλα καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταίρειν ἐθέλειν ἐς αὐτήν· ὅστις δ' ἂν ἀπειρίηι προσχῆι, γίνεσθαι ἀφανέα. (3) ἀλλὰ λέγει Νέαρχος κέρκουρόν σφι ἕνα πλήρωμα ἔχοντα Αἰγυπτίων οὐ πόρρω τῆς νήσου ταύτης γενέσθαι ἀφανέα, καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ πλόου ψιλωθέντα ἐκκυμαίνεσθαι ῥαιδίως καὶ χορηγεῖν τὴν λεχθεῖσαν ὕλην τοῖς Ἰχθυοφάγοις περὶ τὰς καλυβοποιίας. μέγεθος δὲ τῶν κητῶν φησιν ὁ Νέαρχος τριῶν καὶ εἴκοσιν ὀργυιῶν.

1 c) STRABON XV 2, 13: πιστευθέν τι δὲ ἱκανῶς ὑπὸ τῶν ἐν τῶι στόλωι φησὶν ὁ Νέαρχος ἐξελέγξαι ψεῦδος ὄν, ὡς εἴη τις ἐν τῶι πόρωι νῆσος, ἣ ἀφανίζοι τοὺς προσορμισθέντας. κέρκουρον γάρ τινα πλέοντα, ἐπειδὴ κατὰ τὴν νῆσον ταύτην ἐγεγόνει, μηκέτι ὁραθῆναι· πεμφθέντας δέ τινας ἐπὶ τὴν ζήτησιν ἐκβῆναι μὲν μὴ θαρρεῖν εἰς τὴν νῆσον ἐκπλέοντας, ἀναναλεῖν δὲ κραυγῆι τοὺς ἀνθρώπους,

---

2¹ πολλαχῆ? He 6² τριῶν καὶ om. E πηχῶν δύο καὶ ἑβδομήκοντα Epit. *vicenum cubitorum* Plin. NH VI 99 (Onesikritos?) 7¹ δὴ κατασηπόμενα k δημαυτασηπόμενα A 27¹ Νόσαλα: Νόσορα Steph. Byz. s. v. Σέληρα Philostr. v. Apoll. III 56 30¹—31¹ προσσχῆι edd

ἰσχυρίζεσθαι, ὅτι ἄρα κατάραντες ὑπ' ἀγνοίης εἰς τὴν νῆσον γένοιντο ἀφανέες. (4) Νέαρχος δὲ πέμπει κύκλωι περὶ τὴν νῆσον τριηκόντορον, κελεύσας μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοὺς ἀνθρώπους, ὡς μάλιστα ἐν χρῶι παραπλέοντας, καὶ τὸν κυβερνήτην ὀνομάζοντας καὶ ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔνομα· (5) ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὲ αὐτὸς λέγει πλεῦσαι ἐς τὴν νῆσον καὶ κατασχεῖν δὴ προσαναγκάσαι τοὺς ναύτας οὐκ ἐθέλοντας· καὶ ἐκβῆναι αὐτὸς καὶ ἐλέγξαι κενὸν μῦθον ἐόντα τὸν [περὶ τῆι νήσωι] λόγον. (6) ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον ὑπὲρ τῆς νήσου ταύτης λεγόμενον· οἰκῆσαι τὴν νῆσον ταύτην μίαν τῶν Νηρηίδων, τὸ δὲ οὔνομα οὐ λέγεσθαι τῆς Νηρηίδος· ταύτηι δὲ ὅστις πελάσειε τῆι νήσωι τούτωι συγγίνεσθαι μέν, ἰχθὺν δὲ αὐτὸν ἐξ ἀνθρώπου ποιέουσαν ἐμβάλλειν ἐς τὸν πόντον. (7) Ἥλιον δὲ ἀχθεσθέντα τῆι Νηρηίδι, κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ τῆς νήσου· τὴν δὲ ὁμολογεῖν μὲν ὅτι ἐξοικισθήσεται, δεῖσθαι δὲ * * οἱ τὸ πάθημα· καὶ τὸν Ἥλιον ὑποδέξασθαι. (8) τοὺς δὲ δὴ ἀνθρώπους οὕστινας ἂν ποιῆις αὐθις ἐξ ἰχθύων ποιῆσαι· καὶ ἀπὸ τούτων τῶν Ἰχθυοφάγων τὸ γένος καὶ εἰς Ἀλέξανδρον κατελθεῖν. (9) καὶ ταῦτα ὅτι ψεύδεα ἐξελέγχει Νέαρχος, οὐκ ἐπαινῶ αὐτόν ἐγωγε τῆς σοφίης τε καὶ σοφιης .....

μηδενὸς δ' ὑπακούοντος ἐπανελθεῖν. ἁπάντων δ' αἰτιωμένων τὴν νῆσον, αὐτὸς ἔφη πλεῦσαι καὶ προσορμισθεὶς ἐκβῆναι μετὰ μέρους τῶν συμπλευσάντων καὶ περιελθεῖν τὴν νῆσον· ὡς δ' οὐδὲν εὕρισκεν ἴχνος τῶν ζητουμένων, ἀπογνόντα ἐπανελθεῖν καὶ διδάξαι τοὺς ἀνθρώπους, ὡς ἡ μὲν νῆσος ψευδῆ τὴν αἰτίαν ἔχοι — καὶ γὰρ αὐτῶι καὶ τοῖς συνεκβᾶσιν ὁ αὐτὸς ὑπάρξαι φθόρος —, ἄλλος δέ τις τῶι κερκούρωι τρόπος τοῦ ἀφανισμοῦ συμβαίη, μυρίων ὄντων δυνατῶν.

(32) ὑπὲρ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι γῆν πονηρὴν καὶ ψαμμώδεα· ἔνθεν καὶ τὰ πολλὰ κακὰ ἡ στρατιή τε Ἀλεξάνδρωι ἔπαθε καὶ αὐτὸς Ἀλέξανδρος, ὡς μοι ἤδη ἐν τῶι ἄλλωι λόγωι ἀπήγηται (s. c. 26, 1).

1¹ διοχυρίζεσθαι edd 7¹—8¹ τοῖς ἀνθρώποις Rei He 13¹ δὲ: δὴ He 15¹ [δὴ] He 18¹—19¹ [περὶ τ. ν.] Cast 23 ταύτην? 23—24 [τῆι νήσωι] He 28 [δεῖσθαι δὲ] Schm ἐξοικισθήσεσθαι, ἀκεῖσθαι δέ οἱ Geier δεῖσθαι δέ οἱ ⟨καὶ⟩ τὸ πάθημα ⟨παυθῆναι⟩ Due δὲ ⟨καὶ ἐξοικισθῆναι⟩ οἱ Mue

(2) ὡς δὲ ἐς τὴν Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ στρατός, ἐνταῦθα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο, ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτατο ἐς τὸ πέλαγος τρηχείη. (3) ἐνθένδε δὲ ὡσαύτως οὐκέτι πρὸς ἡλίου δυομένου ἔπλωον, ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου καὶ τῆς ἄρκτου οὕτω μᾶλλόν τι αἱ πρῶιραι αὐτοῖσιν ἐπεῖχον· (4) καὶ οὕτω ἡ Καρμανίη τῶν Ἰχθυοφάγων τῆς γῆς καὶ τῶν Ὀρειτῶν εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστί, καὶ ποιώδης μᾶλλόν τι καὶ ἔνυδρος. (5) ὁρμίζονται δὲ ἐν Βάδει χώρωι τῆς Καρμανίης οἰκουμένωι, δένδρεά τε πολλὰ ἥμερα πεφυκότα ἔχοντι πλὴν ἐλαίης καὶ ἀμπέλους ἀγαθάς, καὶ σιτοφόρωι. (6) ἐνθένδε ὁρμηθέντες καὶ διεκπλώσαντες σταδίους ὀκτακοσίους πρὸς αἰγιαλῶι ὁρμίζονται ἐρήμωι, καὶ καθορῶσιν ἄκρην μακρὴν ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος· ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης.

1 d) STRAB. XV 2, 14: τὸ δὲ στόμα τοῦ Περσικοῦ κόλπου ⟨οὐ⟩ μεῖζον διάρματος ἡμερησίου (s. λέγει Νέαρχος.)

(7) καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες τῆς Ἀραβίης ἔλεγον τὴν ἀνίσχουσαν ταύτην ἄκρην, καλέεσθαι ⟨δὲ⟩ Μάκετα· ἔνθεν τὰ κινάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς Ἀσσυρίους ἀγινέεσθαι. (8) καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, ἵναπερ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης, ἥντινα καταντικρὺ ἐφεώρων ἀνέχουσαν ἐς τὸ πέλαγος, ὁ κόλπος — ἐμοί τε δοκεῖ καὶ Νεάρχωι ὡσαύτως ἐδόκεεν — ἐς τὸ εἴσω ἀναχεῖται, ὅπερ εἰκὸς ἡ Ἐρυθρὴ θάλασσα. (9) ταύτην τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ᾽ αὐτὴν πλέειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν κόλπον ἐλαστρεύοντας ταλαιπωρέεσθαι. (10) Νέαρχος δὲ ὑποκρίνεται νήπιον εἶναι Ὀνησίκριτον, εἰ ἀγνοέει ἐπ᾽ ὅτωι ἐστάλη πρὸς Ἀλεξάνδρου ὁ στόλος· (11) οὐ γὰρ ὅτι ἀπορίη ἦν πεζῆι διασωθῆναι πάντα αὐτῶι τὸν στρατόν, ἐπὶ τῶιδε ἄρα ἐκπέμψαι τὰς νέας, ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλουν κατα-

1 e (28) ARRIAN. An. VII 20, 9: ἄκρην ... ἣν δὴ καὶ τοὺς σὺν Νεάρχωι ἀπὸ τῆς Ἰνδικῆς πλέοντας, πρὶν ἐπικάμψαι ἐς τὸν κόλπον τὸν Περσικόν, οὐ πόρρω ἀνατείνουσαν ἰδεῖν τε καὶ παρ᾽ ὀλίγον ἐλθεῖν διαβαλεῖν ἐς αὐτήν, καὶ Ὀνησικρίτωι τῶι κυβερνήτηι ταύτηι δοκοῦν. ἀλλὰ Νέαρχος λέγει ὅτι αὐτὸς διεκώλυσεν, ὡς ἐκπεριπλεύσας τὸν κόλπον τὸν Περσικὸν ἔχοι ἀπαγγεῖλαι Ἀλεξάνδρωι ἐφ᾽ οἷς τισι πρὸς αὐτοῦ ἐστάλη· (10) οὐ

13[2] ⟨οὐ⟩ Corais 15 ἀνέχουσαν He 16 ⟨δὲ⟩ Vulc *Maxiδa* Salmasius 17 τοιουτότροπα καὶ τὸ σένε B

σκέψασθαι καὶ ὅρμους καὶ νησῖδας, καὶ ὅστις κόλπος ἐσέχοι ἐκπεριπλῶσαι τοῦτον, καὶ πόλιας ὅσαι ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ, καὶ εἴ τις ἐρήμη. (12) σφᾶς ὧν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς τέρματι ἤδη ἐόντας τῶν πόνων, ἄλλως τε οὐδὲ ἀπόρως ἔτι τῶν ἀναγκαίων ἐν τῷ παράπλωι ἔχοντας· δεδιέναι τε ὅτι ἡ ἄκρη ἐς μεσημβρίην ἀνέχει, μὴ ἐρήμωι τε τῇι ταύτηι γῆι καὶ ἀνύδρωι καὶ φλογώδει ἐγκύρσειαν. (13) ταῦτα ἐνίκα, καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν τῇιδε τῇι βουλῇι Νέαρχος· τὴν γὰρ δὴ ἄκρην ἐκείνην καὶ τὴν πρὸς αὐτῇι χώρην πᾶσαν ἐρήμην τε εἶναι λόγος κατέχει καὶ ὕδατος ἀπορίηι ἔχεσθαι. (33) ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες τῇι γῆι προσεχέες· καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους ἐν ἄλλωι αἰγιαλῶι ὡρμίσαντο· Νεόπτανα ὄνομα τῶι αἰγιαλῶι. (2) καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο, καὶ πλεύσαντες σταδίους ἑκατὸν ὁρμίζονται κατὰ ποταμὸν Ἄναμιν· ὁ δὲ χῶρος Ἁρμόζεια ἐκαλέετο. (F 14) φίλια δὲ ἤδη καὶ πάμφορα ταύτηι ἦν, πλὴν ἐλαίαι οὐ πεφύκεσαν. (3) ἐνταῦθα ἐκβαίνουσί τε ἐκ τῶν νεῶν, καὶ ἀπὸ τῶν πολλῶν πόνων ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ τὴν θάλασσαν πεπονθότες ἦσαν καὶ πρὸς τῇι γῆι τῶν Ἰχθυοφάγων, τήν τε ἐρημίην τῆς χώρης, καὶ τοὺς ἀνθρώπους ὅπως θηριώδεες, καὶ τὰς σφῶν ἀπορίας ἐπιλεγόμενοι.

(4) καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, ἀποσκεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου. (5) ἐνταῦθα ἄνθρωπος σφίσιν ὤφθη χλαμύδα τε φορῶν Ἑλληνικὴν καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος, καὶ φωνὴν Ἑλλάδα ἐφώνεε. τοῦτον οἱ πρῶτοι ἰδόντες δακρῦσαι ἔλεγον· οὕτω τι παράλογον σφίσι φανῆναι ἐκ τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, Ἑλλάδος δὲ φωνῆς ἀκοῦσαι. (6) ἐπηρώτων τε ὁπόθεν ἥκοι καὶ ὅστις ὤν· ὁ δὲ ἀπὸ τοῦ στρατοπέδου γὰρ ἐπὶ τῶι πλεῦσαι τὴν μεγάλην θάλασσαν ἐστάλθαι, ἀλλ' ἐπὶ τῶι καταμαθεῖν τὴν χώραν τὴν προσεχῆ τῇι θαλάσσηι καὶ τοὺς κατοικοῦντας αὐτὴν ἀνθρώπους, ὅρμους τε ἐν αὐτῇι καὶ ὕδατα καὶ τὰ νόμαια τῶν ἀνδρῶν, καὶ εἴ τις ἀγαθὴ καρποὺς ἐκφέρειν ἢ εἴ τις κακή· καὶ οὖν καὶ τοῦτο αἴτιον γενέσθαι ἀποσωθῆναι Ἀλεξάνδρωι τὸν στρατόν· οὐ γὰρ ἂν σωθῆναι πλεύσαντας ὑπὲρ τῆς Ἀραβίας τὰ ἔρημα, ἐφ' ὅτωι καὶ ὁ Ἱέρων ἐπιστρέψαι ὀπίσω λέγεται.

9² ἀγαθή Gronovius ἀγαθούς A 13¹—14¹ ὅτι — ἀνέχει: ἐπεὶ — ἀνέχοι He 22 ἐπ' ἄλλωι Cast ὄνομα al ὀνόματι A 24 Ἄναμις: F 14; Ἄνδανις Ptolem. VI 8, 4; Ἀόδανις Marcian. Peripl. M. ext. I 27 Ἁρμόζεια: s. F 14; Ἁρμούζεια Ptolem. VI 8, 5.

τοῦ Ἀλεξάνδρου ἀποσκεδασθῆναι ἔλεγε, καὶ εἶναι οὐ πύρρω τὸ στρατόπεδον καὶ αὐτὸν Ἀλέξανδρον. (7) τοῦτον τὸν ἄνθρωπον βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι παρὰ τὸν Νέαρχον· καὶ Νεάρχωι πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων ὁδὸν ἀπέχει τὸ στρατόπεδον καὶ ὁ βασιλεὺς ἀπὸ τῆς θαλάσσης· (8) τόν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη Νεάρχωι, καὶ ἔδειξε· καὶ μετὰ τούτου Νέαρχος γνώμην ποιέεται, ὅπως ἀναβήσεται πρὸς βασιλέα. (9) τότε μὲν δὴ ἐπὶ τὰς νέας ἀπῆλθον· ὑπὸ δὲ τὴν ἕω τὰς νέας ἐνεώλκεεν ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτῶν κατὰ τὸν πλοῦν πεπονήκεσαν, καὶ ἅμα ὅτι ἐν τῶι χώρωι τούτωι ὑπολείπεσθαί οἱ ἐδόκεε τὸν πολλὸν στρατόν· (10) χάρακά τε ὧν περιβάλλεται διπλοῦν ἐπὶ τῶι ναυστάθμωι καὶ τεῖχος γήινον καὶ τάφρον βαθείην, ἀπὸ τοῦ ποταμιοῦ τῆς ὄχθης ἀρξάμενος ἔστε ἐπὶ τὸν αἰγιαλόν, ἵνα αἱ νέες αὐτῶι ἀνειρυσμέναι ἦσαν. (34) ἐν ὧι δὲ ὁ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρχος πεπυσμένος ὅπως ἐν μεγάληι φροντίδι ἔχοι Ἀλέξανδρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἀγαθὸν ἐξ Ἀλεξάνδρου ἂν ἔγνω πείσεσθαι, εἰ πρῶτός οἱ ἀπαγγείλειε τοῦ στρατοῦ τὴν σωτηρίην καὶ τὸν Νέαρχον ὅτι οὐ πολλῶι ὕστερον ἀφίξεται ἐς ὄψιν τὴν βασιλέως. (2) οὕτω δὴ τὴν βραχυτάτην ἐλάσας ἀπαγγέλλει Ἀλεξάνδρωι, ὅτι Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. τότε μὲν δὴ καίπερ ἀπιστέων τῶι λόγωι Ἀλέξανδρος, ἀλλὰ ἐχάρη γε κατὰ τὸ εἰκὸς τῆι ἀγγελίηι. (3) ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγίνετο, καὶ ξυντιθέντι αὐτῶι τῆς ἀγγελίης τὸν χρόνον οὐκέτι πιστὰ τὰ ἀπηγγελμένα ἐφαίνετο, (4) πεμπόμενοί τε ἄλλοι ἐπ' ἄλλοισιν ὡς ἐπὶ κομιδῆι τοῦ Νεάρχου οἱ μέν τινες ὀλίγον τῆς ὁδοῦ προελθόντες καὶ οὐδενὶ ἐγκύρσαντες κενοὶ ἐπανήισαν, οἱ δὲ καὶ πορρωτέρω ἐλθόντες καὶ διαμαρτόντες τῶν ἀμφὶ τὸν Νέαρχον οὐδὲ αὐτοὶ ἐπανήισαν, (5) ἐνταῦθα δὴ τὸν μὲν ἄνθρωπον ἐκεῖνον ὡς κενά τε ἀγγείλαντα καὶ λυπηρότερά οἱ τὰ πρήγματα ποιήσαντα τῆι ματαίηι εὐφροσύνηι συλλαβεῖν κελεύει Ἀλέξανδρος· αὐτὸς δὲ τῆι τε ὄψει καὶ τῆι γνώμηι δῆλος ἦν μεγάλωι ἄχει βεβλημένος. (6) ἐν τούτωι δὲ τῶν τινες κατὰ ζήτησιν τοῦ Νεάρχου ἐσταλμένων ἵππους τε ἐπὶ κομιδῆι αὐτῶν καὶ ἀπήνας δὲ ἄγοντες ἐντυγχάνουσι κατὰ τὴν ὁδὸν αὐτῶι τε Νεάρχωι καὶ τῶι Ἀρχίηι καὶ πέντε ἢ ἓξ ἅμα αὐτοῖσι· μετὰ τοσούτων γὰρ ἀνήιει. (7) καὶ ἐντυχόντες οὔτε αὐτὸν ἐγνώρισαν οὔτε τὸν Ἀρχίην· οὕτω τοι κάρτα ἀλλοῖοι ἐφάνησαν, κομιώντές τε καὶ ῥυπόωντες καὶ μεστοὶ ἅλμης, καὶ ῥικνοὶ τὰ σώματα, καὶ ὠχροὶ ὑπὸ ἀκρυπνίης τε καὶ τῆς ἄλλης ταλαιπωρίης. (8) ἀλλὰ ἐρομένοις γὰρ αὐτοῖς ἵναπερ εἴη Ἀλέξανδρος, ὑποκρινάμενοι τὸν χῶρον οἵδε παρήλαυνον. (9) Ἀρχίης δὲ ἐπιφρασθεὶς

10 [ἐπὶ] τῶι He περὶ τῶι Cast 15 [ἂν] ἔγνω He 16 τὸν Νέαρχον He τοῦ Νεάρχου A 22 ἀπηγγελμένα He ἐπ— A 30 αὐτῶν A αὐτοῦ Sohm

λέγει πρὸς Νέαρχον· 'ὦ Νέαρχε, τούτους τοὺς ἀνθρώπους δι' ἐρημίας ἐλαύνειν τὴν αὐτὴν ἡμῖν ὁδὸν οὐκ ἐπ' ἄλλωι τινὶ συντίθημι ἢ ὅτι μὴ κατὰ ζήτησιν τὴν ἡμετέρην ἀπεσταλμένους. (10) ὅτι δὲ οὐ γιγνώσκουσιν ἡμέας, οὐκ ἐν σώματι ποιέομαι· οὕτω γάρ τι ἔχομεν κακῶς, ὡς ἄγνωστοι εἶναι. φράσωμεν αὐτοῖσιν οἵτινες εἶμεν· καὶ τοὺς ἐρώμεθα καθ' ὅτι ταύτην ἐλαύνουσι'. (11) ἔδοξε τῶι Νεάρχωι ἐναίσιμα λέγειν· καὶ ἤροντο ὅποι ἐλαύνουσιν· οἱ δὲ ὑποκρίνονται ὅτι κατὰ ζήτησιν Νεάρχου τε καὶ τοῦ στρατοῦ τοῦ ναυτικοῦ. (12) ὁ δὲ 'οὗτος' ἔφη 'ἐγώ εἰμι Νέαρχος, καὶ Ἀρχίας οὗτος· ἀλλ' ἄγετε ἡμέας· ἡμεῖς δὲ τὰ ὑπὲρ τῆς στρατιῆς Ἀλεξάνδρωι ἀπηγησόμεθα.' (35) ἀναλαβόντες ⟨δὲ⟩ αὐτοὺς ἐπὶ τὰς ἀπήνας ὀπίσω ἤλαυνον· καί τινες αὐτῶν τούτων ὑποφθάσαι ἐθελήσαντες τὴν ἀγγελίην, προδραμόντες λέγουσιν Ἀλεξάνδρωι ὅτι 'οὗτός τοι Νέαρχος καὶ σὺν αὐτῶι Ἀρχίης καὶ πέντε ἄλλοι κομίζονται παρά σε· ὑπὲρ δὲ τοῦ στρατοῦ παντὸς οὐδὲν εἶχον ὑποκρίνασθαι.' (2) τοῦτο ἐκεῖνο συνθεὶς Ἀλέξανδρος τοὺς μὲν παραλόγως ἀποσωθῆναι, τὴν στρατιὴν δὲ πᾶσαν διεφθάρθαι αὐτῶι, οὐ τοσόνδε τοῦ Νεάρχου τε καὶ τοῦ Ἀρχίου τῆι σωτηρίηι ἔχαιρεν ὅσον ἐλύπει αὐτὸν ἀπολομένη ἡ στρατιὴ πᾶσα. (3) οὕτω πάντα ταῦτα εἴρητο, καὶ ὁ Νέαρχος τε καὶ ὁ Ἀρχίης προσῆγον. τοὺς δὲ μόγις μὲν καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος· ὅτι τε κομόωντας καὶ κακῶς ἐσταλμένους καθεώρα, ταύτηι μᾶλλόν τι βεβαιότερον αὐτῶι τὸ ἄχος ὑπὲρ τῆς στρατιῆς τῆς ναυτικῆς ἐγίνετο. (4) ὁ δὲ τὴν δεξιὰν τῶι Νεάρχωι ἐμβαλὼν καὶ ἀπαγαγὼν μόνον αὐτὸν ἀπὸ τῶν ἑταίρων τε καὶ τῶν ὑπασπιστῶν, πολλὸν ἐπὶ χρόνον ἐδάκρυεν· (5) ὀψὲ δὲ ἀνενεγκὼν 'ἀλλὰ σύ γε ἡμῖν ὅτι ἐπανήκεις σῶιος' ἔφη 'καὶ Ἀρχίης οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς ἐπὶ συμφορῆι τῆι ἁπάσηι μετρίως· αἱ δέ τοι νέες καὶ ἡ στρατιὴ κοίωι τινὶ τρόπωι διεφθάρησαν;' (6) ὁ δὲ ὑπολαβὼν 'ὦ βασιλεῦ' ἔφη 'καὶ αἱ νέες τοι σῶιαι εἰσὶ καὶ ὁ στρατός· ἡμεῖς δὲ οὗτοι ἄγγελοι τῆς σωτηρίας αὐτῶν ἥκομεν'. (7) ἔτι μᾶλλον ἐδάκρυεν Ἀλέξανδρος, καθότι ἀνέλπιστός οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο· καὶ ὅπου ὁρμέουσιν αἱ νέες ἀνηρώτα. ὁ δὲ 'αὖται' ἔφη 'ἐν τῶι στόματι τοῦ Ἀνάμιδος ποταμοῦ ἀνειρυσμέναι ἐπισκευάζονται.' (8) Ἀλέξανδρος δὲ τόν τε Δία τὸν Ἑλλήνων καὶ τὸν Ἄμμωνα τὸν Λιβύων ἐπόμνυσιν, ἢ μὴν μειζόνως ἐπὶ τῆιδε τῆι ἀγγελίηι χαίρειν, ἢ ὅτι τὴν Ἀσίην πᾶσαν ἐκτημένος ἔρχεται· καὶ γὰρ καὶ τὸ ἄχος οἱ ἐπὶ τῆι ἀπωλείηι τῆς στρατιῆς ἀντίρροπον γενέσθαι τῆι ἄλληι πάσηι εὐτυχίηι. (36) ὁ δὲ ὕπαρχος τῆς χώρης, ὄντινα συνειλήφει Ἀλέξανδρος

2 [ἡ] ὅτι Raphelius 6 ταύτην k ταύτηι A 10 ἀναλαβόντες δὲ k καὶ ἀναλ. al ἀναλ. AB 11 ἐθελήσαντες al ἐξωλήσαντες $A^2$ 14 ⟨διὰ⟩ τοῦτο ἐκ. Schm 19 ὅτι δὲ Schm 32 ἐπόμνυσιν Due ἐπομνύειν A —ύει Rei μειζόνως Rei μεῖζον ὡς A 33 ἔρχεται: ἔχει He ἐπανέρχεται Cast 34 ἀντίρροπον ⟨ἂν⟩? Eb

ἐπὶ τῆς ἀγγελίης τῆι ματαιότητι, παρόντα κατιδὼν τὸν Νέαρχον πίπτει τε αὐτῶι πρὸς τὰ γόνατα (2) καὶ 'οὗτός τοι' ἔφη 'ἐγώ εἰμι, ὃς ἀπήγγειλα Ἀλεξάνδρωι ὅτι σῶοι ἥκετε· ὁρᾶις ὅπως διάκειμαι'. οὕτω δὴ δεῖται Ἀλεξάνδρου Νέαρχος ἀφεῖναι τὸν ἄνδρα· καὶ ἀφίεται. (3) Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ Σωτῆρι καὶ Ἡρακλεῖ καὶ Ἀπόλλωνι Ἀλεξικάκωι καὶ Ποσειδῶνί τε καὶ ὅσοι ἄλλοι θαλάσσιοι θεοί· καὶ ἀγῶνα ἐποίεε γυμνικόν τε καὶ μουσικόν, καὶ πομπὴν ἔπεμπε· καὶ Νέαρχος ἐν πρώτοισιν ἐπόμπευε, ταινίηισί τε καὶ ἄνθεσι πρὸς τῆς στρατιῆς βαλλόμενος.

(4) ὡς δὲ ταῦτά οἱ τέλος εἶχε, λέγει πρὸς Νέαρχον 'ἐγώ σε, ὦ Νέαρχε, οὐκέτι θέλω τὸ πρόσω οὔτ' οὖν κινδυνεύειν οὔτε ταλαιπωρέεσθαι· ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξήγησεται τὸ ἀπὸ τοῦδε ἔστε καταστῆσαι αὐτὸ ἐς Σοῦσα'. (5) Νέαρχος δὲ ὑπολαβὼν λέγει· 'ὦ βασιλεῦ, ἐγὼ μέν τοι πάντα πείθεσθαι ἐθέλω τε καὶ ἀναγκαίη μοί ἐστιν· ἀλλὰ εἰ δή τι καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλοις, μὴ ποιήσηις ὧδε, ἀλλά με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ ἔστε σοι σώας καταστήσω ἐς Σοῦσα τὰς νέας· (6) μηδὲ τὰ μὲν χαλεπά τε αὐτοῦ καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ ἔστω, τὰ δὲ εὐπετέα τε καὶ κλέους ἤδη ἑτοίμου ἐχόμενα, ταῦτα δὲ ἀφαιρεθέντα ἄλλωι ἐς χεῖρας διδόσθω.' (7) ἔτι λέγοντα παύει αὐτὸν Ἀλέξανδρος, καὶ χάριν προσομολόγει εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτὸν στρατιὴν δοὺς ἐς παραπομπὴν ὡς διὰ φιλίας ἰόντι ὀλίγην. (8) τῶι δὲ οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγένετο· ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλωι βάρβαροι τὰ ἐρυμνὰ τῆς χώρης τῆς Καρμανίης κατεῖχον, ὅτι καὶ ὁ σατράπης αὐτοῖσι τετελευτήκει κατὰ πρόσταξιν Ἀλεξάνδρου, ὁ δὲ νεωστὶ καθεστηκὼς Τληπόλεμος οὕτω βέβαιον τὸ κράτος εἶχε. (9) καὶ δὶς ὧν καὶ τρὶς τῆι αὐτῆι ἡμέρηι ἄλλοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ἤιεσαν· καὶ οὕτω οὐδέν τι ἐλινύσαντες μόλις καὶ χαλεπῶς ἐπὶ θάλασσαν ἀπεσώθησαν. ἐνταῦθα θύει Νέαρχος Διὶ Σωτῆρι καὶ ἀγῶνα ποιεῖ γυμνικόν.

(37) ὡς δὲ αὐτῶι τὰ θεῖα ἐν κόσμωι πεποίητο, οὕτω δὴ ἀνήγοντο. παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τραχείην ἐν ἄλληι νήσωι ὁρμίζονται, μεγάληι ταύτηι καὶ οἰκουμένηι, πλώσαντες σταδίους τριηκοσίους, ἔνθενπερ ὡρμήθησαν. (2) καὶ ἡ μὲν ἐρήμη νῆσος Ὀργάνα ἐκαλέετο, ἐς ἣν δὲ ὡρμήθησαν Ὀάρακτα· ἄμπελοί τε ἐν αὐτῆι ἐπεφύκεσαν καὶ φοίνικες, καὶ σιτοφόρος ⟨ἦν⟩· τὸ δὲ μῆκος τῆς νήσου στάδιοι ὀκτακόσιοι. καὶ ὁ ὕπαρχος τῆς νήσου (F 27; 28)

15 ἐθέλοις A ἐθέλεις B 16 στρατοῦ: στόλου Gronovius 23 [τῆς Καρμανίης]? 31 δὲ B δὴ A 33 Ὀργάνα A; Ptol. VI 7, 46 *Orgina* Geogr. Rav. 33—34 ὡρμίσθησαν He 34 Ὀάρακτα: Δώρακτα F 28 Οὐορόχθα Ptolem. VI 8, 15 Οὐοράχθα Marcian. Per. M. ext. I 27 *Oracla* Plin. NH VI 98 *Oraclea* Geogr. Rav. 35 ἦν· τὸ δὲ μῆκος He τὸ δὲ μ. ἦν A

Μαζήνης συνέπλει αὐτοῖσι μέχρι Σούσων, ἐθελοντὴς ἡγεμὼν τοῦ πλόου. (3) ἐν ταύτῃ τῇι νήσωι ἔλεγον καὶ τοῦ πρώτου δυναστεύσαντος τῆς (F 31) χώρης ταύτης δείκνυσθαι τὸν τάφον· ὄνομα δὲ αὐτῶι Ἐρύθρην εἶναι, ἀπ' ὅτου καὶ τὴν ἐπωνυμίην τῇι θαλάσσηι ταύτηι εἶναι Ἐρυθρὴν καλέ-
5 εσθαι. (4) ἐνθένδε ἐκ τῆς νήσου ἄραντες ἔπλεον· καὶ τῆς νήσου αὐτῆς παραπλώσαντες ὅσον διακοσίους σταδίους, ὁρμίζονται ἐν αὐτῇι αὐθις, καὶ καθορῶσιν ἄλλην νῆσον ἀπέχουσαν τῆς μεγάλης ταύτης τεσσαράκοντα μάλιστα σταδίους· Ποσειδῶνος ἱρὴ ἐλέγετο εἶναι καὶ ἄβατος. (5) ὑπὸ δὲ τὴν ἕω ἀνήγοντο, καὶ καταλαμβάνει αὐτοὺς ἀνάπτωτις οὕτω τι καρτερή,
10 ὥστε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν τῶι ξηρῶι ἐσχέθησαν· αἱ δὲ ἄλλαι χαλεπῶς διεκπλώουσαι τὰς ῥηχίας ἐς τὰ βάθεα ἀπεσώθησαν. (6) αἱ δὲ ἐποκείλασαι τῆς πλημμυρίδος ἐπιγενομένης αὐθις ἐξέπλωσάν τε καὶ δευτεραῖαι κατήγοντο ἵναπερ ὁ πᾶς στόλος. (7) ὁρμίζονται δὲ ἐς νῆσον ἄλλην διέχουσαν τῆς ἠπείρου ὅσον τριακοσίους σταδίους, πλώσαντες τετρα-
15 κοσίους. (8) ἐντεῦθεν ὑπὸ τὴν ἕω ἔπλεον νῆσον ἐρήμην ἐν ἀριστερᾶι παραμείβοντες· ὄνομα δὲ τῇι νήσωι Πύλωρα· καὶ ὁρμίζον⟨ται⟩ πρὸς Σισιδώνῃι, πολιχνίωι σμικρῶι καὶ πάντων ἀπόρωι ὅτι μὴ ὕδατος καὶ ἰχθύων. ἰχθυοφάγοι γὰρ καὶ οὗτοι ὑπ' ἀναγκαίης ἦσαν, ὅτι πονηρὰν γῆν νέμονται. (9) ἐνθένδε ὑδρευσάμενοι καταίρουσιν ἐς Ταρσίην ἄκρην
20 ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριακοσίους. (10) ἔνθεν ἐς Καταίην νῆσον ἐρήμην ἁλιτενέα· αὕτη ἱερὴ Ἑρμέω καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ πλοῦ τριακόσιοι. (11) ἐς ταύτην ὅσα ἔτη ἀφίεται ἐκ τῶν περιοίκων πρόβατα καὶ αἶγες ἱρὰ τῶι Ἑρμῆι καὶ τῇι Ἀφροδίτηι· καὶ ταῦτα ἀπηγριωμένα ἦν ὁρᾶν ὑπὸ χρόνου τε καὶ ἐρημίης.

25 (38) μέχρι τοῦδε Καρμανίη· τὰ δὲ ἀπὸ τοῦδε Πέρσαι ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίην χώρην στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ κατάπερ Πέρσαι, ὅτι καὶ ὅμοροί εἰσι Πέρσηισι· καὶ τὰ ἐς τὸν πόλεμον ὡσαύτως
30 κοσμέονται.

**1 f** (26) STRAB. XV 2, 14: *Νέαρχος δὲ τὰ πλεῖστα ἔθη καὶ τὴν διάλεκτον τῶν Καρμανιτῶν Περσικά τε καὶ Μηδικὰ εἴρηκε.* (F 24)

(2) ἐνθένδε ἄραντες ἐκ τῆς νήσου τῆς ἱρῆς παρὰ τὴν Περσίδα ἤδη ἔπλεον· καὶ κατάγονται ἐς Ἶλαν χῶρον, ἵνα λιμὴν πρὸς νήσου σμικρῆς καὶ ἐρήμου γίνεται· οὔνομα τῇι νήσωι Καίκανδρος· ὁ δὲ πλόος στάδιοι τετρακόσιοι. (3) ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον πλεύσαντες ὁρμίζονται
35 οἰκουμένην, *ἵνα καὶ μαργαρίτην θηρᾶσθαι λέγει Νέαρχος,* (F 26) *κατάπερ ἐν τῇι Ἰνδῶν θαλάσσηι.* ταύτης τῆς νήσου τὴν ἄκρην

---

7 ⟨ἐς⟩ τεσσαράκοντα Cast 11 οἱ ἀπεσώθησαν (οἱ del m¹) A 16 ὁρμίζονται al ὁρμίζον A 16—17 πρὸς Σισιδώνῃι k προσιδωδώνη A 18 [ἦσαν] Cast 21 Κατάγην? Tomaschek (*Cataga* Geogr. Rav.) 32 πρὸ Vulc 33 Καίκανδρος: *Cascandrus* (*carcandrus* E²) Plin. NH VI 110 *aih(r)oih(r)adus* VI 99 (?)

παραπλώσαντες σταδίους ὡς τεσσαράκοντα, ἐνταῦθα ὡρμίσθησαν. (4) ἐνθένδε πρὸς ὄρει ὁρμίζονται ὑψηλῶι — Ὄχος ὄνομα τῶι ὄρει — ἐν λιμένι εὐόρμωι· καὶ ἁλιέες αὐτοῦ ὤικεον. (5) καὶ ἔνθεν πλώσαντες σταδίους τετρακοσίους τε καὶ πεντήκοντα, ὁρμίζονται ἐν Ἀποστάνοισι· καὶ πλοῖα πολλὰ αὐτόθι ὥρμει, κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης σταδίους ἑξήκοντα. (6) νυκτὸς δὲ ἐπάραντες ἔνθεν ἐσπλώουσιν ἐς κόλπον συνοικεόμενον πολλῆισι κώμηισι· στάδιοι τοῦ πλόου τετρακόσιοι· ὁρμίζονται δὲ πρὸς ὑπωρείην· ταύτηι φοινικές τε πολλοὶ ἐπεφύκεσαν καὶ ὅσα ἄλλα ἀκρόδρυα ἐν τῆι Ἑλλάδι γῆι φύεται. (7) ἔνθεν ἄραντες ἐς Γώγανα παραπλέουσι σταδίους μάλιστα ἐς ἑξακοσίους, ἐς χώρην οἰκουμένην· ὁρμίζονται δὲ τοῦ ποταμοῦ τοῦ χειμάρρου — ὄνομα δὲ Ἀρεών — ἐν τῆισιν ἐκβολῆισιν· ἐνταῦθα χαλεπῶς ὁρμίζονται· στεινὸς γὰρ ἦν ὁ ἔσπλους κατὰ τὸ στόμα, ὅτι βραχέα τὰ κύκλωι αὐτοῦ ἡ ἀνάπωτις ἐποίεε. (8) καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, διεκπλώσαντες σταδίους ἐς ὀκτακοσίους· Σιτακὸς ὄνομα τῶι ποταμῶι ἦν· οὐδὲ ἐν τούτωι εὐμαρέως (F 26) ὁρμίζονται. καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν Περσίδα βραχέα τε ἦσαν καὶ ῥηχίαι καὶ τενάγεα. (9) ἐνταῦθα σῖτον καταλαμβάνουσι πολὺν ξυγκεκομισμένον κατὰ πρόσταξιν βασιλέως, ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι. ἐνταῦθα ἔμειναν ἡμέρας τὰς πάσας μίαν καὶ εἴκοσι, καὶ τὰς ναῦς ἀνειρυσάμενοι ὅσαι μὲν πεπονήκεσαν ἐπεσκεύαζον, τὰς δὲ ἄλλας ἐθεράπευον. (39) ἐνθένδε ὁρμηθέντες εἰς Ἱέρατιν πόλιν ἀφίκοντο ἐς χῶρον οἰκούμενον· ἑπτακόσιοι καὶ πεντήκοντα στάδιοι ὁ πλόος. ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ ἐμβεβλημένηι ἐς θάλασσαν, ἣι ὄνομα ἦν Ἡράτεμις. (2) ἅμα δὲ ἡλίωι ἀνίσχοντι παραπλέουσιν ἐς ποταμὸν χειμάρρουν ὄνομα Πάδαργον· ὁ δὲ χῶρος χερρόνησος ἅπας· καὶ ἐν αὐτῶι κῆποί τε πολλοὶ καὶ ἀκρόδρυα παντοῖα ἐφύετο· ὄνομα τῶι χώρωι Μεσαμβρίη. (3) ἐκ Μεσαμβρίης δὲ ὁρμηθέντες καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς διακοσίους ἐς Ταόκην ὁρμίζονται ἐπὶ ποταμῶι Τρανίδι· καὶ ἀπὸ τούτου ἐς τὸ ἄνω Περσῶν βασίλεια ἦν, ἀπέχοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διακοσίους. (4) κατὰ τοῦτον τὸν παράπλουν λέγει Νέ- (F 28) αρχος ὀφθῆναι κῆτος ἐκβεβλημένον ἐς τὴν ἠιόνα· καὶ τοῦτο προσπλώσαντάς τινας τῶν ναυτῶν ἐκμετρῆσαι καὶ φάναι εἶναι πήχεων πεντήκοντα· (5) δέρμα δὲ αὐτῶι εἶναι φολιδωτόν, οὕτω τι ἐς βάθος ἦκον, ὡς καὶ ἐπὶ πῆχυν ἐπέχειν, ὄστρεά τε καὶ λοπάδας καὶ φυκία πολλὰ

6 ἑξήκοντα: ζ? Andreas RE II 179 8 ὑπωρείηι He 11 ἀρεών A² 'fort. εὐρεών A¹' Roos 15 Σιτακός: Σιτακανός (= *Sitioganus* Plin. NH VI 99)? Tomaschek Σίκανος (= *Siccanas* ebd. VI 110)? Herzberg Klio VIII 10 23 Φράτεμις (= *Phrystimus* Plin. VI 99)? Tomaschek 28 τρανίδι A¹ B γρανίδι A² Ὀροάτιδι? 35 ὄστρεα B ὄστρια A

ἔχειν ἐπιπεφυκότα· καὶ δελφῖνας λέγει ὅτι καθορᾶν ἦν πολλοὺς ἀμφὶ τῶι κήτει, καὶ τοὺς δελφῖνας τῶν ἐν τῆι εἴσω θαλάσσηι μείζονας. (6) ἐνθένδε ὁρμηθέντες κατάγονται ἐς Ῥώγονιν ποταμὸν χειμάρρουν ἐν λιμένι εὐόρμωι· μῆκος τοῦ παράπλου στάδιοι διακόσιοι. (7) ἐνθένδε τετρακοσίους σταδίους διεκπλώσαντες αὐλίζονται ἐν ποταμῶι χειμάρρωι· Βρίζανα τῶι ποταμῶι ὄνομα· ἐνταῦθα χαλεπῶς ὡρμίσαντο, ὅτι ῥηχίη ἦν καὶ βραχέα, καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖχον. (8) ἀλλ' ὅτε ἡ πλήμμυρα ἐπήιει, τότε ὡρμίσαντο· ὑπονοστήσαντος δὲ τοῦ ὕδατος ἐπὶ ξηρῶι ὑπελείφθησαν αἱ νῆες· ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλθε, τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῶι· (9) ὄνομα δὲ τῶι ποταμῶι † ἄρις, μέγιστος τῶν ποταμῶν, ὡς λέγει Νέαρχος, ὅσοι ἐν τῶι παράπλωι τῶιδε ἐμβάλλουσιν ἐς τὸν ἔξω πόντον. (F 21; 14)

(40) μέχρι τοῦδε Πέρσαι οἰκέουσι, τὰ δὲ ἀπὸ τούτων Σούσιοι. Σούσιων δὲ ἔθνος αὐτόνομον κατύπερθε προσοικέει· Οὔξιοι καλοῦνται· ὑπὲρ ὅτων λέλεκταί μοι ἐν τῆι ἄλληι συγγραφῆι ὅτι ληισταὶ εἰσι (Anab. III 17?). μῆκος τοῦ παράπλου τῆς Περσίδος χώρης στάδιοι τετρακόσιοι καὶ τετρακισχίλιοι.

(2) τὴν δὲ Περσίδα γῆν τρίχα νενεμῆσθαι τῶν ὡρέων λόγος κατέχει. τὸ μὲν αὐτῆς πρὸς τῆι Ἐρυθρῆι θαλάσσηι οἰκεόμενον ἀμμώδες τε εἶναι καὶ ἄκαρπον ὑπὸ καύματος. (3) τὸ δὲ ἐπὶ τῶιδε ὡς πρὸς ἄρκτον τε καὶ βορέην ἄνεμον ἰόντων καλῶς κεκρᾶσθαι τῶν ὡρέων· καὶ τὴν χώραν ποιώδεά τε εἶναι καὶ λειμῶνας ὑδρηλοὺς καὶ ἄμπελον πολλὴν φέρειν καὶ ὅσοι ἄλλοι καρποὶ πλὴν ἐλαίης. (4) παραδείσους τε παντοίοισι τεθηλέναι καὶ ποταμοῖσι καθαροῖσι διαρρέεσθαι καὶ λίμνηισι, καὶ ὄρνισιν ὁκόσοισιν ἀμφὶ ποταμούς τε καὶ λίμνας ἐστὶ τὰ ἤθεα ἵπποισί τε ἀγαθὴν εἶναι, καὶ τοῖσιν ἄλλοισιν ὑποζυγίοισι νέμεσθαι, καὶ ὑλώδεά τε πολλαχῆι καὶ πολύθηρον. (5) τὴν δὲ πρόσω ἔτι ἐπ' ἄρκτον ἰόντων χειμερίην τε καὶ νιφετώδεα· ὥστε πρέσβεις τινὰς ἐκ τοῦ Εὐξείνου πόντου λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόντας ἐντυχεῖν κατ' ὁδὸν λόντι τῆς Περσίδος καὶ θῶμα γενέσθαι Ἀλεξάνδρωι καὶ εἰπεῖν Ἀλεξάνδρωι τῆς ὁδοῦ τὴν βραχύτητα.

---

4 Ῥώγονιν: Ῥογόμανις Ptolem VI 4, 2; Ammian. Marc. XXIII 6, 41 (v. l. *rogomanus, ragomanius, rigomanius*). 6 ἐπὶ ποταμῶι Cast Βρίζανα: Βρισοάνα Ptol.; Ammian.; *Brixa* Plin. VI 136 9 ἐπὶ ξηροῦ He 11 ἄρις (comp. = ἄργις? Roos) A¹ ἄρις B ἄρης k ἄροσις al Ὀροάτις Strab. XV 3, 1; 5; Ptol VI 4, 2; *Oroates* (v. l. *Oates*) Ammian. XXIII 6, 26; *Oratis* Plin. VI 111; 136; *Zarotis* VI 99. 18 τρίχα Jac τριχῆ A τριχῇ al vulg 20 τὸ δὲ ἐπὶ τῆιδε (τῶιδε) ὡς Rei Mue τὸ δὲ ἐπιτελέως A τὰ δὲ ἀπὸ τοῦδε ὡς He 27—28 νιφετώδεα * * Geier ⟨καὶ οὕτω τι Σκυθῶν τῆι χώρηι προσεχέα⟩ ὥστε Cast

(6) Σουσίοις δὲ πρόσοικοι ὕτι εἰσὶν Οὔξιοι, λέλεκταί μοι· κατάπερ Μάρδοι μὲν Πέρσησι προσεχέες οἰκέουσι, λῃσταὶ καὶ οὗτοι, Κοσσαῖοι δὲ Μήδοισιν. (7) καὶ ταῦτα πάντα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος χειμῶνος ὥρηι ἐπιπεσὼν αὐτοῖς, ὅτε ἄβατον σφῶν τὴν χώρην ἦγον. (8) καὶ πόληας ἐπέκτισε τοῦ μὴ νομάδας ἔτι εἶναι, ἀλλ' ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων δειμαίνοντες μὴ κακὰ ἀλλήλους ἐργάσωνται.

**1g** (34) STRAB. XI 13, 6: Νέαρχος δέ φησι, τεττάρων ὄντων ληιστρικῶν ἐθνῶν, ὧν Μάρδοι μὲν Πέρσαις προσεχεῖς ἦσαν, Οὔξιοι δὲ καὶ Ἐλυμαῖοι τούτοις τε καὶ Σουσίοις, Κοσσαῖοι δὲ Μήδοις, πάντας μὲν φόρους πράττεσθαι τοὺς βασιλέας, Κοσσαίους δὲ καὶ δῶρα λαμβάνειν, ἡνίκα ὁ βασιλεὺς θερίσας ἐν Ἐκβατάνοις εἰς τὴν Βαβυλωνίαν καταβαίνοι· καταλῦσαι δ' αὐτῶν τὴν πολλὴν τόλμαν Ἀλέξανδρον, ἐπιθέμενον χειμῶνος.

ἐνθένδε τὴν Σουσίων γῆν παρήμειβεν ὁ στρατός. (9) καὶ ταῦτα (F 26) οὐκέτι ὡσαύτως ἀτρεκέως λέγει Νέαρχος ὅτι ἔστιν οἷ φράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ πλόου· (10) τὴν χώρην γὰρ τεναγώδεά τε εἶναι τὴν πολλὴν καὶ ῥηχίησιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐσέχουσαν, καὶ ταύτην σφαλερὴν ἐγκαθορμίζεσθαι· πελαγίοισιν ὧν σφίσι τὴν κομιδὴν τὸ πολὺ γενέσθαι. (11) ὁρμηθῆναι μὲν δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, ἵναπερ ηὐλίσθησαν, ἐπὶ τοῖσιν οὔροισι τῆς Περσίδος, ὕδωρ δὲ ἐμβάλλεσθαι καὶ πέντε ἡμερέων· οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ καθηγεμόνες τοῦ πλόου. (41) σταδίους δὲ πεντακοσίους κομισθέντες ὁρμίζονται ἐπὶ στόματι λίμνης ἰχθυώδεος, ἣι οὔνομα Κατάδερβις· καὶ νηοὶς ἐπὶ τῶι στόματι· Μαργάστανα τῆι νησίδι οὔνομα. (2) ἐνθένδε ὑπὸ τὴν ἕω ἐκπλώσαντες κατὰ βραχέα ἐκομίζοντο ἐπὶ μιᾶς νεώς· πασάλοις δὲ ἔνθεν καὶ ἔνθεν πεπηγόσιν ἀπεδηλοῦτο τὰ βραχέα, κατάπερ ἐν τῶι μεσσηγὺς Λευκάδος τε νήσου ἰσθμῶι καὶ Ἀκαρνανίης ἀποδέδεικται σημεῖα τοῖσι ναντιλλομένοισι τοῦ μὴ ἐποκέλλειν ἐν τοῖσι βραχέσι τὰς νέας. (3) ἀλλὰ τὰ μὲν κατὰ Λευκάδα ψαμμώδεα ὄντα [καὶ] τοῖσιν ἐποκείλασι ταχεῖαν τὴν ὑπονόστησιν ἐνδιδοῖ· κεῖθι δὲ πηλός ἐστιν ἐφ' ἑκάτερα

4[1] περσαισι A 11[1] πόληας A πόλιας B 15[1] ἄλλους Schm 20 φράσαι A 'sed duae litterae videntur evanuisse, vestigia litterae ε superesse videntur' Roos ἐκφράσαι k 23 ταύτηι Rei He 24 γενέσθαι Gronov γίνεσθαι A 26 ἐμβαλέσθαι He 33 ἰσθμῶι: πορθμῶι Rei 35 [καὶ] Rei Schm

τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης, ὥστε οὐδεμιᾶι μηχανῆι ἐποκείλασιν ἦν ἀποσωθῆναι. (4) οἵ τε γὰρ κοντοὶ κατὰ τοῦ πηλοῦ δύνοντες αὐτοῖς οὐδέν τι ἐπωφέλουν, ἀνθρώπωι τε ἐκβῆναι τοῦ ἀπῶσαι τὰς νέας ἐς τὰ πλεόμενα ἄπορον ἐγίνετο· ἔδυνον γὰρ κατὰ τοῦ πηλοῦ ἕστε ἐπὶ τὰ στήθεα. (5) οὕτω δὴ χαλεπῶς διεκπλώσαντες σταδίους ἑξακοσίους κατὰ ναῦν ἕκαστοι ὁρμισθέντες, ἐνταῦθα δείπνου ἐμνήσθησαν. (6) τὴν νύκτα δὲ ἤδη κατὰ βάθεα ἔπλεον καὶ τὴν ἐφεξῆς ἡμέρην ἕστε ἐπὶ βουλυτόν· καὶ ἦλθον σταδίους ἐννακοσίους· καὶ καθωρμίσθησαν ἐπὶ τοῦ στόματος τοῦ Εὐφράτου πρὸς κώμηι τινὶ τῆς Βαβυλωνίης χώρης· ὄνομα δὲ αὐτῆι Διρίδωτις. (7) ἵνα λιβανωτόν τε ἀπὸ τῆς †Ἐμπορίης γῆς οἱ ἔμποροι ἀγινέουσι, καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ Ἀράβων γῆ φέρει. (8) ἀπὸ δὲ τοῦ στόματος τοῦ Εὐφράτου ἕστε ⟨ἐς⟩ Βαβυλῶνα πλοῦν λέγει Νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ τριακοσίους.

1 h (35) PLIN. NH VI 124: *Euphrate navigari Babylonem e Persico mari CCCCXII p. tradunt Nearchus et Onesicritus* (134 F 30).

(42) ἐνταῦθα ἀγγέλλεται Ἀλέξανδρον ἐπὶ Σούσων στέλλεσθαι· ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλεον, ὡς κατὰ τὸν Πασιτίγριν ποταμὸν ἀναπλώσαντες συμμῖξαι Ἀλεξάνδρωι. (2) ἔπλεον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερᾶι τὴν γῆν τὴν Σουσίδα ἔχοντες· καὶ παραπλέουσι λίμνην, ἐς ἣν ὁ Τίγρης ἐσβάλλει ποταμός, ὃς ῥέων ἐξ Ἀρμενίης παρὰ πόλιν Νῖνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν μέσην ἑωυτοῦ τε καὶ τοῦ Εὐφράτου ποταμοῦ ⟨χώρ⟩ην Μεσοποταμίην ἐπὶ τῶιδε κληίζεσθαι ποιέει. (4) ἀπὸ δὲ τῆς (F 36) λίμνης ἐς αὐτὸν τὸν ποταμὸν ἀνάπλους σταδίοι ἑξακόσιοι, ἵνα καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν. αὕτη δὲ ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους. μῆκος τοῦ παράπλου τῆς Σουσίων γῆς ἔστε ἐπὶ στόμα τοῦ Πασιτίγριδος ποτομοῦ σταδίοι δισχίλιοι.

(5) ἐνθένδε κατὰ τὸν Πασιτίγριν ἄνω ἀνέπλεον διὰ χώρης οἰκουμένης καὶ εὐδαίμονος. ἀναπλώσαντες δὲ σταδίους ὡς πεντήκοντα καὶ ἑκατὸν αὐτοῦ ὁρμίζονται, προσμένοντες οὕστινας ἐστάλκει Νέαρχος σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη. (6) αὐτὸς δὲ ἔθυε θεοῖς τοῖς σωτῆρσι καὶ ἀγῶνα ἐποίεε, καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίηισιν ἦν. (7) ὡς δὲ προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλεον ἤδη αὐθις ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῆι σχεδίηι ὁρμίζονται, ἐφ' ἣι τὸ στράτευμα

---

1 οὐδέμια A 2 οἵ τε A οὔτε B αὐτοῖς He αὐτοί A 8 ἀνθρώποις He 9 Ἰριδωτις Paris. 1407 (Weissbach) 10 ἐμπορικῆς (o. Γερραίης) Mue Ἐμπορίης [γῆς] o. Ὀμηριτῶν γῆς Rei περαίης o. ἐν περαίηι Due πέριξ He Ἀραβίης (s. F 35)? 12[1] ⟨ἐς⟩ k 18 Πασιτίγριν Mue – γρην A 20 τίγρις aus τίγρης A[1] 23 χώρην 28 ἄνω ἔπλεον Vulc 33 [ἤδη] αὐθις He

διαβιβάσειν ἔμελλεν Ἀλέξανδρος ἐς Σοῦσα. (8) ἐνταῦθα ἀνεμίχθη ὁ στρατός, καὶ θυσίαι πρὸς Ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ τῶν ἀνθρώπων τῇι σωτηρίηι καὶ ἀγῶνες ἐποιέοντο· καὶ Νέαρχος ὅποι παραφανείη τῆς στρατιῆς. ἄνθεσί τε καὶ ταινίηισιν ἐβάλλετο. (9) ἔνθα καὶ χρυσῶι στεφάνωι στεφανοῦται ἐξ Ἀλεξάνδρου Νέαρχος τε καὶ Λεοννάτος, Νέαρχος μὲν ἐπὶ τοῦ ναυτικοῦ τῇι σωτηρίηι, Λεοννάτος δὲ ἐπὶ τῇι νίκηι, ἥν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείτηισι προσοικέοντας βαρβάρους.

(10) οὕτω μὲν ἀπεσώθη Ἀλεξάνδρωι ἐκ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός.

2 (Script. Al. M. p. 63, 17) ARRIAN. Anab. VI 13, 4: *Νέαρχος δὲ λέγει, ὅτι χαλεποὶ αὐτῶι* (sc. Ἀλεξάνδρωι) *τῶν φίλων ἐγένοντο ὅσοι ἐκάκιζον ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ στρατιώτου εἶναι . . . . (5) ἄνθρωπον δέ τινα πρεσβύτερον λέγει Βοιώτιον, τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου οὐ λέγει, ὡς ἀχθόμενόν τε πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων κατέμαθεν Ἀλέξανδρον καὶ ἐσκυθρωπακότα, προσελθόντα τοῦτον βοιωτιάζοντα ἅμα τῇι φωνῆι ταῦτα φάναι· 'ὦ Ἀλέξανδρε, ἀνδρῶν τὰ ἔργα'· καί τι καὶ ἰαμβεῖον ὑπειπεῖν, τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου ὅτι τῶι τι δρῶντι καὶ παθεῖν ἐστιν ὀφειλόμενον* (Sophokl. F 209 N²). *καὶ τοῦτον ἔν τε τῶι παραυτίκα εὐδοκιμῆσαι καὶ ἐπιτηδειότερον ἐς τὸ ἔπειτα Ἀλεξάνδρωι γενέσθαι.*

3 (23) a) — VI 24, 2: *οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα ταύτηι* (durch die gedrosische wüste) *ἐλθεῖν — τοῦτο μὲν μόνος Νέαρχος λέγει ὧδε — ἀλλὰ ἀκούσαντα γὰρ ὅτι οὔπω τις πρόσθεν διελθὼν ταύτηι ξὺν στρατιᾶι ἀπεσώθη, ὅτι μὴ Σεμίραμις ἐξ Ἰνδῶν ἔφυγε. καὶ ταύτην δὲ ἔλεγον οἱ ἐπιχώριοι σὺν εἴκοσι μόνοις τῆς στρατιᾶς ἀποσωθῆναι, Κῦρον δὲ τὸν Καμβύσου σὺν ἑπτὰ μόνοις καὶ τοῦτον.* (3) *ἐλθεῖν γὰρ δὴ καὶ Κῦρον ἐς τοὺς χώρους τούτους ὡς ἐσβαλοῦντα ἐς τὴν Ἰνδῶν γῆν, φθάσαι δὲ ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ ταύτης ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς. καὶ ταῦτα Ἀλεξάνδρωι ἐξαγγελλόμενα ἔριν ἐμβαλεῖν πρὸς Κῦρον καὶ Σεμίραμιν. τούτων τε οὖν ἕνεκα καὶ ἅμα ὡς τῶι ναυτικῶι ἐγγύθεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει Νέαρχος ταύτην τραπῆναι Ἀλέξανδρον.* b) STRAB. XV 1, 5: *εἰ τοίνυν ταῦτ' ἀφείς τις τὴν πρὸ τῆς Ἀλεξάνδρου στρατείας ἐπιβλέποι μνήμην* (sc. *περὶ τῆς Ἰνδικῆς*), *πολὺ ἂν εὕροι τούτων τυφλότερα. Ἀλέξανδρον μὲν οὖν πιστεύειν τοῖς τοιούτοις εἰκός, τετυφωμένον ταῖς τοσαύταις εὐτυχίαις. φησὶ γοῦν Νέαρχος φιλονεικῆσαι αὐτὸν διὰ τῆς Γεδρωσίας ἀγαγεῖν τὴν στρατιάν, πεπυσμένον διότι καὶ Σεμίραμις ἐστράτευσεν ἐπὶ*

---

3 ὅποι: ὅκου He 5 στεφανοῦται 'ut videtur' A¹ 7 Ὠρείτας al ὠρείταις A 24—25 *Σεμίραμις* ⟨ὅτε⟩ Dörner [*ἐξ Ἰνδῶν ἔφυγε*] Schmieder 37 στρατιάν Corais στρατείαν Strab Σεμίραμις ⟨διὰ ταύτης⟩ Groskurd

Ἰνδοὺς καὶ Κῦρος· ἀλλ' ἡ μὲν ἀνέστρεψε, φεύγουσα μετὰ εἴκοσι ἀνθρώπων, ἐκεῖνος δὲ μετ' ἑπτά· ὡς σεμνὸν τὸ ἐκείνων τοσαῦτα παθόντων αὐτὸν καὶ στρατόπεδον διασῶσαι μετὰ νίκης διὰ τῶν αὐτῶν ἐθνῶν τε καὶ τόπων. ἐκεῖνος μὲν δὴ ἐπίστευσεν. (6) ἡμῖν δὲ τίς ἂν δικαία γένοιτο πίστις περὶ τῶν Ἰνδικῶν ἐκ τῆς τοιαύτης στρατείας τοῦ Κύρου ἢ τῆς Σεμιράμιδος; συναποφαίνεται δέ πως καὶ Μεγασθένης (III) . . . . . .

4 (37) ARRIAN. Anab. VII 3, 6: ὡς δὲ τὸ πῦρ ἐς τὴν πυρὰν (sc. Καλάνου) ἐνέβαλον οἷς προστεταγμένον ἦν, τάς τε σάλπιγγας φθέγξασθαι λέγει Νέαρχος, οὕτως ἐξ Ἀλεξάνδρου προστεταγμένου, καὶ τὴν στρατιὰν ἐπαλαλάξαι πᾶσαν ὁποῖόν τι καὶ ἐς τὰς μάχας ἰοῦσα ἐπηλάλαξε, καὶ τοὺς ἐλέφαντας συνεπηχῆσαι τὸ ὀξὺ καὶ πολεμικόν, τιμῶντας Κάλανον. F (6); 23.

— — Anab. VII 20, 9: s. F 1 e p. 697.

5 (1) — Ind. 3, 6 (= STRAB. XV 1, 12): Κτησίης δὲ ὁ Κνίδιος (III) τὴν Ἰνδῶν γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, οὐδὲν λέγων, οὐδὲ Ὀνησίκριτος (134 F 6), τρίτην μοῖραν τῆς πάσης γῆς· Νέαρχος δὲ μηνῶν τεσσάρων ὁδὸν τὴν δι' αὐτοῦ τοῦ πεδίου τῆς Ἰνδῶν γῆς. (7) Μεγασθένει (III) δὲ τὸ ἀπὸ ἀνατολῶν ἐς ἑσπέρην . . . μυρίων καὶ ἑξακισχιλίων σταδίων εἶναι, ἵναπερ τὸ βραχύτατον αὐτοῦ· (8) τὸ δὲ ἀπὸ ἄρκτου πρὸς τὸ στενότατον αὐτοῦ.

6 (11) — — 11, 7: οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισταί, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῷι ἡλίωι, τοῦ δὲ θέρεος, ἐπὴν ὁ ἥλιος κατέχηι, ἐν τοῖς λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν· ὧν τὴν σκιὴν Νέαρχος λέγει ἐς πέντε πλέθρα ἐν κύκλωι ἐξικνέεσθαι, καὶ ὑπ' αὐτῆς μυρίους ἀνθρώπους ὑπὸ ἑνὶ δένδρει σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα τὰ δένδρεα.

7 (12) — — 15, 1: τοῦ δὲ ἐλέφαντος τὸν τίγριν πολλόν τι ἀλκιμώτερον Ἰνδοὶ ἄγουσι. τίγρεος δὲ δορὴν μὲν ἰδεῖν λέγει Νέαρχος, αὐτὸν δὲ τίγριν οὐκ ἰδεῖν· ἀλλὰ τοὺς Ἰνδοὺς γὰρ ἀπηγέεσθαι τίγριν εἶναι μέγεθος μὲν ἡλίκον τὸν μέγιστον ἵππον, τὴν δὲ ὠκύτητα καὶ ἀλκὴν οἵην οὐδενὶ ἄλλωι εἰκάσαι· (2) τίγριν γὰρ ἐπεὰν ὁμοῦ ἔλθηι ἐλέφαντι, ἐπιπηδᾶν τε ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλέφαντος καὶ ἄγχειν εὐπετέως. (3) ταῦτα δὲ ἄστινας καὶ ἡμεῖς ὀρέομεν καὶ τίγριας καλέομεν, θῶας εἶναι αἰόλους καὶ μέζονας ἢπερ τοὺς ἄλλους θῶας.

16 γῆς Geier Ἀσίης A (del Schm) οἰκουμένης Strab *terrarum omnium* Plin. NH VI 59 17 Μεγασθένους δὲ καὶ Δημάχου μετριασάντων μᾶλλον κτλ. Strab 20 (σταδίους) τριακ. Cast 28 τίγριν edd τίγρην, τίγρεος hss (fast durchgängig) τὴν τίγριν — ἀλκιμωτέρην He (s. v. 34; Athen. XIII 59υ A B) 34 ταύτας k vulg οὔστινας Vulc

8 (12) a) ARRIAN. Ind. 15, 4: *ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει Νέαρχος μύρμηκα μὲν αὐτὸς οὐκ ἰδέειν, ὁποῖον ὑή τινα μετεξέτεροι διέγραψαν γίνεσθαι ἐν τῇι Ἰνδῶν γῆι, ὁρὰς δὲ καὶ τούτων ἰδεῖν πολλὰς ἐς τὸ στρατόπεδον κατακομισθείσας τὸ Μακεδονικόν.* b) STRAB. XV 1, 44: *τῶν δὲ μυρμήκων τῶν χρυσωρύχων δέρματα ἰδεῖν φησιν οὗτος παρδαλέαις ὅμοια.*

9 (13) — — 15, 8: *σιττακοὺς δὲ Νέαρχος μὲν ὡς δή τι θαῦμα ἀπηγέεται ὅτι γίνονται ἐν τῇι Ἰνδῶν γῆι, καὶ ὁποῖος ὄρνις ἐστὶν ὁ σιττακός, καὶ ὅπως φωνὴν ἵει ἀνθρωπίνην.* (9) *ἐγὼ δὲ ὅτι αὐτός τε πολλοὺς ὀπώπεα καὶ ἄλλους ἐπισταμένους ἤιδεα τὸν ὄρνιθα, οὐδὲν ὡς ἄτοπον δῆθεν ἀπηγήσομαι· οὐδὲ ὑπὲρ τῶν πιθήκων τοῦ μεγέθεος, ἢ ὅτι καλοὶ παρ' Ἰνδοῖς πίθηκοί εἰσιν, οὐδὲ ὅκως ὑηρῶνται ἐρέω. καὶ γὰρ ταῦτα γνώριμα ἐρῶ, πλήν γε δὴ ὅτι καλοί που πίθηκοί εἰσιν*

10 (14—15) a) — — 15, 10: *καὶ ὄφιας δὲ λέγει Νέαρχος θηρευθῆναι αἰόλους μὲν καὶ ταχέας· μέγεθος δέ, ὃν μὲν λέγει ἑλεῖν Πείθωνα τὸν Ἀντιγένεος, πήχεων ὡς ἑκκαίδεκα· αὐτοὺς δὲ τοὺς Ἰνδοὺς πολὺ μέζονας τούτων λέγειν εἶναι τοὺς μεγίστους ὄφεας.* (11) *ὅσοι δὲ ἰητροὶ Ἕλληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύρητο ὅστις ὑπὸ ὄφεως δηχθείη Ἰνδικοῦ· ἀλλ' αὐτοὶ γὰρ οἱ Ἰνδοὶ ἴωντο τοὺς πληγέντας. καὶ ἐπὶ τῶιδε Νέαρχος λέγει ⟨ὅτι⟩ συλλελεγμένους ἀμφ' αὐτὸν εἶχεν Ἀλέξανδρος Ἰνδῶν ὅσοι ἰητρικὴν σοφώτατοι, καὶ κεκήρυκτο ἀνὰ τὸ στρατόπεδον ὅστις δηχθείη ἐπὶ τὴν σκηνὴν φοιτᾶν τὴν βασιλέως.* (12) *οἱ δὲ αὐτοὶ οὗτοι καὶ τῶν ἄλλων νούσων τε καὶ παθέων ἰητροὶ ἦσαν. οὐ πολλὰ δὲ ἐν Ἰνδοῖσι πάθεα γίνεται, ὅτι αἱ ὧραι σύμμετροί εἰσιν αὐτόθι· εἰ δέ τι μεῖζον καταλαμβάνοι, τοῖσιν σοφιστῆισιν ἀνεκοινοῦντο· καὶ ἐκεῖνοι οὐκ ἄνευ θεοῦ ἐδύκιεον ἰῆσθαι ὅτι περ ἰήσιμον.* b) STRAB. XV 1, 45: *ὁ μὲν γὰρ Νέαρχος τὸ τῶν ἑρπετῶν θαυμάζει πλῆθος καὶ τὴν κακίαν· ἀναφεύγειν γὰρ ἐκ τῶν πεδίων εἰς τὰς κατοικίας τὰς διαλανθανούσας ἐν ταῖς ἐπικλύσεσι καὶ πληροῦν τοὺς οἴκους· διὰ δὴ τοῦτο καὶ ὑψηλὰς ποιεῖσθαι τὰς κλίνας, ἔστι δ' ὅτε καὶ ἐξοικίζεσθαι πλεονασάντων· εἰ δὲ μὴ τὸ πολὺ τοῦ πλήθους ὑπὸ τῶν ὑδάτων διεφθείρετο, κἂν ἐρημωθῆναι τὴν χώραν. καὶ τὴν μικρότητα δ' αὐτῶν εἶναι χαλεπὴν καὶ τὴν ὑπερβολὴν τοῦ μεγέθους, τὴν μὲν διὰ τὸ δυσφύλακτον, τὴν δὲ δι' ἰσχύν, ὅπου καὶ ἑκκαιδεκαπήχεις ἐχίδνας ὁρᾶσθαι. ἐπωιδοὺς δὲ περιφοιτᾶν ἰᾶσθαι πεπιστευμένους, καὶ εἶναι σχεδόν τι μόνην ταύτην ἰατρικήν· μηδὲ γὰρ νόσους εἶναι πολλὰς διὰ τὴν λιτότητα τῆς διαίτης καὶ τὴν ἀοινίαν· εἰ δὲ γένοιντο, ἰᾶσθαι τοὺς σοφιστάς.* (es folgt Aristob. 139 F 38).

1 ἐπεί: ἐπὶ δὲ He 10 ἐπισταμένους k πεταμένους A ἤιδεα He ειδεα A ἄτοπον Cast ἀτόπον A ⟨ὑπὲρ⟩ ἀτόπου Rei 16 *Πείθωνα* al *Πύθωνα* A 17 ὄφεας A ὄφιας edd 20 ⟨ὅτι⟩ Rei 21 ἐκεκήρυκτο He 22 τὴν βασιλέ(!) A τοῦ al τὴν τοῦ He

**11** (9—10) ARRIAN. Ind. 16, 1: *ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται,* (F 19) *κατάπερ λέγει Νέαρχος, λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ ὅτων μοι ἤδη λέλεκται. τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν χροιὴν ἐστιν ἄλλου λίνου παντός, ἢ μέλανες αὐτοὶ ἐόντες λαμπρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν.* (2) *ἔστι δὲ κιθὼν λίνεος αὐτοῖς ἕστε ἐπὶ μέσην τὴν κνήμην, εἶμα δὲ τὸ μὲν περὶ τοῖσιν ὤμοισι περιβεβλημένον, τὸ δὲ περὶ τῇσι κεφαλῇσι εἰλιγμένον.* (3) *καὶ ἐνώτια Ἰνδοὶ φορέουσιν ἐλέφαντος, ὅσοι κάρτα εὐδαίμονες· οὐ γὰρ πάντες Ἰνδοὶ φορέουσι.* (4) *τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι βάπτονται Ἰνδοί, χροιὴν δὲ ἄλλην καὶ ἄλλην, οἳ μὲν ὡς λευκοὺς φαίνεσθαι οἵους λευκοτάτους, οἱ δὲ κυανέους· τοῖς δὲ φοινικέους εἶναι, τοῖς δὲ καὶ πορφυρέους, ἄλλοις πρασοειδέας.* (5) *καὶ σκιάδια ὅτι προβάλλονται τοῦ θέρεος ὅσοι οὐκ ἠμελημένοι Ἰνδῶν. ὑποδήματα δὲ λευκοῦ δέρματος φορέουσι, περιττῶς καὶ ταῦτα ἠσκημένα· καὶ τὰ ἴχνη τῶν ὑποδημάτων αὐτοῖσι ποικίλα καὶ ὑψηλά, τοῦ μέζονας φαίνεσθαι.* (6) *ὁπλίσιος δὲ τῆς* (F 23) *Ἰνδικῆς οὐκ ὠυτὸς εἷς τρόπος, ἀλλὰ οἱ μὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσιν, ἰσόμηκες τῶι φορέοντι τὸ τόξον, καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες καὶ τῶι ποδὶ τῶι ἀριστερῶι ἀντιβάντες, οὕτως ἐκτοξεύουσι, τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀπαγαγόντες·* (7) *ὁ γὰρ διστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος, οὐδέ τι ἀντέχει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε ἀσπὶς οὔτε θώρηξ οὔτε ⟨εἴ τι ἔ⟩τι καρτερ⟨ώτερ⟩ον ἐγένετο.* (8) *ἐν δὲ τῇσιν ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠμοβόιναι, στεινότεραι μὲν ἢ κατὰ τοὺς φορέοντας, μήκει δὲ οὐ πολλὸν ἀποδέουσαι. τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί.* (9) *μάχαιραν δὲ πάντες φορέουσι, πλατείην δὲ καὶ τὸ μῆκος οὐ μέζω τριπήχεος· καὶ ταύτην ἐπεὰν συστάδην καταστῖι αὐτοῖσιν ἡ μάχη (τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς ἀλλήλους γίνεται), ἀμφοῖν τοῖν χεροῖν καταφέρουσιν ἐς τὴν πληγήν, τοῦ καρτερὴν τὴν πληγὴν γίνεσθαι.* (10) *οἱ δὲ ἵππεες ἀκόντια δύο αὐτοῖσιν ἔχουσιν, οἷα τὰ σαύνια [ἀκόντια], καὶ πέλτην [τὴν] μικροτέρην τῶν πεζῶν. οἱ δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσίν, οὐδὲ χαλινοῦνται τοῖσιν Ἑλληνικοῖσιν χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμφερέως,* (11) *ἀλλὰ περὶ ἄκρωι τῶι στόματι τοῦ ἵππου ἐν κύκλωι ἔχουσι δέρμα ὠμοβόινον ῥαπτὸν περιηρτημένον· καὶ ἐν τούτωι χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα· τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν· ἐν δὲ τῶι στόματι σίδηρον αὐτοῖσιν οἱ*

---

5 *λίνεος* Vulc *λιναῖος* A *εἶμα* A *νῆμα* He 6 [*περὶ*] He 9 [*δὲ*] He *δὴ* Due 10 *τοῖς δὲ φοιν.*: *τοὺς* A *τοῖσι* He *τοὺς δὲ καὶ* B al 11 *πορφορέους* B *πυρφορέους* A al *ἄλλοις* A *ἄλλους* B al 15 *εἷς* om B *ἦν* al 17 *ἐπιβάντες, οὕτω ⟨δὴ⟩* Cast 19 *ἀντέξει* B 20 *⟨εἴ τι ἔ⟩τι* Jac *τι* A *εἴ τι* al *ὅτι* k *καρτερώτερον* He *καρτερὸν* A 23 *πλατείην τε* He 26 *καρτερ⟨ώτέρ⟩ην* Cast *γίνεσθαι* Eb *γενέσθαι* A 27 *σαύνια* al (? s. p. 714, 10) *δαύνια* A [*ἀκόντια*] Cast 28 *τὴν* del k 30 [*τοῦ ἵππου*] He *οἱ ἵπποι*? Eb

ἵπποι ἔχουσιν, οἱόν περ ὀβελόν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες· (12) ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ τε ὀβελὸς κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα, κεντέοντα οὐκ ἐᾶι ἄλλο τι ἢ πείθεσθαι τῶι ῥυτῆρι. (17) τὰ δὲ σώματα ἰσχνοί τέ εἰσιν Ἰνδοὶ καὶ εὐμήκεες, καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. ὀχήματα δὲ τοῖς μὲν πολλοῖς Ἰνδῶν κάμηλοί εἰσι καὶ ἵπποι καὶ ὄνοι, τοῖς δὲ εὐδαίμοσιν ἐλέφαντες. (2) βασιλικὸν γὰρ ὄχημα ἐλέφας παρ' (F 23) Ἰνδοῖς ἐστιν· δεύτερον δὲ τιμῆι ἐπὶ τούτωι τὰ τέθριππα, τρίτον δὲ αἱ κάμηλοι· τὸ δὲ ἐφ' ἑνὸς ἵππου ὀχέεσθαι ἄτιμον. (3) αἱ γυναῖκες δὲ αὐτοῖσιν, ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλωι μισθῶι οὐκ ἄν τι διαμάρτοιεν, ἐλέφαντα δὲ λαβοῦσα γυνὴ μίσγεται τῶι δόντι· οὐδὲ αἰσχρὸν Ἰνδοὶ ἄγουσι τὸ ἐπὶ ἐλέφαντι μιγῆναι, ἀλλὰ καὶ σεμνὸν δοκέει τῆισι γυναιξὶν ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος. (4) γαμέουσι δὲ οὔτε τι (F 23) διδόντες οὔτε λαμβάνοντες, ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας οἱ πατέρες προάγοντες ἐς τὸ ἐμφανὲς καθιστᾶσιν ἐκλέξασθαι τῶι νικήσαντι πάλην ἢ πυξ ἢ δρόμον ἢ κατ' ἄλλην τινὰ ἀνδρ⟨ε⟩ίαν προκριθέντι. (5) σιτοφάγοι δὲ καὶ ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι αὐτῶν· οὗτοι δὲ τὰ θήρεια κρέα σιτέονται. (6) ταῦτά μοι ἀπόχρη διεξηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω ἄνδρε, ἀνεγραψάτην.

12 (—) PHILOSTRAT. vit. Apoll. II 17: τὰ δὲ Νεάρχωι τε καὶ Πυθαγόραι (V) περὶ τοῦ Ἀκεσίνου ποταμοῦ εἰρημένα, ὡς ἐσβάλλει μὲν ἐς τὸν Ἰνδὸν οὗτος, τρέφει δὲ ὄφεις ἑβδομήκοντα πηχῶν μῆκος, τοιαῦτα εἶναί φασιν, ὁποῖα εἴρηται, καὶ ἀνακείσθω μοι ὁ λόγος ἐς τοὺς ὁράκοντας, ὧν ὁ Δάμις ἀφηγεῖται τὴν θήραν.

13 (—) PLIN. N H VI 96: *Onesicriti* (134 F 28) *et Nearchi navigatio nec nomina habet mansionum nec spatia, primumque Xylinepolis ab Alexandro condita, unde ceperunt exordium, iuxta quod flumen aut ubi fuerit non satis explanatur.*

14 (27) — VI 107: *Carmaniae oram patere duodecies quinquaginta milia passuum Nearchus scripsit, ab initio eius ad flumen Sabim* C̄ *p.; inde vineas coli et arva ad flumen Anamin XXV milium spatio. regio vocatur Armuzia. oppida Carmaniae Zetis et Alexandria.* s. F 1 c. 33, 2.

15 (35) — VI 109: *Onesicritus* (134 F 29) *et Nearchus ab Indo amne in sinum Persicum atque illinc Babylonem Euphratis paludibus scripserunt* |X̄V̄IĪ| *esse.*

— VI 124: s. F 1 h p. 706.

---

2 ἐπάγωσι B 5 οἱ Ἰνδοί Bk 7 ὁ ἐλέφας al vulg 14 οὔτε τι λαμβ. k (He) 17 [τὰ] θηρία He 20 Ὀρθαγόραι? 25 *Xylinepolis* Lassen Ind. Alt. II 1, 192 *xilenepolis* E² *exilen(a)epolis* D R 26 *iuxta* om E² 28 *Carmaniae* edd *carmaniam* Pl *decies septies* Solin 29 *Sabim* Sillig *sabi* E² *sabini* rell *Saetis* Mela III 75 30 *Anamin* (F 1 c. 33, 2) Sillig *ananim, ianasabini* rell *Andanim* Barbarus *Sandis* Mela III 75 *Armuzia* Barbarus *armysia, —isia, —ixia* Pl Ἁρμόζεια F 1 c. 33, 2 31 *zethis* E²

16 (2) STRAB. II 1, 20: *τὸ δ' ἐν τῇι Ἰνδικῇι κλίμα μηδένα ἱστορεῖν, μηδ' αὐτὸν Ἐρατοσθένη. εἰ δὲ δὴ καὶ αἱ ἄρκτοι ἐκεῖ ἀμφότεραι, ὡς οἴονται, ἀποκρύπτονται, πιστεύοντες τοῖς περὶ Νέαρχον, μὴ δυνατὸν εἶναι ἐπὶ ταὐτοῦ παραλλήλου κεῖσθαι τήν τε Μερόην καὶ [ταῦτα] τὰ ἄκρα τῆς Ἰνδικῆς. εἰ μὲν τοίνυν περὶ τῶν ἄρκτων ἀμφοτέρων ὅτι ἀποκρύπτονται, συναποφαίνεται τοῖς εἰποῦσιν Ἐρατοσθένης* (V) .... s. F 1 c. 25, 4—6.

— XI 13, 6: s. F 1 g p. 705.

— XV 1, 5: s. F 3b.

— XV 1, 12: = F 5.

17 (3) — XV 1, 16: *Νέαρχος δὲ περὶ τῆς ἐκ τῶν ποταμῶν* (F 20) *ἐπιχοῆς παραδείγματα φέρει τὰ τοιαῦτα, ὅτι καὶ τὸ Ἕρμου καὶ Καύστρου πεδίον καὶ Μαιάνδρου καὶ Καΐκου παραπλησίως εἴρηται, διὰ ⟨τὸ⟩ τὴν ἐπιφορουμένην τοῖς πεδίοις χοῦν αὔξειν αὐτά, μᾶλλον δὲ γεννᾶν, ἐκ τῶν ὀρῶν καταφερομένην, ὅση εὔγεως καὶ μαλακή· καταφέρειν δὲ τοὺς ποταμούς, ὥστε τούτων ὡς ἂν γεννήματα ὑπάρχειν τὰ πεδία· καὶ εὖ λέγεσθαι ὅτι τούτων ἐστὶ τὰ πεδία. τοῦτο δὲ ταὐτόν ἐστι τῶι ὑπὸ τοῦ Ἡροδότου λεχθέντι ἐπὶ τοῦ Νείλου καὶ τῆς ἐπ' αὐτῶι γῆς ὅτι ἐκείνου δῶρόν ἐστι· διὰ τοῦτο δ' ὀρθῶς καὶ ὁμώνυμον τῆι Αἰγύπτωι φησὶ λεχθῆναι τὸν Νεῖλον ὁ Νέαρχος.*

18 (4) — XV 1, 18: *τοῦτο μὲν οὖν αὐτὸ καὶ ὁ Νέαρχος λέγει* (wie Aristobulos 139 F 35 sc. *τῶν ποταμῶν πληρουμένων τὰ πεδία κλύζεσθαι, τὴν δὲ θάλατταν ἄπλουν εἶναι τῶν ἀνέμων ἀντιπνεόντων)· περὶ δὲ τῶν θερινῶν ὄμβρων οὐχ ὁμολογεῖ, ἀλλά φησιν ὕεσθαι τὰ πεδία θέρους, χειμῶνος δ' ἄνομβρα εἶναι. λέγουσι δ' ἀμφότεροι καὶ τὰς ἀναβάσεις τῶν ποταμῶν. ὁ μέν γε Νέαρχος τοῦ Ἀλεσίνου πλησίον στρατοπεδεύοντάς φησιν ἀναγκασθῆναι μεταλαβεῖν τόπον ἄλλον ὑπερδέξιον κατὰ τὴν ἀνάβασιν, γενέσθαι δὲ τοῦτο κατὰ θερινὰς τροπάς. ὁ δὲ Ἀριστόβουλος καὶ νησίζειν τὰς πόλεις ἐπάνω χωμάτων ἱδρυμένας, καθάπερ καὶ ἐν Αἰγύπτωι καὶ Αἰθιοπίαι· μετὰ δὲ Ἀρκτοῦρον παύεσθαι τὴν πλήμμυραν, ἀποβαίνοντος τοῦ ὕδατος· ἔτι δὲ ἡμίψυκτον σπείρεσθαι τὴν γῆν, ὑπὸ τοῦ τυχόντος ὑρύκτου χαραχθεῖσαν, καὶ ὅμως φύεσθαι τὸν καρπὸν τέλειον καὶ καλόν.*

19 (8) — XV 1, 20: . . . *ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις* (sc. *τῶν* (F 11) *δένδρων*) *καὶ ἐπανθεῖν ἔριον* (sc. *Μεγασθένης φησί*). *ἐκ τούτου δὲ Νέαρχός*

---

3 *πιστεύοντες* edd *πιστεύων* ABC 4 [ταῦτα] Corais 18 ⟨τὸ⟩ Casaubonus 18 *ἐπ' αὐτῶι* edd vett *ὑπ' αὐτῶι* Str 21 *αὐτό* Xylander *αὐτοῖ* Str 26 *στρατοπεδεύοντας* Casaubonus *στρατεύοντος* CDF *στρατεύοντα* E *στρατοπεδεύοντος* cett 31 *ὑποβαίνοντος* Corais 32 *ὑπὸ τοῦ τυχόντος* Corais *ἀπὸ τ. τ.* F *ἀπὸ τοῦ ψύχοντος* Str

φησι τὰς εὐητρίους ὑφαίνεσθαι σινδόνας· τοὺς δὲ Μακεδόνας ἀντὶ κναφάλων αὐτοῖς χρῆσθαι καὶ τοῖς σάγμασι σάγης· τοιαῦτα δὲ καὶ τὰ σηρικά, ἔκ τινων φλοιῶν ξαινομένης βύσσου. εἰρηκε δὲ καὶ περὶ τῶν καλάμων ὅτι ποιοῦσι μέλι, μελισσῶν μὴ οὐσῶν· καὶ γὰρ δένδρον εἶναι καρποφόρον, ἐκ δὲ τοῦ καρποῦ συντίθεσθαι μέλι, τοὺς δὲ φαγόντας ὠμοῦ τοῦ καρποῦ μεθύειν.

20 (5) STRAB. XV 1, 25: καὶ τοῦτο δὲ τῶν ὁμολογουμένων ἐστὶ (F 17) καὶ τῶν σωζόντων τὴν πρὸς τὴν Αἴγυπτον ὁμοιότητα καὶ τὴν Αἰθιοπίαν, ὅτι τῶν πεδίων ὅσα μὴ ἐπίκλυστα ἄκαρπά ἐστι διὰ τὴν ἀνυδρίαν. Νέαρχος δὲ τὸ ζητούμενον πρότερον ἐπὶ τοῦ Νείλου, πόθεν ἡ πλήρωσις αὐτοῦ, διδάσκειν ἔφη τοὺς Ἰνδικοὺς ποταμούς, ὅτι ἐκ τῶν θερινῶν ὄμβρων συμβαίνει. Ἀλέξανδρον δ' ἐν μὲν τῶι Ὑδάσπηι κροκοδείλους ἰδόντα, ἐν δὲ τῶι Ἀκεσίνηι κνάμους Αἰγυπτίους, εὑρηκέναι δόξαι τὰς τοῦ Νείλου πηγάς, καὶ παρασκευάζεσθαι στόλον εἰς τὴν Αἴγυπτον, ὡς τῶι ποταμῶι τούτωι μέχρι ἐκεῖσε πλευσόμενον· μικρὸν δ' ὕστερον γνῶναι, διότι οὐ δύναται, ὃ ἤλπισε — 'μέσωι γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥεῖθρα, Ὠκεανὸς μὲν πρῶτον' (Od. λ 157 f.), εἰς ὃν ἐκδιδόασιν οἱ Ἰνδικοὶ πάντες ποταμοί· ἔπειτα ἡ Ἀριανὴ καὶ ὁ Περσικὸς κόλπος καὶ ὁ Ἀράβιος καὶ αὐτὴ ἡ Ἀραβία καὶ ἡ Τρωγλοδυτική.

21 (6) — XV 1, 33: τῆς Παταληνῆς, ἣν ὁ Ἰνδὸς ποιεῖ, σχισθεὶς εἰς δύο προχοάς· Ἀριστόβουλος (139 F 48) μὲν οὖν εἰς χιλίους σταδίους διείχειν ἀλλήλων φησὶν αὐτάς. Νέαρχος δ' ὀκτακοσίους προστίθησιν, (F 33 c. 20, 2) Ὀνησίκριτος (134 F 26) δὲ τὴν πλευρὰν ἑκάστην .... διςχιλίων .....

22 (16) — XV 1, 43: Νέαρχος δὲ καὶ ποδάγρας ἐν ταῖς θήραις (sc. τῶν ἐλεφάντων) τίθεσθαι κατά τινας συνδρόμους φησί, συνελαύνεσθαι δ' ὑπὸ τῶν τιθασσῶν τοὺς ἀγρίους εἰς ταύτας, κρειττόνων ὄντων καὶ ἡνιοχουμένων. οὕτως δ' εὐτιθασσεύτους εἶναι, ὥστε καὶ λιθάζειν ἐπὶ σκοπὸν μανθάνειν καὶ ὅπλοις χρῆσθαι νεῖν τε κάλλιστα· μέγιστόν τε (F 11 c. 17, 1—3) νομίζεσθαι κτῆμα ἐλεφάντων ἅρμα· ἄγεσθαι δὲ ὑπὸ ζυγὸν ⟨ὡς⟩ καὶ καμήλους. γυναῖκα δ' εὐδοκιμεῖν, εἰ λάβοι παρὰ ἐραστοῦ δῶρον ἐλέφαντα. οὗτος ὁ λόγος οὐχ ὁμολογεῖ τῶι φήσαντι μόνων βασιλέων εἶναι κτῆμα ἵππον καὶ ἐλέφαντα.

— XV 1, 44: F 8 b.

— XV 1, 45: F 10 b.

23 (7) — XV 1, 66—67: Νέαρχος δὲ περὶ τῶν σοφιστῶν οὕτω λέγει· τοὺς μὲν Βραχμᾶνας πολιτεύεσθαι καὶ παρακολουθεῖν τοῖς βασιλεῦσι συμβούλους, τοὺς δ' ἄλλους σκοπεῖν τὰ περὶ τὴν φύσιν· τούτων

1 κναφίλλων CF 2 σάγης Salmasius σάγην Str 4 καὶ EF οὐ cett
15 διότι: ὅτι E 16 ῥέεθρα E? 28 ζυγὸν CDF ζυγῶν cett ⟨ὡς⟩ Tzschucke
ἄγεσθαι γὰρ ὁ. ζ. ὡς καμήλους? 30 μόνων F μόνον cett 36 τοῦτον F

δ' εἶναι καὶ Κάλανον. συμφιλοσοφεῖν δ' αὐτοῖς καὶ γυναῖκας, τὰς δὲ (F 4)
διαίτας ἁπάντων σκληράς.

περὶ δὲ τῶν κατὰ τοὺς ἄλλους νομίμων τοιαῦτα ἀποφαίνεται· τοὺς (F 11)
μὲν νόμους ἀγράφους εἶναι, τοὺς μὲν κοινούς, τοὺς δ' ἰδίους, ἀήθειαν
ἔχοντας πρὸς τοὺς τῶν ἄλλων· οἷον τὸ τὰς παρθένους ἆθλον παρά
τισι προκεῖσθαι τῶι πυγμὴν νικήσαντι, ὥστ' ἀπροίκους συνεῖναι. παρ'
ἄλλοις δὲ κατὰ συγγένειαν κοινῆι τοὺς καρποὺς ἐργασαμένους, ἐπὰν
συγκομίσωσιν, αἱρεσθαι φορτίον ἕκαστον εἰς διατροφὴν τοῦ ἔτους, τὸν δ'
ἄλλον ἐμπιπράναι, τοῦ ἔχειν εἰσαῦθις ἐργάζεσθαι καὶ μὴ ἀργὸν εἶναι.
ὁπλισμὸν δ' εἶναι τόξον καὶ ὀιστοὺς τριπήχεις, ἢ σαύνιον, καὶ πέλτην'
καὶ μάχαιραν πλατεῖαν τρίπηχυν· ἀντὶ δὲ χαλινῶν φιμοῖς χρῆσθαι
κημῶν μικρὸν διαφέρουσιν· ἅλοις δὲ τὰ κεῖλη διαπεπάρθαι. (67) τὴν
δὲ φιλοτεχνίαν τῶν Ἰνδῶν ἐμφανίζων σπόγγους φησὶν ἰδόντας παρὰ
τοῖς Μακεδόσι μιμήσασθαι, τρίχας καὶ σχοινία λεπτὰ καὶ ἁρπεδόνας
διερράψαντας εἰς ἔρια, καὶ μετὰ τὸ πιλῆσαι τὰ μὲν ἐξελκύσαντας, τὰ
δὲ βάψαντας χροιαῖς. στλεγγιδοποιούς τε καὶ ληκυθοποιοὺς ταχὺ γενέ-
σθαι πολλούς. ἐπιστολὰς δὲ γράφειν ἐν σινδόσι λίαν κεκροτημέναις,
τῶν ἄλλων γράμμασιν αὐτοὺς μὴ χρῆσθαι φαμένων. χαλκῶι δὲ
χρῆσθαι χυτῶι, τῶι δ' ἐλατῶι μή· τὴν δ' αἰτίαν οὐκ εἶπε, καίτοι τὴν
ἀτοπίαν εἰπὼν τὴν παρακολουθοῦσαν, ὅτι θραύεται κεράμου δίκην τὰ
σκεύη πεσόντα.

24 (20) STRAB. XV 2, 1: οἰκοῦσι δὲ Ἄρβιες πρῶτον (auf dem νότιον (F 1
πλευρόν von Ariana), ὁμώνυμοι τῶι ποταμῶι Ἄρβει τῶι ὁρίζοντι αὐτοὺς c. 21—22)
ἀπὸ τῶν ἑξῆς Ὡρειτῶν, ὅσον χιλίων σταδίων ἔχοντες παραλίαν, ὥς φησι
Νέαρχος· Ἰνδῶν δ' ἐστὶ μερὶς καὶ αὕτη. εἶθ' Ὡρεῖται ἔθνος αὐτόνομον·
τούτων δ' ὁ παράπλους χιλίων ὀκτακοσίων· ὁ δὲ τῶν ἑξῆς Ἰχθυοφάγων ἑπτα-
κισχίλιοι τετρακόσιοι· ὁ δὲ τῶν Καρμανίων τρισχίλιοι ἑπτακόσιοι μέχρι Περσίδος·
ὥσθ' οἱ σύμπαντες μύριοι τρισχίλιοι ἐννακόσιοι.

— XV 2, 5: s. F 1 a p. 684.
— XV 2, 11—13: F 1 b p. 693.
— XV 2, 13: F 1 c p. 695.
— XV 2, 14: F 1 f p. 702.

25 (35) — XV 3, 5: (Polykleitos 128 F 6) Νέαρχος δὲ τὸν (F 1 c. 42)
παράπλουν τῆς Σουσίδος τεναγώδη φήσας πέρας αὐτοῦ λέγει τὸν
Εὐφράτην ποταμόν· πρὸς δὲ τῶι στόματι κώμην οἰκεῖσθαι τὴν ὑπο-
δεχομένην τὰ ἐκ τῆς Ἀραβίας φορτία· συνάπτειν γὰρ ἐφεξῆς τὴν τῶν
Ἀράβων παραλίαν τῶι στόματι τοῦ Εὐφράτου καὶ τοῦ Πασιτίγριος, τὸ

---

2 ἁπάντων ⟨εἶναι⟩? 11 φημοῖς F κημοῖς D 15 πιλῆσαι Casaubonus
πλῆσαι Str 22 Ἄρβιες: Ἀράβιες F 1 c. 21, 8 24 Ὡρῖται Eust. Dion. 1095;
Ὡρεῖται Arrian passim 28 τρισχίλιοι edd διακίλιοι Str

δὲ μεταξὺ πᾶν ἐπέχειν λίμνην τὴν ὑποδεχομένην τὸν Τίγριν. ἀναπλεύσαντι δὲ τῶι Πασιτίγρει σταδίους πεντήκοντα καὶ ἑκατόν, τὴν σχεδίαν εἶναι τὴν ἄγουσαν ἐπὶ Σούσων † ἐκ τῆς Περσίδος, ἀπέχουσαν Σούσων σταδίους † ἑξήκοντα· τὸν δὲ Πασίτιγριν ἀπὸ τοῦ Ὀροάτιδος διέχειν περὶ δισχιλίους σταδίους· διὰ δὲ τῆς λίμνης ἐπὶ τὸ στόμα τοῦ Τίγριος τὸν ἀνάπλουν εἶναι σταδίων ἑξακοσίων· πλησίον δὲ τοῦ στόματος κώμην οἰκεῖσθαι † τὴν Σουσιανήν διέχουσαν τῶν Σούσων σταδίους πεντακοσίους. ἀπὸ δὲ τοῦ στόματος τοῦ Εὐφράτου καὶ μέχρι Βαβυλῶνος τὸν ἀνάπλουν εἶναι διὰ γῆς οἰκουμένης καλῶς σταδίων πλειόνων ἢ τρισχιλίων. Ὀνησίκριτος (134 F 33) . . . . .

26 (36) STRAB. XV 3, 11: ἡ δὲ παραλία (sc. τῆς Περσίδος) τεναγώδης (F 1 c. 40, 9) ἐστὶ καὶ ἀλίμενος· διὰ τοῦτο γοῦν καί φησιν ὁ Νέαρχος μηδὲ καθοδηγῶν ἐπιχωρίων τυγχάνειν, ἡνίκα τῶι στόλωι παρέπλει πρὸς τὴν Βαβυλωνίαν ἐκ τῆς Ἰνδικῆς, † ὅτι προσόρμους οὐκ ἔχειν, οὐδ' ἀνθρώπων εὐπορεῖν οἷός τ' ἦν τῶν ἡγησομένων κατ' ἐμπειρίαν.

27 (29) — XVI 3, 5: ἀπὸ δὲ τῆς Καρμανίας εἰρήκασι καὶ Νέαρχος (F 1 c. 37) καὶ Ὀρθαγόρας (V) νῆσον † τυρίνην κεῖσθαι πρὸς νότον πελαγίαν ἐν δισχιλίοις σταδίοις, ἐν ἧι τάφος Ἐρύθρα δείκνυται, χῶμα μέγα ἀγρίοις φοίνιξι κατάφυτον· τοῦτον δὲ βασιλεῦσαι τῶν τόπων καὶ ἀπ' αὐτοῦ τὴν Θάλατταν ἐπώνυμον καταλιπεῖν. δηλῶσαι δὲ ταῦτά φησιν αὐτοῖς Μιθρωπάστην τὸν Ἀρσίτου τοῦ Φρυγίας σατράπου, φυγόντα μὲν Δαρεῖον, διατρίψαντα δ' ἐν τῆι νήσωι, συμμίξαντα δὲ αὐτοῖς καταχθεῖσιν εἰς τὸν Περσικὸν κόλπον καὶ ζητοῦντα κάθοδον δι' αὐτῶν εἰς τὴν οἰκείαν. (6) καθ' ὅλην δὲ τὴν τῆς Ἐρυθρᾶς παραλίαν κατὰ βυθοῦ φύεται δένδρα ὅμοια (F 1 c. 30, 7—8; F 34) δάφνηι καὶ ἐλαίαι, ταῖς μὲν ἀμπώτισιν ὅλα ὑπερφανῆ γιγνόμενα, ταῖς δὲ πλημμυρίσιν ἔσθ' ὅτε ὅλα καλυπτόμενα· καὶ ταῦτα τῆς ὑπερκειμένης γῆς ἀδένδρου οὔσης, ὥστε ἐπιτείνεσθαι τὸ παράδοξον. περὶ μὲν οὖν τῆς κατὰ Πέρσας θαλάττης, ἣν ἑώιαν πλευρὰν ἔφαμεν εἶναι τῆς εὐδαίμονος Ἀραβίας, τοιαῦτα εἴρηκεν Ἐρατοσθένης (V).

28 (29) — XVI 3, 7: φησὶ δ' ὁ Νέαρχος τὸν Μιθρωπάστην (F 1 c. 37) ἐντυχεῖν αὐτοῖς μετὰ Μαζήνου· τὸν δὲ Μαζήνην ἐπάρχειν νήσου τινὸς τῶν ἐν τῶι Περσικῶι κόλπωι· καλεῖσθαι δὲ τὴν νῆσον Δωράκτα (?).

---

8 ἐκ τῆς περ(αίας Σου)σίδος Groskurd 4 ἑξήκοντα: ἑξακοσίους? Kramer 5—7 διὰ — πεντακοσίους vor v. 1 ἀναπλεύσαντι Andreas 7 Ἀγνιν Σουσιανήν Corais (F 1 c. 42, 4) τινα Σουσιανὴν Mue τὴν Σουσιανὴν ⟨Ἀγνιν⟩ Groskurd 9 γῆς Tzschucke τῆς Str 14 ὅτι ⟨γὰρ⟩ Groskurd ἔχειν: εἶχεν Kramer 17 τυρίνην CDF τυρρηνὴν E Ὄγυριν Salmasius Ὄγυρον Corais Ὠγυρίνην o. Γυρίνην Vossius κεῖσθαι: καλεῖσθαι D 18 δισχιλίοις: τ E 21 Ἀρσίτου Stiehle ἀρηίνου Str 24 φύεται: φαίνεται E 27 ἐπιτείνεσθαι Casaubonus ἐπιτίνεσθαι Str 32 Δώρακτα Str Δῶρα Steph Byz Ὁράκτα (F 1 c. 37, 2) Salmasius Ἀώρακτα? Mue

εἰς ταύτην δὲ τὸν Μιθρωπάσην καταφεύγοντα ξενίας τυχεῖν καὶ ἀπὸ τῆν ἐξ Ὠγύρου(?) γενομένην ἄφοδον, καὶ δὴ καὶ συνελθεῖν τῶι Μαζήνηι συστα-θησόμενον τοῖς ἐν τῶι στόλωι Μακεδόσι, τὸν δὲ Μαζήνην καὶ καθηγε-μόνα τοῦ πλοῦ γενέσθαι.

λέγει δὲ καὶ ἐν ἀρχῆι τοῦ Περσικοῦ παράπλου νῆσον, ἐν ἧι μαργα- (F 1 c. 30,
ρίτης πολὺς καὶ πολυτίμητός ἐστιν· ἐν ἄλλαις δὲ ψῆφοι τῶν διαυγῶν καὶ λαμπρῶν. ἐν δὲ ταῖς πρὸ τοῦ Εὐφράτου νήσοις δένδρα φύεσθαι λιβάνου πνέοντα, ὧν τὰς ῥίζας κλωμένων ὀπὸν ῥεῖν. παγούρων τε καὶ ἐχίνων μεγέθη, ὅπερ κοινὸν ἐν πάσηι τῆι ἔξω θαλάττηι· τοὺς μὲν γὰρ εἶναι μείζους καυσίων, τοὺς δὲ καὶ δικοτύλους. ἐποκεῖλαν δὲ κῆτος ἰδεῖν (F 1
πεντήκοντα πηχῶν. c. 30, 4—5.

## Zweifelhaftes.

29 (—) Schol. Apoll. Rhod. I 308: Κλάρον· τόπος Κολοφῶνος . . . ὁπὸ Μαντοῦς . . . καθιδρυμένον ἢ ὑπὸ Κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος (115 F 346). Νέαρχος δέ φησιν ὅτι κατὰ κλῆρον ὁ Ἀπόλλων ἔλαχε τὴν πόλιν, καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὠνομάσθαι.

## Anhang.

30 (—) Plin. NH IX 7: *Gedrosos qui Arabim amnem accolunt Alexandri* (F 1 c. 29, 16
*Magni classium praefecti prodiderunt in domibus fores maxillis beluarum facere, ossibus tecta contignare, ex quibus multa quadragenum cubitorum longitudinis reperta. exeunt et pecori similes beluae ibi in terram pastaeque radices fruticum remeant; et quaedam equorum asinorum taurorum capitibus quae depascuntur sata, superveniunt.* (11) *nuntiabant autem quaedam audita, alia comperta: insulam* (F 1
*ostio amnis obiectam auro abundare, inopem equorum esse; singulos eos compere-* c. 33—36
*rant ab iis qui ex continenti traicere auderent singulis talentis emi.* (12) *plenum esse beluarum mare: aestu secundo eas ferri magnarum navium corpora aequantes; tubae cantu deterritas sequi classem cum magno aequoris strepitu velut demersa* (F 1 c. 30)
*navigia subisse aquas.* (13) *cetera incolis crediderant; inter quae Rubrum mare non a colore undarum, ut plerique crederent, sed ab Erythro rege appellari;* (14) *esse haud procul a continenti insulam palmetis frequentibus consitam et in* (F 1 c. 32, 3
*medio fere nemore columnam eminere Erythri regis monumentum, litteris gentis eius scriptam.* (15) *adiciebant navigia, quae lixas mercatoresque vexissent, famam* (F 1 c. 31)
*auri secutis gubernatoribus in insulam esse transmissa nec deinde ab iis postea visa.*

b) Diod. XVII 106, 6: οἱ δὲ καταπεπλευκότες ἀπήγγελλον ἀμπώτεις τε

---

2 Ὠγύρου: Ὠγύριος Salmasius edd Μαζήνηι Tzschucke ἀμαζήνηι Str 7 πρὸς F 8 τε: δὲ edd 10 ἐποκεῖλαν CDF 13 ὑπὸ fp ἀπὸ L 14 ὑπὸ p ἀπὸ L 15 Νεάνθης Immisch Klaros 135, 3 25 *ammis obiectam* Scheffer *amni subiectam* Curt 28 *tubae* Sebisius *truci* Curt ⟨*ac*⟩ *velut*? 31 *frequentibus* codd. interp. *frementibus* Curt 32 *Erythri* Aldus *erithri, erythi* Curt 34 *transmissa* Lauer —*seam* Curt

καὶ πλήμας παραδόξους γίνεσθαι κατὰ τὸν Ὠκεανόν, καὶ κατὰ μὲν τὰς ἀμπώτεις [παραδόξους] νήσους τε ὁρᾶσθαι πολλὰς καὶ μεγάλας ἐπ' ἄκρας τῆς παραθαλαττίου χώρας, κατὰ δὲ τὰς πλήμας ἅπαντας τοὺς προειρημένους τόπους κατακλύζεσθαι, πολλοῦ καὶ βιαίου ῥεύματος φερομένου πρὸς τὴν χέρσον, τῆς δ' ἐπιφανείας ἀφρῶι πολλῶι λευκαινομένης. (7) τὸ δὲ παραδοξότατον, κήτεσι πολλοῖς καὶ τὸ μέγεθος ἀπίστοις συγκεκυρηκέναι· ταῦτα δὲ φοβηθέντας αὐτοὺς τὸ μὲν πρῶτον ἀπελπίσαι τὸ ζῆν ὡς αὐτίκα μάλα μετὰ τῶν σκαφῶν διαφθαρησομένους, μετὰ δὲ ταῦτα ἐξ ἁπάντων μιᾶς φωνῆς γινομένης καὶ διὰ τῶν ὅπλων πολλοῦ συντελουμένου ψόφου, πρὸς δὲ τούτοις τῶν σαλπίγγων ἐνιεμένων τῶι παραδόξωι πτοηθῆναι τὰ θηρία καὶ δῦναι πρὸς βυθόν.

32 (—) ARRIAN. Anab. VI 1—5: Ἀλέξανδρος δέ, ἐπειδὴ παρεσκευάσθησαν αὐτῶι ἐπὶ τοῦ Ὑδάσπου ταῖς ὀχθαις πολλαὶ μὲν τριηκόντοροι καὶ ἡμιόλιαι, πολλὰ δὲ καὶ ἱππαγωγὰ πλοῖα καὶ ἄλλα ὅσα ἐς παρακομιδὴν στρατιᾶς ποταμῶι εὔπορα, ἔγνω καταπλεῖν κατὰ τὸν Ὑδάσπην ὡς ἐπὶ τὴν μεγάλην θάλασσαν. (2) πρότερον (F 30) μέν γε ἐν τῶι Ἰνδῶι ποταμῶι κροκοδείλους ἰδὼν μόνωι τῶν ἄλλων ποταμῶν πλὴν Νείλου, πρὸς δὲ ταῖς ὀχθαις τοῦ Ἀκεσίνου κυάμους πεφυκότας ὁποίους ἡ γῆ ἐκφέρει ἡ Αἰγυπτία, καὶ ἀκούσας ὅτι ὁ Ἀκεσίνης ἐμβάλλει ἐς τὸν Ἰνδόν, ἔδοξεν ἐξευρηκέναι τοῦ Νείλου τὰς ἀρχάς, (3) ὡς τὸν Νεῖλον ἐνθένδε ποθὲν ἐξ Ἰνδῶν ἀνίσχοντα καὶ δι' ἐρήμου πολλῆς γῆς ῥέοντα καὶ ταύτηι ἀπολλύοντα τὸν Ἰνδὸν τὸ ὄνομα, ἔπειτα ὁπόθεν ἄρχεται διὰ τῆς οἰκουμένης χώρας ῥεῖν, Νεῖλον ἤδη πρὸς Αἰθιόπων τε τῶν ταύτηι καὶ Αἰγυπτίων καλούμενον ⟨ἤ⟩, ὡς Ὅμηρος ἐποίησεν, ἐπώνυμον τῆς Αἰγύπτου Αἴγυπτον, οὕτω δὴ ἐσβιδόναι ἐς τὴν ἐντὸς θάλασσαν. (4) καὶ δὴ καὶ πρὸς Ὀλυμπιάδα γράφοντα ὑπὲρ τῶν Ἰνδῶν τῆς γῆς ἄλλα τε γράψαι καὶ ὅτι δοκοίη αὐτῶι ἐξευρηκέναι τοῦ Νείλου τὰς πηγάς, μικροῖς δή τισι καὶ φαύλοις ὑπὲρ τῶν τηλικούτων τεκμαιρόμενον. (5) ἐπεὶ μέντοι ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ τῶι ποταμῶι τῶι Ἰνδῶι, οὕτω δὴ μαθεῖν παρὰ τῶν ἐπιχωρίων τὸν μὲν Ὑδάσπην τῶι Ἀκεσίνηι, τὸν Ἀκεσίνην δὲ τῶι Ἰνδῶι τό τε ὕδωρ ξυμβάλλοντας καὶ τῶι ὀνόματι ξυγχωροῦντας, τὸν Ἰνδὸν δὲ ἐκδιδόντα ἤδη ἐς τὴν μεγάλην θάλασσαν δίστομον [τὸν Ἰνδόν] ὄντα, οὐδέ⟨ν⟩ τι αὐτῶι προσῆκον τῆς γῆς τῆς Αἰγυπτίας· τηνικαῦτα δὲ τῆς ἐπιστολῆς τῆς πρὸς τὴν μητέρα τοῦτο ⟨τὸ⟩ ἀμφὶ τῶι Νείλωι γραφὲν ἀφελεῖν. (6) καὶ τὸν κατάπλουν τὸν κατὰ τοὺς ποταμοὺς ἴστε ἐπὶ τὴν μεγάλην θάλασσαν ἐπινοοῦντα παρασκευασθῆναί (F 1 c. 18, 1) οἱ ἐπὶ τῶιδε κελεῦσαι τὰς ναῦς. αἱ δὲ ὑπηρεσίαι αὐτῶι ἐς τὰς ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῆι στρατιᾶι Φοινίκων καὶ Κυπρίων καὶ Καρῶν καὶ Αἰγυπτίων.

(7) ἐν δὲ τούτωι Κοῖνος μὲν ἐν τοῖς πιστοτάτοις Ἀλεξάνδρωι ὢν τῶν ἑταίρων νόσωι τελευτᾶι· καὶ τοῦτον θάπτει ἐκ τῶν παρόντων μεγαλοπρεπῶς. αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους καὶ ὅσοι Ἰνδῶν πρέσβεις παρ' αὐτὸν ἀφιγμένοι ἦσαν βασιλέα μὲν τῆς ἑαλωκυίας ἤδη Ἰνδῶν γῆς ἀπέδειξε Πῶρον, ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων, πόλεων δὲ ἐν τοῖς ἔθνεσιν ὑπὲρ τὰς δισχιλίας. (8) τὴν στρατιὰν δὲ διένειμεν ὧδε· αὐτὸς μὲν τοὺς ὑπασπιστάς τε ἅμα οἱ ξύμπαντας ἐπὶ τὰς ναῦς (F 1 c. 19, 1—4) ἀνεβίβασε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὸ ἄγημα τῶν ἱππέων. Κρατερὸς δὲ αὐτῶι μοῖραν τε τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην τοῦ Ὑδάσπου τὴν ἐν δεξιᾶι ἦγεν· κατὰ δὲ τὴν ἑτέραν ὄχθην τὸ πλεῖστόν τε καὶ κράτιστον τῆς στρατιᾶς καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων προυχώρει ἄγων, ἤδη ὄντας ἐς διακοσίους·

---

2 [παραδόξους] Wesseling 4 ῥεύματος Fischer πνεύματος Diod 17 ἀκούσας edd ὁ ἀκ. A 19 τὸν Ἰνδόν: τοῦ Ἰνδοῦ F 33 c. 18, 2 21 ⟨ἤ⟩ Roos 28 [τὸν Ἰνδόν] Polak οὐδέ⟨ν⟩ Vulo 30 τοῦτο ⟨τὸ⟩ — γραφὲν Vulo Krueger τοῦτο — ἔγραφε A τοῦτο ⟨δ⟩ — ἔγραφεν Geier

τούτοις δὲ ἦν παρηγγελμένον ὡς τάχιστα ἄγειν ὅπερ τὰ Σωπείθου βασίλεια. (3) Φιλίππωι δὲ τῶι σατράπηι τῆς ἐπέκεινα τοῦ Ἰνδοῦ ὡς ἐπὶ Βακτρίους γῆς διαλιπόντι τρεῖς ἡμέρας παρήγγελτο ἕπεσθαι ξὺν τοῖς ἀμφ' αὐτόν. τοὺς ἱππέας δὲ τοὺς Νυσαίους ὀπίσω ἀποπέμπει ἐς τὴν Νῦσαν. τοῦ μὲν δὴ ναυτικοῦ παντὸς Νέαρχος αὐτῶι ἐξηγεῖτο, τῆς δὲ αὐτοῦ νεὼς κυβερνήτης ⟨ἦν⟩ Ὀνησίκριτος, ὃς ἐν τῆι ξυγγραφῆι, ἥντινα ὑπὲρ Ἀλεξάνδρου ξυνέγραψε, καὶ τοῦτο ἐψεύσατο, ναύαρχον ἑαυτὸν εἶναι γράψας κυβερνήτην ὄντα. (4) schiffszahl nach Ptolem. 138 F 24. (F 1 c. 18, 9—

(3) ὡς δὲ ξύμπαντα αὐτῶι παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ μὲν στρατὸς ἐπέβαινε (F 1 c. 18, 1
τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς ὡς νόμος καὶ τῶι ποταμῶι τῶι Ὑδάσπηι ὅπως οἱ μάντεις ἐξηγοῦντο· καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς πρώρας ἐκ χρυσῆς φιάλης δᾳπενόει ἐς τὸν ποταμόν, τόν τε Ἀκεσίνην ξυνεπικαλούμενος τῶι Ὑδάσπηι, ὄντινα μέγιστον αὖ τῶν ἄλλων ποταμῶν ξυμβάλλειν τῶι Ὑδάσπηι ἐπέπυστο καὶ οὐ πόρρω αὐτῶν εἶναι τὰς ξυμβολάς, καὶ τὸν Ἰνδόν, ἐς ὄντινα ὁ Ἀκεσίνης ξὺν τῶι Ὑδάσπηι ἐμβάλλει. (2) ἐπὶ δὲ Ἡρακλεῖ τε τῶι προπάτορι σπείσας καὶ Ἄμμωνι καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῶι νόμος σημῆναι ἐς ἀναγωγὴν κελεύει τῆι σάλπιγγι ἅμα τε δὴ ἐσημάνθη καὶ ἀνήγοντο ἐν κόσμωι. παρήγγελτο γὰρ ἐφ' ὅσων τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν τετάχθαι καὶ ἐφ' ὅσων τὰ ἱππαγωγά, ἐφ' ὅσων τε τὰς μαχίμους τῶν νεῶν, ὡς μὴ συμπίπτειν ἀλλήλαις κατὰ τὸν πόρον εἰκῆι πλεούσας· καὶ ταῖς ταχυναυτούσαις φθάνειν οὐκ ἐφίετο ἔξω τῆς τάξεως. (3) ἦν δὲ ὅ τε κτύπος τῆς εἰρεσίας τῶν κελευστῶν ἐνδιόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῆι εἰρεσίαι καὶ τῶν ἐρετῶν ὁπότε ἀθρόοι ἐμπίπτοντες τῶι ῥοθίωι ἐπαλαλάξειαν· αἵ τε ὄχθαι, ὑψηλότεραι τῶν νεῶν πολλαχῆι οὖσαι, ἐς στενόν τε τὴν βοὴν ξυνάγουσαι καὶ τῆι ξυναγωγῆι αὐτῆι ἐπὶ μέγα ηὐξημένην ἐς ἀλλήλας ἀντέπεμπον, καί που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποτα-
(4) οἵ τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων, οὐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀφθέντες ἐν τῆι Ἰνδῶν γῆι — καὶ γὰρ καὶ τὸν Διονύσου ἐπὶ Ἰνδοὺς στόλον οὐκ ἐμέμνητο γενέσθαι ναυτικόν — ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις τῶν βαρβάρων, ὥστε οἱ μὲν αὐτόθεν τῆι ἀναγωγῆι παραγενόμενοι ἐπὶ πολὺ ἐφωμάρτουν, (5) ἐς δσους δὲ τῶν ἤδη Ἀλεξάνδρωι προσκεχωρηκότων Ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν ἢ ὁ κτύπος τῆς εἰρεσίας ἐξίκετο, καὶ οὗτοι ἐπὶ τὴν ὄχθην κατέθεον καὶ ξυνείποντο ἐπάιδοντες βαρβαρικῶς. φιλωιδοὶ γάρ, εἴπερ τινὲς ἄλλοι, Ἰνδοὶ καὶ φιλορχήμονες ἀπὸ Διονύσου ἔτι καὶ τῶν ἅμα Διονύσωι βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν.

(4) οὕτω δὴ πλέων τρίτηι ἡμέραι κατέσχεν, ὅπερ Ἡφαιστίωνί τε καὶ Κρατερῶι κατὰ τὸ αὐτὸ στρατοπεδεύειν ἐπὶ ταῖς ἀντιπέραις ὄχθαις παρήγγελτο. μείνας δὲ ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ Φίλιππος αὐτῶι ξὺν τῆι λοιπῆι στρατιᾶι ἀφίκετο, τοῦτον μὲν ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν ἐκπέμπει ξὺν οἷς ἔχων ἦκε, τάξας παρὰ τοῦ Ἀκεσίνου ποταμοῦ τὴν ὄχθην πορεύεσθαι· τοὺς δὲ ἀμφὶ Κρατερόν τε καὶ Ἡφαιστίωνα αὖθις ἐκπέμπει, παραγγείλας ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι. (2) αὐτὸς δὲ ἔπλει κατὰ τὸν Ὑδάσπην ποταμὸν σὺν ἅμοῦ μείονα ἐν τῶι κατάπλωι εἴκοσι σταδίων τὸ εὖρος. προσορμιζόμενος δὲ ὅπηι τύχοι ταῖς ὄχθαις τοὺς προσ-

---

1 Σωπείθου: Strab. XV 1, 30 (σωπίθης F); Diod. XVII 91, 4. *Sophites* Curt. IX 1, 24 (*Sophes* Epit Metz 106, 28 *cufites* Justin. XII 8, 10) Σωφύτης Head HN² 834
2 [ὡς — γῆς] Anspach 2—3 διαλιπόντι A² al διαλείποντι B 5 ⟨ἦν⟩ Krueger
17 τε: δὲ Krueger 27 Διονύσου Gronovius διόνυσον A 31 τὴν ὄχθην Krueger τῆι ὄχθηι A 32 εἴπερ Vulc ἤπερ A φιλορχήμονες al φιλοχήμονες A² B

οἰκοθντας τῶι Ὑδάσπηι [Ἰνδῶν] τοὺς μὲν ἐνδιδόντας σφᾶς ὁμολογίαις παρελάμβανεν, ἤδη δέ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας βίαι κατεστρέψατο. (3) αὐτὸς δὲ ὡς ἐπὶ τὴν Μαλλῶν τε καὶ Ὀξυδρακῶν γῆν σπουδῆι ἔπλει, πλείστους τε καὶ μαχιμωτάτους τῶν ταύτηι Ἰνδῶν πυνθανόμενος καὶ ὅτι ἐξηγγέλλοντο αὐτῶι παῖδας μὲν καὶ γυναῖκας ἀποτεθεῖσθαι εἰς τὰς ὀχυρωτάτας τῶν πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἴέναι πρὸς αὐτόν. ἐφ' ὅτωι δὴ καὶ σπουδῆι πλείονι ἐποιεῖτο τὸν πλοῦν, ὅπως μὴ καθεστηκόσιν αὐτοῖς, ἀλλὰ ἐν τῶι ἐνδεεῖ τε ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένωι προσφέρηται. (4) ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον, † καὶ πέμπτηι ἡμέραι ἀφίκετο ἐπὶ τὴν ξυμβολὴν τοῦ τε Ὑδάσπου καὶ τοῦ Ἀκεσίνου. ἵνα δὲ ξυμβάλλουσιν οἱ ποταμοὶ οὗτοι, στενότατος εἰς ποταμὸς ἐκ τοῖν δυοῖν γίγνεται, καὶ τὸ ῥεῦμα αὐτῶι ὀξὺ ἐπὶ τῆι στενότητι καὶ δῖναι ἄτοποι ὑποστρέφοντος τοῦ ῥοῦ, καὶ τὸ ὕδωρ κυμαίνεταί τε καὶ καχλάζει ἐπὶ μέγα, ὡς καὶ πόρρω ἔτι ὄντων ἐξακούεσθαι τὸν κτύπον τοῦ κύματος. (5) καὶ ἦν μὲν προεξηγγελμένα ταῦτα Ἀλεξάνδρωι ἐκ τῶν ἐγχωρίων καὶ ⟨ἐξ⟩ Ἀλεξάνδρου τῆι στρατιᾶι· ὅμως δὲ ἐπειδὴ ἐπέλαζεν αὐτῶι ταῖς ξυμβολαῖς ὁ στρατός, ἐς τοσόνδε ὁ ἀπὸ τοῦ ῥοῦ κτύπος κατεῖχεν, ὥστε ἐπέσχησαν τὰς εἰρεσίας οἱ ναῦται, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ τῶν τε κελευστῶν ὑπὸ θαύματος ἐκσιωπησάντων καὶ αὐτοὶ μετέωροι πρὸς τὸν κτύπον γενόμενοι. (5) ὡς δὲ οὐ πόρρω τῶν ξυμβολῶν ἦσαν, ἐνταῦθα δὴ οἱ κυβερνῆται παραγγέλλουσιν ὡς βιαιτότηι εἰρεσίαι χρωμένους ἐξελαύνειν ἐκ τῶν στενῶν, τοῦ μὴ ἐμπιπτούσας τὰς ναῦς ἐς τὰς δίνας ἀναστρέφεσθαι πρὸς αὐτῶν, ἀλλὰ κρατεῖν γὰρ τῆι εἰρεσίαι τῶν ἐπιστροφῶν τοῦ ὕδατος. (2) τὰ μὲν δὴ στρογγύλα πλοῖα ὅσα καὶ ἔτυχεν αὐτῶν περιστραφέντα πρὸς τοῦ ῥοῦ, οὐδέν τι παθόντα ἐν τῆι ἐπιστροφῆι ὅτι μὴ ταράξαντα τοὺς ἐμπλέοντας, κατέστη ἐς εὐθύ, πρὸς αὐτοῦ τοῦ ῥοῦ ὀρθωθέντα· αἱ δὲ μακραὶ νῆες οὐχ ὡσαύτως ἀπαθεῖς ἀπῆλθον ἐν τῆι ἐπιστροφῆι, οὔτε μετέωροι ἐπὶ τοῦ ἐπικαχλάζοντος κύματος ὡσαύτως οὖσαι, ὅσαι τε ὀλίγροτοι αὐτῶν τὰς κάτω κώπας οὐκ ἐπὶ πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος· (3) καὶ αἱ κῶπαι δὲ αὐτοῖς πλαγίοις ἐν ταῖς δίναις γενομέναις συνετρίβοντο, ὅσων γε ἐγκατελήφθησαν ὑπὸ τοῦ ὕδατος οὐ φθασάντων αὐτὰς μετεωρίσαι, ὡς πολλὰς μὲν πονῆσαι τῶν νεῶν, δύο δὲ δὴ περιπεσούσας ἀλλήλαις αὐτάς τε διαφθαρῆναι καὶ τῶν ἐμπλεόντων ἐν αὐταῖς πολλούς. ὡς δὲ ἐς πλάτος ἤδη ὁ ποταμὸς διέσχεν, ἐνταῦθα δὴ ὅ τε ῥοῦς οὐκέτι ὡσαύτως χαλεπὸς ἦν καὶ αἱ δῖναι οὐχ ὁμοίαι τῆι βίαι ἐπέστρεφον. (4) προσορμίσας οὖν τῆι ἐν δεξιᾶι ὀχθηι Ἀλέξανδρος τὸν στρατόν, ἵνα σκέπη τε ἦν τοῦ ῥοῦ καὶ προσβολὴ ταῖς ναυσὶν καί τις καὶ ἄκρα τοῦ ποταμοῦ ἐπιτηδείως ἀνεῖχεν ἐς τῶν ναυαγίων τε τὴν ξυναγωγὴν καὶ εἴ τινες ἐπ' αὐτῶν ζῶντες ἔτι ἐφέροντο, τούτους τε διέσωσε καὶ ἐπισκευάσας τὰς πεπονηκυίας τῶν νεῶν Νέαρχον μὲν καταπλεῖν κελεύει ἔστ' ἂν ἀφίκηται ἐπὶ τὰ ὅρια τοῦ Μαλλῶν ἔθνους, αὐτὸς δὲ τῶν βαρβάρων τῶν οὐ προσχωρούντων καταδρομὴν τῆς χώρας ποιησάμενος καὶ κωλύσας ἐπικουρῆσαι αὐτοὺς τοῖς Μαλλοῖς οὕτω δὴ αὖθις ξυνέμιξε τῶι ναυτικῶι. (5) καὶ ἐνταῦθα Ἡφαιστίων τε αὐτῶι καὶ Κρατερὸς καὶ Φίλιππος ξὺν τοῖς ἀμφ' αὐτοὺς ὁμοῦ ἤδη ἦσαν. ὁ δὲ τοὺς μὲν ἐλέφαντας καὶ τὴν Πολυπέρχοντος τάξιν καὶ τοὺς ἱπποτοξότας καὶ Φίλιππον ξὺν τῆι ἀμφ' αὐτὸν στρατιᾶι διαβιβάσας τὸν Ὑδάσπην ποταμὸν Κρατερῶι ἄγειν προσέταξε, Νέαρχον δὲ ξὺν τῶι ναυτικῶι πέμπει τρισὶν ἡμέραις τὴν στρατιὰν κελεύσας φθάνειν κατὰ τὸν πλοῦν. (6) τὸν δὲ ἄλλον στρατὸν τριχῆι διένειμε· καὶ Ἡφαιστίωνα μὲν πέντε ἡμέραις προείναι ἔταξεν,

1 [Ἰνδῶν] Polak Ἰνδοὺς Vulc ⟨τῶν⟩ Ἰνδῶν Krueger παρελάμβανεν Krueger κατε— A 8 [καὶ] Schmieder ⟨δεκάτηι⟩ καὶ? Roos 14 ⟨ἐξ⟩ Krueger 15 τὰς (III 30, 4) A τῆς Krueger 18 βιαιοτάτηι ⟨τῆι⟩ Krueger 26 δὲ: δὴ Krueger 41 [Ὑδάσπην] Anspach

ὡς εἴ τινες τοὺς ξὺν αὐτῶι τεταγμένους φεύγοντες ἐς τὸ πρόσω κατὰ σπουδὴν ἴοιεν, τοῖς ἀμφὶ Ἡφαιστίωνα ἐμπίπτοντες ἁλίσκωνται. Πτολεμαῖον δὲ τὸν Λάγου δοὺς καὶ τούτωι τῆς στρατιᾶς μέρος τρισὶν ἡμέραις ὑπολειπόμενον ἕπεσθαι ἐκέλευσεν, ὡς ὅσοι τὸ ἔμπαλιν ὑποστρέφοιεν αὐτὸν φεύγοντες, οὗτοι δὲ ἐς τοὺς ἀμφὶ τὸν Πτολεμαῖον ἐμπίπτοιεν. (7) ἐπὰν δὲ ἀφίκωνται ἐς τὰς ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ τοῦ Ὑδραώτου ποταμοῦ, ἐνταῦθα δὴ τούς τε φθάνοντας ὑπομένειν ἐκέλευσεν, ἐστ' ἂν ἥκηι αὐτός, καὶ τοὺς ἀμφὶ Κρατερὸν καὶ Πτολεμαῖον αὐτῶι ξυμβαλεῖν. (folgt Mallergeschichte — F 1 c. 19, 8; F 2 — und fahrt bis Patala).

33 (—) ARRIAN. Anab. VI 18, 2—21, 2: περὶ δὲ τοῖς Πατάλοις σχίζεται τοῦ Ἰνδοῦ τὸ ὕδωρ ἐς ποταμοὺς ⟨δύο⟩ μεγάλους, καὶ οὗτοι ἀμφότεροι σώζουσι τοῦ Ἰνδοῦ τὸ ὄνομα ἔστε ἐπὶ τὴν θάλασσαν. ἐνταῦθα ναύσταθμόν τε καὶ νεωσοίκους ἐποίει Ἀλέξανδρος. ὡς δὲ προὐχεχωρήκει αὐτῶι τὰ ἔργα, ὁ δὲ καταπλεῖν ἐπενόει ὥστε ἐπὶ τὴν ἐκβολὴν τοῦ ἐν δεξιᾶι ῥέοντος ποταμοῦ ἐς τὴν θάλασσαν. (3) Λεοννάτον μὲν δὴ δοὺς αὐτῶι τῶν τε ἱππέων ἐς χιλίους καὶ τῶν ὁπλιτῶν τε καὶ ψιλῶν ἐς ὀκτακισχιλίους κατὰ τὴν νῆσον τὰ Πάταλα ἐκπέμπει ἀντιπαράγειν τῶι στόλωι, αὐτὸς δὲ τὰς μάλιστα τῶν νεῶν ταχυναυτούσας ἀναλαβὼν ὅσαι τε ἡμιόλιαι καὶ τὰς τριακοντόρους πάσας καὶ τῶν κερκούρων ἔστιν οὓς ἔπλει κατὰ τὸν ποταμὸν τὸν ἐν δεξιᾶι. (4) οὐκ ἔχοντι δὲ αὐτῶι ἡγεμόνα τοῦ πλοῦ, ὅτι πεφεύγεσαν οἱ ταύτηι Ἰνδοί, ἀπορώτερα τὰ τοῦ κατάπλου ἦν· χειμών τε ἐπιγίγνεται ἐς τὴν ὑστεραίαν ἀπὸ τῆς ἀναγωγῆς, καὶ ὁ ἄνεμος τῶι ῥόωι πνέων ὑπεναντίος κοῖλόν τε ἐποίει τὸν ποταμὸν καὶ τὰ σκάφη διέσειεν ὥστε ἐπόνησαν αὐτῶι αἱ πλεῖσται τῶν νεῶν, τῶν δὲ τριακοντόρων ἐστὶν αἳ καὶ πάντηι διελύθησαν· ἐφθησαν δὲ ἐποκείλαντες αὐτὰς πρὶν παντάπασιν διαπεσεῖν ἐν τῶι ὕδατι. (5) ἕτεραι οὖν ξυνεπήγνυντο. καὶ τῶν ψιλῶν τοὺς κουφοτάτους ἐκπέμψας ἐς τὴν προσωτέρω τῆς ὀχθης χώραν ξυλλαμβάνει τινὰς τῶν Ἰνδῶν, καὶ οὗτοι τὸ ἀπὸ τοῦδε ἐξηγοῦντο αὐτῶι τὸν πόρον. ὡς δὲ ἦκον ἐναπερ ἀναχεῖται ἐς εὖρος ὁ ποταμός, ὡς καὶ διακοσίους ταύτηι σταδίους ἐπέχειν ἢπερ εὐρύτατος αὐτὸς αὑτοῦ ἦν, τό τε πνεῦμα κατήιει μέγα ἀπὸ τῆς ἕξω θαλάσσης καὶ αἱ κῶπαι ἐν κλύδωνι χαλεπῶς ἀνεφέροντο, ξυμφεύγουσιν αὖ ἐς διώρυχα, ἐς ἣντινα οἱ ἡγεμόνες αὐτῶι καθηγήσαντο. (19) ἐνταῦθα ὁρμισάντων τὸ πάθημα ἐπιγίγνεται τῆς μεγάλης θαλάσσης ἡ ἄμπωτις ὥστε ἐπὶ ξηροῦ ἀπελήφθησαν αὐτοῖς οἱ νῆες. καὶ τοῦτο οὔπω πρότερον ἐγνωκόσι τοῖς ἀμφ' Ἀλέξανδρον ἔκπληξιν μὲν καὶ αὐτὸ οὐ σμικρὰν παρέσχε, πολὺ δὲ δὴ ἔτι μείζονα, ὁπότε διελθούσης τῆς ὥρας προσήιει τε τὸ ὕδωρ καὶ τὰ σκάφη ἐμετεωρίζοντο. ( ) ὅσας μὲν δὴ τῶν νεῶν ἐν τῶι πηλῶι ἑδραίας κατέλαβεν, αὗται δὲ ἀβλαβῶς τε ἐμετεωρίσθησαν καὶ οὐδὲν χαλεπὸν παθοῦσαι ἔπλεον αὖθις· ὅσαι δὲ ἐν ξηροτέραι τε τῆι γῆι καὶ οὐ βεβαίως τὴν στάσιν ἔχουσαι ὑπελείφθησαν, αὗται δὲ ἀθρόον ἐπελθόντος τοῦ κύματος αἱ μὲν αὐτῶν ἐμπεσοῦσαι ἐς ἀλλήλας, αἱ δὲ πρὸς τῆι γῆι ἀραχθεῖσαι συνετρίβησαν. (3) ταύτας τε οὖν ἐπεσκεύασεν Ἀλέξανδρος ἐκ τῶν παρόντων καὶ ἐν κερκούροιν δυοῖν προπέμπει κατὰ τὸν ποταμὸν τοὺς κατασκεψομένους τὴν νῆσον, ἕς ἣντινα οἱ ἐπιχώριοι ἔφασκον ὁρμιστέα εἶναι ὡς δὲ ἐξηγγέλθη ὅτι ὅρμοι τε ἐν τῆι νήσωι εἰσὶ καὶ αὐτὴ μεγάλη καὶ ὕδωρ ἔχουσα,

---

2 *ἁλίσκωνται* al *ἁλίσκονται* $A^2$ B al 6 *δὴ* Polak *δὲ* A 7 *καὶ ⟨ἔστε⟩* Krueger 10 *⟨δύο⟩ ποταμοὺς* Vulc 10—11 *τὸν Ἰνδὸν* Krueger (F 32 c. 1, 3) 24 *προσοτέρω* A 29 *ὁρμισάντων* Vulc *ὁρμησάντων* A 30 *ἀπελήφθησαν* B *ἀπελείφθησαν, ἀνελήφθησαν* $A^2$ al 32 *ὁπότε* k *ἀποτε* A 33 *ἐμετεωρίζοντο* Ellendt *με— A* 37 *ἀρραχθεῖσαι* A 40 *Κίλλουτα: ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν* Plut Alex 66 *τὸ ὄνομα ⟨εἶναι⟩* Roos

ὁ μὲν ἄλλος αὐτῶι στόλος ἐς τὴν νῆσον κατέσχεν, αὐτὸς δὲ ταῖς ἀρίστα πλεούσαις τῶν νεῶν ἐπέκεινα προύχώρει, ὡς ἀπιδεῖν τοῦ ποταμοῦ τὴν ἐκβολὴν τὴν ἐς τὴν θάλασσαν, εἰ παρέχει τὸν ἔκπλουν εὔπορον. (4) προελθόντες δὲ ἀπὸ τῆς νήσου στα δίους ὅσον διακοσίους ἀφορῶσιν ἄλλην νῆσον, ταύτην ἤδη ἐν τῆι θαλάσσηι. τότε μὲν ὁὴ ἐπανῆλθον ἐς τὴν ἐν τῶι ποταμῶι νῆσον, καὶ πρὸς τοῖς ἄκροις αὐτῆς καθορμισθεὶς θύει τοῖς θεοῖς Ἀλέξανδρος ὅσοις ἔφασκεν ὅτι παρὰ τοῦ Ἄμμωνος ἐπηγγελμένον ἦν θῦσαι αὐτῶι. ἐς δὲ τὴν ὑστεραίαν κατέπλει ὡς ἐπὶ τὴν ἄλλην τὴν ἐν τῶι πόντωι νῆσον, καὶ προσχὼν καὶ ταύτηι ἔθυε καὶ ἐνταῦθα ἄλλας αὖ θυσίας ἄλλοις τε θεοῖς καὶ ἄλλωι τρόπωι· καὶ ταύτας δὲ κατ' ἐπιθεσπισμὸν θύειν ⟨ἔφασκε⟩ τοῦ Ἄμμωνος.

(5) αὐτὸς δὲ ὑπερβαλὼν τοῦ Ἰνδοῦ ποταμοῦ τὰς ἐκβολὰς ἐς τὸ πέλαγος ἀνέπλει, ὡς (F 1 c. 20, 10)
μὲν ἔλεγεν ἀπιδεῖν εἰ πού τις χώρα πλησίον ἀνίσχει ἐν τῶι πόντωι, ἐμοὶ δὲ δοκεῖ, οὐχ ἥκιστα ὡς πεπλευκέναι τὴν μεγάλην τὴν ἔξω Ἰνδῶν θάλασσαν. ἐνταῦθα ταύρους τε σφάξας τῶι Ποσειδῶνι ἀφῆκεν ἐς τὴν θάλασσαν καὶ σπείσας ἐπὶ τῆι θυσίαι τήν τε φιάλην χρυσῆν οὖσαν καὶ κρατῆρας χρυσοῦς ἐνέβαλεν ἐς τὸν πόντον χαριστήρια, εὐχόμενος σῶών οἱ παραπέμψαι τὸν στρατὸν τὸν ναυτικόν, ὄντινα ξὺν Νεάρχωι ἐπενόει στέλλειν ὡς ἐπὶ τὸν κόλπον τὸν Περσικὸν καὶ τὰς ἐκβολὰς τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος.

(20) ἐπανελθὼν δὲ ὀπίσω ἐς τὰ Πάταλα τήν τε ἄκραν τετειχισμένην καταλαμβάνει καὶ Πείθωνα ξὺν τῆι στρατιᾶι ἀφιγμένον καὶ τούτωι ξύμπαντα κατα-
πεπραγμένα ἐφ' οἵσπερ ἐστάλη. Ἡφαιστίων μὲν ὁὴ ἐτάχθη παρασκευάζειν τὰ πρὸς τὸν ἐκτειχισμόν τε τοῦ ναυστάθμου καὶ τῶν νεωσοίκων τὴν κατασκευήν· καὶ γὰρ καὶ ἐνταῦθα ἐπενόει στόλον ὑπολείπεσθαι νεῶν οὐκ ὀλίγων πρὸς τῆι πόλει τοῖς Πατάλοις, ἵναπερ ἐοχίζετο ὁ ποταμὸς ὁ Ἰνδός. (2) αὐτὸς δὲ κατὰ τὸ ἕτερον στόμα τοῦ Ἰνδοῦ κατέπλει αὖθις ἐς τὴν μεγάλην θάλασσαν, ὡς καταμαθεῖν, ὅπηι εὐπορώτερα ἡ
ἐκβολὴ τοῦ Ἰνδοῦ ἐς τὸν πόντον γίγνεται· ἀπέχει δὲ ἀλλήλων τὰ στόματα τοῦ (F 21)
ποταμοῦ τοῦ Ἰνδοῦ ἐς σταδίους μάλιστα ὀκτακοσίους καὶ χιλίους. (3) ἐν δὲ τῶι κατάπλωι ἀφίκετο τῆς ἐκβολῆς τοῦ ποταμοῦ ἐς λίμνην μεγάλην, ἣντινα ἀναχεόμενος ὁ ποταμός, τυχὸν δὲ καὶ ἐκ τῶν πέριξ ὑδάτων ἐμβαλόντων ἐς αὐτήν, μεγάλην τε ποιεῖ καὶ κόλπωι θαλάσσης μάλιστα ἐοικυῖαν· καὶ γὰρ ἰχθύες ἦσαν ἐν αὐτῆι τῶν ἀπὸ θαλάσσης ἐφαίνοντο, μείζονες τῶν ἐν τῆιδε τῆι ἠμετέραι θαλάσσηι. προσορμισθεὶς οὖν κατὰ τὴν λίμνην ἵναπερ οἱ καθηγεμόνες ἐξηγοῦντο, τῶν μὲν στρατιωτῶν τοὺς πολλοὺς καταλείπει σὺν Λεοννάτωι αὐτοῦ καὶ τοὺς κερκούρους ξύμπαντας, (4) αὐτὸς δὲ ταῖς τριακοντόροις τε καὶ ἡμιολίαις ὑπερβαλὼν τὴν ἐκβολὴν τοῦ Ἰνδοῦ καὶ προ-
ελθὼν καὶ ταύτηι ἐς τὴν θάλασσαν εὐπορωτέραν τε κατέμαθεν τὴν ἐπὶ τάδε τοῦ Ἰνδοῦ ἐκβολὴν καὶ αὐτὸς προσορμισθεὶς τῶι αἰγιαλῶι καὶ τῶν ἱππέων τινὰς ἅμα οἱ ἔχων παρὰ θάλασσαν ἦιει σταθμοὺς τρεῖς, τήν τε χώραν ὁποία τίς ἐστιν ἡ ἐν τῶι παράπλωι ἐπισκεπτόμενος καὶ φρέατα ὀρύσσεσθαι κελεύων, ὅπως ἔχοιεν ὑδρεύεσθαι οἱ πλέοντες. (5) αὐτὸς μὲν ὁὴ ἐπανελθὼν ἐπὶ τὰς ναῦς ἀνέπλει ἐς τὰ Πάταλα· μέρος δέ τι τῆς στρατιᾶς τὰ αὐτὰ ταῦτα ἐργασομένους κατὰ τὴν παραλίαν ἔπεμψεν, ἐπαν-
ιέναι καὶ τούτοις προστάξας ἐς τὰ Πάταλα. αὖθις δὲ ὡς ἐπὶ τὴν λίμνην κατα-
πλεύσας ἄλλον ναύσταθμον καὶ ἄλλους νεωσοίκους ἐνταῦθα κατεσκεύασε, καὶ φυλακὴν καταλιπὼν τῶι χωρίωι σῖτόν τε ὅσον καὶ ἐς τέτταρας μῆνας ἐξαρκέσαι τῆι στρατιᾶι ἐσηγάγετο καὶ τἄλλ' ὅσα [ἐν] τῶι παράπλωι παρεσκεύαζεν. (21) ἦν δὲ ἐν μὲν τῶι τότε ἄπορος ἡ ὥρα ἐς τὸν πλοῦν· οἱ γὰρ ἐτησίαι ἄνεμοι κατεῖχον, οἳ ὁὴ τῆι ὥραι (F 1 c. 21, 1)

3 παρέχοι Vulc (c. 19, 5. 20, 2) ⟨ἐπιθυμῶν⟩ Polak ⟨τοῦ⟩ ἀπιδεῖν? 9 ⟨ἔφασκε⟩ Roos θύει vulg 11 ἀπιδεῖν 12 ⟨τὴν⟩ Ἰνδῶν Ellendt [Ἰνδῶν]? Roos 28 [ἐκ] Sintenis

ἐκείνῃ οὐ καθάπερ παρ' ἡμῖν ἀπ' ἄρκτου, ἀλλ' ἀπὸ τῆς μεγάλης θαλάσσης κατὰ νότον μάλιστα ἄνεμον ἵστανται. (2) ἀπὸ δὲ τοῦ χειμῶνος τῆς ἀρχῆς τὸ ἀπὸ Πλειάδων δύσεως ἔστε ἐπὶ τροπάς, ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει, πλόιμα εἶναι ταύτῃ ἐξηγγέλλετο. τότε γὰρ κατὰ γῆν μᾶλλον οἷα δὴ πολλῶι ὕδατι ἐξ οὐρανοῦ βεβρεγμένην αὔρας ἱστασθαι μαλθακὰς καὶ ἐς τὸν παράπλουν ταῖς τε κώπαις καὶ τοῖς ἱστίοις ξυμμέτρους. (3) Νέαρχος μὲν δὴ ἐπιταχθεὶς τῶι ναυτικῶι προσέμενε τὴν ὥραν τοῦ παράπλου, αὐτὸς δὲ ἄρας ἐκ Πατάλων (der marsch durch Gedrosien).

34 (—) THEOPHRAST. H. Pl. IV 7, 3—6: οἱ δέ, ὅτε ἀνάπλους ἦν τῶν ἐξ Ἰνδῶν ἀποσταλέντων ὑπὸ Ἀλεξάνδρου, τὰ ἐν τῆι θαλάττηι φυόμενα μέχρι οὗ μὲν ἂν ἦι ἐν τῶι ὑγρῶι χρῶμά φασιν ἔχειν ὅμοιον τοῖς φυκίοις, ὁπόταν δ' ἐξενεχθέντα τεθῆι πρὸς τὸν ἥλιον ἐν ὀλίγωι χρόνωι ἐξομοιοῦσθαι τῶι ἁλί. φύεσθαι δὲ καὶ σχοίνους λιθίνους παρ' αὐτὴν τὴν θάλατταν οὓς οὐδεὶς ἂν διαγνοίη τῆι ὄψει πρὸς τοὺς ἀληθινούς. θαυμασιώτερον δέ τι τούτου λέγουσι· φύεσθαι γὰρ δενδρύφι' ἅττα τὸ μὲν χρῶμα ἔχοντα ὅμοιον κέρατι βοός, τοῖς δὲ ὄζοις τραχέα καὶ ἀπ' ἄκρου πυρά· ταῦτα δὲ ὁραύεσθαι μὲν εἰ συγκλώιη τις· ἐκ δὲ τούτων πυρὶ ἐμβαλλόμενα καθάπερ τὸν σίδηρον διάπυρα γινόμενα πάλιν ὅταν ἀποψύχοιτο καθίστασθαι καὶ τὴν αὐτὴν χρόαν λαμβάνειν. (4) ἐν δὲ ταῖς νήσοις ταῖς ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομέναις δένδρα μεγάλα πεφυκέναι ἠλίκα πλάτανοι καὶ αἴγειροι αἱ μέγισται· συμβαίνειν δὲ δή· ἡ πλημμυρὶς ἐπέλθοι τὰ μὲν ἄλλα κατακρύπτεσθαι ὅλα, τῶν δὲ μεγίστων ὑπερέχειν τοὺς κλάδους, ἐξ ὧν τὰ πρυμνήσια ἀνάπτειν, εἶθ' ὅτε πάλιν ἄμπωτις γίνοιτο, ἐκ τῶν ῥιζῶν. ἔχειν δὲ τὸ δένδρον φύλλον μὲν ὅμοιον τῆι ὀάφνηι, ἄνθος δὲ τοῖς ἴοις καὶ τῶι χρώματι καὶ τῆι ὀσμῆι, καρπὸν δὲ ἠλίκον ἐλάαι καὶ τοῦτον εὐώδη σφόδρα· καὶ τὰ μὲν φύλλα οὐκ ἀποβάλλειν, τὸ δὲ ἄνθος καὶ τὸν καρπὸν ἅμα τῶι φθινοπώρωι γίνεσθαι, τοῦ δὲ ἔαρος ἀπορρεῖν. (5) ἄλλα δ' ἐν αὐτῆι τῆι θαλάττηι πεφυκέναι, ἀείφυλλα μέν, τὸν δὲ καρπὸν ὅμοιον ἔχειν τοῖς θέρμοις. περὶ δὲ τὴν Περσίδα τὴν κατὰ τὴν Καρμανίαν καθ' ὃ ἡ πλημμυρὶς γίνεται δένδρα ἐστὶν εὐμεγέθη ὅμοια τῆι ἀδράχλῃι καὶ τῆι ⟨ὀ⟩ορφῆι καὶ τοῖς φύλλοις· καρπὸν δὲ ἔχει πολύν, ὅμοιον [τῶι χρώματι] ταῖς ἀμυγδάλαις ἔξωθεν, τὸ δ' ἐντὸς συνελίττεται καθάπερ συνηρτημένον πᾶσιν. ὑποβέβρωται δὲ ταῦτα τὰ δένδρα πάντα κατὰ μέσον ὑπὸ τῆς θαλάττης καὶ ἕστηκεν ὑπὸ τῶν ῥιζῶν ὥσπερ πολύποδες. ὅταν γὰρ ἡ ἄμπωτις γένηται θεωρεῖν ἐστιν. (6) ὕδωρ δὲ ὅλως οὐκ ἐστιν ἐν τῶι τόπωι· καταλείπονται δέ τινες διώρυχες ὅι' ὧν ταύτηι καὶ οὐ τῶι ὕδατι, πλὴν εἴ τι ταῖς ῥίζαις ἐκ τῆς γῆς ἕλκουσιν. εὔλογον δὲ καὶ τοῦθ' ἁλμυρὸν εἶναι· καὶ γὰρ οὐδὲ κατὰ βάθους αἱ ῥίζαι. τὸ δὲ ὅλον ἓν τὸ γένος εἶναι τῶν τ' ἐν τῆι θαλάττηι φυομένων καὶ τῶν ἐν τῆι γῆι ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομένων· καὶ τὰ μὲν ἐν τῆι θαλάττηι μικρὰ καὶ φυκώδη φαινόμενα, ⟨τὰ⟩ δ' ἐν τῆι γῆι μεγάλα καὶ χλωρὰ καὶ ἄνθος εὐόδμον ἔχοντα, καρπὸν δὲ οἷον θέρμος.

## —. ANDROSTHENES VON THASOS.

ΠΑΡΑΠΛΟΥΣ ΤΗΣ ΙΝΔΙΚΗΣ.

S. V.

9 οὐ μὲν U μὲν om cett 13 δέ τι U τι om A δ' ἔτι? 16 πάλιν U πλὴν A 26 κατὰ τὴν om P τὴν om A 27—28 [τῶι χρώματι] Bretzl 31 γάρ τινες A 32 ὅτι om VM ὡς A 33 ἕλκονται A 36—37 φενόμενα U φυόμενα MVA 37 ⟨τὰ⟩ Wimmer (?)

## —. ARCHIAS VON PELLA. HIERON VON SOLOI.

s. V.

## —. ORTHAGORAS.

*ΠΕΡΙ ΤΗΣ ΕΡΥΘΡΑΣ (ΙΝΔΟΙ ΛΟΓΟΙ).*

s. V.

## 134. ONESIKRITOS VON ASTYPALAIA.

T

1 DIOG. LAERT. VI 84: *Ὀνησίκριτος· τοῦτον οἱ μὲν Αἰγινήτην, Δημήτριος δ' ὁ Μάγνης* (IV) *Ἀστυπαλ⟨αι⟩έα φησὶν εἶναι. καὶ οὗτος τῶν ἐλλογίμων Διογένους μαθητῶν. ἔοικε δέ τι ὅμοιον πεπονθέναι πρὸς Ξενοφῶντα· ἐκεῖνος μὲν γὰρ Κύρωι συνεστράτευσεν, οὗτος δὲ Ἀλεξάνδρωι· κἀκεῖνος μὲν Παιδείαν Κύρου, ὁ δὲ Πῶς Ἀλέξανδρος ἤχθη γέγραφε· καὶ ὁ μὲν ἐγκώμιον Κύρου, ὁ δὲ Ἀλεξάνδρου πεποίηκε. καὶ τῆι ἑρμηνείαι δὲ παραπλήσιος, πλὴν ὅτι ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει.*

2 STRABON XV 1, 65 (= F 17 p. 729, 13): *Διογένης, οὗ καὶ αὐτὸς ἀκροάσαιτο.* s. T 5a.

3 DIOG. LAERT. VI 75—76: *θαυμαστὴ δέ τις ἦν περὶ τὸν ἄνδρα* (sc. *Διογένην*) *πειθώ, ὥστε πάνυ' ὀντινοῦν ῥαιδίως αἱρεῖν τοῖς λόγοις. λέγεται γοῦν Ὀνησίκριτόν τινα Αἰγινήτην πέμψαι εἰς τὰς Ἀθήνας υἱοῦν ὄντοιν υἱοῖν τὸν ἕτερον Ἀνδροσθένην, ὃν ἀκούσαντα τοῦ Διογένους αὐτόθι προσμεῖναι· τὸν δ' ἐπ' αὐτὸν καὶ τὸν ἕτερον ἀποστεῖλαι τὸν πρεσβύτερον Φιλίσκον τὸν προειρημένον, ὁμοίως δὲ καὶ τὸν Φιλίσκον κατασχεθῆναι· τὸ τρίτον αὐτὸν ἀφιγμένον μηδὲν ἧττον συνεῖναι τοῖς παισὶν συμφιλοσοφοῦντα. τοιαύτη τις προσῆν ἰυγξ τοῖς Διογένους λόγοις.*

4 ARRIAN. Ind. 18, 9 (= Nearch. 133 F 1): *τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὼς* (in der Indusflotte) *κυβερνήτης ἦν Ὀνησίκριτος Ἀστυπαλαιεύς.* s. T 5—6; F 10; 18; 27.

5 a) PLUT. De fort. Alex. I 10 p. 331 E: *Ὀνησίκριτον δὲ τὸν Διογένους τοῦ Κυνὸς μαθητὴν ὅτι ἄρχοντα τῶν κυβερνητῶν κατέστησεν, ὑπὸ πλειόνων ἱστόρηται.* b) PLUT. Alex 66: *καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν ἐν δεξιᾶι τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας, ἀρχικυβερνήτην δὲ Ὀνησίκριτον.* c) STRABON XV 2, 4: *τὸ δὲ ναυτικὸν Νεάρχωι καὶ Ὀνησικρίτωι τῶι ἀρχικυβερνήτηι παραδοὺς* . . . . s. T 10; F 10; 13; 27—28; CURT. IX 10, 3; X 1, 10.

6 ARRIAN. Anab. VII 5, 6: in Susa bekränzt Alexander Nearchos (133 T 9), *ἐπὶ τούτοις δὲ Ὀνησίκριτον τὸν κυβερνήτην τῆς νεὼς τῆς βασιλικῆς· ἔτι δὲ Ἡφαιστίωνα καὶ τοὺς ἄλλους τοὺς σωματοφύλακας.*

---

9 Ἀστυπαλαιέα Menagius (s. T 4; F 16b) ἀστυπαλέα Diog 37 ἄλλους [τοὺς] Vulcanius

7 LUKIAN. Quom. hist. conscr. 40: *εἰ δὲ τὸ παραυτίκα τις θεραπεύοι, τῆς τῶν κολακευόντων μερίδος εἰκότως ἂν νομισθείη. οὓς πάλαι ἡ ἱστορία ... εὐθὺς ἀπέστραπτο .... Ἀλεξάνδρου γοῦν καὶ τοῦτο ἀπομνημονεύουσιν, ὃς 'ἡδέως ἄν' ἔφη 'πρὸς ὀλίγον ἀνεβίουν, ὦ Ὀνησίκριτε, ἀποθανών, ὡς μάθοιμι ὅπως ταῦτα οἱ ἄνθρωποι τότε ἀναγιγνώσκουσιν. εἰ δὲ νῦν αὐτὰ ἐπαινοῦσι καὶ ἀσπάζονται, μὴ θαυμάσῃς· οἴονται γὰρ οὐ μικρῶι τινι τῶι δελέατι τούτωι ἀνασπάσειν ἕκαστος τὴν παρ' ἡμῶν εὔνοιαν'.*

8 PLUT. Alex. 46: (F 1) *λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχωι τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ὡι γέγραπται ⟨τὰ⟩ περὶ τῆς Ἀμαζόνος· τὸν οὖν Λυσίμαχον ἀτρέμα μειδιάσαντα 'καὶ ποῦ' φάναι 'τότε ἦμην ἐγώ;'*

9 a) [LUKIAN.] Macrob. 14 (= F 36): *Ὀνησίκριτος, ὁ τὰ περὶ Ἀλεξάνδρου συγγράψας.* b) ARRIAN. Anab. VI 2, 3 (= F 27): *ἐν τῆι ξυγγραφῆι, ἥντινα ὑπὲρ Ἀλεξάνδρου ξυνέγραψε.* s. F 39.

10 SRABON. XV 1, 28 (= F 16): *Ὀνησίκριτος, ὃν οὐκ Ἀλεξάνδρου μᾶλλον ἢ τῶν παραδόξων ἀρχικυβερνήτην προσείποι τις ἄν. πάντες μὲν γὰρ οἱ περὶ Ἀλέξανδρον τὸ θαυμαστὸν ἀντὶ τἀληθοῦς ἀπεδέχοντο μᾶλλον, ὑπερβάλλεσθαι δὲ δοκεῖ τοὺς τοσούτους ἐκεῖνος τῆι τερατολογίαι. λέγει δ' οὖν τινα καὶ πιθανὰ καὶ μνήμης ἄξια, ὥστε καὶ ἀπιστοῦντα μὴ παρελθεῖν αὐτά.*

11 — II 1, 9: *ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δημαχος* (III)· *τὰ δὲ δεύτερα λέγει Μεγασθένης* (III)· *Ὀνησίκριτος δὲ καὶ Νέαρχος* (133 T 14) *καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη ..... Πατροκλῆς* (V) *δὲ ἥκιστα τοιοῦτος καὶ οἱ ἄλλοι δὲ μάρτυρες οὐκ ἀπίθανοι, οἷς κέχρηται ὁ Ἐρατοσθένης* (V).

12 GELLIUS IX 4, 1—3: *cum e Graecia in Italiam rediremus et Brundisium iremus ... fasces librorum venalium expositos vidimus ... erant autem isti omnes libri Graeci miraculorum fabularumque pleni, res inauditae incredulae, scriptores veteres non parvae auctoritatis: Aristeas Proconnesius* (35) *et Isigonus Nicaeensis* (IV) *et Ctesias* (III) *et Onesicritus et Philostephanus* (IV) *et Hegesias* (142 T 9).

13 a) PLIN. NH I 2: .... (s. 75—76) *ubi et quando nullae umbrae .... ex .... Onesicrito* (§ 183 ff = F 9—10), *Eratosthene* (§ 185) ..... b) — — I 6: ... *situus, gentes, ... ex ... Iuba rege* (§ 96 δ.) .... *Onesicrito* (§ 81; 96; 109; 124 = F 13; 28—30), *Nearcho, Megasthene, Diogneto* .... c) — — I 7: *gentium mirabiles figurae ... ex ... Megasthene* (§ 23; 25; 29), *Ctesia* (§ 23; 28; 207), *Taurone* (§ 24), *Eudoxo* (§ 24), *Onesicrito* (§ 28 = F 11), *Clitarcho* (§ 29) .... d) — — I 10: *volucrum naturae ... ex*

10 ⟨τὰ⟩ Jac 18 *λέγει* Casaubonus *λέγειν* Str

. . . . *Iuba* (§ 126) . . . *Nicandro, Onesicrito, Phylarcho* (§ 207), *Hesiodo* (§ 208). e) — — I 12. 13 (*arborum naturae; de peregrinis arb.*): . . . *ex* . . . . *Clitarcho, Anaximene, Duride, Nearcho, Onesicrito* (XII 34 = F 3), *Polyclito* . . . . f) — — I 14. 15: . . *fructiferae arbores* . . . . *ex* . . . . *Themisone medico, Onesicrito* (XV 68 = F 4), *Iuba rege*.

## F

### ΠΩΣ ΑΛΕΞΑΝΔΡΟΣ ΗΧΘΗ.

$\overline{\Delta}$

1 (Script. Al. M. p. 48, 5) PLUT. Alex. 46: *ἐνταῦθα δὲ πρὸς* a. 328/8
*αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι* (137 F 15—16) *καὶ Πολύκλειτος* (128 F 8) *καὶ Ὀνησίκριτος καὶ Ἀντιγένης* (141 F 1) *καὶ Ἴστρος* (III). *Ἀριστόβουλος* (139 F 21) *δὲ καὶ Χάρης ὁ εἰσαγγελεὺς* (125 F 12) *καὶ Πτολεμαῖος* (138 F 28) *καὶ Ἀντικλείδης* (140 F 12) *καὶ Φίλων ὁ Θηβαῖος* (III) *καὶ Φίλιππος ὁ Θεαγενελεύς* (III), *πρὸς δὲ τούτοις Ἑκαταῖος ὁ Ἐρετριεὺς* (VI) *καὶ Φίλιππος ὁ Χαλκιδεὺς* (VI) *καὶ Δοῦρις ὁ Σάμιος* (76 F 46) *πλάσμα φασὶ γεγονέναι τοῦτο. καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος· Ἀντιπάτρωι γὰρ ἅπαντα γράφων ἀκριβῶς τὸν μὲν Σκύθην αὐτῶι φησι διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δὲ οὐ μνημονεύει.* (folgt T 8).

### Fragmente ohne Buchtitel.

2 (2) PLUT. Alex. 15: *ἐφόδιον δὲ τούτοις* (für die nach Asien a. 334
geführten truppen) *οὐ πλέον ἑβδομήκοντα ταλάντων ἔχειν αὐτὸν Ἀριστόβουλος* (139 F 4) *ἱστορεῖ, Δοῦρις* (76 F 40) *δὲ τριάκοντα μόνον ἡμερῶν διατροφήν, Ὀνησίκριτος δὲ καὶ διακόσια τάλαντα προσοφείλειν.* — De Alex. fort. I 3 p. 327 D.

3 (3) PLIN. NH XII 34: *Onesicritus tradit in Hyrcaniae con-* a. 330
*vallibus fico similes esse arbores quae vocentur occhi, ex quibus defluat mel horis matutinis duabus.*

4 (1) — — XV 68: *Onesicritus tradit in Hyrcania multum nostris esse dulciores fertilioresque* (sc. ficos), *ut quae modios CCLXX singulae ferant.*

5 (6) STRABON XI 11, 3: *τὸ μὲν οὖν παλαιὸν οὐ πολὺ διέφερον* a. 329/8
*τοῖς βίοις καὶ τοῖς ἤθεσι τῶν νομάδων οἵ τε Σογδιανοὶ καὶ οἱ Βακτριανοί,*

4 *Polyclito* Brunn *polycrito* Pl 12 *Πολύκλειτος* Corais *Πολύκριτος* Pl 15—16 *Θεαγγελεὺς* Reinesius *εἰσαγγελεὺς* vulg 28 *fico* $MD^2F^2$ *ficos* $R^2D^1F^1$ *ficis* E 31 *ut quae* Gelenius *utque, atque* Pl

μικρὸν δ' ὅμως ἡμερώτερα ἦν τὰ τῶν Βακτριανῶν. ἀλλὰ καὶ περὶ τούτων οὐ τὰ βέλτιστα λέγουσιν οἱ περὶ Ὀνησίκριτον· τοὺς γὰρ ἀπειρηκότας διὰ γῆρας ἢ νόσον ζῶντας παραβάλλεσθαι τρεφομένοις κυσὶν ἐπίτηδες πρὸς τοῦτο, οὓς ἐνταφιαστὰς καλεῖσθαι τῇι πατρώιαι γλώττηι, καὶ ὁρᾶσθαι τὰ μὲν ἔξω τείχους τῆς μητροπόλεως τῶν Βάκτρων καθαρά, τῶν δ' ἐντὸς τὸ πλέον ὀστέων πλῆρες ἀνθρωπίνων. καταλῦσαι δὲ τὸν νόμον Ἀλέξανδρον.

6 (11) ARRIAN. Ind. 3, 6 (= STRABON XV 1, 12): Κτησίης (III) ... τὴν Ἰνδῶν γῆν ἴσην τῇι ἄλληι Ἀσίηι λέγει, οὐδὲν λέγων, οὐδὲ Ὀνησίκριτος, τρίτην μοῖραν τῆς πάσης γῆς. s. 133 F 5. s. 127

7 (12) — — 6, 8 (= STRABON XV 1, 13; 45): ὕεσθαι δὲ κατάπερ τὰ Ἰνδῶν (sc. τὰ Αἰθιόπων ὄρη) οὐκ ἔξω ἐστὶ τοῦ εἰκότος, ἐπεὶ καὶ τἄλλα ἡ Ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς Αἰθιοπίης, καὶ οἱ ποταμοὶ οἱ Ἰνδοὶ ὁμοίως τῶι Νείλωι τῶι Αἰθιοπίωι τε καὶ Αἰγυπτίωι κροκοδείλους τε φέρουσιν, ἔστιν δὲ οἳ αὐτῶν καὶ ἰχθύας καὶ ἄλλα κήτεα ὅσα ὁ Νεῖλος πλὴν ἵππου τοῦ ποταμίου· Ὀνησίκριτος δὲ καὶ τοὺς ἵππους τοὺς ποταμίους λέγει ὅτι φέρουσι.

8 (16) STRABON XV 1, 20: (Aristobulos 139 F 35) ταῖς δὲ τῶν ποταμῶν πληρώσεσι καὶ τῶι τοὺς ἀπογαίους μὴ πνεῖν ὁμολογεῖ καὶ τὸ λεχθὲν ὑπὸ τοῦ Ὀνησικρίτου· τεναγώδη γάρ φησιν εἶναι τὴν παραλίαν, καὶ μάλιστα κατὰ τὰ στόματα τῶν ποταμῶν, διά τε τὴν χοῦν καὶ τὰς πλημμυρίδας καὶ τὴν τῶν πελαγίων ἀνέμων ἐπικράτειαν. XV 1, 34.

9 (24) PLIN. NH II 183: *simili modo tradunt in Syene oppido ..... solstiti die medio nullam umbram iaci puteumque eius experimenti gratia factum totum inluminari, ex quo adparere tum solem illi loco supra verticem esse, quod et in India supra flumen Hypasim fieri tempore eodem Onesicritus scribit.*

10 (24a) — — II 184—185: *in Indiae gente Oretum mons est Maleus nomine iuxta quem umbrae aestate in austrum, hieme in septentrionem iaciuntur. quindecim tantum noctibus ibi apparet septentrio. in eadem India Patalis, celeberrimo portu, sol dexter oritur, umbrae in meridiem cadunt. septentrionem ibi Alexandro morante adnotatum prima tantum parte noctis adspici. Onesicritus dux eius scripsit quibus in locis Indiae umbrae non sint septentrionem non conspici, et ea loca appellari ascia, nec horas dinumerari ibi.*

11 (25) — — VII 28: *Onesicritus quibus locis Indiae umbrae non sint corpora hominum cubitorum quinum et binarum palmarum*

---

3 ἐπίτηδες E ἐ. δὲ Str 9 τῆς πάσης γῆς Geier τ. π. Ἀσίης A τῆς οἰκουμένης Str *terrarum omnium* Plin. NH VI 59 τῆς πάσης [Ἀσίης] Schmieder 13 Ἰνδικοὶ Hercher Αἰθιοπίωι A —είω B —ήωι Hercher 15—16 [τοὺς] ἵππους τ. π. Hercher τοὺς ἵππους Strab 18 τῶι: τὸ CDF

*existere, et vivere annos CXXX, nec senescere sed ut medio aevo mori.* s. F 24.

**12** (13) STRABON XV 1, 15: *περὶ τῆς Ταπροβάνης Ὀνησίκριτός φησι μέγεθος μὲν εἶναι πεντακισχιλίων σταδίων, οὐ διορίσας μῆκος οὐδὲ πλάτος, διέχειν δὲ τῆς ἠπείρου πλοῦν ἡμερῶν εἴκοσι· ἀλλὰ κακοπλοεῖν τὰς ναῦς, φαύλως μὲν ἱστιοπεποιημένας, κατεσκευασμένας δὲ ἀμφοτέρωθεν ἐγκοιλίων † μητρῶν χωρίς. εἶναι δὲ καὶ ἄλλας νήσους αὐτῆς μεταξὺ καὶ τῆς Ἰνδικῆς, νοτιωτάτην δ' ἐκείνην. κήτη δ' ἀμφίβια περὶ αὐτὴν γίνεσθαι, τὰ μὲν βουσί, τὰ δ' ἵπποις, τὰ δ' ἄλλοις χερσαίοις ἐοικότα.*

**13** (22) PLIN. NH VI 81: *Taprobanen alterum orbem terrarum esse diu existimatum est Antichthonum appellatione. ut insulam esse liqueret Alexandri Magni aetas resque praestitere. Onesicritus classis eius praefectus elephantos ibi maiores bellicosioresque quam in India gigni scripsit.*

**14** (21) STRABON XV 1, 43: *Ὀνησίκριτος δὲ καὶ ἕως τριακοσίων ἐτῶν ζῆν φησι* (sc. τοὺς ἐλέφαντας), *σπάνιον δὲ καὶ ἕως πεντακοσίων· κρατίστους δ' εἶναι περὶ τὰ διακόσια ἔτη· κυίσκεσθαι δὲ δεκαετίαν. μείζους δὲ τῶν Λιβυκῶν καὶ ἐρρωμενεστέρους ἐκεῖνός τε εἴρηκε καὶ ἄλλοι· ταῖς οὖν προβοσκίσιν ἐπάλξεις καθαιρεῖν καὶ δένδρα ἀνασπᾶν πρόρριζα, διανισταμένους εἰς τοὺς ὀπισθίους πόδας.*

**15** (14) — XV 1, 18: *περὶ δὲ τοῦ βοσμόρου [ὃν] φησὶν Ὀνησίκριτος, διότι σῖτός ἐστι μικρότερος τοῦ πυροῦ· γεννᾶται δ' ἐν ταῖς μεσοποταμίαις. φρύγεται δ', ἐπὰν ἀληθῆι, προομνύντων μὴ ἀποίσειν ἄπυρον ἐκ τῆς ἄλω τοῦ μὴ ἐξάγεσθαι σπέρμα.*

**16** (7) **a)** — XV 1, 28: *ὑπὲρ δὲ ταύτης* (sc. τῆς *Ταξίλου χώρας*) *ἐν τοῖς ὄρεσιν ἡ τοῦ Ἀβισάρου χώρα, παρ' ὃι δύο δράκοντας ἀπήγγελλον οἱ παρ' αὐτοῦ πρέσβεις τρέφεσθαι, τὸν μὲν ὀγδοήκοντα πηχῶν, τὸν δὲ τετταράκοντα πρὸς τοῖς ἑκατόν, ὡς εἴρηκεν Ὀνησίκριτος* (T 10) . . . . . *περὶ δ' οὖν τῶν δρακόντων καὶ ἄλλοι λέγουσιν, ὅτι ἐν τοῖς Ἡμωδοῖς ὄρεσι θηρεύουσι καὶ τρέφουσι ἐν σπηλαίοις.* **b)** AELIAN. NA XVI 39: *Ὀνησίκριτος ὁ Ἀστυπαλαιεὺς λέγει ἐν Ἰνδοῖς κατὰ τὴν Ἀλεξάνδρου . . . ἀνάβασιν γενέσθαι δράκοντας δύο, οὓς Ἀπεισάρης ὁ Ἰνδὸς ἔτρεφεν, ὧν ὁ μὲν ἦν πηχῶν τετταράκοντα καὶ ἑκατόν, ὁ δὲ ὀγδοήκοντα· καὶ φησε ἐπιθυμῆσαι δεινῶς Ἀλέξανδρον θεάσασθαι αὐτούς.* **c)** TZETZ. Chil. III 940—949: *τὸν Ὀνησικρίτου φησιν Αἰλιανὸς δὲ λέγειν .... οὗς ἐπεθύμησεν ἰδεῖν Ἀλέξανδρος ὁ μέγας. τὴν στρατιὰν ἠρέμα δὲ διέρχεσθαι κελεύσας, ὡς ὁ Ἰνδὸς*

a. 326

6 κατεσκευασμένον Js. Vossius ἀμφοτέρωθεν ⟨πρώιραις⟩ Kramer 7 ἐγκοιλίων ⟨καὶ⟩ μ. Salmasius 16 φησι ἐλέφαντα D 21 βοσμόρου (XV 1, 13 βόσπορος Diod. II 36, 3): βωμόρου CD [δν] Corais 22 σῖτος Epit om E σεπτὸς Str 27 ὀγδοήκοντα: λ' E 29 ἠμωδῶν E

ἐδίδαξεν ἐκείνοι καὶ προεῖπε, μή πως ἐκθηριώσωσιν ἐκείνους τῇι βαδίσει, εἶδεν αὐτῶν τοὺς ὀφθαλμοὺς ἰσομεγέθεις ὄντας ἀσπίδι Μακεδονικῇι στρογγύλῃι τῶν εὐκύκλων.

17 (10) a) STRABON XV 1, 63—65: Ὀνησίκριτος δὲ πεμφθῆναί φησιν αὐτὸς διαλεξόμενος τοῖς σοφισταῖς τούτοις· ἀκούειν γὰρ τὸν Ἀλέξανδρον, ὡς γυμνοὶ διατελοῖεν καὶ καρτερίας ἐπιμελοῖντο οἱ ἄνθρωποι ἐν τιμῇι τε ἄγοιντο πλείστηι, παρ' ἄλλους δὲ μὴ βαδίζοιεν κληθέντες, ἀλλὰ κελεύοιεν ἐκείνους φοιτᾶν παρ' αὐτούς, εἴ του μετασχεῖν ἐθέλοιεν τῶν πραττομένων ἢ λεγομένων ὑπ' αὐτῶν. τοιούτων δὴ ὄντων, ἐπειδὴ οὔτε αὐτῶι πρέπειν ἐδόκει παρ' ἐκείνους φοιτᾶν οὔτε ἐκείνους βιάζεσθαι παρὰ τὰ πάτρια ποιεῖν τι ἄκοντας, αὐτὸς ἔφη πεμφθῆναι. καταλαβεῖν δὲ ἄνδρας πεντεκαίδεκα ἀπὸ σταδίων εἴκοσι τῆς πόλεως, ἄλλον ἐν ἄλλωι σχήματι ἑστῶτα ἢ καθήμενον ἢ κείμενον γυμνόν, ἀκίνητον ἕως ἑσπέρας, εἶτ' ἀπερχόμενον εἰς τὴν πόλιν· χαλεπώτατον δ' εἶναι τὸ τὸν ἥλιον ὑπομεῖναι οὕτω θερμόν, ὥστε τῶν ἄλλων μηδένα ὑπομένειν γυμνοῖς ἐπιβῆναι τοῖς ποσὶ τῆς γῆς ῥαιδίως κατὰ μεσημβρίαν. (64) διαλεχθῆναι δ' ἑνὶ τούτων Καλάνωι, ὃν καὶ συνακολουθῆσαι τῶι βασιλεῖ μέχρι Περσίδος καὶ ἀποθανεῖν τῶι πατρίωι νόμωι, τεθέντα ἐπὶ πυρκαϊάν (F 18)· τότε δ' ἐπὶ λίθων τυχεῖν κείμενον. προσιὼν οὖν καὶ προσαγορεύσας εἰπεῖν ἔφη, διότι πεμφθείη παρὰ τοῦ βασιλέως ἀκροασόμενος τῆς σοφίας αὐτῶν καὶ ἀπαγγελῶν πρὸς αὐτόν· εἰ οὖν μηδεὶς εἴη φθόνος, ἕτοιμος εἶναι μετασχεῖν τῆς ἀκροάσεως. ἰδόντα δ' ἐκεῖνον χλαμύδα καὶ καυσίαν φοροῦντα καὶ κρηπῖδα, καταγελάσαντα 'τὸ παλαιὸν', φάναι, 'πάντ' ἦν ἀλφίτων καὶ ἀλεύρων πλήρη, καθάπερ νῦν κόνεως· καὶ κρῆναι δ' ἔρρεον αἱ μὲν ὕδατος, γάλακτος δ' ἄλλαι, καὶ ὁμοίως μέλιτος, αἱ δ' οἴνου, τινὲς δ' ἐλαίου· ὑπὸ πλησμονῆς δ' οἱ ἄνθρωποι καὶ τρυφῆς εἰς ὕβριν ἐξέπεσον. Ζεὺς δὲ μισήσας τὴν κατάστασιν ἠφάνισε πάντα καὶ διὰ πόνου τὸν βίον ἀπέδειξε· σωφροσύνης δὲ καὶ τῆς ἄλλης ἀρετῆς παρελθούσης εἰς μέσον, πάλιν εὐπορία τῶν ἀγαθῶν ὑπῆρξεν· ἐγγὺς δ' ἐστὶν ἤδη νυνὶ κόρου καὶ ὕβρεως τὸ πρᾶγμα, κινδυνεύει τε ἀφανισμὸς τῶν ὄντων γενέσθαι'. ταῦτα εἰπόντα κελεύειν, εἰ βούλοιτο ἀκροάσασθαι, καταθέμενον τὴν σκευὴν γυμνὸν ἐπὶ τῶν αὐτῶν λίθων κείμενον μετέχειν τῶν λόγων. ἀπορουμένου δὲ αὐτοῦ, Μάνδανιν, ὅσπερ ἦν πρεσβύτατος καὶ σοφώτατος αὐτῶν, τὸν μὲν ἐπιπλῆξαι ὡς ὑβριστήν, καὶ ταῦτα ὕβρεως κατηγορήσαντα, αὐτὸν δὲ προσκαλέσασθαι καὶ εἰπεῖν, ὡς τὸν μὲν βασιλέα ἐπαινοίη, διότι ἀρχὴν τοσαύτην διοικῶν ἐπιθυμοίη σοφίας· μόνον γὰρ ἴδοι αὐτὸν ἐν ὅπλοις φιλοσοφοῦντα. ὠφελιμώτατον δ' εἴη τῶν ἁπάντων, εἰ οἱ τοιοῦτοι φρονοῖεν, οἷς πάρεστι δύναμις τοὺς μὲν ἑκουσίους πείθειν σωφρονεῖν,

12 εἴκοσι: ὀκτώ F 33 Μάνδανιν (XV 1, 68): Κάνδανις E Δάνδαμις Arrian. Anab. VII 2, 2; Plut. Alex. 8; 65. 34 τὸν μὲν edd τῶι μὲν Str 38 ἑκουσίως F

τοὺς δ' ἀκουσίους ἀναγκάζειν· αὐτῶι δὲ συγγνώμη εἴη, εἰ δι' ἑρμηνέων τριῶν διαλεγόμενος, πλὴν φωνῆς μηδὲν συνιέντων πλέον ἢ οἱ πολλοί, μηδὲν ἰσχύσει τῆς ὠφελείας ἐπίδειξιν ποιήσασθαι· ὅμοιον γὰρ, ὡς ἂν εἰ διὰ βορβόρου καθαρὸν ἄξιοῖ τις ὕδωρ ῥεῖν. (65) τὰ γοῦν λεχθέντα εἰς τοῦτ' ἔφη συντείνειν, ὡς εἴη λόγος ἄριστος, ὃς ἡδονὴν καὶ λύπην ψυχῆς ἀφαιρήσεται· καὶ ὅτι λύπη καὶ πόνος διαφέρει· τὸ μὲν γὰρ πολέμιον, τὸ δὲ φίλιον αὐτοῖς, τά γε σώματα ἀσκοῦσι πρὸς πόνον, ἵν' αἱ γνῶμαι ῥωννύοιντο, ἀφ' ὧν καὶ στάσεις παύοιεν καὶ σύμβουλοι πᾶσιν ἀγαθῶν παρεῖεν καὶ κοινῆι καὶ ἰδίαι· καὶ δὴ καὶ Ταξίληι νῦν συμβουλεύσειε δέχεσθαι τὸν Ἀλέξανδρον· κρείττω μὲν γὰρ αὐτοῦ δεξάμενον εὖ πείσεσθαι, χείρω δὲ εὖ διαθήσειν. ταῦτ' εἰπόντα ἐξερέσθαι, εἰ καὶ ἐν τοῖς Ἕλλησι λόγοι τοιοῦτοι λέγοιντο· εἰπόντος δ', ὅτι καὶ Πυθαγόρας τοιαῦτα λέγοι, κελεύοι τε ἐμψύχων ἀπέχεσθαι, καὶ Σωκράτης καὶ Διογένης, οὗ καὶ αὐτὸς ἀκροάσαιτο, ἀποκρίνασθαι, ὅτι τἄλλα μὲν νομίζοι φρονίμως αὐτοῖς δοκεῖν, ἓν δ' ἁμαρτάνειν, νόμον πρὸ τῆς φύσεως τιθεμένους· οὐ γὰρ ⟨ἂν⟩ αἰσχύνεσθαι γυμνοὺς ὥσπερ αὐτὸν διάγειν, ἀπὸ λιτῶν ζῶντας· καὶ γὰρ οἰκίαν ἀρίστην εἶναι, ἥτις ἂν ἐπισκευῆς ἐλαχίστης δέηται. ἔφη δ' αὐτοὺς καὶ τῶν περὶ φύσιν πολλὰ ἐξετάσαι καὶ προσημασιῶν ὄμβρων αὐχμῶν νόσων. ἀπιόντας δ' εἰς τὴν πόλιν κατὰ τὰς ἀγορὰς σκεδάννυσθαι· ὅτωι δ' ἂν κομίζοντι σῦκα ἢ βότρυς περιτύχωσι, λαμβάνειν δωρεὰν παρέχοντος· εἰ δ' ἔλαιον εἴη, καταχεῖσθαι αὐτῶν καὶ ἀλείφεσθαι· ἅπασαν δὲ πλουσίαν οἰκίαν ἀνεῖσθαι αὐτοῖς μέχρι γυναικωνίτιδος, εἰσιόντας δὲ δεῖπνου κοινωνεῖν καὶ λόγων. αἴσχιστον δ' αὐτοῖς νομίζεσθαι νόσον σωματικήν· τὸν δ' ὑπονοήσαντα καθ' αὑτοῦ τοῦτο, ἐξάγειν ἑαυτὸν διὰ πυρός, νήσαντα πυράν, ὑπαλειψάμενον δὲ καὶ καθίσαντα ἐπὶ τὴν πυρὰν ὑφάψαι κελεύειν, ἀκίνητον δὲ καίεσθαι. b) PLUT. Alex. 65: πρὸς δὲ τοὺς ἐν δόξηι μάλιστα (sc. τῶν Γυμνοσοφιστῶν) καὶ καθ' αὑτοὺς ἐν ἡσυχίαι ζῶντας ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. ὁ δὲ Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῶι Κυνικῶι συνεσχολακότων. καί φησι τὸν μὲν Καλανὸν ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν ἀποδύντα τὸν χιτῶνα γυμνὸν ἀκροᾶσθαι τῶν λόγων, ἄλλως δὲ οὐ διαλέξεσθαι πρὸς αὐτόν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται. τὸν δὲ Δάνδαμιν πραιότερον εἶναι καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους εἰπεῖν, ὡς εὐφυεῖς μὲν αὐτῶι γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι.

1 ἀκουσίως DF 6 διαφέροι? Kramer 7 φίλιον E φίλον Str τά γε Groskurd τὰ δὲ Str 9 Ταξίληι E τάξει ἡι Str 12—13 λέγοι, κελεύοι DF λέγει, κελεύει cett 14 ἀποκρίνεσθαι CD$^{cor}$ 15 ⟨ἂν⟩ Corais 20 παρατύχωσι E 21 αὐτῶι Groskurd

18 (33) LUKIAN. De mort. Peregr. 25: ἐκεῖνοι (sc. οἱ Βραχμᾶνες) γὰρ οὐκ ἐμπηδῶσιν εἰς τὸ πῦρ, ὡς Ὀνησίκριτος ὁ Ἀλεξάνδρου κυβερνήτης ἰδὼν Κάλανον καιόμενόν φησιν, ἀλλ' ἐπειδὰν ⟨πυρὰν⟩ νήσωσι, πλησίον παραστάντες ἀκίνητοι ἀνέχονται παροπτώμενοι, εἶτ' ἐπιβάντες κατὰ σχῆμα καίονται οὐδ' ὅσον ὀλίγον ἐκτρέψαντες τῆς κατακλίσεως.

19 (8) PLUT. Alex. 60: τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιστολαῖς ὡς ἐπράχθη γέγραφε. (nächtliches überschreiten des flusses und besetzung der insel). τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τοῦ χειμῶνος ἐπιόντα καὶ μετέωρον ἔκρηγμα ποιῆσαι μέγα, καὶ πολὺ μέρος ἐκείνηι φέρεσθαι τοῦ ῥεύματος· αὐτοὺς δὲ δέξασθαι τὸ μέσον οὐ βεβαίως, ἅτε δὴ συνολισθάνον καὶ περιῤῥηγνύμενον. ἐνταῦθα δὲ εἰπεῖν φασιν αὐτόν· 'ὦ Ἀθηναῖοι, ἆρά γε πιστεύσαιτε ἄν, ἡλίκους ὑπομένω κινδύνους ἕνεκα τῆς παρ' ὑμῖν εὐδοξίας.' ἀλλὰ τοῦτο μὲν Ὀνησίκριτος εἴρηκεν· αὐτὸς δέ φησι τὰς σχεδίας ἀφέντας αὐτοὺς μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαστῶν βρεχομένους . . . . .

20 (9) — — 61: ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βουκεφάλας ἐτελεύτησεν, οὐκ εὐθὺς ἀλλ' ὕστερον, ὡς οἱ πλεῖστοι λέγουσιν ἀπὸ τραυμάτων θεραπευόμενος, ὡς δὲ Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος· τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν.

21 (18) STRABON XV 1, 30: καὶ τὴν Κάθαιαν δέ τινες ⟨καὶ⟩ (sc. μεταξὺ τοῦ Ὑδάσπου καὶ τοῦ Ἀκεσίνου) τιθέασιν· ἄλλοι δὲ καὶ τοῦ Ἀκεσίνου πέραν καὶ τοῦ Ὑαρώτιδος, ὅμορον τῇι Πώρου τοῦ ἑτέρου, ὃς ἦν ἀνεψιὸς τοῦ ὑπ' Ἀλεξάνδρου ἁλόντος· καλοῦσι δὲ Γανδαρίδα τὴν ὑπὸ τούτωι χώραν. ἐν δὲ τῇι Καθαίαι καινότατον ἱστορεῖται τὸ περὶ τοῦ κάλλους ὅτι τιμᾶται διαφερόντως, ὡς ἵππων καὶ κυνῶν· βασιλέα τε γὰρ τὸν κάλλιστον αἱρεῖσθαί φησιν Ὀνησίκριτος, γενόμενόν τε παιδίον μετὰ δίμηνον κρίνεσθαι δημοσίαι, πότερον ἔχει τὴν ἔννομον μορφὴν καὶ τοῦ ζῆν ἀξίαν ἢ οὔ, κριθέντα δ' ὑπὸ τοῦ ἀποδειχθέντος ἄρχοντος ζῆν ἢ θανατοῦσθαι· βάπτεσθαί τε πολλοῖς εὐανθεστάτοις χρώμασι τοὺς πώγωνας αὐτοῦ τούτου χάριν καλλωπιζομένους. τοῦτο δὲ καὶ ἄλλους ποιεῖν ἐπιμελῶς συχνοὺς τῶν Ἰνδῶν — καὶ γὰρ δὴ φέρειν τὴν χώραν χρόας θαυμαστάς (F 22) — καὶ θριξὶ καὶ ἐσθῆσι. τοὺς δ' ἀνθρώπους τὰ ἄλλα μὲν εὐτελεῖς εἶναι, φιλοκόσμους δέ. ἴδιον δὲ τῶν Καθαίων καὶ τοῦτο ἱστορεῖται, τὸ αἱρεῖσθαι νυμφίον καὶ νύμφην ἀλλήλους, καὶ τὸ συγκατακαίεσθαι τεθνεῶσι τοῖς ἀνδράσι τὰς γυναῖκας κατὰ τοιαύτην αἰτίαν, ὅτι ἐρῶσαί ποτε τῶν

---

3 ⟨πυρὰν⟩ Guyet 5 ἐκτρέψαντες Faber ἐν Luk 10 αὐτοὺς Schaefer αὐτὸς vulg 12 πιστεύσετε ἄν Sintenis 17 ἀπὸ Sintenis ὑπὸ Pl 20 Κάθαιαν Tschucke καθέαν (u. v. 25) Str ⟨καὶ⟩ Corais 23 τῇι ἑτέρου E 28 ἔχοι CDF 31 ἄλλους Corais ἄλλως Str 34 καθέων Str

νέων ἀφίστα⟨ι⟩ντο τῶν ἀνδρῶν ἢ φαρμακεύοιεν αὐτούς· νόμον οὖν θέσθαι τοῦτον, ὡς παυσομένης τῆς φαρμακείας. οὐ πιθανῶς μὲν οὖν ὁ νόμος οὐδ' ἡ αἰτία λέγεται. φασὶ δ' ἐν τῇι Σωπείθους χώραι ὀρυκτῶν ἁλῶν ὄρος εἶναι ἀρκεῖν δυνάμενον ὅληι τῇι Ἰνδικῇι. καὶ χρυσεῖα δὲ καὶ ἀργυρεῖα οὐ πολὺ ἄπωθεν ἐν ἄλλοις ὄρεσιν ἱστορεῖται καλά, ὡς ἐδήλωσε Γόργος ὁ μεταλλευτής. οἱ δ' Ἰνδοὶ μεταλλείας καὶ χωνείας ἀπείρως ἔχοντες οὐδ' ὧν εὐποροῦσιν ἴσασιν, ἀλλ' ἁπλούστερον μεταχειρίζονται τὸ πρᾶγμα.

22 (15—17) STRABON XV 1, 21—24: πολλὰ γὰρ δὴ καὶ δένδρα a. 325
παράδοξα ἡ Ἰνδικὴ τρέφει, ὧν ἐστι καὶ τὸ κάτω νεύοντας ἔχον τοὺς κλάδους, τὰ δὲ φύλλα ἀσπίδος οὐκ ἐλάττω. Ὀνησίκριτος δὲ καὶ περιεργότερον τὰ ἐν τῇι Μουσικανοῦ διεξιών, ἃ φησι νοτιώτατα εἶναι τῆς Ἰνδικῆς, διηγεῖται μεγάλα δένδρα τινά, ὧν τοὺς κλάδους αὐξηθέντας ἐπὶ πήχεις καὶ δώδεκα, ἔπειτα τὴν λοιπὴν αὔξησιν καταφερῆ λαμβάνειν, ὡς ἂν κατακαμπτομένους, ἕως ἂν ἅψωνται τῆς γῆς· ἔπειτα κατὰ γῆς διαδοθέντας ῥιζοῦσθαι ὁμοίως ταῖς κατώρυξιν, εἶθ' ἁναδοθέντα⟨ς⟩ στελεχοῦσθαι, ἐξ οὗ πάλιν ὁμοίως τῇι αὐξήσει κατακαμφθέντα⟨ς⟩ ἄλλην κατώρυγα ποιεῖν, εἶτ' ἄλλην καὶ οὕτως ἐφεξῆς, ὥστ' ἀφ' ἑνὸς δένδρου σκιάδιον γίνεσθαι μακρόν, πολυστύλωι σκηνῆι ὅμοιον. λέγει δὲ καὶ μεγέθη δένδρων, ὥστε πέντε ἀνθρώποις δυσπερίληπτα εἶναι τὰ στελέχη. κατὰ δὲ τὸν Ἀκεσίνην καὶ τὴν συμβολὴν τὴν πρὸς Ὑάρωτιν καὶ Ἀριστόβουλος (139 F 36) εἴρηκε περὶ τῶν κατακαμπτομένους ἐχόντων τοὺς κλάδους καὶ περὶ τοῦ μεγέθους, ὥστ' ὑφ' ἑνὶ δένδρωι μεσημβρίζειν σκιαζομένους ἱππέας πεντήκοντα· οὗτος δὲ τετρακοσίους. (Aristob. 139 F 37) ἅπαντας δὲ ὑπερβέβληνται περὶ τοῦ μεγέθους τῶν δένδρων οἱ φήσαντες ἑωρᾶσθαι πέραν τοῦ Ὑαρώτιδος δένδρον ποιοῦν σκιὰν ταῖς μεσημβρίαις πενταστάδιον. καὶ τῶν ἐριοφόρων δένδρων φησὶν οὗτος (F 23) τὸ ἄνθος ἔχειν πυρῆνα· ἐξαιρεθέντος δὲ τούτου ξαίνεσθαι τὸ λοιπὸν ὁμοίως ταῖς ἐρέαις. (22) ἐν δὲ τῇι Μουσικανοῦ καὶ σῖτον αὐτοφυῆ λέγει πυρῶι παραπλήσιον καὶ ἄμπελον, ὥστ' οἰνοφορεῖν, τῶν ἄλλων ἀοινον λεγόντων τὴν Ἰνδικήν· ὥστε μηδ' αὐλὸν εἶναι κατὰ τὸν Ἀνάχαρσιν, μήτ' ἄλλο τῶν μουσικῶν ὀργάνων μηδὲν πλὴν κυμβάλων καὶ τυμπάνων καὶ κροτάλων, ἃ τοὺς θαυματοποιοὺς κεκτῆσθαι. καὶ πολυφάρμακον δὲ καὶ πολύρριζον τῶν τε σωτηρίων καὶ τῶν ἐναντίων, ὥσπερ καὶ πολυχρώματον (F 21), καὶ οὗτος εἴρηκε καὶ ἄλλοι γε. προστίθησι δ' οὗτος, ὅτι καὶ νόμος εἴη τὸν ἀνευρόντα τι τῶν ὀλεθρίων, ἐὰν μὴ προσανεύρηι καὶ τὸ ἄκος αὐτοῦ, θανατοῦσθαι· ἀνευρόντα δὲ τιμῆς τυγχάνειν παρὰ τοῖς βασιλεῦσιν. ἔχειν δὲ καὶ κινάμωμον καὶ νάρδον καὶ τὰ ἄλλα ἀρώματα τὴν νότιον γῆν τὴν Ἰνδικὴν ὁμοίως ὥσπερ τὴν Ἀραβίαν καὶ τὴν Αἰθιοπίαν, ἔχουσάν τι ἰδιαφερὲς ἐκείναις κατὰ τοὺς ἡλίους· δια-

1 ἀφίστα⟨ι⟩ντο Corais 9 ἔχειν CF 14 διαδοθέντα E 15 ἀναδοθέντα⟨ς⟩ edd 16 κατακαμφθέντα⟨ς⟩ Corais 17 γίνεσθαι Corais γενέσθαι Str 25 ⟨δὲ⟩ δένδρων Corais 28 μήτ' αὐλὸν Corais 29 ἄλλο τι F 30 θαυματοποιοὺς CD 35 κινάμωμον EF

φέρειν δὲ τῶι πλεονασμῶι τῶν ὑδάτων, ὥστ' ἔνιχμον εἶναι τὸν ἀέρα καὶ τροφιμώτερον παρὰ τοῦτο καὶ γόνιμον μᾶλλον, ὡς δ' αὕτως καὶ τὴν γῆν καὶ τὸ ὕδωρ· ἦι δὴ καὶ μείζω τά τε χερσαῖα τῶν ζώιων καὶ τὰ καθ' ὕδατος τὰ ἐν Ἰνδοῖς τῶν παρ' ἄλλοις εὑρίσκεσθαι. καὶ τὸν Νεῖλον δ' εἶναι γόνιμον μᾶλλον ἑτέρων καὶ μεγαλοφυῆ γεννᾶν καὶ τἆλλα καὶ τὰ ἀμφίβια, τάς τε γυναῖκας ἔσθ' ὅτε καὶ τετράδυμα τίκτειν τὰς Αἰγυπτίας. Ἀριστοτέλης (F 284 R) δέ τινα καὶ ἑπτάδυμα ἱστορεῖ τετοκέναι, καὶ αὐτὸς πολύγονον καλῶν τὸν Νεῖλον καὶ τρόφιμον διὰ τὴν ἐκ τῶν ἡλίων μετρίαν ἕψησιν, αὐτὸ καταλειπόντων τὸ τρόφιμον, τὸ δὲ περιττὸν ἐκθυμιώντων. (23) ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας καὶ τοῦτο συμβαίνειν εἰκός, ὅπερ φησὶν οὗτος, ὅτι τῶι ἡμίσει πυρὶ ἕψει τὸ τοῦ Νείλου ὕδωρ ἢ τὰ ἄλλα. ὅσωι δέ γέ φησι τὸ μὲν τοῦ Νείλου ὕδωρ δι' εὐθείας ἔπεισι πολλὴν χώραν καὶ στενὴν καὶ μεταβάλλει πολλὰ κλίματα καὶ πολλοὺς ἀέρας, τὰ δ' Ἰνδικὰ ῥεύματα ἐς πεδία ἀναχεῖται μείζω καὶ πλατύτερα, ἐνδιατρίβοντα πολὺν χρόνον τοῖς αὐτοῖς κλίμασι, τοσῶιδε ἐκεῖνα τούτου τροφιμώτερα· διότι καὶ τὰ κήτη μείζω τε καὶ πλείω· καὶ ἐκ τῶν νεφῶν δὲ ἐφθὸν ἤδη χεῖσθαι τὸ ὕδωρ. (24) τοῦτο δ' οἱ μὲν περὶ Ἀριστόβουλον (139 F 35) οὐκ ἂν συγχωροῖεν, οἱ φάσκοντες μὴ ὕεσθαι τὰ πεδία. Ὀνησικρίτωι δὲ δοκεῖ τόδε τὸ ὕδωρ αἴτιον εἶναι τῶν ἐν τοῖς ζώιοις ἰδιωμάτων, καὶ φέρει σημεῖον τὸ καὶ τὰς χρόας τῶν πινόντων βοσκημάτων ξενικῶν ἀλλάττεσθαι πρὸς τὸ ἐπιχώριον. τοῦτο μὲν οὖν εὖ· οὐκέτι δὲ καὶ ⟨τὸ⟩ τοῦ μέλανας εἶναι καὶ οὐλότριχας τοὺς Αἰθίοπας ἐν ψιλοῖς τοῖς ὕδασι τὴν αἰτίαν τιθέναι, μέμφεσθαι δὲ τὸν Θεοδέκτην (p. 806, 17 N²) εἰς αὐτὸν τὸν ἥλιον ἀναφέροντα τὸ αἴτιον, ὃς φησιν οὕτως· 'οἷς ἀγχιτέρμονα ἥλιος διφρηλατῶν | σκοτεινὸν ἄνθος ἐξέχρωσε λιγνύος | εἰς σώματ' ἀνδρῶν, καὶ συνέστρεψεν κόμας | μορφαῖς ἀναυξήτοισι συντήξας πυρός'. ἔχοι δ' ἄν τινα λόγον· φησὶ γὰρ μήτε ἐγγυτέρω τοῖς Αἰθίοψιν εἶναι τὸν ἥλιον ἢ τοῖς ἄλλοις, ἀλλὰ μᾶλλον κατὰ κάθετον εἶναι καὶ διὰ τοῦτο ἐπικαίεσθαι πλέον, ὥσθ' οὐκ εὖ λέγεσθαι ἀγχιτέρμονα αὐτοῖς τὸν ἥλιον, ἴσον πάντων διέχοντα· μήτε τὸ θάλπος εἶναι τοῦ τοιούτου πάθους αἴτιον· μηδὲ γὰρ τοῖς ἐν γαστρί, ὧν οὐχ ἅπτεται ἥλιος κτλ.

**23** (22) SERV. DAN. Verg. A I 649: *Varro ita refert: Onesicritos ait in India esse arbores quae lanam ferant* (F 22 p. 731, 24), *item Epicadus*

---

3 ἦι δὴ Corais ἤδη Str 5 μεγαλοφυῆ Xylander μεγαλοφυεῖν Str 7 καὶ τινα E ἑπτάδυμα (Trogus Plin. NH VII 33): πεντάδυμα Corais (Aristot. HA VII 4; De gen. an. IV 4; s. zu Gell. X 2, 1) 8 καλῶν om E 8—9 καταλειπόντων Corais καταλιπόντων Str 9 περιττόν: λοιπόν E 10—11 πυρὶ ἕψει Kramer πυρὶ ἕψεται (ἕψετο, περιεψεῖτο) Str 18 τόδε τὸ: τό δὲ D τότε F [τόδε] τὸ Corais 21 ⟨τὸ⟩ Corais 23 ὃς DF·ὥς cett 24 οὗτος CDF 26 πυρί Kramer πυρὸς ⟨ὑάλπει⟩ Groskurd

*in Sicilia, quarum floribus cum dempti sint nuclei ex his implicitis mulieres multiplicem conficere vestem. hinc vestimenta acanthina appellata.*

24 (20) STRABON XV 1, 34: *λέγει δὲ καὶ περὶ τῆς Μουσικανοῦ χώρας ἐπὶ πλέον, ἐγκωμιάζων αὐτήν, ὧν τινα κοινὰ καὶ ἄλλοις Ἰνδοῖς ἱστόρηται, ὡς τὸ μακρόβιον, ὥστε καὶ τριάκοντα ἐπὶ τοῖς ἑκατὸν (F 11) προσλαμβάνειν (καὶ γὰρ τοὺς Σῆρας ἔτι τούτων μακροβιωτέρους τινές φασι), καὶ τὸ λιτόβιον καὶ τὸ ὑγιεινόν, καίπερ τῆς χώρας ἀφθονίαν ἁπάντων ἐχούσης. ἴδιον δὲ τὸ συσσίτιά τινα Λακωνικὰ αὐτοῖς εἶναι δημοσίαι σιτουμένων, ὄψα δ' ἐκ θήρας ἐχόντων· καὶ τὸ χρυσῶι μὴ χρῆσθαι μηδ' ἀργύρωι, μετάλλων ὄντων· καὶ τὸ ἀντὶ δούλων (F 25) τοῖς ἐν ἀκμῆι χρῆσθαι νέοις, ὡς Κρῆτες μὲν τοῖς Ἀφαμιώταις, Λάκωνες δὲ τοῖς Εἵλωσι· μὴ ἀκριβοῦν δὲ τὰς ἐπιστήμας πλὴν ἰατρικῆς· ἐπί τινων γὰρ κακουργίαν εἶναι τὴν ἐπὶ πλέον ἄσκησιν οἷον ἐπὶ τῆς πολεμικῆς καὶ τῶν ὁμοίων· δίκην δὲ μὴ εἶναι πλὴν φόνου καὶ ὕβρεως — οὐκ ἐπ' αὐτῶι γὰρ τὸ μὴ παθεῖν ταῦτα, τὰ δ' ἐν τοῖς συμβολαίοις ἐπ' αὐτῶι ἑκάστωι, ὥστε ἀνέχεσθαι δεῖ, ἐάν τις παραβῆι τὴν πίστιν, ἀλλὰ καὶ προσέχειν ὅτωι πιστευτέον καὶ μὴ δικῶν πληροῦν τὴν πόλιν.*

25 (20) — XV 1, 54: *δούλοις δὲ οὗτος* (Megasthenes) *μέν φησι μηδένα Ἰνδῶν χρῆσθαι, Ὀνησίκριτος δὲ τῶν ἐν τῆι Μουσικανοῦ τοῦτ' ἴδιον ἀποφαίνει* (F 24), *καὶ ὡς κατόρθωμά γε, καθάπερ καὶ ἄλλα πολλὰ λέγει τῆς χώρας ταύτης κατορθώματα ὡς εὐνομωτάτης.*

26 (19) — XV 1, 33: *τῆς Παταληνῆς, ἣν ὁ Ἰνδὸς ποιεῖ σχισθεὶς εἰς δύο προχοάς. Ἀριστόβουλος* (139 F 48) *μὲν οὖν εἰς χιλίους σταδίους διεχειν ἀλλήλων φησὶν αὐτάς· Νέαρχος* (133 F 21) *δ' ὀκτακοσίους προστίθησιν· Ὀνησίκριτος δὲ τὴν πλευρὰν ἑκάστην τῆς ἀπολαμβανομένης νήσου τριγώνου τὸ σχῆμα δισχιλίων, τοῦ δὲ ποταμοῦ τὸ πλάτος, καθ' ὃ σχίζεται εἰς τὰ στόματα, ὅσον διακοσίων (?). καλεῖ δὲ τὴν νῆσον Δέλτα καὶ φησιν ἴσην εἶναι τοῦ κατ' Αἴγυπτον Δέλτα, οὐκ ἀληθὲς τοῦτο λέγων· τὸ γὰρ κατ' Αἴγυπτον Δέλτα χιλίων καὶ τριακοσίων λέγεται σταδίων ἔχειν τὴν βάσιν, τὰς δὲ πλευρὰς ἑκατέραν ἐλάττω τῆς βάσεως. ἐν δὲ τῆι Παταληνῆι πόλις ἐστὶν ἀξιόλογος τὰ Πάταλα, ἀφ' ἧς καὶ ἡ νῆσος καλεῖται.*

27 (23) ARRIAN. Anab. VI 2, 3 (SUID. s. *Νέαρχος* = Nearch. a. 326/4 133 T 1).: *τοῦ μὲν δὴ ναυτικοῦ πανὸς Νέαρχος αὐτῶι ἐξηγεῖτο, τῆς δὲ αὐτοῦ νεὼς κυβερνήτης ⟨ἦν⟩ Ὀνησίκριτος, ὃς ἐν τῆι ξυγγραφῆι, ἡνίκα Ἀλεξάνδρου ξυνέγραψε, καὶ τοῦτο ἐψεύσατο ναύαρχον ἑαυτὸν εἶναι γράψας κυβερνήτην ὄντα.*

2 *hinc* edd *hic* C 6 [*καὶ — φασι*] aus XV 1, 37? Kramer τινὰς CDE *φησι* E 8 *τινα* om D 11 *ἀκριβοῦντες* CDF 13 *τῆς πολεμικῆς* EF *τοῖς πολεμικοῖς* cett 15 *ταῦτα* CD(?)E *ταύτας* cett 27 *διακοσίων* (vgl. Arrian. Anab. VI 18, 5): *εἴκοσι* Groskurd *ἑκατόν*? Kramer 28 *τοῦ*: *τῶι* Corais *ἀληθὲς δὲ* F 31 *καὶ* om E 34 ⟨*ἦν*⟩ Krueger

28 (26) PLIN. NH VI 96—100: *sed priusquam generatim haec persequamur indicari convenit quae prodidit Onesicritus classe Alexandri circumvectus in mediterranea Persidis ex India, enarrata proxime a Iuba* (III) . . . *Onesicriti et Nearchi* (133 F 13) *navigatio nec nomina habet mansionum nec spatia, primumque Xylinepolis ab Alexandro condita, unde ceperunt exordium, iuxta quod flumen aut ubi fuerit non satis explanatur. haec tamen digna memoratu produntur: Arbis oppidum a Nearcho conditum in navigatione ad flumen Arbim navium capax; contra insula distans LXX stadiis; Alexandria condita a Leonnato iussu Alexandri in finibus gentis; (97) Argeruus portu salubri; flumen Tonberum navigabile, circa quod Pasirae; deinde Ichthyophagi tam longo tractu ut XX dierum spatio praenavigaverint; insula quae Solis appellatur et eadem Nympharum cubile, rubens ⟨semper⟩, in qua nullum non animal absumitur incertis causis; (98) Ori gens; flumen Carmaniae Hyctanis portuosum et auro fertile* (F 32). *ab eo primum septentriones apparuisse adnotavere, arcturum neque omnibus cerni noctibus nec totis unquam; Achaemenidas usque illo tenuisse; aeris et ferri metalla et arrenici ac mini exerceri* (F 32). *inde promunturium Carmaniae est, ex quo in adversam oram ad gentem Arabiae Macas traiectus distat † L p.; insulae tres, quarum Oracta tantum habitatur aquosa, a continente † $\overline{XXV}$ p.* (99) *insulae quattuor iam in sinu ante Persida; circa has hydri marini vicenum cubitorum adnatantes terruere classem. insula Athrotradus; item Gauratae, in quibus Gyani gens; flumen Hyperis in medio sinu Persico, onerariarum navium capax; flumen Sitioganus, quo Pasargadas septimo die navigatur; flumen navigabile Phrystimus; insula sine nomine; flumen Granis modicarum navium ⟨capax⟩ — per Susianen fluit, dextra eius accolunt Deximontani, qui bitumen perficiunt —; flumen Zarotis ostio*

4 ⟨*omnia*⟩ *nomina* Geier 5 *Xylinepolis* Lassen (e)xilen(a)epolis Pl 7 *prodentur* DR *Arbis* Harduin *ab his, abies* Pl s. zu 133 F 1 p. 685, 18 8 *ad* Detlefsen *et* DR om E² *Arbim* Geier *nabrim, —um* Pl *Arbium* Mayhoff 10 *argenuus* DR 11 *tonberum* F² *tombrerum* DRF¹ *tormenum* E² *Tubero* Mela III 71 *Τόμηρος* Nearch. 133 F 1 c. 24, 1. *Pasirae* Harduin *parirae* Pl *Parsirae*? C Mueller vgl. *Πδοιρα* Nearch. F 1 c. 26, 3; *Παροίδαι ἢ Παροίραι* Ptolem. VI 21, 4; *Παροὶς μητρόπολις* ebd. 12 *XX* E² *XXX* rell 14 ⟨*semper*⟩ Jac 15 *hictanis* E² *hynanis, hytanis* rell 18 *ac mini* Sillig *agmini* Pl 19 *adversam oram* Urlichs *adversa ora* Pl 20 *L* (§ 152; Klotz Quaest. Plin. geogr. 191): $\overline{V}$ Valesius $\overline{XXV}$? *Ὀράκτα* Nearch. 133 F 1 c. 37, 2 *Oracta* Mayhoff ⟨*h*⟩*oracla* Pl 21 $\overline{XXV}$: $\overline{V}$? 23 *athrotradus* E² *athothadrus* rell *Aradus* Salmasius *Σιτακὸς* Nearch. F 1 c. 38, 8 24 *chyani* E² 25 *sitiogadus quos* E 26 *phrixtimus* E² 27 ⟨*capax*⟩ Jac 28 *Uxii montani* Salmasius *Dexi montani* C Mueller

*difficili nisi peritis; insulae duae parvae — inde vadosa navigatio palustri similis per euripos tamen quosdam peragitur;* (100) *ostium Euphratis; lacus quem faciunt Eulaeus et Tigris iuxta Characen; inde Tigri Susa. festos dies ibi agentem Alexandrum invenerunt septimo mense, postquam digressus ab iis fuerat Patalis, tertio navigationis. sic Alexandri classis navigavit.*

29 (—) PLIN. NH VI 109: *Onesicritus et Nearchus* (133 F 15) *ab Indo amne in sinum Persicum atque illinc Babylonem Euphratis paludibus scripserunt* |XVII| *esse. in Carmaniae angulo Chelonophagi, testudinum superficie casas tegentes, carne vescentes. a flumine Arabi promunturium ipsum inhabitant praeter capita toto corpore hirti coriisque piscium vestiti.*

30 (29) — — VI 124: *Euphrate navigari Babylonem e Persico mari CCCCXII p. tradunt Nearchus* (133 F 1 h) *et Onesicritus.*

31 (30) AELIAN. NA XVII 6: περὶ δὲ τὴν Γεδρωσίων χώραν .... Ὀνησίκριτος λέγει καὶ Ὀρθαγόρας (V) γίνεσθαι κήτη ἥμισυ ἔχοντα τοῦ σταδίου τὸ μῆκος, πλάτος δὲ κατὰ λόγον τοῦ μήκους καὶ τοῦτο δηλονότι. τοσαύτην δέ φασιν ἔχειν δύναμιν αὐτά, ὡς πολλάκις, ὅταν ἀναφυσήσῃ τοῖς μυκτῆρσιν, ἐς τοσοῦτον ἀναρρίπτειν τῆς θαλάττης τὸ κλυδώνιον, ὡς δοκεῖν τοῖς ἀμαθέσι καὶ ἀπείροις πρηστῆρας εἶναι ταῦτα.

32 (27) STRABON XV 2, 14: Ὀνησίκριτος δὲ λέγει ποταμὸν ἐν τῇ Καρμανίαι καταφέροντα ψήγματα χρυσοῦ (F 28 p. 734, 15)· καὶ ὀρυκτοῦ δὲ εἶναι μέταλλον καὶ ἀργύρου καὶ χαλκοῦ καὶ μίλτου· ὄρη τε εἶναι δύο, τὸ μὲν ἀρσενικοῦ, τὸ δὲ ἄλος.

33 (28) — XV 3, 5: (Nearch. 133 F 25) Ὀνησίκριτος δὲ πάντας φησὶν ἐμβάλλειν εἰς τὴν λίμνην, τόν τε Εὐφράτην καὶ τὸν Τίγριν, ἐκπεσόντα δὲ πάλιν τὸν Εὐφράτην ἐκ τῆς λίμνης ἰδίωι στόματι πρὸς τὴν θάλατταν συνάπτειν.

34 (31) — XV 3, 7: (Aristobul. 139 F 51) Ὀνησίκριτος δὲ τὸν μὲν πύργον δεκάστεγον εἴρηκε, καὶ ἐν μὲν τῇι ἀνωτάτω στέγηι κεῖσθαι τὸν Κῦρον· ἐπίγραμμα δ' εἶναι Ἑλληνικόν, Περσικοῖς κεχαραγμένον γράμμασιν 'ἐνθάδ' ἐγὼ κεῖμαι Κῦρος βασιλεὺς βασιλήων', καὶ ἄλλο περσίζον πρὸς τὸν αὐτὸν νοῦν.

35 (31) — XV 3, 8: μέμνηται δ' Ὀνησίκριτος καὶ τὸ ἐπὶ τοῦ Δαρείου τάφωι γράμμα τόδε· 'φίλος ἦν τοῖς φίλοις· ἱππεὺς καὶ τοξότης ἄριστος ⟨ἐ⟩γενόμην· κυνηγῶν ἐκράτουν· πάντα ποιεῖν ἠδυνάμην'.

36 (32) [LUKIAN.] Macrob. 14: Κῦρος δὲ ὁ Περσῶν βασιλεὺς ὁ παλαιός, ὡς δηλοῦσιν οἱ Περσῶν καὶ Ἀσσυρίων ὧροι, οἷς καὶ Ὀνησίκριτος δὲ τὰ περὶ Ἀλεξάνδρου συγγράψας συμφωνεῖν δοκεῖ, ἑκατοντούτης γενόμενος ἐζήτει μὲν ἕνα ἕκαστον τῶν φίλων, μαθὼν δὲ τοὺς πλείστους

1 *difficili* E² —*is* cett 3 *chariacen* E² 24 ἐμβάλλειν E ἐκβ— Str
*Τίγριν ⟨καὶ τὸν Πασίτιγριν⟩?* 34 ⟨ἐ⟩γενόμην Xylander

διεφθαρμένους ὑπὸ Καμβύσου τοῦ υἱέος καὶ φάσκοντος Καμβύσου κατὰ πρόσταγμα τὸ ἐκείνου ταῦτα πεποιηκέναι, τὸ μέν τι πρὸς τὴν ὠμότητα τοῦ υἱοῦ διαβληθείς, τὸ δέ τι ὡς παρανομοῦντα αὐτὸν αἰτιασάμενος ἀθυμήσας ἐτελεύτα τὸν βίον.

37 (—) ANON. EPIT. METTENS. 97 Wagner: *iam non alienum* s. 325
*videtur qui fuerint* (sc. teilnehmer am gelage des Medeios, bei dem Alexander vergiftet wird) *demonstrare quorum Onesicritus fugiens simultatem mentionem facere noluit. fuit Perdiccas, Medius, Leonnatus e. q. s.*

38 (1) PLUT. Alex. 8: ἦν δὲ καὶ φύσει φιλολόγος καὶ φιλαναγνώστης (sc. ὁ Ἀλέξανδρος). καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν, εἶχε δὲ ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκε· τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις Ἅρπαλον ἐκέλευσε πέμψαι . . . .

## Zweifelhaftes.

39 (—) ANON. ALEX. – GEDICHT (W. Wagner Trois Poèmes Grecs, Berlin 1881) v. 29: τοῦτόν (sc. Ἀλέξανδρον) φασιν οἱ παλαιοὶ σοφοὶ τῶν Αἰγυπτίων — εἰς ἐστιν Ὀνησίκριτος Ἀσσύριος ἐκεῖνος, ὁ πάντα συγγραψάμενος κατὰ λεπτὸν τὰ τούτου — πατέρα τὸν Νεκτεναβῶ τὸν δυστυχῆ κατέχειν, μητέρα δὲ γεννήσασαν καλὴν Ὀλυμπιάδα, ἥτις ἐκ τοῦ Νεκτεναβῶ κακῶς ἀπατηθεῖσα καὶ μαγκανείαις ταῖς αὐτοῦ μεγάλως πλανηθεῖσα .... ἐγέννησεν Ἀλέξανδρον ....

---

## 135—136. MARSYAS VON PELLA UND MARSYAS VON PHILIPPI.

(F 21 ?). T

1 SUID. s. *Μαρσύας Περιάνδρου Πελλαῖος· ἱστορικός* (*οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος*) *καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις δέκα· ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων καὶ * μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου μετὰ τὴν Ἀλεξανδρείας κτίσιν* (331)· [*Ἀττικὰ ἐν βιβλίοις ιβ*]· *καὶ αὐτοῦ Ἀλεξάνδρου Ἀγωγήν.*

---

10 *φιλολόγος καὶ φιλομαθὴς κ. φ.* Stephanus 'ex vetustis codicibus' (s. Plut. Pomp. 10) 14 *Ὀνησίκριτος* Solanus *ὀνησικράτης* vulg 27 *ἀδελφός* (Plut. Mor. 182c): *ἀδελφιδοῦς*? Beloch GrG III 2, 89. 28 *τοῦ Μακεδόνων βασιλέως* Eudok 30 *καὶ ⟨προῆλθε⟩* o. ä. Ritschl 31 *Ἀττικά — ιβ*: s. p. 787, 2 f. 32 *διαγωγήν* Eudok

2 SUID. s. *Μαρσύας Κριτοφήμου Φιλιππεύς· ἱστορικός, ὁ νεώτερος. — Μαρσύας Μάρσου Ταβηνός, ἱστορικός. — ἔγραψεν Ἀρχαιολογίαν ἐν βιβλίοις ιβ· Μυθικὰ ἐν βιβλίοις ξ· καὶ ἕτερά τινα περὶ τῆς ἰδίας πατρίδος.*

3 DIOD. XX 50, 4: (seeschlacht bei Salamis a. 307) *κατὰ μέσην δὲ τὴν τάξιν τὰ ἐλάχιστα τῶν σκαφῶν ἔστησεν* (sc. *Δημήτριος*), *ὧν ἡγοῦντο Θεμίσων τε ὁ Σάμιος καὶ Μαρσύας ὁ τὰς Μακεδονικὰς πράξεις συνταξάμενος.*

4 PLIN. NH I 12. 13: *arborum naturae .... ex .... Ptolemaeo Lagi, Marsya Macedone, Zoilo item ...*

## Fragmente des Marsyas von Pella.

(F 15—17; 20?).

*ΜΑΚΕΔΟΝΙΚΑ* $\overline{A}$—$\overline{I}$.

$\overline{Z}$

1 (Script. Al. M. p. 43, 5) HARPOKR. s. *Μύρτανον· ... φρούριον ἦν ἐν Θράικῃ, ὡς Μαρσύας ὁ πρεσβύτερος ἐν ξ Μακεδονικῶν καὶ Ἀναξιμένης ἐν Φιλιππικοῖς* (72 F 14). a. 340?

*ΤΑ ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΝ* (*ΑΛΕΞΑΝΔΡΟΥ ΑΓΩΓΗ*) $\overline{A}$—$\overline{E}$ (?).

$\overline{E}$

2 (p. 43, 8) HARPOKR. s. *Ἀριστίων· ..... οὗτος Σάμιος μέν ἐστιν ἢ Πλαταιεύς, ὡς Δίυλλός φησιν* (73 F 2), *ἐκ μειρακυλλίου δ' ἑταῖρος Δημοσθένους, ἐπέμφθη δ' ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν, ὡς φησι Μαρσύας ἐν ε̄ Τῶν περὶ Ἀλέξανδρον.* a. 331

3 (p. 43, 8) — s. *Μαργίτης· Αἰσχίνης ἐν τῶι κατὰ Κτησιφῶντος* (§ 160)· *ἐπωνυμίαν δὲ Ἀλεξάνδρωι Μαργίτην ἔθετο'. καὶ Μαρσύας ἐν ε̄ Τῶν περὶ Ἀλέξανδρον ἱστορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον.* a. 331

## Fragmente des Marsyas von Philippi.

*ΜΥΘΙΚΑ* $\overline{A}$—$\overline{Z}$ (?)

(F 9; 19?).

*ΜΑΚΕΔΟΝΙΚΑΙ ΙΣΤΟΡΙΑΙ* ($A$—$\overline{IB}$ ?).

(F 8).

---

1—4 *εἰσὶ δὲ καὶ ἄλλοι δύο ἱστορικοί· ὁ μὲν Κριτοφήμου Φιλ. νεώτ., ὁ δὲ Μάρσου Ταβηνός, ὃς καὶ Ἀρχ. ἔγραψεν κτλ.* Eudok [*Μαρσύας Μάρσου — ἱστορικός*] Ritschl 3 $\overline{\iota\beta}$: $\overline{\iota\eta}$ V 3—4 [*καὶ ἕτερα — πατρίδος*] oder [*Περὶ τ. ἰ. πατρίδος*] zu *Μαρσύας Ταβηνός* gehörig? 15 *πρεσβύτης* AC 16 *Φιλιππικοῖς* Bekker —*ῶι* Harp 22 *τῶν*: *τῶι* ABF 24 *ἔθετο* Epit *ἔθεντο* Harp *μαρσύαν* A

$\overline{A}$

**4** (p. 44, 1) SCHOL. EURIP. Hippol. 671: *τοῖς Φρυξὶ λόγιον ἐδόθη ἐκεῖνον βασιλεύσειν τῆς Ἀσίας, ὃς ἂν τῆς ἀπήνης λύσῃ τὸν δεσμὸν τῆς κομισάσης Μίδαν εἰς Φρυγίαν ..... λέγεται δὲ Ἀλέξανδρον διαλῦσαι .... Μαρσύας δὲ ὁ νεώτερος ἐν τῇι πρώτηι τῶν Μακεδον⟨ικ⟩ῶν Ἱστοριῶν φησιν οὕτως· «τῆς δὲ ἁμάξης λέγεται τὸν ζυγὸν τῶι ῥυμῶι προσδεδέσθαι κλήματι ἀμπελίνωι.»*

$\overline{E}$

**5** (p. 44, 2) HARPOKR. s. *Γαληψός· . . . πόλις Θράικης, ὡς οἱ* a. 356?
*τὰς περιόδους γεγραφότες* (1 F 152) *φασίν. ὠνομάσθη δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάσου καὶ Τηλέφης, ὡς Μαρσύας ὁ νεώτερος ἐν πέμπτωι Μακεδονικῶν.*

$\overline{F}$

**6** (p. 44, 3) HARPOKR. s. *Λητή· .... Λητὴ πόλις ἐστὶ τῆς Μακεδονίας, μνημονεύει δ' αὐτῆς πολλάκις Μαρσύας ὁ νεώτερος ἐν ϛ Μακεδονικῶν.*

OHNE BUCHZAHL.

**7** (p. 45, 6) SCHOL. EURIP. Rhes. 346: *οὐκ εἴρηκε τίνος Μουσῶν ὁ Ῥῆσος ἦν παῖς. Κλειοῦς μέντοι λέγουσιν αὐτὸν εἶναι, καθάπερ Μαρσύας ὁ νεώτερος ἐν τῶι * Μακεδονικῶν Ἱστοριῶν γράφων οὕτως· «εἰσὶ δὲ οἳ καὶ περὶ τούτου εἶπον [τοῦτον] Κλειὼ τὴν θεὸν ὑπὸ τοῦ Στρυμόνος ἐκ τοῦ χοροῦ τῶν Μουσῶν ⟨ἁρπασθεῖσαν⟩ νυμφευθῆναι τεκνῶσαί τε τὸν Ῥῆσον». καὶ μετ' ὀλίγον· «ἔστιν ἱερὸν τῆς Κλειοῦς ἐν Ἀμφιπόλει ἱδρυθὲν ἀπέναντι τοῦ Ῥήσου μνημείου ἐπὶ λόφου τινός.»*

FRAGMENTE OHNE BUCHTITEL.

**8** (p. 45, 6 a) SCHOL. PLAT. Symp. 172 A (= SCHOL. LUKIAN. c. 405
p. 178, 19 Rabe): *Ἀγάθων τραγωιδίας ποιητὴς εἰς μαλακίαν σκωπτόμενος Ἀριστοφάνει ⟨ἐν⟩ τῶι Γηρυτάδηι* (I 432, 169 K). *ἦν δὲ Τισαμενοῦ τοῦ Ἀθηναίου υἱός, παιδικὰ γεγονὼς Παυσανίου ⟨καὶ Εὐριπίδου⟩ τοῦ τραγικοῦ, μεθ' οὗ πρὸς Ἀρχέλαον τὸν βασιλέα ὤιχετο, ὡς Μαρσύας ὁ νεώτερος.*

---

2 λόγιον Schw(artz) λόγος NAB χρηστήριον M 3 βασιλεύσειν Dindorf —εύειν NAB λύσηι Schw δυνηθείη λύσαι N λύσαι ὁ. A λύσαι τὸν δεσμὸν ὁ. B 4 λέγεται Schw λόγος NAB 5 Μακεδονικῶν Dindorf μακεδόνων NAB 7 καὶ κλήματι A 9—10 ὡς — φασίν add Epit D 11—12 ἐν π. M. add Epit D 16 ἦν Schw εἰη A 19 ἐν τῶι * M. i. Schw ἐνῖ οἰκοδομῆι τῶν κακοβριῶν A 20 περὶ τούτου: περιττότερον Wilamowitz [τοῦτον] Schw 21 χοροῦ G Hermann χρόνου A ⟨ἁρπασθεῖσαν⟩ Schw 28 ⟨ἐν⟩ Jac τῶι om Schol. Luk 29 ⟨καὶ Εὐριπίδου⟩ J A Cramer (s. Aelian VH II 21; XIII 4)

9 (p. 46, 9) ATHEN. II 80 p. 69 D: *Κρατῖνος δέ φησι* (I 110, 330 K) *Φάωνος ἐρασθεῖσαν τὴν Ἀφροδίτην ἐν καλαῖς θριδακίναις αὐτὸν ἀποκρύψαι, Μαρσύας δ' ὁ νεώτερος ἐν χλόῃ κριθῶν.*

**Zwischen dem Pellaeer und dem Philippenser strittige Fragmente.**

*ΜΑΚΕΔΟΝΙΚΑ.*

*Α*

10 (p. 42, 1) KONSTANT. PORPH. De them. II p. 48, 9 Bonn.: *λέγεται δὲ καὶ Μακεδονίας μοῖρα Μάκετα, ὡς Μαρσύας ἐν πρώτοις Μακεδονικῶν· «καὶ τὴν Ὀρεστίαν δὲ Μάκεταν λέγουσιν ἀπὸ τοῦ Μακεδόνος.» ἀλλὰ καὶ τὴν ὅλην Μακεδονίαν Μακετίαν οἶδεν ὀνομαζομένην Κλείδημος ἐν πρώτῳ Ἀτθίδος* (III).

*Γ*

11 (p. 42, 4) ATHEN. XIV 27 p. 629 D: *τελεσιάς — Μακεδονικὴ* s. 368 *δ' ἐστὶν αὕτη ὄρχησις, ἣι χρησάμενοι οἱ περὶ Πτολεμαῖον Ἀλέξανδρον τὸν Φιλίππου ἀδελφὸν ἀνεῖλον, ὡς ἱστορεῖ Μαρσύας ἐν τρίτωι Μακεδονικῶν.*

OHNE BUCHZAHL.

12 (p. 45, 5) HARPOKR. s. *Ἀμφίπολις· . . . πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο, ὡς Ἀνδροτίων* (III) *..... Μαρσύας δ' ἐν Μακεδονικοῖς διὰ τὸ περιῤῥεῖσθαι τὸν τόπον Ἀμφίπολιν ὠνομάσθαι, πρότερον †Ἄκρα καλουμένη. οἱ δὲ Ἄρεος πόλις* (?).

OHNE BUCHTITEL.

13 (p. 42, 2) SCHOL. ABTDEUST HOM. Il. Ξ 226: *Μακεδὼν ὁ Διὸς καὶ Θυίας, κατασχὼν τὴν χώραν οὖσαν τῆς Θρᾴκης ἀφ' ἑαυτοῦ Μακεδονίαν προσηγόρευσεν. γήμας δὲ μίαν τῶν ἐγχωρίων τεκνοῦται δύο παῖδας Πίερον καὶ Ἄμαθον, ἀφ' ὧν δύο πόλεις Πιερία καὶ Ἀμαθία ἐν Μακεδονίαι. ἡ ἱστορία παρὰ Μαρσύαι.*

---

8 (u. v. 9) *Μακετία* Dindorf (vgl. Steph. Byz. s. *Μακεδονία· λέγεται καὶ Μάκετα διὰ δύο ττ καὶ δι' ἑνὸς τ.* Eust. Dion. Per. 427. Hesych. s. *Μακεττία· ἡ Μακεδονία*) 8—9 *Μακεδονιακῶν* Konst 9 *Ὀρεστίαν* Otfr Mueller *Ἠρεστείαν* Konst *Ὀρεστείαν* Meineke 11 *πρώτοις* Bekker *πρώτοις* Konst 13 *τελεσιάς* E (Pollux IV 99) *τελεσειας* A *τελεσία* Hes. s. v. 18 *Μαρσύας* Maussac *μαρσυα* Harp *Μακεδονικοῖς* Salmasius *—αῖς* Harp 19 *περιῤῥεῖσθαι* C Mueller *περιοικεῖσθαι* Harp *περιωικίσθαι* Hemsterhuys 19—20 *Ἄκραν καλουμένην* Hemsterhuys *Κράδεμνα* Steph. Byz. 20 *Ἀνάδραμος* (Steph. Byz.) (*ἀναγράφουσι τὴν*) *πόλιν*? 23 *δίωνος* B Steph. Byz. 20 *Ἀνάδραμος* (Steph. Byz.) (*ἀναγράφουσι τὴν*) *πόλιν*? 23 *δίωνος* B *Θυίας* Lobeck (Steph. Byz. s. *Μακεδονία*) *Αἰθρίας* AD *Αἰθυίας* BT *κατέχων τὴν ὅλην Θρᾴκην* B *κατέχων χώραν περὶ Θρᾴκην* T 25—26 *Ἀμαθία* AD *Ἡμαθία* Eust *ἀφ' ὧν τόποι τινὲς ἐν Μακεδονίαι* B *ὧν αἱ πόλεις ἐν Μ.* T 26 *ἡ — Μαρσύαι* om BT

**14** (p. 42, 3) ET. M. p. 523, 39: *Μαρσύας ἱστορεῖ ὅτι Κνῶπις, τὸ γένος Κόλχος, εἰς Μακεδονίαν ἐλθὼν διέτριβε παρὰ Καράνωι. υἱοῦ δὲ γενομένου τῶι Καράνωι καὶ βουληθέντι τὸν παῖδα ἀπὸ τοῦ ἰδίου πατρὸς ὀνομάζειν Κιράρονα, ἀνθίστατο ἡ μήτηρ, καὶ αὐτὴ ἀπὸ τοῦ ἰδίου πατρὸς* s. v. Κάρανος
5 *ὀνομασθῆναι τὸν παῖδα βουλομένη. Κνῶπις δὲ ἐρωτηθεὶς εἶπε⟨ν ἀπὸ⟩ μηδετέρου ὀνομάζεσθαι αὐτόν. διόπερ Κοῖνος ἐκλήθη. ἔνιοι δὲ ἀμαρτάνουσι Καῖνον αὐτὸν καλοῦντες.*

**15** (p. 45, 6 b) ATHEN. V 58 p. 217 DE: *Περδίκκας τοίνυν πρὸ* s. v
*Ἀρχελάου βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιός φησιν Νικομήδης* (III), *ἔτη* $\overline{\mu\alpha}$·
10 *Θεόπομπος* (115 F 279) *δὲ* $\overline{\lambda\varepsilon}$· *Ἀναξιμένης* (72 F 27) $\overline{\mu}$· *Ἱερώνυμος* (154 F 1) $\overline{\kappa\eta}$· *Μαρσύας δὲ καὶ Φιλόχορος* (III) $\overline{\kappa\gamma}$.

**16** (—) DIDYM. i. Demosth. XII 43: *περὶ μὲν γὰρ τὴν Μεθώνης* s. 353
*πολιορκίαν τὸν δεξιὸν ὀφθαλμὸν ἐξεκόπη τοξεύματι πληγείς* (sc. *Φίλιππος*),
*ἐν ὧι τὰ μηχανώματα καὶ τὰς χωστρίδας λεγομένας ἐφεώρα, καθάπερ ἐν*
15 *τῆι δ̄ τῶν περὶ αὐτὸν ἱστοριῶν ἀφηγεῖται Θεόπομπος* (115 F 52), *οἷς καὶ Μαρσύας ὁ Μακεδὼν ὁμολογεῖ.*

**17** (—) DIDYM. i. Demosth. XII 55: (Duris 76 F 36) *τὰ μὲν γὰρ* s. 353
*περὶ τῶν αὐλητῶν ὁμολογεῖται καὶ παρὰ Μαρσύαι, διότι συντελοῦντι*
*μουσικοὺς ἀγῶνας αὐτῶι μικρὸν ἐπάνω τῆς συμφορᾶς κατὰ δαίμονα*
20 *συνέβη τὸν Κύκλωπα πάντας αὐλῆσαι, Ἀντιγενείδην μὲν τὸν Φιλοξένου,*
*Χρυσόγονον δὲ τὸν Στησιχόρου, Τιμόθεον δὲ τὸν Οἰνιάδου. τὸν μὲν οὖν*
*ὀφθαλμὸν οὕτω φασὶν αὐτὸν ἐκκοπῆναι, τὴν δὲ κλ⟨ε⟩ῖν τὴν δεξιὰν ἐν Ἰλλυριοῖς*
*λόγχηι τὸν Ἰλλυριὸν Πλευρᾶτον διώκοντα, δὺ' ἑκατὸν μὲν καὶ πεντήκοντα τῶν*
25 *ἑταίρων τραυματίζονται, τελευτᾶι δὲ Ἱππόστρατος ὁ Ἀμύντου. τρίτον τραῦμα*
*τὸν δεξιὸν αὐτοῦ μηρὸν ὠσαμένου καὶ χωλώσαντος αὐτόν.*

**18** (p. 43, 6) STEPH. BYZ. s. *Αἰθικία*· *. . . Θεόπομπος* $\overline{\lambda\vartheta}$ s. 343/27
*Φιλιππικῶν* (115 F 183) *. . . ἐν Θετταλίαι δ' ᾤκουν ἐν τῶι Πίνδωι ὄρει.*
*Μαρσύας δὲ μέσον τῆς Τυμφαίας καὶ Ἀθαμανίας κεῖσθαί φησι τὴν χώραν.*
30 *τὸ δὲ ἔθνος ἐπιεικῶς παράβολόν τε καὶ βάρβαρον καὶ λῃστείαις [ἐπιεικῶς] προσκείμενον.*

**19** (p. 46, 10) SCHOL. Q V HOM. Od. σ 85: *εἰς Ἔχετον βασιλῆα] Ἔχετος ἦν μέν* s. 343/27
*υἱὸς Βουχέτου, ἀφ' οὗ καὶ ἐν Σικελίαι πόλις Βούχετος καλεῖται. Σικελῶν δὲ*
*τύραννος λέγεται. τοῦτον τοὺς μὲν ἐγχωρίους κατὰ πάντα τρόπον σίνεσθαι, τοὺς*
35 *δὲ ξένους ἀναιρεῖν λωβώμενον, τοσαύτην δὲ κακίαν ἔχειν ὡς καὶ τοὺς μακρὰν*

---

2 Κόλχος: Σελλός v. Gutschmid 4 Καράρονα Et Gud Λάκωνος cod Havn 1971 Ἀριστοδαμίδα Kulenkamp Κυλλάρων o. Κυλλάβρων C Mueller Κάρρονα ⟨οὕτως δὲ τὸν κρείσσονα ὀνομάζουσι⟩ Λάκωνες v. Gutschmid ἀπὸ τοῦ πατρὸς ὀν. Κάρανον? πατρὸς Λάκωνος DP Brux? 5 εἶπεν ἀπὸ Jac (?) 22 κλεῖν Fourcart κλιν Pap 29 μέσην Meineke Ritschl τυμφίας R 30 [ἐπιεικῶς] παράβολον Schubart περίβολον RV [ἐπιεικῶς] Jac 33 Βούχετος: Ἔχετλα Stiehle Σικελῶν: Ἠπείρου βασιλεύς die folgenden scholien QH und V

οἰκοῦντας ὅτε θέλοιεν σφόδρα τινὰ τιμωρῆσαι καὶ ξένωι περιβαλεῖν θανάτωι ἐκπέμπειν αὐτῶι· πολλὰς γὰρ μηχανὰς ἐξευρεῖν τοῦτον αἰκίας. ὅθεν τὸν λαὸν οὐκ ὑπομένειν τὴν πικρὰν ταύτην τυραννίδα, λίθοις δὲ αὐτὸν ἀνελεῖν. ἡ ἱστορία παρὰ Μνασέαι (V) καὶ Μαρσύαι.

20 (p. 43, 7) PLUT. Demosth. 18, 1—2: οἳ μὴν ἀλλ' ἐπεὶ Φίλιππος s. 135
. . . εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε . . . παρελθὼν μόνος ὁ Δημοσθένης συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ . . . ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας φησίν, Ἀμύνταν μὲν καὶ Κλέαρχον Μακεδόνας, Δάοχον δὲ Θεσσαλὸν καὶ Θρασυδαῖον ἀντεροῦντας. (s. Theopomp. 115 F 328).

21 (p. 45, 7) ATHEN. XI 31 p. 467 C: Παρθένιος δ' ὁ τοῦ Διονυσίου ἐν ᾱ Περὶ τῶν παρὰ τοῖς ἱστορικοῖς λέξεων ζητουμένων (VI) φησί· γυάλας ποτηρίου εἶδος, ὡς Μαρσύας γράφει ὁ ἱερεὺς τοῦ Ἡρακλέους οὕτως· «ὅταν εἰσίηι ὁ βασιλεὺς εἰς τὴν πόλιν, ὑπαντᾶν οἴνου πλήρη γυάλαν ἔχοντά τινα, τὸν δὲ λαβόντα σπένδειν.»

22 (p. 46, 8) — XI 53 p. 477 A: Μαρσύας δὲ κύπελλον καὶ τὸ ξύλινον ποτήριον.

23 (p. 46, 8) — XI 57 p. 479 C: πᾶν δὲ τὸ κοῖλον κοτύλην . . ἐκάλουν οἱ παλαιοί . . . . κοτύλη δὲ καλεῖται καὶ ἡ τοῦ ἰσχίου κοιλότης . . . . . Μαρσύας δέ φησι τὸ ἐν τῶι ἰσχίωι ὀστοῦν καλεῖσθαι ἄλεισον καὶ κύλικα.

24 (p. 44, 4) HESYCH. s. σκότιος· νόθος, ὁ λάθρα γεννηθεὶς τῶν γονέων τῆς κόρης. τοὺς γὰρ μὴ ἐκ φανερᾶς, λαθραίας δὲ μίξεως γεγονότας σκοτίους ἐκάλουν· ἔνιοι παρθενίους· ἄλλοι κοριναίους, καθάπερ Μαρσύας ἐν τῆι ᾱ (?).

25 (p. 44, 4) — s. ⟨ὑ⟩ετής· ὁ αὐτοετής. Μαρσύας.

---

## 137. KLEITARCHOS (VON ALEXANDREIA).

T

1 SUID. s. Κλείταρχος * * *

2 PLIN. NH X 136: *Dinon* (III) *Clitarchi celebrati auctoris pater.*

---

9 Κλέαρχον Y Κλεάνδρον καὶ Κάσανδρον N (varianten des gleichen namens?) δὲ N δὲ καὶ Y 9—10 Θρασυδαῖον Y δικαίαρχον N 13 'non Marsyam sacerdotem fuisse sed eum qui regi obviam isset coni. Wilamowitz' Kaibel; glosse zu τινα v. 15? 14 βασιλεύς sc. τῶν Μακεδόνων ὑπαντᾶν Kaibel συναντᾶν A 20 καλεῖσθαι ⟨κοτύλην. Ἑρμῶναξ δὲ συνώνυμα ἀναγράφει κοτύλην καὶ⟩ ἄλεισον Kaibel 24 παρθενίους Musurus παρθένους Hes 25 ἐν τῆι ᾱ. σκοτοδινιᾶι· Schow ἐν τῆ ἰάς. κοτοδινιᾶ Hes ἐν τῆι ᾱα C Mueller 26 ⟨ὑ⟩ετής Musurus

3 DIOG. LAERT. II 113: *περὶ τούτου* (sc. *Στίλπωνος*) *φησὶ Φίλιππος ὁ Μεγαρικὸς κατὰ λέξιν οὕτω· 'παρὰ μὲν γὰρ Θεοφράστου Μητρόδωρον τὸν θεωρητικὸν καὶ Τιμαγόραν τὸν Γελῶον ἀπέσπασε, παρ' Ἀριστοτέλους δὲ τοῦ Κυρηναικοῦ Κλείταρχον καὶ Σιμίαν . . . . .'*

4 PLIN. NH III 57: *Theophrastus, qui primus . . . . nam Theopompus, ante quem nemo . . . ., Clitarchus* (F 31) *ab eo proximus . . . . .*

5 DIOD. II 7, 3: *ὡς φησι Κτησίας . . . ὡς δὲ Κλείταρχος* (F 10) *καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων τινὲς . . . . .*

6 QUINTILIAN. Inst. X 1, 74: *Clitarchi probatur ingenium, fides infamatur. longo post intervallo temporis natus Timagenes* (88 T 6) . . . .

7 CIC. Brut. 42: *quoniam quidem concessum est rhetoribus mentiri in historiis, ut aliquid dicere possint argutius . . . . sic Clitarchus* (F 34), *sic Stratocles . . . . .*

8 CURT. IX 5, 21: (F 24) *tanta componentium vetusta rerum monimenta vel securitas vel, par huic vitium, credulitas fuit.*

9 ANON. *Π. ὕψ.* 3, 2: *καί τινα τῶν Καλλισθένους* (124 T 32) *ὄντα οὐχ ὑψηλὰ ἀλλὰ μετέωρα* (sc. *γελᾶται*), *καὶ ἔτι μᾶλλον τὰ Κλειτάρχου· φλοιώδης γὰρ ἀνὴρ καὶ φυσῶν κατὰ τὸν Σοφοκλέα 'μικροῖς μὲν αὐλίσκοισι, φορβειᾶς δ' ἄτερ'. τά γε μὴν Ἀμφικράτους τοιαῦτα καὶ Ἡγησίου* (142 T 8) *καὶ Μάτριδος* (39 T 2)· *πολλαχοῦ γὰρ ἐνθουσιᾶν ἑαυτοῖς δοκοῦντες οὐ βακχεύουσιν, ἀλλὰ παίζουσιν.*

10 DEMETR. De eloc. 304: *τῇι δὲ ὀνομασίαι πολλάκις χαρίεντα πράγματα ὄντα ἀτερπέστερα φαίνεται, καθάπερ ὁ Κλείταρχος περὶ τῆς τενθρηδόνος λέγων* (F 14) . . . . . *ὥσπερ περὶ βοὸς ἀγρίου ἢ τοῦ Ἐρυμανθίου κάπρου λέγων ἀλλ' οὐχὶ περὶ μελίσσης τινός, ὥστε καὶ ἄχαριν τὸν λόγον ἅμα καὶ ψυχρὸν γενέσθαι.* TZETZ. Chil. VII 49; XI 832; Epp. XIII; SCHOL. CRAM. An Ox III 361, 3.

11 PHILODEM. Rhet. IV 1 col. VII f. p. 151 Sudh: *ἔπειτ' εἰ μὲν θέμα· νῦν δ' ὑπάρχοντος, ἄθλιον τὸ παριέντας αὐτὸν ἐπ' ἐκεῖνον καταντᾶν. καὶ δὴ γὰρ οὔτε παρὰ πᾶσιν ἰσχύει τὸ θεματικὸν οὔτε παρὰ τοῖς αὐτοῖς ταὐτὸν οὔτ' ἐπὶ τινῶν λόγων, ἀλλ' ο[ἱ μὲν τὴν Ἰ]σοκράτους, ο[ἱ δὲ τὴν Θ]ουκυδίδ[ου λέξιν ζηλ]ο[ῦσ[ιν], ἣν ο. .ητ . . . * *] || τερον, ὅτι τοῦ Κλειταρχείου. πρὸς τίνας οὖν ἀνθρώπους ἁρμοσώμεθα . . . . . .*

12 — — IV 1 col. XXI p. 180 Sudh: *καὶ [π]ολλ[οὶ περιθέμενο]μ [τὴ]ν παιδείαν καὶ τὰς [πάσα]ς ἐπιστήμας οὐ μόνον τὰ προει-*

23 *τῇι δὲ ὀνομασίαι* Victorius *ἡ δὲ ὀνομασία* Dem *ἐκά]τερον* Sudh *ψυχρό]τερον* Roberts 34 *οἱ ῥήτορες?* Sudh

*ρημένα περι[έυ]τησαν ἀλλὰ καὶ πολὺ [ἔγ]γειον τῶν ῥητορικῶ[ν σο]φιστῶν ἐν ταῖς μεταφοραῖς ἀνεστράφησαν, εἰ μή τις ἄρα τῶν ἁπάντων ὡς Ἀλκιδάμας, Ἡγησίας* (142), *Κλεί[τ]αρ[χο]ς Ἀλεξανδρεύς, Δη[μήτριος* * *

13 CIC. De legg. I 7: *Sisenna . . . . omnes adhuc nostros scriptores . . . facile superavit. is tamen neque orator in numero vestro unquam est habitus et in historia puerile quiddam consectatur, ut unum Clitarchum neque praeterea quemquam de Graecis legisse videatur, eum tamen velle dumtaxat imitari; quem si adsequi posset, aliquantum ab optumo tamen abesset.*

14 a) PLIN. N H I 6 *continentur situus, gentes . . . . .* (Pontos, Nordasien, Ostasien u. s. f.) *. . . ex . . . Baetone* (§ 61; 69), *Timosthene* (15; 163; 183; 198), *Patrocle* (58), *Demodamante* (49), *Clitarcho* (36; 198 = F 12; 29), *Eratosthene* (3; 36; ö.), *Alexandro Magno* (40; 51). b) — I 7 *continentur gentium mirabiles figurae . . . . ex auctoribus . . . Onesicrito* (§ 28), *Clitarcho* (29; 30 = F 23; 27), *Duride* (30) . . . . . c) — I 12. 13 *continentur arborum naturae . . . ex auctoribus . . . Callisthene, Isigono, Clitarcho, Anaximene, Duride, Nearcho . . . . .*

## F

## *ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΝ ΙΣΤΟΡΙΑΙ.*

### *Ā*

(F 7?).

1 (Script. Al. M. p. 76, 1 a) ATHEN. IV 30 p. 148 D—F: *εἰς* a. 335 *ταῦτα ἔστιν ἀποβλέποντας τὰ ὑπὲρ ἡμᾶς ἀγαπᾶν τὴν Ἑλληνικὴν πενίαν, λαμβάνοντας πρὸ ὀφθαλμῶν καὶ τὰ παρὰ Θηβαίοις δεῖπνα, περὶ ὧν Κλείταρχος ἐν τῇι πρώτηι τῶν Περὶ Ἀλέξανδρον Ἱστοριῶν διηγούμενος καὶ ὅτι ὁ πᾶς αὐτῶν πλοῦτος ηὑρέθη μετὰ τὴν ὑπ' Ἀλεξάνδρου τῆς πόλεως κατασκαφὴν ἐν ταλάντοις τετρακοσίοις τεσσαράκοντά φησιν. ⟨ὁ δὲ * * φησιν⟩ ὅτι [τε] μικρόψυχοι ἦσαν καὶ τὰ περὶ τὴν τροφὴν λίχνοι, παρασκευάζοντες ἐν τοῖς δείπνοις θῆρια καὶ ἐψητοὺς καὶ ἀφύας καὶ ἐγκρασιχόλους καὶ ἀλλᾶντας καὶ σχελίδας καὶ ἔτνος· οἷσι Μαρδόνιον εἰστίασε μετὰ τῶν ἄλλων πεντήκοντα Περσῶν Ἀτταγῖνος ὁ Φρύνωνος, ὃν φησιν Ἡρόδοτος ἐν τῇι ἑνάτηι* (16) *μεγάλως [πλούτωι] παρεσκευάσθαι. ἡγοῦμαι ⟨δ'⟩ ὅτι οὐκ ἂν περιεγένοντο οὐδ' ἂν ἐδέησε τοῖς Ἕλλησι περὶ Πλαταιὰς παρ⟨ατ⟩άττεσθαι ἀπολωλόσιν ἤδη ὑπὸ τῶν τοιούτων τροφῶν.*

---

1 *ἔγγειον* Buecheler 24—25 *ἀποβλέποντας — λαμβάνοντας* C —*τα* —*τα* A 29 ⟨ὁ δὲ * * *φησιν*⟩ Jac [τε] o. *μικρόψυχοί τε* Jac 30 *ἐγκρασιχόλους* C —*λόχους* A 33 Ἀτταγῖνος Herod *αὐταμνος* A 33 [πλούτωι] Meineke *παρασκευάσασθαι?* Kaibel (*παρασκευασάμενος μεγάλως* Herod) ⟨δ'⟩ Musurus 34 *παρ⟨ατ⟩άττεσθαι* ς

(F 8). *Δ*

**2** (2) ATHEN. XII 39 p. 530 A: *Κλείταρχος δ' ἐν τῇι τετάρτηι* a. 333
*τῶν Περὶ Ἀλέξανδρον γήραι τελευτῆσαί φησιν Σαρδανάπαλλον μετὰ τὴν ἀπόπτωσιν τῆς Σύρων ἀρχῆς.*

(F 9). *Ε*

**3** (3 a) STOB. Flor. IV 20, 73: *Κλειτάρχου ἐν ε̄ Περὶ Ἀλεξάνδρου·* a. 333/2
*«Θείας Βύβλιος, οὗπερ κάλλει τὴν ἀνθρωπίνην διενεγκόντος φύσιν τὴν ἰδίαν ἐρασθῆναι θυγατέρα Μύρραν ὀνόματι * *».*

**4** (—) HARPOKR. s. ὁμηρεύοντας· *Αἰσχίνης ἐν τῶι κατὰ Κτησιφῶντος* (133) *ἐπὶ τῶν ἀναπεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρωι. Κλείταρχος δέ φησιν ἐν τῇι ε̄ (?) τ̄ εἶναι τοὺς δοθέντας παρὰ τῶν Λακεδαιμονίων ὁμήρους. ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν· Ὅμηρος* (Od. π 468) *Ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών'. Θεόπομπος* (115 F 300) *δὲ ὁμηρεῖν φησι παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν.* a. 331/0

(F 33—34?). *Ι*

**5** (9 a) SCHOL. ARISTOPH. Av. 487: *πᾶσι γὰρ Πέρσαις ἐξῆν τὴν τιάραν φορεῖν, ἀλλ' οὐκ ὀρθήν, ὡς Κλείταρχος ἐν τῇι δεκάτηι· μόνοι δὲ οἱ τῶν Περσῶν βασιλεῖς ὀρθαῖς ἐχρῶντο.*

(F 18—29?). *ΙΑ*

*ΙΒ*

**6** (22 a) DIOG. LAERT. I 6: *τοὺς γοῦν Γυμνοσοφιστὰς καὶ θανάτου* a. 325?
*καταιρρονεῖν φησι Κλείταρχος ἐν τῇι δωδεκάτηι.*

## Fragmente ohne Buchtitel oder Buchzahl.

**7** (1) CLEM. ALEX. Strom. I 139, 4 p. 86, 16 Stäh: *ἀπὸ τούτου* a. 334
(sc. *τῆς Ἡρακλειδῶν καθόδου*) *ἐπὶ Εὐαίνετον ἄρχοντα* (335/4), *ἐφ' οὗ* *Ā—B*

---

9 Θειάς· ὁ βύλλιος οὐ ἠράσθη ἡ θυγάτηρ Μύρρα Cyrill. Cramer AP IV 183, 15 Θεας· βύβλιος Stob Θείας . . . Βύβλου Gaisford Θειαντος Βυβλίου C Mueller 13 ἀναπεμφθέντων Harp (ὡς Ἀλ. ἀναπέμπεσθαι Aischin.) ἄνω πεμφθέντων Suid ὁμήρους (om Epit Suid) Ἀλεξάνδρωι Harp 14 ε̄: η̄ o. ϑ̄? τ̄ Epit Suid A η̄ Suid rell om Harp 15 ὁμηρῆσαι Blanchard —ῶσαι Harp Suid 18 ἀρχαίοις Suid ἀχαιοῖς Harp 21—22 τῶ (l. τὸ) τιαροφορεῖν V 22 Κλείταρχος: φίλαρχος (81 F 22) Phot Suid s. τιάρα

*φασιν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι, ὡς μὲν Φανίας* (III) *ἔτη ἑπτακόσια δεκαπέντε, ὡς δὲ Ἔφορος* (70 F 223) *ἑπτακόσια τριάκοντα πέντε, ὡς δὲ Τίμαιος* (III) *καὶ Κλειτάρχος ὀκτακόσια εἴκοσι, ὡς δὲ Ἐρατοσθένης* (241 F 1) *ἑπτακόσια ἑβδομήκοντα [τέσσαρα]· ὡς δὲ Δοῦρις* (76 F 41), *ἀπὸ Τροίας ἁλώσεως ἐπὶ τὴν Ἀλεξάνδρου εἰς Ἀσίαν διάβασιν ἔτη χίλια.*

**8** (3) CIC. ad f. II 10, 3: *ita victoria iusta imperator appellatus* a. 333 *apud Issum, quo in loco, saepe ut ex te audivi, Clitarchus tibi narravit Dareum ab Alexandro esse superatum.*

**9** (—) SCHOL. PLAT. Resp. 337 A (PHOT. s. *Σαρδόνιος γέλως*): *Κλειτάρχος δέ φησι τοὺς Φοίνικας, καὶ μάλιστα Καρχηδονίους, τὸν Κρόνον τιμῶντας, ἐπάν τινος μεγάλου κατατυχεῖν σπεύδωσιν, εὔχεσθαι καθ' ἑνὸς τῶν παίδων, εἰ περιγένοιντο τῶν ἐπιθυμηθέντων, καθαγιεῖν αὐτὸν τῶι θεῶι. τοῦ δὲ Κρόνου χαλκοῦ παρ' αὐτοῖς ἑστῶτος τὰς χεῖρας ὑπτίας ἐκτετακότος ὑπὲρ κριβάνου χαλκοῦ, τοῦτον ἐκκαίειν τὸ παιδίον. τῆς δὲ φλογὸς τοῦ ἐκκαιομένου πρὸς τὸ σῶμα ἐμπιπτούσης, συνέλκεσθαί τε τὰ μέλη καὶ τὸ στόμα σεσηρὸς φαίνεσθαι τοῖς γελῶσι παραπλησίως, ἕως ἂν συσπασθὲν εἰς τὸν κρίβανον παρολίσθηι. τὸν οὖν σεσηρότα γέλωτα σαρδάνιον ἐντεῦθεν λέγεσθαι, ἐπεὶ γελῶντες ἀποθνήσκουσι. σαίρειν δέ ἐστι τὸ διέλκειν τὸ στόμα καὶ χαίνειν.* a. 332 E

**10** (4) DIOD. II 7, 3—4 (TZETZ. Chil. IX 569): *ἀπολαβοῦσα δὲ τὸν Εὐφράτην ποταμὸν* (sc. *ἡ Σεμίραμις*) *εἰς μέσον περιεβάλετο τεῖχος τῆι πόλει σταδίων ἑξήκοντα καὶ τριακοσίων, διειλημμένον πύργοις πυκνοῖς καὶ μεγάλοις, ὥς φησι Κτησίας ὁ Κνίδιος* (III), *ὡς δὲ Κλείταρχος καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων εἰς τὴν Ἀσίαν τινὲς ἀνέγραψαν, τριακοσίων ἑξήκοντα πέντε σταδίων. καὶ προστιθέασιν ὅτι τῶν ἴσων ἡμερῶν εἰς τὸν ἐνιαυτὸν οὐσῶν ἐφιλοτιμήθη τὸν ἴσον ἀριθμὸν τῶν σταδίων ὑποστήσασθαι. ὀπτὰς δὲ πλίνθους εἰς ἄσφαλτον ἐνδησαμένη τεῖχος κατεσκεύασε τὸ μὲν ὕψος, ὡς μὲν Κτησίας φησί, πεντήκοντα ὀργυιῶν, ὡς δ' ἔνιοι τῶν νεωτέρων ἔγραψαν, πηχῶν πεντήκοντα, τὸ δὲ πλάτος πλέον ἢ δυσὶν ἅρμασιν ἱππάσιμον. πύργους δὲ τὸν μὲν ἀριθμὸν διακοσίους καὶ πεντήκοντα, τὸ δ' ὕψος ⟨ὀργυιῶν⟩ ἑξήκοντα, ὡς δ' ἔνιοι τῶν νεωτέρων φασί, πηχῶν ἑξήκοντα.* a. 331

**11** (5) ATHEN. XIII 37 p. 576 DE: *ὁ δὲ μέγας Ἀλέξανδρος οὐ θαίδα εἶχε μεθ' ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν; περὶ ἧς φησι Κλείταρχος ὡς αἰτίας γενομένης τοῦ ἐμπρησθῆναι τὰ ἐν Περσεπόλει βασίλεια.* c. 331/0

---

4 [τέσσαρα] C Mueller 32—38 ⟨ὀργυιῶν⟩ Jac τὸ δ' ὕψος — ἑξήκοντα DAB Tzetz τὸ δ' ὕψος καὶ πλάτος ἐξ ἀναλόγου τῶι βάρει τῶν κατὰ τὸ τεῖχος ἔργων cett τὸ δὲ ὕψος ὡς ἐνῆν Gemistus

12 (6) PLIN. NH VI 36: *nam et inrumpit e Scythico oceano in aversa Asiae pluribus nominibus accolarum appellatum, celeberrimis duobus Caspium et Hyrcanium. non minus hoc esse quam Pontum Euxinum Clitarchus putat, Eratosthenes* (V) *ponit et mensuram* ..... (38) *inrumpit autem artis faucibus et in longitudinem spatiosis, atque ubi coepit in latitudinem pandi lunatis obliquatur cornibus, velut ad Maeotium lacum ab ore descendens, sicilis, ut auctor est M. Varro, similitudine.* s. 220

13 (7) STRABON XI 1, 5: τοῖς δὲ μεταβαίνουσιν ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν ἐν τῇι γεωγραφίαι τὰ πρὸς βορρᾶν ἐστι πρῶτα τῆς εἰς δύο διαιρέσεως, ὥστε ἀπὸ τούτων ἀρκτέον. αὐτῶν δὲ τούτων πρῶτά ἐστι τὰ περὶ τὸν Τάναιν, ὅνπερ τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ὅριον ὑπεθέμεθα. ἔστι δὲ ταῦτα τρόπον τινὰ χερρονησίζοντα· περιέχεται γὰρ ἐκ μὲν τῆς ἑσπέρας τῶι ... Τανάιδι καὶ τῆι Μαιώτιδι μέχρι τοῦ Βοσπόρου καὶ τῆς τοῦ Εὐξείνου παραλίας τῆς τελειτώσης εἰς τὴν Κολχίδα· ἐκ δὲ τῶν ἄρκτων τῶι ὠκεανῶι μέχρι τοῦ στόματος τῆς Κασπίας θαλάττης· ἔωθεν δὲ αὐτῆι ταύτηι τῆι θαλάττηι μέχρι τῶν μεθορίων τῆς τε Ἀλβανίας καὶ τῆς Ἀρμενίας, καθ' ἃ ὁ Κῦρος καὶ ὁ Ἀράξης ἐκδιδοῦσι ποταμοί, ῥέοντες ὁ μὲν διὰ τῆς Ἀρμενίας, Κῦρος δὲ διὰ τῆς Ἰβηρίας καὶ τῆς Ἀλβανίας· ἐκ νότου δὲ τῆι ἀπὸ τῆς ἐκβολῆς τοῦ Κύρου μέχρι τῆς Κολχίδος ὅσον τρισχιλίων οὔσηι σταδίων ἀπὸ θαλάττης ἐπὶ θάλατταν, δι' Ἀλβανῶν καὶ Ἰβήρων, ὥστε ἰσθμοῦ λόγον ἔχειν. οἱ δ' ἐπὶ τοσοῦτον συναγαγόντες τὸν ἰσθμόν, ἐφ' ὅσον Κλείταρχος, «ἐπίκλυστον» φήσας «ἐξ ἑκατέρου τοῦ πελάγους», οὐδ' ἂν λόγου ἀξιοῖντο. Ποσειδώνιος (87 F 101) δὲ χιλίων καὶ πεντακοσίων εἴρηκε τὸν ἰσθμόν .... «ὀκτὼ δέ», φησί, «μὴ πολὺ διαφέρειν μηδὲ τὸν ἀπὸ τῆς Μαιώτιδος εἰς τὸν Ὠκεανόν».

14 (8) DEMETR. De eloc. 304 (TZETZ. Chil. VII 49; XI 832): ὁ Κλειταρχος περὶ τῆς τενθρηδόνος λέγων, ζώου μελίσσηι ἐοικότος «καταπέμεται μέν» φησι «τὴν ὀρεινήν, εἰσίπταται δὲ εἰς τὰς κοίλας ὀρῦς.» s. T 10.

15 (9) PLUT. Alex. 46: ἐνταῦθα (jenseits des Orexartes, ὃν αὐτὸς ᾤετο Τάναιν εἶναι) δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλειταρχός ἐστι. s. Onesikritos 134 F 1.

16 (9) STRABON XI 5, 4: τὴν δὲ Θεμίσκυραν καὶ τὰ περὶ τὸν Θερμώδοντα πεδία καὶ τὰ ὑπερκείμενα ὄρη ἅπαντες Ἀμαζόνων καλοῦσι καί φασιν ἐξελαθῆναι αὐτὰς ἐνθένδε. ὅπου δὲ νῦν εἰσιν, ὀλίγοι τε καὶ ἀναποδείκτως καὶ ἀπίστως ἀποφαίνονται, καθάπερ καὶ περὶ Θαληστρίας,

2 *celeberrimis: celliberium et* EDR 17—18 ἐκδιδοῦσι ποταμοί, ῥέοντες Kramer ἐκδίδωσι ποταμὸς ῥέων Str ἐκβάλλουσι —οἱ —οντες xy 19—20 τῆι — οὔσηι Corais ἡ — οὖσα Str

ἣν Ἀλεξάνδρωι συμμῖξαί φασιν ἐν τῆι Ὑρκανίαι καὶ συγγενέσθαι τεκνοποιίας χάριν, δυναστεύουσαν τῶν Ἀμαζόνων· οὐ γὰρ ὁμολογεῖται τοῦτο, ἀλλὰ τῶν συγγραφέων τοσούτων ὄντων οἱ μάλιστα τῆς ἀληθείας φροντίσαντες οὐκ εἰρήκασιν οὐδ' οἱ πιστευόμενοι μάλιστα οὐδενὸς μέμνηνται τοιούτου οὐδ' οἱ εἰπόντες τὰ αὐτὰ εἰρήκασι. Κλείταρχος δέ φησι τὴν Θαληστρίαν ἀπὸ Κασπίων πυλῶν καὶ Θερμώδοντος ὁρμηθεῖσαν ἐλθεῖν πρὸς Ἀλέξανδρον· εἰσὶ δ' ἀπὸ Κασπίας εἰς Θερμώδοντα στάδιοι πλείους ἑξακισχιλίων (es folgt 153 T 4).

17 (10) SCHOL. APOLL. RHOD. II 904: *ὅτι δὲ κατεπολέμησεν* a. 327
Ἰνδοὺς ὁ Διόνυσος Διονύσιός φησι (32 F 13) καὶ Ἀριστόδημος ἐν πρώτωι Θηβαικῶν ἐπιγραμμάτων (III) καὶ Κλείταρχος ἐν ταῖς Περὶ Ἀλέξανδρον ἱστορίαις, προσιστορῶν ὅτι καὶ Νύσα ὄρος ἐστὶν ἐν Ἰνδικῆι καὶ κισσῶι προσόμοιον φυτὸν φυτεύεται ἐκεῖ, ὃ προσαγορεύεται σκινδαψός. ὡσαύτως δὲ καὶ Χαμαιλέων ἱστόρησεν ἐν πέμπτωι Περὶ Ἰλιάδος.

18 (15) AELIAN. NA XVII 2: *Κλείταρχος ἐν τῆι * περὶ τὴν* a. 326
Ἰνδικὴν φησι γίνεσθαι ὄφεις πτηνῶν ἑκκαίδεκα. γίνεσθαι δὲ καὶ ἄλλο τι γένος ὄφεων ὑμνεῖ, οὐ κατὰ τοὺς ἑτέρους τὸ εἶδος· βραχυτέρους μὲν γὰρ εἶναι τῶι μεγέθει πολλῶι, ποικίλους γε μὴν τὴν χρόαν ὁρᾶσθαι, ὥσπερ οὖν φαρμάκοις καταγραφέντας· τοὺς μὲν γὰρ χαλκοειδεῖς ταινίας ἔχειν ἀπὸ κεφαλῆς ἐς τὴν οὐρὰν καθερπούσας, τοὺς δὲ ἀργυρίοις προσεικασμένας, πεφοινιγμένας ἄλλους, καὶ μέντοι καὶ χρυσοφαεῖς τινας. δακεῖν δὲ ἄρα καὶ ἀποκτεῖναι ὤκιστα δεινοὺς αὐτοὺς λέγει οὗτος.

19 (16) — NA XVII 25: *λέγει δὲ Κλείταρχος πιθήκων ἐν Ἰνδοῖς εἶναι γένη ποικίλα τὴν χρόαν, μεγέθει δὲ μέγιστα. ἐν δὲ τοῖς χωρίοις τοῖς ὀρείοις τοσοῦτον αὐτῶν τὸ πλῆθος εἶναι, ὡς Ἀλέξανδρόν φησι τὸν Φιλίππου καὶ πάνυ καταπλαγῆναι σὺν καὶ τῆι οἰκείαι δυνάμει, οἰόμενον ἀθρόους ἰδόντα στρατιὰν ὁρᾶν συνειλεγμένην καὶ ἐλλοχῶσαν αὐτόν· ὀρθοὶ δὲ ἄρα ἦσαν οἱ πίθηκοι κατὰ τύχην ἡνίκα ἐφάνησαν. θηρῶνται δὲ οὗτοι οὔτε δικτύοις οὔτε κυνῶν ῥινηλατούντων σοφίαι καὶ μάλα ἀγρευτικῆι. ἔστι δὲ τὸ ζῶιον ὀρχηστικόν, εἰ θεῶιτο ὀρχούμενον· καὶ θέλει γε αὐλεῖν, εἰ καταπνεῖν μάθοι † εἰδέναι. πρὸς τούτοις εἰ θεάσαιτό τινα ὑποδήματα τοῖς ποσὶ περιτιθέντα, μιμεῖται τὴν ὑπόδεσιν· καὶ ὑπογράφοντα τῶι ὀφθαλμῶι μέλιτι, καὶ τοῦτο ὁρᾶσαι θέλει. οὐκοῦν ὑπὲρ τῶν εἰρημένων μολίβου πεποιημένα κοῖλα καὶ βαρέα ὑποδήματα προτιθέασι, καὶ βρόχους αὐτοῖς ὑποβαλόντες, ὡς ἐσβαλεῖν μὲν τὼ πόδε,

2 *δυναστεύουσαν* Casaubonus —*ευσάντων* Str —*εῦσαι* dett 5 *δέ* add E 7 *κασπίαν* C *κασπίων* dett 15 *ἐν τῆι* ⟨*ῑ*⟩ C Mueller ⟨*ῑᾱ*⟩ o. name der gegend? 25 *πλῆθος* (o. *πλῆθος καὶ τὸ μέγεθος* vgl. Strab. XV 1, 29) Jacobs *μέγεθος* Ael 31 *μαθόντα εἰδεν* o. *μάθοι εἰδότα* Jacobs [*εἰδέναι*] Hercher 33 *μέλιτι* Diod. XVII 90 *μέλος τι* Ael *μίλτωι* C Mueller *μέλανι* Hercher

ἔχεσθαι δὲ τῇι πάγηι καὶ μάλα ἀφύκτωι· δέλεαρ δὲ αὐτοῖς ὀφθαλμῶν a. 326
πρόκειται ὑπὲρ τοῦ μέλιτος ἰξός. κατόπτρωι δὲ χρησάμενος ὁ Ἰνδὸς
ὀρώντων ἐκείνων, †οὐκ εἰσὶ δ' ἔτι τὰ κάτοπτρα ἀλλὰ ἕτερα προστιθέντες,
εἶτα καὶ τούτοις ἕρματα ἰσχυρὰ ὑποπλέκουσι· καὶ μέντοι καὶ †τοιαῦτά
ἐστιν. οἱ μὲν ⟨οὖν⟩ ἔρχονται, καὶ †ἀγεννῶς ὁρῶσιν κατὰ τὴν μίμησιν
ὧν εἶδον· ἐκπηδᾶι δὲ ἰσχύς τις κολλητικὴ βλεφάρων ἐκ τῆς πρὸς τὴν
αὐγὴν ἀντιτυπίας, ὅταν ἴδωσιν ἀτενές· εἶτα οὐχ ὁρῶντες αἱροῦνται ῥᾶιστα·
φυγεῖν γὰρ ἔτι εἰσὶν ἥκιστοι.

20 (17) STRABON XV 1, 69: ὁ δὲ Κλείταρχός φησιν ἁμάξας
τετρακύκλους (sc. ἐν ταῖς κατὰ τὰς ἑορτὰς πομπαῖς), δένδρα κομιζούσας
τῶν μεγαλοφύλλων, ἐξ ὧν ἀπίρτηται γένη τετιθασσευμένων ὀρνέων, ὧν
εὐφωνότατον μὲν εἴρηκε τὸν ὠρίωνα, λαμπρότατον δὲ κατὰ τὴν ὄψιν καὶ
πλείστην ἔχοντα ποικιλίαν τὸν καλούμενον κατρέα· τὴν γὰρ ἰδέαν ταῶι
μάλιστα ἐγγίζειν, τὴν δὲ λοιπὴν εἰκονογραφίαν παρ' ἐκείνου ληπτέον.

21 (18 a) AELIAN. NA XVII 23: κατρέα ὄνομα, Ἰνδὸν γένος, τῇι
φύσει ὄρνιν λέγει Κλείταρχος εἶναι τὸ κάλλος ὑπερήφανον· τὸ μέγεθος γὰρ
εἴη ἂν πρὸς τὸν ταών, τὰ δὲ ἄκρα τῶν πτερῶν ἔοικε σμαράγδωι. καὶ
ὁρῶν μὲν † ἄλλους οὐκ οἶδας οἵους ὀφθαλμοὺς ἔχει· εἰ δὲ ἐς σὲ ἀπίδοι,
ἐρεῖς κινναβάριν⟨ον⟩ εἶναι τὸ ὄμμα πλὴν τῆς κόρης· ἐκείνη δὲ μήλωι τὴν
χρόαν παρείκασται, καὶ βλέπει ὀξύ. τό γε μὴν τοῖς ἁπάντων ὀφθαλμοῖς
λευκόν, ἀλλὰ τοῖς τοῦ κατρέως τοῦδε ὠχρόν ἐστι. τὰ τῆς κεφαλῆς πτίλα
γλαυκωπά, καὶ ἔχει ῥανίδας οἱονεὶ κρόκωι παρεικασμένας, εἶτα ἄλλην
ἄλλῃι διεσπαρμένας. πόδες δὲ αὐτῶι σανδαράκινοι. ἔχει δὲ καὶ φώνημα
εὔμουσον καὶ κατὰ τὴν ἀηδόνα τορόν. Ἰνδοὶ δὲ ἄρα καὶ τὴν ἐξ ὀρνίθων
τροφὴν * * εἶχον, ἵνα καὶ οἱ ὁρῶντες ἑστιᾶν τὴν ὄψιν δύνωνται. ἰδεῖν
γοῦν αὐτοῖς πάρεστι καὶ ὅλους πορφυροῦς καὶ τῇι καθαρωτάτηι φλογὶ
προσεοικότας· καὶ τούτων αἱ πτήσεις κατὰ πλῆθός εἰσιν, ὡς νομίζειν
νέφη. καὶ ἄλλα μὲν ποικίλα καὶ οὐ πάντη τὸ εἶδος εὕρητα, μελωιδίαν
δὲ καὶ εὐστομίαν καὶ εὐγλωττίαν ἄμαχα, ὡς εἶναι, ⟨εἰ⟩ μή πη καὶ παχύ-
τερόν ἐστιν εἰπεῖν, Σειρῆνάς τινας, ἢ καὶ τοῦτό γε ἐγγύθεν. κατάπτεροι
γὰρ ὡς ἦσαν καὶ τοῦ μύθου κόραι καὶ τοὺς πόδας ὄρνιθες ἐδόκουν, ποι-
ηταί τε ἄιδουσιν καὶ ζωγράφοι δεικνύουσιν.

2 μέλιτος Diod μέλλοντος Ael μίλτου Jacobs μέλανος Hercher 3 (οὐκ εἰσὶ δ' ἔτυμα κάτοπτρα, ἀλλ' ἕτερα προτιθέντες) Jacobs 4 καὶ μὴν τὰ σκεύη Jacobs γενναίως Hercher κατὰ [τὴν] Hercher 6 ὧν Schneider ἣν Ael 11 ὠρίωνα DF 12 ὁρίωνα Str 16 τὸ κάλλος Gessner τι κάλλος Ael 18 ὁρῶντος μὲν ἄλλοσε οὐκ οἴσθαι Hercher 19 κινναβάριον Hercher μηλιάδι Hercher 21 τὰ ⟨δὲ⟩ Hercher 25 * * Jacobs 28 [καί] ἄλλοι ⟨γε⟩ μὴν ποικίλοι καὶ οὐ πάνυ τι τὸ εἶδος εὕρητοι Hercher 29 ⟨εἰ⟩ Schneider 31 αἱ τοῦ μύθου Hercher

22 (18) AELIAN. NA XVII 22: *λέγει δὲ Κλείταρχος ἐν Ἰνδοῖς* a. 326 *γίνεσθαι ὄρνιν καὶ εἶναι σφόδρα ἐρωτικόν, καὶ τὸ ὄνομα αὐτοῦ λέγει ὠρίωνα εἶναι. φέρε δὲ καὶ γράψωμεν αὐτὸν τῶι λόγωι, ὡς ἐκεῖνος διδάσκει. τοῖς μὲν καλουμένοις ἐρωδίοις ὅμοιος τὸ μέγεθος ὅδε ⟨ὁ⟩ ὠρίων ἐστίν· ἐστὶ δὲ καὶ τὰ σκέλη ὡς ἐκεῖνοι φοινιξ· ὀφθαλμοὺς δὲ κυανοῦς ἔχει — τοῦτο μὲν οὐχ ὡς ἐκεῖνοι. μέλος δὲ μουσουργεῖν ὑπὸ τῆς φύσεως πεπαίδευται, οἷα δήπου μέλη ὑμνεῖται [ταῦτα] γλυκέα καὶ [πρὸς τὸν ἀιδόμενον ὑμέναιον βλέπει] θέλγοντα γονὴν ὕμνωι τινὶ γαμικῶι † προσείοντα Σειρῆνας.*

23 (14) PLIN. NH VII 28—29: *Crates Pergamenus Indos qui centenos annos excedant Gymnetas appellat, non pauci Macrobios. Ctesias* (III) *gentem ex his quae appelletur Pandarae in convallibus sitam annos ducenos vivere .... contra alios quadragenos non excedere annos, iunctos Macrobiis .... idque et Agatharchides* (86 F 22) *tradit, praeterea locustis eos ali et esse pernices. Mandorum nomen his dedit Clitarchus; et Megasthenes* (III) *trecentos ⟨sexaginta quin⟩que eorum vicos adnumerat, feminas septimo aetatis anno parere, senectam quadragesimo accidere.*

24 (11) CURTIUS IX 5, 21: *Ptolomaeum, qui postea regnavit, huic pugnae* (sc. *ad oppidum Sudracarum*) *adfuisse auctor est Clitarchus et Timagenes* (88 F 3). *sed ipse* (138 F 26) *scilicet gloriae suae non refragatus afuisse se missum in expeditionem memoriae tradidit* (folgt T 8).

25 (12) — IX 8, 15: *LXXX milia Indorum in ea regione* (sc. in Sambi regis finibus) *caesa Clitarchus est auctor multosque captivos sub corona venisse.*

26 (20) STRABON VII 2, 1: (die vertreibung der Kimbern durch a. 326/5 eine große flut ist ebenso unglaublich wie Ephoros' behauptung — 70 F 132 — daß den Kelten mehr schaden durch die flut, als durch den krieg erwächst). *δὶς γὰρ ἑκάστης ἡμέρας τούτου συμβαίνοντος τὸ μηδ' ἅπαξ αἰσθάνεσθαι φυσικὴν οὖσαν τὴν παλίρροιαν καὶ ἀβλαβῆ καὶ οὐ μόνοις τούτοις συμβαίνουσαν, ἀλλὰ τοῖς παρωκεανίταις πᾶσι, πῶς*

---

4 *καλουμένοις ἐρωδίοις* Gessner *καλοῦσιν ἐρωιδιόν* Ael *τοῖς μεγάλοις τῶν ἐρωδιῶν* Schneider ⟨ὁ⟩ Bernhardy 7—9 *ὑμνεισθται [ταῦτα] γλυκέα καὶ [πρὸς — γαμικῶι] προσείοντα σειρ.* Hercher [*πρὸς — βλέπει*] Jac (*ὑμνοῦνται γλ. καὶ — γαμικῶι*) *προσείοντα Σειρῆνες?*) 8 *γονὴν*: *ἀκοὴν* Toup *θέλγοντα γονὴν ὕμνωι τινὶ γαμικῶι προσειοικότα Σειρῆνες?*) 8 *γονὴν*: *ἀκοὴν* Toup *ὕμνωι* Toup *ὕπνωι* Ael 11 *Gymnetas* edd (Strab. XV 1, 70) *gimnestos* $R^1$ *gymnestas* rell 12 *pandare, pandere* Pl *Pandae* Mayhoff (NH VI 76) 15 *Mandorum*: *Pandarum* Pintianus 16 *trecentos sexaginta quinque* Jac *trecentosque* Plin *trec. quoque* Detlefsen (s. VI 76) 20 *clytharcus* Curt 21 *Timagenes* ς *—nen* Curt 23 *LXXX milia* Raderus *DCCC* Curt

οὐκ ἀπίθανον; οὐδὲ Κλείταρχος εὖ· φησὶ γὰρ τοὺς ἱππέας ἰδόντας τὴν ἔφοδον τοῦ πελάγους ἀφιππάσασθαι καὶ φεύγοντας ἐγγὺς γενέσθαι τοῦ περικαταληφθῆναι. οὔτε δὲ τοσούτωι τάχει τὴν ἐπίβασιν ὁρμωμένην ἱστοροῦμεν, ἀλλὰ λεληθότως προσιοῦσαν τὴν θάλατταν, οὔτε τὸ καθ' ἡμέραν γιγνόμενον καὶ πᾶσιν ἔναυλον ἤδη ὂν τοῖς πλησιάζειν μέλλουσι, πρὶν ἢ θεάσασθαι, τοσοῦτον ἔμελλε παρέξεσθαι φόβον ὥστε φεύγειν, ὡς ἂν εἰ ἐξ ἀδοκήτου προσέπεσε. (2) ταῦτα δὴ δικαίως ἐπιτιμᾶι τοῖς συγγραφεῦσι Ποσειδώνιος (87 F 31) . . . . . .

27 (21 a) PLIN. NH VII 30: *Oritas ab Indis Arabis fluvius disterminat. hi nullum alium cibum novere quam piscium, quos unguibus dissectos sole torreant atque ita panem ex his faciant, ut refert Clitarchus.* a. 133

28 (19) STRABON V 2, 6: τοῦτό τε δὴ παράδοξον ἡ νῆσος (sc. Λιθαλία) ἔχει καὶ τὸ τὰ ὀρύγματα ἀναπληροῦσθαι πάλιν τῶι χρόνωι τὰ μεταλλευθέντα, καθάπερ τοὺς πλαταμῶνάς φασι τοὺς ἐν Ῥόδωι καὶ τὴν ἐν Πάρωι πέτραν τὴν μάρμαρον καὶ τοὺς ἐν Ἰνδοῖς ἄλας, οὓς φησι Κλείταρχος.

29 (22) PLIN. NH VI 198: *insulas toto eo mari* (sc. Rubro) *et Ephorus* (70 F 172) *compluris esse tradidit et Eudoxus* (V) *et Timosthenes* (V). *Clitarchus vero Alexandro regi renuntiatam adeo divitem ut equos incolae talentis auri permutarent, alteram ubi sacer mons opacus silva repertus esset, destillante arboribus odore mirae suavitatis.*

30 (21) ATHEN. XIII 50 p. 586 CD: περὶ ἧς φησιν Θεόπομπος ἐν τοῖς Περὶ τῆς Χίας ἐπιστολῆς (115 F 254), ὅτι μετὰ τὸν τῆς Πυθιονίκης θάνατον ὁ Ἅρπαλος μετεπέμψατο τὴν Γλυκέραν Ἀθήνηθεν, ἣν καὶ ἐλθοῦσαν οἰκεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῶι καὶ προσκυνεῖσθαι ὑπὸ τοῦ πλήθους βασίλισσαν προσαγορευομένην· ἀπειρῆσθαί τε πᾶσι μὴ στεφανοῦν Ἅρπαλον, ἐὰν μὴ καὶ Γλυκέραν στεφανῶσιν. ἐν Ῥωσσῶι δὲ καὶ εἰκόνα χαλκῆν αὐτῆς ἱστάναι τολμῆσαι παρ' αὐτὴν ⟨τὴν Ἀλεξάνδρου καὶ τὴν⟩ ἑαυτοῦ. τὰ ὅμοια δ' εἴρηκε καὶ Κλείταρχος ἐν ταῖς Περὶ Ἀλέξανδρον Ἱστορίαις. a. 338

31 (23) PLIN. NH III 57: *Theophrastus . . . nam Theopompus* (115 F 317), *ante quem nemo mentionem habuit* (sc. Romae), *urbem*

---

4 ὁρμωμένην Tyrwhitt ὁρωμένην Str 8 δὴ: δὲ Str τε δὴ Corais 10 *Oritas* Barbarus *soritas* Pl *Arabis*: s. 133 F 1 c. 21, 8 12 *faciant* Harduin — *unt* Pl 25 ἐν ταῖς περὶ Χίου ἐπιστολαῖς Schweighäuser 29 πᾶσι E ἐπὶ πᾶσι A τῆι πόλει Kaibel 30 ἱστάναι Casaubonus ἑστάναι A στῆσαι ἐτόλμησεν E 30—31 ⟨τὴν Ἀλεξάνδρου καὶ τὴν⟩ Jac παρὰ τὴν ἑαυτοῦ ς vulg

*dumtaxat a Gallis captam dixit, Clitarchus ab eo proximus legationem tantum ad Alexandrum missam, hic iam plus quam ex fama.*

32 (—) PAP. OX. II 218 col. II: * * *κατὰ φύσιν μορφὴ παραμένει γυναικὸς ἄλλης πεῖραν μὴ λαμβάνων. ἐὰν δὲ φωραθῇ τῶν [σ]ῡ̣...ὸ̣ίων παραβαίνων, ἀποτέμνεται τὰ μόρια αὐτοῦ καὶ παρὰ τοὺς τάφους αὐτῆς κατακαίεται. ἱστοροῦσι Ζώπυρος* (VI) *καὶ Κλείταρχος.*

33 (24) PLUT. Themist. 27, 1: *Θουκυδίδης μὲν οὖν* (I 137, 3) *καὶ* F 6?
*Χάρων ὁ Λαμψακηνὸς* (III) *ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῶι Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος* (70 F 190) *δὲ καὶ Δείνων* (III) *καὶ Κλείταρχος καὶ Ἡρακλείδης* (III), *ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην.* (2) *τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις.*

34 (24) CIC. Brut. 42—43: *at ille ridens 'tuo vero' inquit 'arbitratu; quoniam quidem concessum est rhetoribus ementiri in historiis, ut aliquid dicere possint argutius. ut enim tu nunc de Coriolano, sic Clitarchus, sic Stratocles de Themistocle finxit. nam quem Thucydides* (I 138, 4), *qui et Atheniensis erat et ... paulo aetate posterior, tantum* ⟨*morbo*⟩ *mortuum scripsit et in Attica clam humatum, addidit fuisse suspicionem veneno sibi conscivisse mortem: hunc isti aiunt, cum taurum immolavissent, excepisse sanguinem patera et eo poto mortuum concidisse. hanc enim mortem rhetorice et tragice ornare potuerunt, illa mors vulgaris nullam praebebat materiem ad ornatum.*

35 (26) STOB. Flor. IV 12, 13: *Κλειτάρχου· Κλείταρχος ὁ ἱστοριο-* a. 326?
*γράφος εἶπε· «πᾶσα τόλμη καὶ τὰ τῆς δυνάμεως ὑπερβαίνει μέτρα.»*

36 (—) SUID. s. ἔχετον· *ἀντὶ τοῦ ἐχέτωσαν, δυικῶς. 'λέγετον τοῦτο Τίμαιος* (III) *καὶ Ἀναξιμένης* (72 F 39), *ἔχετον δὲ καὶ Κλείταρχον αὐτοῖς νοοῦντα ἐς μίαν καὶ τὴν αὐτήν.' καὶ ἐχέτην δυικῶς, ἀντὶ τοῦ εἶχον.*

## Zweifelhaftes.

37 (25) PHLEGON mir. (257 F 36 c.) 4—5: *ἱστορεῖ δὲ καὶ Ἡσίοδος* (F 162; 200 Rz²) *καὶ Δικαίαρχος καὶ Κλείταρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε· Τειρεσίαν ... μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα ... οἱ αὐτοὶ ἱστοροῦσιν κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτωι τῶι βασιλεῖ θυγατέρα ὀνομαζομένην Καινίδα· ταύτηι δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι*

1 *clitarcus, —gus* Pl 2 *hic* bezieht auf *Theophrastus* Mayhoff *ex* Detlefsen *et* Pl 4 ὸ̣ίων o. ἀ̣ίων P ⟨ὑπὸ⟩ *τῶν συγ[γεν[]δων*? Grenfell-Hunt 12 *αὐτοῖς — συνταττομένοις* Y *αὐτὸς — συντεταγμένος* S *συντεταγμένοις* Sintenis *συντεταγμένας* Cobet 18 ⟨*morbo*⟩ Teuffel 24 * * *καὶ* Meineke 28 *νοοῦντα* Bernhardy *—τας* Suid 31 *Κλείταρχος: Κλέαρχος* C Mueller (vgl. Gell. IV 11, 14)

ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα ... τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα.

38 (31) Maximi abb. Eclogae [Migne Patrol. Gr. XCI] I 727 C: Κλειτάρχου· μὴ τὸ ἔχειν ἀρετὴν καλὸν νόμιζε, ἀλλὰ τὸ ὡς δεῖ καὶ ὑπὲρ ὧν δεῖ. — Ἀρετὴν μὲν ἔχων, πάντα ἕξεις· κακίαν δέ, οὐδὲ σεαυτόν.

39 (31) — II 734 B: Κλειτάρχου· ἡ ἰσχὺς τοῦ σώματος μὴ γινέσθω τῆς ψυχῆς ἀσθένεια· ἰσχὺν δὲ ψυχῆς φρόνησιν νόμιζε.

40 (32) — III 742 C: Κλειτάρχου· φιλῶν ἃ μὴ δεῖ, οὐ φιλήσεις ἃ δεῖ· ἀπλήρωτον γὰρ ἡ ἐπιθυμία, διὰ τοῦτο καὶ ἄπορον.

41 (33) — VI 761 A: Κλειτάρχου· σεαυτοῦ τὰ ἀτυχήματα τῶν φίλων ἡγοῦ· τῶν δὲ ἰδίων εὐτυχημάτων κοινωνεῖ. — Τελευτησάντων τῶν φίλων ὑρηνεῖν μὲν οὐκ εὐγενές· προνοεῖν δὲ τῶν οἰκείων ἐπιμελές.

42 (—) — IX 780 B: Κλειτάρχου· κρεῖσσον ἀρχεσθαι τοῖσιν ἀνοήτοις ἢ ἄρχειν.

43 (34) — XII 800 A: Κλειτάρχου· ἐγκράτεια κρηπὶς εὐσεβείας· ὄρεξις κτήσεως ἀρχὴ πλεονεξίας. ἐκ γὰρ φιλαργυρίας ἀδικία φύεται.

44 (27) — XIII 806 B (Anton. Meliss. I 36): Κλειτάρχου· ὀφείλομεν ἑαυτοὺς ἐθίζειν ἀπὸ ὀλίγων ζῆν, ἵνα μηδὲν αἰσχρὸν ἕνεκεν χρημάτων μάθωμεν.

45 (28) — XXXVI 903 A (Anton. Meliss. I 58): Κλειτάρχου· κρεῖσσον ἀποθανεῖν ἢ δι' ἀκρασίας ψυχὴν ἀμαυρῶσαι.

46 (30) — XLVII 939 C (Anton. Meliss. II 70): Κλειτάρχου· ὃ μὴ θέλεις ἀκούειν, μηδὲ εἰπεῖς· ὃ μὴ θέλεις λέγειν, μηδὲ ἄκουε· ὠτων καὶ γλώττης μέγας ὁ κίνδυνος.

47 (28) — LIII 958 A (Anton. Meliss. I 55): Κλειτάρχου· τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ· τοῦ δὲ σώματος ὡς στρατιώτου προνόει.

48 (35) — LIV 962 A: Κλειτάρχου· ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτω τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

49 (26) Antonii Melissa [Migne Patrol. Gr. CXXXVI] I 13 p. 805 D: Κλειτάρχου· ἀγωνιζόμενος ὑπὲρ οὗ ἀδίκως ἔπραξας, δὶς ἀδικήσεις.

50 (26) — I 31 p. 883 D: Κλειτάρχου· προὶξ πολλὴ τέκνα βελτίονα οὐ ποιεῖ.

51 (27) — I 48 p. 929 B: Κλειτάρχου· ἐν συλλόγοις πρῶτος λέγειν μὴ ἐπιτήδευε· μετὰ γὰρ πλείονας λέγων ὄψει μᾶλλον τὰ συμφέροντα.

52 (29) a) — II 1 p. 1005 C: Κλειτάρχου· ἄρχων μὲν ἐπιτήδευε πρᾶος εἶναι, ἀρχόμενος δὲ μεγαλόφρων. b) Βασιλέα φρόνιμον τὸ διάδημα οὐ ποιεῖ· νοῦς γάρ ἐστιν ὁ ἄρχων. c) Ἄρχεσθαι μὴ μαθών, ἄρχειν μὴ ἐπιχείρει.

---

## 138. PTOLEMAIOS LAGU.

### T

1 Arrian. Anab. pro. 1—2: *Πτολεμαῖος ὁ Λάγου καὶ Ἀριστόβουλος ὁ Ἀριστοβούλου* (139) *ὅσα μὲν ταὐτὰ ἄμφω περὶ Ἀλεξάνδρου ... συνέγραψαν,*

6—7 Clit. 100—102 ἰσχὺν τοῦ σώματος — ἀσθένεια. αἱροῦ τῇ ψυχῇ μᾶλλον ἢ τῷ σώματι ἰσχύειν. ἰσχὺν — νόμιζε. 18 ἀπὸ τῶν ὀλίγων Ant μάθωμεν Max. Ant. Damasc. πράτιωμεν Boiss. Aneed. πάθωμεν Nauck 26 v. l. Πλουτάρχου 35 βασιλέα φρόνησις, οὐ διάδημα ποιεῖ Sext Clit

ταῦτα ἐγὼ ὡς πάντηι ἀληθῆ ἀναγράφω .... ἄλλοι μὲν δὴ ἄλλα ὑπὲρ Ἀλεξάνδρου ἀνέγραψαν, οὐδ' ἔστιν ὑπὲρ ὅτου πλείονες ἢ ἀξυμφωνότεροι ἐς ἀλλήλους· ἀλλ' ἐμοὶ Πτολεμαῖός τε καὶ Ἀριστόβουλος πιστότεροι ἔδοξαν ἐς τὴν ἀφήγησιν, ὁ μὲν ὅτι συνεστράτευσε βασιλεῖ Ἀλεξάνδρωι, Ἀριστόβουλος, Πτολεμαῖος δὲ πρὸς τῶι ξυστρατεῦσαι ὅτι καὶ αὐτῶι βασιλεῖ ὄντι αἰσχρότερον ἢ τωι ἄλλωι ψεύσασθαι ἦν· ἄμφω δὲ ὅτι τετελευτηκότος ἤδη Ἀλεξάνδρου ξυγγράφουσιν [ὅτε] αὐτοῖς ἥ τε ἀνάγκη καὶ ὁ μισθὸς τοῦ ἄλλως τι ἢ ὡς συνηνέχθη ξυγγράψαι ἀπῆν. F 11; 17; 19—20; 24; 29.

2 PLIN. NH I 12. 13: .... *arborum naturae .... ex ... Onesicrito* (XII 34) ..... *Ephippo, Dinone, Adimanto, Ptolemaeo Lagi, Marsya Macedone, Zoilo item, Democrito* (XIII 131) ....

## F

1 (Script. Al. M. p. 87, 1) ARRIAN. Anab. I 2—3, 4: Ἀλέξανδρος δὲ τὴν μὲν λείαν ὀπίσω ἀπέπεμψεν ἐς τὰς πόλεις τὰς ἐπὶ θαλάσσηι, Λυσανίαι καὶ Φιλώται παραδοὺς διατίθεσθαι· αὐτὸς δὲ τὸ ἄκρον ὑπερβαλὼν προήιει διὰ τοῦ Αἵμου ἐς Τριβαλλούς, καὶ ἀφικνεῖται ἐπὶ τὸν Λύγινον ποταμόν· ἀπέχει δὲ οὗτος ἀπὸ τοῦ Ἴστρου ὡς ἐπὶ τὸν Αἷμον ἰόντι σταθμοὺς τρεῖς. (2) Σύρμος δὲ ὁ τῶν Τριβαλλῶν βασιλεὺς ἐκ πολλοῦ πυνθανόμενος τοῦ Ἀλεξάνδρου τὸν στόλον γυναῖκας μὲν καὶ παῖδας τῶν Τριβαλλῶν προϋπεμψεν ἐπὶ τὸν Ἴστρον διαβαίνειν κελεύσας τὸν ποταμὸν ἐς νῆσόν τινα τῶν ἐν τῶι Ἴστρωι· Πεύκη ὄνομα τῆι νήσωι ἐστίν. (3) ἐς ταύτην δὲ τὴν νῆσον καὶ οἱ Θρᾶικες οἱ πρόσχωροι τοῖς Τριβαλλοῖς προσάγοντος Ἀλεξάνδρου ἐκ πολλοῦ συμπεφευγότες ἦσαν, καὶ αὐτὸς ὁ Σύρμος ἐς ταύτην ξυμπεφεύγει ξὺν τοῖς ἀμφ' αὐτόν· τὸ δὲ πολὺ πλῆθος τῶν Τριβαλλῶν ἔφυγεν ὀπίσω ἐπὶ τὸν ποταμόν, ἔνθενπερ τῆι προτεραίαι ὡρμήθη Ἀλέξανδρος. (4) ὡς δὲ ἔμαθεν αὐτῶν τὴν ὁρμήν, καὶ αὐτὸς ὑποστρέψας τὸ ἔμπαλιν ἐπὶ τοὺς Τριβαλλοὺς ἦγεν, καὶ καταλαμβάνει καταστρατοπεδεύοντας ἤδη. καὶ οἱ μὲν καταληφθέντες πρὸς τῶι νάπει τῶι παρὰ τὸν ποταμὸν παρετάσσοντο· Ἀλέξανδρος δὲ καὶ αὐτὸς τὴν μὲν φάλαγγα ἐς βάθος ἐκτάξας ἐπῆγε, τοὺς τοξότας δὲ καὶ τοὺς σφενδονήτας προεκθέοντας ἐκέλευσεν ἐκτοξεύειν τε καὶ σφενδονᾶν ἐς τοὺς βαρβάρους, εἴ πως προκαλέσαιτο αὐτοὺς ἐς τὰ ψιλὰ ἐκ τοῦ νάπους. (5) οἱ δὲ ὡς ἐντὸς βέλους ἐγένοντο, παιόμενοι ἐξέθεον ἐπὶ τοὺς τοξότας, ὅπως ἐς χεῖρας ξυμμίξειαν γυμνοῖς οὖσι τοῖς τοξόταις. Ἀλέξανδρος δὲ ὡς προήγαγεν αὐτοὺς ἐκ τῆς νάπης ἔξω, Φιλώταν μὲν ἀναλαβόντα τοὺς ἐκ τῆς ἄνωθεν Μακεδονίας ἱππέας προσέταξεν ἐμβάλλειν κατὰ τὸ κέρας τὸ δεξιόν, ἡπερ μάλιστα προυνεχωρήκεσαν ἐν τῆι ἐκδρομῆι· Ἡρακλείδην δὲ καὶ Σώπολιν τοὺς ἐκ Βοττιαίας τε καὶ Ἀμφιπόλεως ἱππέας κατὰ τὸ εὐώνυμον κέρας ἐπάγειν ἔταξε. (6) τὴν δὲ φάλαγγα τῶν πεζῶν καὶ τὴν ἄλλην ἵππον πρὸ τῆς φάλαγγος παρατείνας κατὰ μέσους ἐπῆγε. καὶ ἔστε μὲν ἀκροβολισμὸς παρ' ἑκατέρων ἦν, οἱ Τριβαλλοὶ οὐ μεῖον εἶχον· ὡς δὲ ἡ τε φάλαγξ πυκνὴ ἐνέβαλλεν ἐς αὐτοὺς ἐρρωμένως καὶ οἱ ἱππεῖς οὐκ ἀκοντισμῶι ἔτι, ἀλλ' αὐτοῖς τοῖς ἵπποις ὠθοῦντες ἄλλοι καὶ ἄλλοι προσέπιπτον, τότε δὴ ἐτράπησαν διὰ τοῦ νάπους εἰς τὸν ποταμόν. (7) καὶ

a. 335

7 [ὅτε] Schmieder 22 *ἐκ πολλοῦ* del k (siglen s. zu 133 F 1) 26 καταληφθέντες (*deprehensi* Vulcanius) Schmieder καταλειφθέντες A 40 δὴ: δὲ Krueger

ἀποθνήσκουσι μὲν τριοχίλιοι ἐν τῇι φυγῇι, ζῶντες δὲ ὀλίγοι καὶ τούτων ἐλήφθησαν, ὅτι ὕλη τε δασεῖα πρὸ τοῦ ποταμοῦ ἦν καὶ νὺξ ἐπιγενομένη τὴν ἀκρίβειαν τῆς διώξεως ἀφεῖλετο τοὺς Μακεδόνας. αὐτῶν δὲ Μακεδόνων τελευτῆσαι λέγει Πτολεμαῖος ἱππέας μὲν ἕνδεκα, πεζοὺς δὲ ἀμφὶ τοὺς τεσσαράκοντα. (3) ἀπὸ δὲ τῆς μάχης τριταῖος ἀφικνεῖται Ἀλέξανδρος ἐπὶ τὸν ... Ἴστρον ..... (3) ἐνταῦθα καταλαμβάνει αὐτῶι ἡκούσας ναῦς μακρὰς ἐκ Βυζαντίου διὰ τοῦ πόντου τοῦ Εὐξείνου κατὰ τὸν ποταμόν. ταύτας ἐμπλήσας τοξοτῶν τε καὶ ὁπλιτῶν τῆι νήσωι ἐπέπλει, ἵνα οἱ Τριβαλλοί τε καὶ οἱ Θρᾷικες ξυμπεφευγότες ἦσαν, καὶ ἐπειρᾶτο διάζεσθαι τὴν ἀπόβασιν. (4) οἱ δὲ βάρβαροι ἁπάντων ἐπὶ τὸν ποταμόν, ὅπηι αἱ νῆες προσπίπτοιεν· αἱ δὲ ὀλίγαι τε ἦσαν καὶ ἡ στρατιὰ οὐ πολλὴ ⟨ἡ⟩ ἐπ' αὐτῶν, καὶ τῆς νήσου τὰ πολλὰ ἀπότομα ἐς προσβολήν, καὶ τὸ ῥεῦμα τοῦ ποταμοῦ τὸ παρ' αὐτήν, οἷα δὴ ἐς στενὸν συγκεκλεισμένον, ὀξὺ καὶ ἄπορον προσφέρεσθαι. (5) ἔνθα δὴ Ἀλέξανδρος ἀπαγαγὼν τὰς ναῦς ἔγνω διαβαίνειν τὸν Ἴστρον ἐπὶ τοὺς Γέτας .....

2 (2) STRABON VII 3, 8: Ἀλέξανδρος γὰρ ὁ Φιλίππου κατὰ τὴν ἐπὶ Ἴστρου καθήκοντας καὶ τῆς ἐν αὐτῶι νήσου Πεύκης, τὰ πέραν δὲ Γέτας ἔχοντας, ἀφίχθαι λέγεται μέχρι δεῦρο, καὶ ἐς μὲν τὴν νῆσον ἀποβῆναι μὴ δύνασθαι σπάνει πλοίων — ἐκεῖσε γὰρ καταφυγόντα τὸν τῶν Τριβαλλῶν βασιλέα Σύρμον ἀντισχεῖν πρὸς τὴν ἐπιχείρησιν —, εἰς δὲ τοὺς Γέτας διαβάντα ἐλεῖν αὐτῶν ⟨τὴν⟩ πόλιν καὶ ἀναστρέψαι διὰ ταχέων εἰς τὴν οἰκείαν, λαβόντα δῶρα ⟨παρὰ⟩ τῶν ἐθνῶν καὶ παρὰ τοῦ Σύρμου. φησὶ δὲ Πτολεμαῖος ὁ Λάγου κατὰ ταύτην τὴν στρατείαν συμμῖξαι τῶι Ἀλεξάνδρωι Κελτοὺς τοὺς περὶ τὸν Ἀδρίαν φιλίας καὶ ξενίας χάριν. δεξάμενον δὲ αὐτοὺς φιλοφρόνως τὸν βασιλέα ἐρέσθαι παρὰ πότον, τί μάλιστα εἴη ὃ φοβοῖντο, νομίζοντα αὐτὸν ἐρεῖν· αὐτοὺς δ' ἀποκρίνασθαι, ὅτι οὐδένα, πλὴν εἰ ἄρα μὴ ὁ οὐρανὸς αὐτοῖς ἐπιπέσοι, φιλίαν γε μὴν ἀνδρὸς τοιούτου περὶ παντὸς τίθεσθαι.

3 (3) ARRIAN. Anab. I 8: (Alexander zögert mit dem angriff auf Theben) ἀλλὰ λέγει Πτολεμαῖος ὁ Λάγου, ὅτι Περδίκκας προτεταγμένος τῆς φυλακῆς τοῦ στρατοπέδου σὺν τῆι αὐτοῦ τάξει καὶ τοῦ χάρακος τῶν πολεμίων οὐ πολὺ ἀφεστηκώς, οὐ προσμείνας παρ' Ἀλεξάνδρου τὸ ἐς τὴν μάχην ξύνθημα αὐτὸς πρῶτος προσέμιξε τῶι χάρακι καὶ διασπάσας αὐτὸν ἐνέβαλεν ἐς τῶν Θηβαίων τὴν προφυλακήν. (2) τούτωι δὲ ἑπόμενος Ἀμύντας ὁ Ἀνδρομένους, ὅτι καὶ ξυντεταγμένος τῶι Περδίκκαι ἦν, ἐπήγαγε καὶ αὐτὸς τὴν αὐτοῦ τάξιν, ὡς εἶδε τὸν Περδίκκαν προεληλυθότα εἴσω τοῦ χάρακος. ταῦτα δὲ ἰδὼν Ἀλέξανδρος, ὡς μὴ μόνοι ἀποληφθέντες πρὸς τῶν Θηβαίων κινδυνεύσειαν, ἐπῆγε τὴν ἄλλην στρατιάν. (3) καὶ τοὺς μὲν τοξότας καὶ τοὺς Ἀγριᾶνας ἐκδραμεῖν ἐσήμηνεν εἴσω τοῦ χάρακος, τὸ δὲ ἄγημά τε καὶ τοὺς ὑπασπιστὰς ἔτι ἔξω κατεῖχεν. ἔνθα δὴ Περδίκκας [μὲν] τοῦ δευτέρου χάρακος εἴσω παρελθεῖν βιαζόμενος αὐτὸς μὲν βληθεὶς πίπτει αὐτοῦ καὶ ἀποκο-

---

10 ⟨ἡ⟩ Krueger 13 ἀπαγαγὼν A² al ἐπαγαγὼν B 19 αὐτῶν τὴν n o ⟨τὴν⟩ αὐτῶν edd 20 ⟨παρὰ⟩ Corais 24—25 ἀποκρίνεσθαι A C 25 οὐδὲν Groskurd 35 ἀποληφθέντες Krueger ἀπολειφθέντες A s. o. p. 753, 26 37—38 τὸ δέ ἄ. τι Schmieder τὰ δὲ ἀγήματα A 38 [μὲν] Polak

μίζεται κακῶς ἔχων ἐπὶ τὸ στρατόπεδον, καὶ χαλεπῶς διεσώθη ἀπὸ τοῦ τραύματος· τοὺς μέντοι Θηβαίους ἐς τὴν κοίλην ὁδὸν τὴν κατὰ τὸ Ἡράκλειον φέρουσαν οἱ ἅμα αὐτῶι εἰσπεσόντες ὁμοῦ τοῖς παρ' Ἀλεξάνδρου τοξόταις συνέκλεισαν. (4) καὶ ἔστε μὲν πρὸς τὸ Ἡράκλειον ἀναχωροῦσιν εἶποντο τοῖς Θηβαίοις, ἐντεῦθεν δὲ ἐπιστρεψάντων αὖθις σὺν βοῆι τῶν Θηβαίων φυγὴ τῶν Μακεδόνων γίγνεται, καὶ Εὐρυβώτας τε ὁ Κρὴς πίπτει ὁ τοξάρχης καὶ αὐτῶν τῶν τοξοτῶν ἐς ἑβδομήκοντα, οἱ δὲ λοιποὶ κατέφυγον πρὸς τὸ ἄγημα τὸ τῶν Μακεδόνων καὶ τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς. (5) κἀν τούτωι Ἀλέξανδρος τοὺς μὲν αὐτοῦ φεύγοντας κατιδών, τοὺς Θηβαίους δὲ λελυκότας ἐν τῆι διώξει τὴν τάξιν, ἐμβάλλει ἐς αὐτοὺς συντεταγμένηι τῆι φάλαγγι· οἱ δὲ ὠθοῦσι τοὺς Θηβαίους εἴσω τῶν πυλῶν. καὶ τοῖς Θηβαίοις ἐς τοσόνδε ἡ φυγὴ φοβερὰ ἐγίγνετο, ὥστε διὰ τῶν πυλῶν ὠθούμενοι ἐς τὴν πόλιν οὐκ ἔφθησαν συγκλεῖσαι τὰς πύλας, ἀλλὰ συνεσπίπτουσι γὰρ αὐτοῖς εἴσω τοῦ τείχους ὅσοι τῶν Μακεδόνων ἐγγὺς φευγόντων εἶχοντο, ἅτε καὶ τῶν τειχῶν διὰ τὰς προφυλακὰς τὰς πολλὰς ἐρήμων ὄντων. (6) καὶ παρελθόντες ἐς τὴν Καδμείαν οἱ μὲν ἐκεῖθεν κατὰ τὸ Ἀμφεῖον σὺν τοῖς κατέχουσι τὴν Καδμείαν ἐξέβαινον ἐς τὴν ἄλλην πόλιν, οἱ δὲ κατὰ τὰ τείχη, ἐχόμενα ἤδη πρὸς τῶν συνεισπεσόντων τοῖς φεύγουσιν, ὑπερβάντες ἐς τὴν ἀγορὰν ὁρόμωι ἐφέροντο. (7) καὶ ὀλίγον μέν τινα χρόνον ἔμειναν οἱ τεταγμένοι τῶν Θηβαίων κατὰ τὸ Ἀμφεῖον· ὡς δὲ πανταχόθεν αὐτοῖς οἱ Μακεδόνες καὶ Ἀλέξανδρος ἄλλοτε ἄλλη ἐπιφαινόμενος προσέκειντο, οἱ μὲν ἱππεῖς τῶν Θηβαίων διεκπεσόντες διὰ τῆς πόλεως ἐς τὸ πεδίον ἐξέπιπτον, οἱ δὲ πεζοὶ ὡς ἑκάστοις προυχώρει ἐσώζοντο. (8) ἔνθα δὴ ὀργῆι οὐχ οὕτως τι οἱ Μακεδόνες, ἀλλὰ Φωκεῖς τε καὶ Πλαταιεῖς καὶ οἱ ἄλλοι δὲ Βοιωτοὶ οὐδὲ ἀμυνομένους τοὺς Θηβαίους ἔτι οὐδενὶ κόσμωι ἔκτεινον, τοὺς μὲν ἐν ταῖς οἰκίαις ἐπεισπίπτοντες, οὓς δὲ ἐς ἀλκὴν τετραμμένους, τοὺς δὲ καὶ πρὸς ἱεροῖς ἱκετεύοντας, οὔτε γυναικῶν οὔτε παίδων φειδόμενοι.

4 (4) PLUTARCH. De Alex. fort. I 3 p. 327 DE: *τοῖς τρισμυρίοις* a. 334 *... πεζοῖς καὶ τετρακισχιλίοις ἱππεῦσι πιστεύσας* (geht Alexander nach Asien)· *τοσοῦτοι γὰρ ἦσαν, ὡς Ἀριστόβουλός φησιν* (139 F 4)· *ὡς δὲ Πτολεμαῖος ὁ βασιλεύς, τρισμύριοι πεζοί, πεντακισχίλιοι δ' ἱππεῖς.*

5 (4 a) STEPH. BYZ. s. *Ἀγχιάλη· πόλις Κιλικίας .... ἔστι δὲ κτίσμα Ἀγχιάλης* a. 333 *τῆς Ἰαπετοῦ θυγατρός, ὡς Ἀθηνόδωρος περὶ τῆς αὐτοῦ πατρίδος γράφων* (III) *καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίωι βασιλεῖ· 'γίνεται δ' Ἰαπετοῦ θυγάτηρ Ἀγχιάλη, καὶ κτίζει πόλιν Ἀγχιάλην † Ἀγχιαλέα τε τὸν παρακείμενον ποταμόν. γεννᾶι δ' υἱὸν Κύδνον, ἀφ' οὗ ποταμὸς Κύδνος ἐν Ταρσῶι· ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη Παρθενία· μεταπεσόντος δὲ τοῦ ὀνόματος Ταρσὸς ἐκλήθη.' τινὲς δέ φασι Σαρδανάπαλον δύο πόλεις κτίσαι, Ἀγχιάλην σὺν Ταρσῶι ....*

6 (5) ARRIAN. Anab. II 11, 8: (schlacht bei Issos) *τῶν δὲ Περσῶν ἀπέθανον Ἀρσάμης μὲν καὶ Ῥεομίθρης καὶ Ἀτιζύης τῶν ἐπὶ Γρανίκωι ἡγησαμένων τοῦ ἱππικοῦ, ἀποθνήσκει δὲ καὶ Σανάκης ὁ Αἰγύπτου σατρά-*

---

4 *ἐπὶ τὸ* k 20 διεκπαίσαντες? Roos 24 *ἀλκὴν*: *φυγὴν* Enthoven 30 Κιλικίας Xylander *σικελία*(ς) Steph 33 τε PV τὰ R Ἀγχιαλέα τε τ. π. π. ⟨ἀφ' ἑαυτῆς ὀνομάζει⟩ Meineke 36 φησι P om R 40 Σανάκης A ('ni fallor' Roos) Σαβάκης vulg *Sataces* Curt. III 11, 10 Ταδιάκης Diod. XVII 34, 5

πης καὶ Βουβάκης τῶν ἐντίμων Περσῶν· τὸ δὲ ἄλλο πλῆθος εἰς δέκα μάλιστα μυριάδας καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς μυρίους, ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου ξυνεπισπόμενος τότε Ἀλεξάνδρωι τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον, ὡς ἐπὶ φάραγγί τινι ἐν τῆι διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν διαβῆναι τὴν φάραγγα.

7 (6) ARRIAN. Anab. II 12, 3—6: ὁ δὲ οὐδὲ τῆς μητρὸς τῆς Δαρείου οὐδὲ τῆς γυναικὸς ἢ τῶν παίδων ἠμέλησεν. ἀλλὰ λέγουσί τινες τῶν τὰ Ἀλεξάνδρου γραψάντων τῆς νυκτὸς αὐτῆς, ἣι ἀπὸ τῆς διώξεως τῆς Δαρείου ἐπανῆκεν, ἐς τὴν σκηνὴν παρελθόντα αὐτὸν τὴν Δαρείου, ἥτις αὐτῶι ἐξηιρημένη ἦν, ἀκοῦσαι γυναικῶν οἰμωγὴν καὶ ἄλλον τοιοῦτον θόρυβον οὐ πόρρω τῆς σκηνῆς. (4) πυθέσθαι οὖν αἵτινες γυναῖκες καὶ ἀνθ' ὅτου οὕτως ἐγγὺς παρασκηνοῦσι· καί τινα ἐξαγγεῖλαι ὅτι 'ὦ βασιλεῦ, ἡ μήτηρ τε καὶ ἡ γυνὴ Δαρείου καὶ οἱ παῖδες, ὡς ἐξηγγέλθη αὐταῖς ὅτι τὸ τόξον τε τοῦ Δαρείου ἔχεις καὶ τὸν κάνδυν τὸν βασιλικόν, καὶ ἡ ἀσπὶς ὅτι κεκόμισται ὀπίσω ἡ Δαρείου, ὡς ἐπὶ τεθνεῶτι Δαρείωι ἀνοιμώζουσιν'. (5) ταῦτα ἀκούσαντα Ἀλέξανδρον πέμψαι πρὸς αὐτὰς Λεοννάτον, ἕνα τῶν ἑταίρων, ἐντειλάμενον φράσαι ὅτι ζῆι Δαρεῖος, τὰ δὲ ὅπλα καὶ τὸν κάνδυν ὅτι φεύγων ἀπέλιπεν ἐπὶ τῶι ἅρματι καὶ ταῦτα ὅτι μόνα ἔχει Ἀλέξανδρος. καὶ Λεοννάτον παρελθόντα ἐς τὴν σκηνὴν τά τε περὶ Δαρείου εἰπεῖν καὶ ὅτι τὴν θεραπείαν αὐταῖς ξυγχωρεῖ Ἀλέξανδρος τὴν βασιλικήν, καὶ τὸν ἄλλον κόσμον καὶ καλεῖσθαι βασιλίσσας, ἐπεὶ οὐδὲ κατὰ ἔχθραν οἱ γενέσθαι τὸν πόλεμον πρὸς Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς ἀρχῆς τῆς Ἀσίας διαπεπολεμῆσθαι ἐννόμως. (6) ταῦτα μὲν Πτολεμαῖος καὶ Ἀριστόβουλος (139 F 10) λέγουσι· λόγος δὲ ἔχει καὶ αὐτὸν Ἀλέξανδρον τῆι ὑστεραίαι ἐλθεῖν .....

8 (7) — — III 3, 5: (marsch zum Ammon) Πτολεμαῖος μὲν a. 332/1 δὴ ὁ Λάγου λέγει δράκοντας δύο ἰέναι πρὸ τοῦ στρατεύματος φωνὴν ἱέντας, καὶ τούτοις Ἀλέξανδρον κελεῦσαι ἕπεσθαι τοὺς ἡγεμόνας πιστεύσαντας τῶι θείωι, τοὺς δὲ ἡγήσασθαι τὴν ὁδὸν τήν τε ἐς τὸ μαντεῖον καὶ ὀπίσω αὖθις· Ἀριστόβουλος (139 F 14) δέ — καὶ ὁ πλείων λόγος ταύτηι κατέχει — κόρακας δύο ....

9 (8) — — III 4, 5: ἐνταῦθα Ἀλέξανδρος τόν τε χῶρον ἐθαύμασε καὶ τῶι θεῶι ἐχρήσατο, καὶ ἀκούσας ὅσα αἰτῶι πρὸς θυμοῦ ἦν, ὡς ἔλεγεν, ἀνέζευξεν ἐπ' Αἴγυπτον, ὡς μὲν Ἀριστόβουλος (139 F 15) λέγει, τὴν αὐτὴν ὀπίσω ὁδόν, ὡς δὲ Πτολεμαῖος ὁ Λάγου, ἄλλην εὐθεῖαν ὡς ἐπὶ Μέμφιν.

10 (9) — — VI 11, 5: Ἄρβηλα δὲ τοῦ χώρου, ἐν ὧι τὴν ἐσχάτην a. 331 μάχην Δαρεῖός τε καὶ Ἀλέξανδρος ἐμαχέσαντο, οἱ μὲν τὰ πλεῖστα ξυγ-

11 αἵτινες ⟨αἱ⟩ Krueger 'mente supple οἰμώζουσι' Roos 12 παρασκηνοῦσι Sintenis —σαι A 13 ⟨ἡ⟩ Δαρείου Krueger 28—29 πιστεύσαντα Boissevain

γράψαντες λέγουσιν ὅτι ἑξακοσίους σταδίους ἀπέχει, οἱ δὲ τὰ ἐλάχιστα ὅτι ἐς πεντακοσίους. ἀλλὰ ἐν Γαυγαμήλοις γὰρ γενέσθαι τὴν μάχην πρὸς ποταμῶι Βουμήλωι λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος (139 F 16). πόλις δὲ οὐκ ἦν τὰ Γαυγάμηλα, ἀλλὰ κώμη μεγάλη, οὐδὲ ὀνομαστὸς ὁ χῶρος οὐδὲ ἐς ἀκοὴν ἠδὺ τὸ ὄνομα· ἔνθεν δή μοι δοκεῖ πόλις οὖσα τὰ Ἄρβηλα ἀπηνέγκατο τὴν δόξαν τῆς μεγάλης μάχης.

11 (—) SYNESIOS Enc. calv. 15—16: οὗτοι (sc. οἱ Μακεδόνες) πρὸ τῆς ἐν Ἀρβήλοις μάχης ... πανδημεὶ ξυράμενοι .. εἰς τὸν ὑπὲρ τῶν ὅλων ἀγῶνα κατέστησαν. ἐπράχθη δὲ ἀπὸ τοιαύτης αἰτίας ...., ὡς ὁ τοῦ Λάγου Πτολεμαῖος ξυνέγραψεν, ὃς ὅτι μὲν παρῆν τοῖς ὁρωμένοις ἠπίστατο, ὅτι δὲ βασιλεὺς ἦν, ὁπηνίκα συνέγραψεν, οὐκ ἐφεύδετο. ἀνὴρ Μακεδὼν κόμην τε ἀνεικὼς εἰς τὸ περιττὸν καὶ γένειον βαθὺ καθεικὼς ἐπ' ἄνδρα Πέρσην ἐφέρετο· συμφρονήσας δὲ ὁ Πέρσης, καίπερ ὢν ἐν δεινῶι, γέρρον μὲν ... καὶ ξυστὸν ἀφίησι .... ἀιττει δὲ ὁμόσε καὶ φθάσας εἴσω τῶν τοῦ πολεμίου ὅπλων γενέσθαι λαμβάνεται τοῦ πώγωνος καὶ τῆς κόμης, κἀθ' οὕτως καταβάλλει στρατιώτην ἄμαχον .... πεσόντα δὲ ἤδη κατακαίνει, τὸν ἀκινάκην σπασάμενος. εἰδὲ δή τις καὶ ἕτερος Πέρσης, καὶ μάλα ἄλλος καὶ ἄλλος, καὶ ταχὺ μὲν ἅπαντες ἦσαν ῥιψάσπιδες, ταχὺ δὲ ἄλλος ἄλλον κομήτην ἀπολαβόντες ἀνὰ τὸ πεδίον ἐδίωκον ... ἐν τούτωι δὲ ὁ βασιλεὺς ἀπορίαι συνείχετο ... κελεύει μὲν ἀνακλητικὸν ἠχῆσαι τὰς σάλπιγγας. ἀπαγαγὼν δὲ ὡς πορρωτάτω καὶ καθίσας ἐν καλῶι τὸν στρατόν, ἐπαφίησιν αὐτῶι τοὺς κουρέας .... Δαρείωι δὲ καὶ Πέρσαις οὐκέτι τὸ πρᾶγμα κατ' ἐλπίδας ἐχώρησε· μὴ γὰρ οὔσης ἔτι λαβῆς πρὸς πολὺ καλλίους ἀγωνιστὰς τοῖς ὅπλοις ἐκρίνοντο.

12 (9) ARRIAN. Anab. III 17, 6: (unterwerfung der ὄρειοι καλούμενοι Οὔξιοι) ταῦτα τὰ γέρα παρ' Ἀλεξάνδρου λαβόντες χαλεπῶς εὔροντο δεόμενοι παρ' αὐτοῦ τὴν χώραν τὴν σφῶν ἔχοντες φόρους ὅσα ἔτη Ἀλεξάνδρωι ἀποφέρειν. Πτολεμαῖος δὲ ὁ Λάγου λέγει τὴν Δαρείου μητέρα δεηθῆναι ὑπὲρ αὐτῶν Ἀλεξάνδρου δοῦναί σφισι τὴν χώραν οἰκεῖν. ὁ φόρος δὲ ὁ συνταχθεὶς ἦν ἵπποι ..... a. 331/0

13 (10) — — III 26: ἐνταῦθα (sc. ἐν τοῖς βασιλείοις τῶν Ζαραγγαίων) καὶ τὴν Φιλώτα ἐπιβουλὴν τοῦ Παρμενίωνος ἔμαθεν Ἀλέξανδρος· καὶ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος (139 F 22) ὅτι προηγγελμένη ⟨μὲν ἦ⟩ν ἤδη οἱ καὶ πρότερον ἐν Αἰγύπτωι, οὐ μέντοι πιστή γε ἐφάνη τῆς τε φιλίας τῆς πάλαι ἕνεκα καὶ τῆς ἐξ αὐτοῦ ἐς Παρμενίωνά τε τὸν πατέρα τὸν Φιλώτα τιμῆς καὶ ἐς αὐτὸν Φιλώταν πίστεως. (2) Πτολεμαῖος δὲ ὁ Λάγου λέγει εἰσαχθῆναι εἰς Μακεδόνας Φιλώταν καὶ κατηγορῆσαι μὲν αὐτοῦ ἰσχυρῶς Ἀλέξανδρον, ἀπολογήσασθαι δὲ αὐτὸν Φιλώταν· καὶ τοὺς ἐπιμηνυτὰς τοῦ ἔργου παρελθόντας ἐξελέγξαι Φιλώταν τε καὶ τοὺς ἀμφ' αὐτὸν ἄλλοις τε ἐλέγχοις οὐκ ἀφανέσι καὶ μάλιστα δὴ ὅτι αὐτὸς Φιλώτας πεπύσθαι μὲν ἐπιβουλήν τινα Ἀλεξάνδρωι παρα- a. 331/0 a. 330

---

3 βουμηλω o. βουμολω A βουμώδωι III 8, 7 *Boumelus* Curt. IV 9, 10 *bulemus* It Alex 23 5 ἔνθεν δή Krueger ἐνθενδέ A δοκεῖν Polak 31—32 προηγγελμένη μὲν ἦν Polak προσηγγελμένην A

σκευαζομένην συνέφη, ἐξηλέγχετο δὲ κατασιωπήσας ταύτην πρὸς Ἀλέξανδρον, s. 329
καίτοι δὶς ἐπὶ τὴν σκηνὴν ὁσημέραι τὴν Ἀλεξάνδρου φοιτῶν. (3) καὶ Φιλώταν μὲν κατακοντισθῆναι πρὸς τῶν Μακεδόνων καὶ ὅσοι ἄλλοι μετέσχον αὐτῶι τῆς ἐπιβουλῆς· ἐπὶ Παρμενίωνα δὲ σταλῆναι Πολυδάμαντα, ἕνα τῶν ἑταίρων, γράμματα φέροντα παρ' Ἀλεξάνδρου πρὸς τοὺς στρατηγοὺς τοὺς ἐν Μηδίαι Κλέανδρόν τε καὶ Σιτάλκην καὶ Με[ν]νίδαν — οὗτοι γὰρ ἐπὶ τῆς στρατιᾶς, ἧς Παρμενίων ἦρχε, τεταγμένοι ἦσαν· (4) καὶ πρὸς τούτων ἀποθανεῖν Παρμενίωνα, τυχὸν μὲν ὅτι οὐ πιστὸν ἐδόκει εἶναι Ἀλέξανδρος Φιλώτα ἐπιβουλεύοντος μὴ ξυμμετασχεῖν Παρμενίωνα τῶι παιδὶ τοῦ βουλεύματος, τυχὸν δὲ ὅτι, εἰ καὶ μὴ ξυμμετέσχε, σφαλερὸς ἤδη ἦν περιὼν Παρμενίων τοῦ παιδὸς αὐτοῦ ἀνηιρημένου, ἐν τοσαύτηι ὢν ἀξιώσει παρά τε αὐτῶι Ἀλεξάνδρωι καὶ ἐς τὸ ἄλλο στράτευμα, μὴ ὅτι τὸ Μακεδονικόν, ἀλλὰ καὶ τῶν ἄλλων ξένων, ὧν πολλάκις καὶ ἐν μέρει καὶ παρὰ τὸ μέρος κατὰ πρόσταξιν τὴν Ἀλεξάνδρου ξὺν χάριτι ἐξηγεῖτο.

**14** (11) ARRIAN. Anab. III 29, 6—30, 5: περάσας δὲ τὸν Ὄξον ποταμὸν ἦγε κατὰ σπουδήν, ἵνα Βῆσσον εἶναι ξὺν τῆι δυνάμει ἐπυνθάνετο. καὶ ἐν τούτωι ἀφικνοῦνται παρὰ Σπιταμένους καὶ Δαταφέρνου πρὸς αὐτὸν ἀγγέλλοντες, ὅτι Σπιταμένης καὶ Δαταφέρνης, εἰ πεμφθείη αὐτοῖς καὶ ὀλίγη στρατιὰ καὶ ἡγεμὼν τῆι στρατιᾶι, ξυλλήψονται Βῆσσον καὶ παραδώσουσιν Ἀλεξάνδρωι, ἐπεὶ καὶ νῦν ⟨ἐν⟩ ἀδέσμοι φυλακῆι φυλάσσεσθαι πρὸς αὐτῶν Βῆσσον. (7) ταῦτα ὡς ἤκουσεν Ἀλέξανδρος, αὐτὸς μὲν ἀναπαύων ἦγε τὴν στρατιὰν σχολαίτερον ἢ πρόσθεν, Πτολεμαῖον δὲ τὸν Λάγου ἀποστέλλει τῶν τε ἑταίρων ἱππαρχίας τρεῖς ἄγοντα καὶ τοὺς ἱππακοντιστὰς ξύμπαντας, πεζῶν δὲ τήν τε Φιλώτα τάξιν καὶ τῶν ὑπασπιστῶν χιλιαρχίαν μίαν καὶ τοὺς Ἀγριᾶνας πάντας καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, σπουδῆι ἐλαύνειν κελεύσας ὡς Σπιταμένην τε καὶ Δαταφέρνην. καὶ Πτολεμαῖος ἤιει ὡς ἐτέτακτο καὶ διελθὼν ἐν ἡμέραις τέτταρσι σταθμοὺς δέκα ἀφικνεῖται ἐς τὸ στρατόπεδον, οὗ τῆι προτεραίαι ἡθροισμένοι ἦσαν οἱ ἀμφὶ τὸν Σπιταμένην βάρβαροι. (30, 1) ἐνταῦθα ἔμαθε Πτολεμαῖος ὅτι οὐ βεβαία τῶι Σπιταμένει καὶ Δαταφέρνηι ἡ γνώμη ἐστὶν ἀμφὶ τῆι παραδόσει τοῦ Βήσσου. τοὺς μὲν δὴ πεζοὺς κατέλιπε, προστάξας ἕπεσθαι ἐν τάξει, αὐτὸς δὲ ξὺν τοῖς ἱππεῦσιν ἐλάσας ἀφίκετο πρὸς κώμην τινά, ἵνα ὁ Βῆσσος ἦν ξὺν ὀλίγοις στρατιώταις. (2) οἱ γὰρ ἀμφὶ τὸν Σπιταμένην μετακεχωρήκεσαν ἤδη ἐκεῖθεν, καταιδεσθέντες αὐτοὶ παραδοῦναι τὸν Βῆσσον. Πτολεμαῖος δὲ περιστήσας ἐν κύκλωι τῆς κώμης τοὺς ἱππέας — ἦν γάρ τι καὶ τεῖχος περιβεβλημένον καὶ πύλαι κατ' αὐτό — ἐπεκηρυκεύετο τοῖς ἐν τῆι κώμηι βαρβάροις ἀπα-

6 Με[ν]νίδαν Ellendt 11 αὐτοῦ edd αὐτῶ A 18 ἐν⟨τῶι⟩ μέρει JG Schneider
20 ⟨ἐν⟩ Sintenis 30 Σπιταμένει Sintenis σπιταμένη aus —ένει A¹

θεῖς σφᾶς ἀπαλλάσσεσθαι παραδόντας Βῆσσον· οἱ δὲ ἐδέχοντο τοὺς ξὺν Πτολεμαίωι ἐς τὴν κώμην. (3) καὶ Πτολεμαῖος ξυλλαβὼν Βῆσσον ὀπίσω ἐπανήιει. προπέμψας δὲ ἤρετο Ἀλέξανδρον, ὅπως χρὴ ἐς ὄψιν ἄγειν Ἀλεξάνδρου Βῆσσον· καὶ Ἀλέξανδρος γυμνὸν ἐν κλοιῶι δήσαντα οὕτως ἄγειν ἐκέλευσε καὶ καταστήσαντα ἐν δεξιᾶι τῆς ὁδοῦ, ἢι αὐτός τε καὶ ἡ στρατιὰ παρελεύσεσθαι ἔμελλε. καὶ Πτολεμαῖος οὕτως ἐποίησεν. (4) Ἀλέξανδρος δὲ ἰδὼν τὸν Βῆσσον ἐπιστήσας τὸ ἅρμα ἤρετο ἀνθ' ὅτου τὸν βασιλέα τὸν αὑτοῦ καὶ ἅμα καὶ οἰκεῖον καὶ εὐεργέτην γενόμενον Δαρεῖον τὰ μὲν πρῶτα ξυνέλαβε καὶ δήσας ἦγεν, ἔπειτα ἀπέκτεινε. καὶ ὁ Βῆσσος οὐ μόνωι οἱ ταῦτα δόξαντα πρᾶξαι ἔφη, ἀλλὰ ξὺν τοῖς τότε ἀμφὶ Δαρεῖον οὖσιν, ὡς σωτηρίαν σφίσιν εὑρέσθαι παρ' Ἀλεξάνδρου. (5) Ἀλέξανδρος δὲ ἐπὶ τοῖσδε μαστιγοῦν ἐκέλευεν αὐτὸν καὶ ἐπιλέγειν τὸν κήρυκα ταὐτὰ ἐκεῖνα ὅσα αὐτὸς τῶι Βήσσωι ἐν τῆι πύστει ὠνείδισε. Βῆσσος μὲν δὴ οὕτως αἰκισθεὶς ἀποπέμπεται ἐς Βάκτρα ἀποθανούμενος. καὶ ταῦτα Πτολεμαῖος ὑπὲρ Βήσσου ἀνέγραψεν. Ἀριστόβουλος δὲ (139 F 24) τοὺς ἀμφὶ Σπιταμένην τε καὶ Δαταφέρνην Πτολεμαίωι ἀγαγεῖν Βῆσσον καὶ παραδοῦναι Ἀλεξάνδρωι γυμνὸν ἐν κλοιῶι δήσαντας.

15 (12) ARRIAN. Anab. IV 3, 5: τὴν δὲ ἑβδόμην πόλιν (in Sogdiana) ἐξ ἐφόδου ἔλαβε· ⟨καὶ⟩ Πτολεμαῖος μὲν λέγει ὅτι αὐτοὺς σφᾶς ἐνδόντας, Ἀριστόβουλος (139 F 26) δὲ ὅτι βίαι καὶ ταύτην ἐξεῖλεν καὶ ὅτι πάντας τοὺς καταληφθέντας ἐν αὐτῆι ἀπέκτεινε. Πτολεμαῖος δὲ κατανεῖμαι λέγει αὐτὸν τοὺς ἀνθρώπους τῆι στρατιᾶι καὶ δεδεμένους κελεῦσαι φυλάσσεσθαι ἔσι' ἂν ἐκ τῆς χώρας ἀπαλλάττηται αὐτός, ὡς μηδένα ἀπολείπεσθαι τῶν τὴν ἀπόστασιν πραξάντων. s. F 34. a. 328

16 (13) — — IV 14, 1: Ἀριστόβουλος (139 F 31) μὲν λέγει ὅτι καὶ Καλλισθένην ἐπᾶραι σφᾶς ἔφασαν (sc. οἱ παῖδες) ἐς τὸ τόλμημα· καὶ Πτολεμαῖος ὡσαύτως λέγει. οἱ δὲ πολλοὶ οὐ ταύτηι λέγουσιν, ἀλλὰ διὰ μῖσος γὰρ τὸ ἤδη ὂν πρὸς Καλλισθένην ἐξ Ἀλεξάνδρου καὶ ὅτι ὁ Ἑρμόλαος ἐς τὰ μάλιστα ἐπιτήδειος ἦν τῶι Καλλισθένει, οὐ χαλεπῶς πιστεῦσαι τὰ χείρω ὑπὲρ Καλλισθένους Ἀλέξανδρον. s. 124 T 8. a. 327

17 (14) — — IV 14, 3: Καλλισθένην δὲ Ἀριστόβουλος (139 F 33) μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῆι στρατιᾶι, ἔπειτα νόσωι τελευτῆσαι· Πτολεμαῖος δὲ ὁ Λάγου στρεβλωθέντα καὶ χρειασθέντα ἀποθανεῖν. οὕτως οὐδὲ οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν καὶ ξυγγενόμενοι ἐν τῶι τότε Ἀλεξάνδρωι ὑπὲρ τῶν γνωρίμων τε καὶ οὐ λαθόντων σφᾶς ὅπως ἐπράχθη ξύμφωνα ἀνέγραψαν. s. 124 T 7.

---

4 γυμνὸν edd γυμνῶι A 6 παρελεύσεσθαι Pflugk παρελάσεσθαι A 12 ταὐτὰ Krueger ταῦτα A 15 ἀνέγραψεν k ἀνέγραφεν A 17 [Ἀλεξάνδρωι] Krueger ⟨καὶ Πτολεμαῖον⟩ π. Ἀ. oder [Πτολεμαίωι] ἀγαγεῖν? Jac 19 ⟨καὶ⟩ Krueger

**18 (15) ARRIAN. Anab. IV 24, 1—25, 4:** αὐτὸς δὲ ἄγων τοὺς ὑπασπιστάς a. 327
τε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Κοίνου τε καὶ Ἀττάλου τάξιν καὶ τῶν ἱππέων τὸ ἄγημα καὶ τῶν ἄλλων ἑταίρων ἐς τέσσαρας μάλιστα ἱππαρχίας καὶ τῶν ἱπποτοξοτῶν τοὺς ἡμίσεας ὡς ἐπὶ τὸν ποταμὸν τὸν † εὐασπόλεως προυχώρει, ἵνα ὁ τῶν Ἀσπασίων ὕπαρχος ἦν, καὶ διελθὼν πολλὴν ὁδὸν δευτεραῖος ἀφίκετο πρὸς τὴν πόλιν. (2) οἱ δὲ βάρβαροι προσάγοντα αἰσθόμενοι Ἀλέξανδρον ἐμπρήσαντες τὴν πόλιν ἔφευγον πρὸς τὰ ὄρη. οἱ δ' ἀμφ' Ἀλέξανδρον εἶχοντο τῶν φευγόντων ἔστε ἐπὶ τὰ ὄρη, καὶ φόνος πολὺς γίγνεται τῶν βαρβάρων, πρὶν ἐς τὰς ὑψοχωρίας φθάσαι ἀπελθόντας. (3) τὸν δὲ ἡγεμόνα αὐτὸν τῶν ταύτῃ Ἰνδῶν Πτολεμαῖος ὁ Λάγου πρός τινι ἤδη γηλόφῳ ὄντα κατιδὼν καὶ τῶν ὑπασπιστῶν ἔστιν οὓς ἀμφ' αὐτὸν ξὺν πολὺ ἐλάττοσιν αὐτὸς ὢν ὅμως ἐδίωκεν ἔτι ἐκ τοῦ ἵππου· ὡς δὲ χαλεπὸς ὁ γήλοφος τῶι ἵππωι ἀναδραμεῖν ἦν, τοῦτον μὲν αὐτοῦ καταλείπει παραδούς τινι τῶν ὑπασπιστῶν ἄγειν, αὐτὸς δὲ ὡς εἶχε πεζὸς τῶι Ἰνδῶι εἵπετο. (4) ὁ δὲ ὡς πελάζοντα ἤδη κατεῖδε τὸν Πτολεμαῖον, αὐτός τε μεταβάλλει ἐς τὸ ἔμπαλιν καὶ οἱ ὑπασπισταὶ ξὺν αὐτῶι. καὶ ὁ μὲν Ἰνδὸς τοῦ Πτολεμαίου διὰ τοῦ θώρακος παίει ἐκ χειρὸς ἐς τὸ στῆθος ξυστῶι μακρῶι, καὶ ὁ θώραξ ἔσχε τὴν πληγήν· Πτολεμαῖος δὲ τὸν μηρὸν διαμπὰξ βαλὼν τοῦ Ἰνδοῦ καταβάλλει τε καὶ σκυλεύει αὐτόν. (5) ὡς δὲ τὸν ἡγεμόνα σφῶν κείμενον οἱ ἀμφ' αὐτὸν εἶδον, οὗτοι μὲν οὐκέτι ἔμενον, οἱ δὲ ἐκ τῶν ὀρῶν αἰρόμενον τὸν νεκρὸν τοῦ ὑπάρχου ἰδόντες πρὸς τῶν πολεμίων ἤλγησάν τε καὶ καταδραμόντες ξυνάπτουσιν ἐπ' αὐτῶι μάχην καρτερὰν πρὸς τῶι γηλόφωι· ἤδη γὰρ καὶ Ἀλέξανδρος ἔχων τοὺς ἀπὸ τῶν ἵππων καταβεβηκότας πεζοὺς πρὸς τῶι γηλόφωι ἦν· καὶ οὗτοι ἐπιγενόμενοι μόγις ἐξέωσαν τοὺς Ἰνδοὺς ἐς τὰ ὄρη καὶ τοῦ νεκροῦ ἐκράτησαν.

(6) ὑπερβαλὼν δὲ τὰ ὄρη Ἀλέξανδρος ἐς πόλιν κατῆλθεν, ἥτι ὄνομα ἦν Ἀριγαῖον, καὶ ταύτην καταλαμβάνει ἐμπεπρησμένην ὑπὸ τῶν ἐνοικούντων καὶ τοὺς ἀνθρώπους πεφευγότας. ἐνταῦθα δὲ ἀφίκοντο αὐτῶι καὶ οἱ ἀμφὶ Κρατερὸν ξὺν τῆι στρατιᾶι πεπραγμένων σφίσι ξυμπάντων ὅσα ὑπὸ τοῦ βασιλέως ἐτέτακτο. (7) ταύτην μὲν δὴ τὴν πόλιν, ὅτι ἐν ἐπικαίρωι χωρίωι ἐδόκει ὠικίσθαι, ἐκτειχίσαι τε προστάσσει Κρατερῶι καὶ ξυνοικίσαι ἐς αὐτὴν τούς τε προσχώρους ὅσοι ἐθέλονται, καὶ εἴ δή τινες ἀπόμαχοι τῆς στρατιᾶς. αὐτὸς δὲ προυχώρει ἵνα ξυμπεφευγέναι ἐπυνθάνετο τοὺς πολλοὺς τῶν ταύτηι βαρβάρων. ἐλθὼν δὲ πρός τι ὄρος κατεστρατοπέδευσεν ὑπὸ ταῖς ὑπωρείαις τοῦ ὄρους. (8) καὶ ἐν τούτωι Πτολεμαῖος ὁ Λάγου ἐκπεμφθεὶς μὲν ὑπὸ Ἀλεξάνδρου ἐς προνομήν, προελθὼν δὲ προσωτέρω αὐτὸς ξὺν ὀλίγοις ὡς ἐς κατασκοπήν, ἀπαγγέλλει Ἀλεξάνδρωι πυρὰ κατιδεῖν τῶν βαρβάρων πλείονα ἢ ἐν τῶι Ἀλεξάνδρου στρατοπέδωι. (9) καὶ Ἀλέξανδρος τῶι μὲν πλήθει τῶν πυρῶν ἠπίστησεν, εἶναι δέ τι ξυνεστηκὸς τῶν ταύτηι βαρβάρων αἰσθόμενος, μέρος μὲν τῆς στρατιᾶς αὐτοῦ καταλείπει πρὸς τῶι ὄρει ὡς εἶχον ἑστρατοπεδευμένους· αὐτὸς δὲ ἀναλαβὼν ὅσοι ἀποχρῶντες ἐς τὰ ἀπηγγελμένα ἐφαίνοντο, ὡς πλησίον ἤδη ἀφεώρων τὰ πυρά, τρίχα διανέμει τὴν στρατιάν. (10) καὶ τῶι μὲν ἑνὶ ἐπέταξε Λεοννάτον τὸν σωματοφύλακα, ξυντάξας αὐτῶι τήν τε Ἀττάλου καὶ τὴν Βαλάκρου τάξιν· τὴν δευτέραν δὲ μοῖραν Πτολεμαίωι τῶι Λάγου ἄγειν ἔδωκε, τῶν τε ὑπασπιστῶν τῶν βασιλικῶν τὸ τρίτον μέρος καὶ τὴν Φιλίππου καὶ Φιλώτα τάξιν

---

4 Εὐασ * * πόλεως Roos Εὐασπλα Vulcanius Σοαστὸν τέως Gronovius (Ind. 4, 11) Χοάσπην Kiepert s. Tomaschek RE II 1722; III 2355; Kiessling ebd. VI 849 14 μεταβάλλεται Krueger 25 ἀριγαιον A *Argacum* It Alex 46 28 ὠικίσθαι k ὠικεῖσθαι A οἰκεῖσθαι Sintenis 31—32 κατεστρατοπέδευεν Anecd. Bekk. I 178, 15 37 εἶχον Krueger εἶχεν A 39 τριχὰ A τριχῆι Ellendt

καὶ δύο χιλιαρχίας τῶν τοξοτῶν καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἱππέων τοὺς ἡμίσεας· τὴν δὲ τρίτην μοῖραν αὐτὸς ἦγεν ἵνα οἱ πλεῖστοι τῶν βαρβάρων ἐφαίνοντο. (25, 1) οἱ δὲ ὡς ἠσθοντο προσάγοντας τοὺς Μακεδόνας — κατεῖχον γὰρ χωρία ὑπερδέξια — τῶι τε πλήθει σφῶν θαρσήσαντες καὶ τῶν Μακεδόνων, ὅτι ὀλίγοι ἐφαίνοντο, καταφρονήσαντες ἐς τὸ πεδίον ὑποκατέβησαν· καὶ μάχη γίγνεται καρτερά. ἀλλὰ τούτους μὲν οὐ ξὺν πόνωι ἐνίκα Ἀλέξανδρος. (2) οἱ δὲ ἀμφὶ Πτολεμαῖον οὐκ ἐν τῶι ὁμαλῶι παρετάξαντο, ἀλλὰ γήλοφον γὰρ κατεῖχον οἱ βαρβάροι, ὀρθίους ποιήσαντες τοὺς λόχους, Πτολεμαῖος προσῆγεν ἡπερ ἐπιμαχώτατον τοῦ λόφου ἐφαίνετο, οὐ πάντηι τὸν λόφον κυκλωσάμενος, ἀλλ' ἀπολιπών, εἰ φεύγειν ἐθέλοιεν οἱ βάρβαροι, χώραν αὐτοῖς ἐς τὴν φυγήν. (3) καὶ γίγνεται καὶ τούτοις μάχη καρτερὰ τοῦ χωρίου τῆι χαλεπότητι, καὶ ὅτι οὐ κατὰ τοὺς ἄλλους τοὺς ταύτηι βαρβάρους οἱ Ἰνδοί, ἀλλὰ πολὺ δή τι ἀλκιμώτατοι τῶν προσχώρων εἰσίν. ἐξώσθησαν δὲ καὶ οὗτοι ἀπὸ τοῦ ὄρους ὑπὸ τῶν Μακεδόνων. καὶ οἱ ἀμφὶ Δεοννάτον τῆι τρίτηι μοίραι τῆς στρατιᾶς ὡσαύτως ἔπραξαν· ἐνίκων γὰρ καὶ οὗτοι τοὺς κατὰ σφᾶς. (4) καὶ λέγει Πτολεμαῖος ἀνθρώπους μὲν ληφθῆναι τοὺς πάντας ὑπὲρ τετρακισμυρίους, βοῶν δὲ ὑπὲρ τὰς τρεῖς καὶ εἴκοσι μυριάδας· καὶ τούτων τὰς καλλίστας ἐπιλεξάμενον Ἀλέξανδρον, ὅτι διαφέρουσαι αὐτῶι κάλλει τε καὶ μεγέθει ἐφαίνοντο, πέμψαι ἐθέλειν ἐς Μακεδονίαν ἐργάζεσθαι τὴν χώραν.

19 (—) ARRIAN. Anab. V 7, 1: τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τοῦ Ἰνδοῦ a. 326
ποταμοῦ ὅπως μὲν ἐποιήθη Ἀλεξάνδρωι οὔτε Ἀριστόβουλος (139 F 34) οὔτε Πτολεμαῖος, οἷς μάλιστα ἐγὼ ἕπομαι, λέγουσιν.

20 (16) — — V 14, 5—15, 2: (Aristobul. 139 F 43) ἀλλὰ Πτολεμαῖος ὁ Λάγου, ὅτωι καὶ ἐγὼ ξυμφέρομαι, ἄλλως λέγει. ἐκπεμφθῆναι μὲν γὰρ τὸν παῖδα ὑπὸ τοῦ Πώρου λέγει καὶ οὗτος, ἀλλ' οὐχ ἑξήκοντα μόνα ἅρματα ἄγοντα. οὐδὲ γὰρ εἰκὸς Πῶρον ἀκούσαντα ἐκ τῶν σκοπῶν, ὅτι δὴ ἡ αὐτὸς Ἀλέξανδρος διαβέβηκεν τοῦ Ὑδάσπου τὸν πόρον ἢ μέρος γέ τι τῆς στρατιᾶς, ξὺν ἑξήκοντα ἅρμασι μόνοις ἐκπέμψαι τὸν αὐτοῦ παῖδα· ἃ δὴ ὡς μὲν ἐπὶ κατασκοπὴν ἐκπεμπόμενα πολλά τε καὶ οὐκ εὔζωνα ἐς τὴν ἀποχώρησιν ἦν, ὡς δὲ εἰς τὸ εἰρξαί τε τοὺς οὕπω πεπερακότας τῶν πολεμίων καὶ τοῖς ἤδη ἐκβεβηκόσιν ἐπιθέσθαι οὐδαμῆι ἀξιόμαχα. ἀλλὰ δισχιλίους γὰρ λέγει ἱππέας ἄγοντα ἀφικέσθαι τοῦ Πώρου τὸν παῖδα, ἅρματα δὲ ἑκατὸν καὶ εἴκοσι· φθάσαι δὲ περάσαντα Ἀλέξανδρον καὶ τὸν ἐκ τῆς νήσου τὸν τελευταῖον πόρον. (15) καὶ ἐπὶ τούτους τὰ μὲν πρῶτα ἐκπέμψαι Ἀλέξανδρον καὶ οὗτος λέγει τοὺς ἱπποτοξότας, αὐτὸν δὲ ἄγειν τοὺς ἱππέας· προσάγειν γὰρ οἰηθῆναι Πῶρον ξὺν τῆι πάσηι δυνάμει· τὴν δὲ ἵππον ταύτην προτεταγμένην αὐτῶι προπορεύεσθαι πρὸ τοῦ ἄλλου στρατοῦ. (2) ὡς δὲ κατέμαθεν ἀτρεκῶς τὸ πλῆθος τὸ τῶν Ἰνδῶν, ἐνταῦθα δὴ ὀξέως ἐπιπεσεῖν αὐτοῖς

8 ποιήσας Pflugk ἐπιμαχώτατον k ἐπιμαχιμώτατον A 12 ἀλκιμώτεροι Polak εἰσίν: ἦσαν Krueger 15 ὑπὲρ ⟨τοὺς⟩ Krueger 27 διαβεβήκει Krueger

ξὺν τῇι ἀμφ' αὐτὸν ἵπποι· τοὺς δὲ ἐγκλῖναι, ὡς Ἀλέξανδρόν τε αὐτὸν κατεῖδον καὶ τὸ στῖφος ἀμφ' αὐτὸν τῶν ἱππέων οὐκ ἐπὶ μετώπου, ἀλλὰ κατ' ἴλας ἐμβεβληκός. καὶ τούτων ἱππέας μὲν πεσεῖν ἐς τετρακοσίους, πεσεῖν δὲ καὶ τοῦ Πώρου τὸν παῖδα, τὰ δὲ ἅρματα αὐτοῖς ἵπποις ἁλῶναι ἔν τε τῇι ἀποχωρήσει βαρέα γενόμενα καὶ ἐν αὐτῶι τῶι ἔργωι ὑπὸ πηλοῦ ἀχρεῖα. a. 326

21 (17) ARRIAN. Anab. V 20, 2: (nach der Porosschlacht) αὐτὸς δὲ ἤλαυνεν ὡς ἐπὶ τοὺς προσχώρους τῇι Πώρου ἀρχῆι Ἰνδούς — ὄνομα δὲ ἦν τῶι ἔθνει Γλαυγανῖχαι, ὡς λέγει Ἀριστόβουλος (139 F 45), ὡς δὲ Πτολεμαῖος, Γλαῦσαι.

22 (18) — — V 20, 8—9: αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν προὐχώρει. τούτου τοῦ Ἀκεσίνου τὸ μέγεθος μόνου τῶν Ἰνδῶν ποταμῶν Πτολεμαῖος ὁ Λάγου ἀνέγραψεν· εἶναι γὰρ ἕνα ἐπέρασεν αὐτὸν Ἀλέξανδρος ἐπὶ τῶν πλοίων τε καὶ τῶν διφθερῶν ξὺν τῇι στρατιᾶι τὸ μὲν ῥεῦμα ὀξὺ τοῦ Ἀκεσίνου πέτραις μεγάλαις καὶ ὀξείαις, καθ' ὧν φερόμενον βίαι τὸ ὕδωρ κυμαίνεσθαί τε καὶ καχλάζειν, τὸ δὲ εὖρος σταδίους ἐπέχειν πεντεκαίδεκα. (9) τοῖς μὲν δὴ ἐπὶ τῶν διφθερῶν περῶσιν εὐμαρῆ γενέσθαι τὸν πόρον, τοὺς δὲ ἐν τοῖς πλοίοις διαβάλλοντας ἐποκειλάντων πολλῶν πλοίων ἐπὶ ταῖς πέτραις καὶ συναρραχθέντων οὐκ ὀλίγους αὐτοῦ ἐν τῶι ὕδατι διαφθαρῆναι. (fortsetzung F 35).

23 (19) — — V 28, 3—5: (widerstand des heeres gegen ein überschreiten des Hyphasis; rede Alexanders) ταῦτα εἰπόντα ἀπελθεῖν ἐς τὴν σκηνήν, μηδέ τινα τῶν ἑταίρων προσέσθαι αὐτῆς τε ἐκείνης τῆς ἡμέρας καὶ ἐς τὴν τρίτην ἔτι ἀπ' ἐκείνης, ὑπομένοντα εἰ δή τις τροπὴ ταῖς γνώμαις τῶν Μακεδόνων τε καὶ ξυμμάχων, οἷα δὴ ἐν ὄχλωι στρατιωτῶν τὰ πολλὰ φιλεῖ γίγνεσθαι, ἐμπεσοῦσα εὐπειθεστέρους παρέξει αὐτούς. (4) ὡς δὲ σιγὴ αὖ πολλὴ ⟨ἦν⟩ ἀνὰ τὸ στρατόπεδον καὶ ἀχθόμενοι μὲν τῇι ὀργῆι αὐτοῦ δῆλοι ἦσαν, οὐ μὴν μεταβαλλόμενοί γε ὑπ' αὐτῆς, ἐνταῦθα δὴ λέγει Πτολεμαῖος ὁ Λάγου, ὅτι ἐπὶ τῇι διαβάσει οὐδὲν μεῖον ἐθύετο, θυομένωι δὲ οὐκ ἐγίγνετο αὐτῶι τὰ ἱερά. (5) τότε δὴ τοὺς πρεσβυτάτους τε τῶν ἑταίρων καὶ τοὺς μάλιστα ἐπιτηδείους αὐτῶι συναγαγών, ὡς πάντα ἐς τὴν ὀπίσω ἀναχώρησιν αὐτῶι ἕτοιμα εἴρηκεν, ἐκφαίνει ἐς τὴν στρατιάν, ὅτι ἔγνωσται ὀπίσω ἀποστρέφειν.

24 (19a) — — VI 2, 4: ἦν δὲ τὸ ξύμπαν πλῆθος τῶν νεῶν (der Indusflotte), ὡς λέγει Πτολεμαῖος ὁ Λάγου, ὧι μάλιστα ἐγὼ ἕπομαι, τριακόντοροι μὲν ἐς ὀγδοήκοντα, τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς τε καὶ κερκούροις καὶ ὅσα ἄλλα ποτάμια ἦ τῶν πάλαι πλεόντων κατὰ τοὺς ποταμοὺς ἢ ἐν τῶι τότε ποιηθέντων οὐ πολὺ ἀποδέοντα τῶν διοχιλίων.

19 ἐποκειλάντων F ἐπω— $A^1$ al συναραχθέντων Krueger 27 ⟨ἦν⟩ edd
31 τοὺς μάλιστα Krueger μ. τ. A

25 (20) ARRIAN. Anab. VI 10, 1: (kampf um die Mallerstadt) *Ἀλέξανδρος ⟨δὲ⟩ βάλλεται καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστόν, ὥστε λέγει Πτολεμαῖος ὅτι καὶ πνεῦμα ὁμοῦ τῷι αἵματι ἐκ τοῦ τραύματος ἐξεπνεῖτο.*

26 (20) a) — — VI 11, 7—8: *καὶ μὴν ὑπὲρ τῶν ὑπερασπισαντων ἐν τῷι κινδύνωι Ἀλεξάνδρου Πευκέσταν μὲν γενέσθαι ξύμπαντες ὁμολογοῦσιν, ὑπὲρ Λεοννάτου δὲ οὐκέτι ξυμφέρονται οὐδὲ ὑπὲρ Ἀβρέου τοῦ δημοιρίτου. καὶ οἱ μὲν ξύλωι πληγέντα κατὰ τοῦ κράνους Ἀλέξανδρον καὶ ἰλλιγιάσαντα πεσεῖν, αὖθις δὲ ἀναστάντα βληθῆναι βέλει διὰ τοῦ θώρακος ἐς τὸ στῆθος· Πτολεμαῖος δὲ ὁ Λάγου ταύτην μόνην τὴν πληγὴν πληγῆναι λέγει τὴν ἐς τὸ στῆθος.* (8) *τὸ δὲ δὴ μέγιστον πλημμέλημα τῶν ξυγγραψάντων τὰ ἀμφὶ Ἀλέξανδρον ἐκεῖνο τίθεμαι ἔγωγε· Πτολεμαῖον γὰρ τὸν Λάγου ἔστιν οἳ ἀνέγραψαν ξυναναβῆναί τε Ἀλεξάνδρωι κατὰ τὴν κλίμακα δημοῦ Πευκέσται καὶ ὑπερασπίσαι κειμένου, καὶ ἐπὶ τῶιδε Σωτῆρα ἐπικληθῆναι τὸν Πτολεμαῖον. καίτοι αὐτὸς Πτολεμαῖος ἀναγέγραφεν οὐδὲ παραγενέσθαι τούτωι τῶι ἔργωι, ἀλλὰ στρατιᾶς γὰρ αὐτὸς ἡγούμενος ἄλλας μάχεσθαι μάχας καὶ πρὸς ἄλλους βαρβάρους. ταῦτα μὲν δὴ ἐν ἐκβολῆι τοῦ λόγου ἀναγεγράφθω μοι, ὡς μὴ ἀταλαίπωρον γίγνεσθαι τοῖς ἔπειτα ἀνθρώποις τὴν ὑπὲρ τῶν τηλικούτων ἔργων τε καὶ παθημάτων ἀφήγησιν.* b) CURT. IX 5, 21: *Ptolomaeum, qui postea regnavit, huic pugnae adfuisse auctor est Clitarchus* (137 F 24) *et Timagenes* (88 F 3); *sed ipse scilicet gloriae suae non refragatus afuisse se missum in expeditionem memoriae tradidit. tanta conponentium vetusta rerum monimenta vel securitas vel, par huic vitium, credulitas fuit.*

27 (21) — — VI 28, 2: (der bakchische zug Alexanders durch Karmanien) *ταῦτα δὲ οὔτε Πτολεμαῖος ὁ Λάγου οὔτε Ἀριστόβουλος* (139 F 50) ... *ἀνέγραψαν.* a. 325

28 (9) a) PLUT. Alex. 46: *ἐνταῦθα* (am Orexartes) *δὲ πρὸς αὐτὸν* a. 324 *ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν ..... Ἀριστόβουλος* (139 F 21) *δὲ καὶ Χάρης* (125 F 12) ... *καὶ Πτολεμαῖος .... πλάσμα φασὶ γεγονέναι τοῦτο.* s. 134 F 1. b) ARRIAN. Anab. VII 13, 2—3: *ἐνταῦθα* (auf dem wege von Opis nach Ekbatana) *λέγουσιν ὅτι Ἀτροπάτης ὁ τῆς Μηδίας σατράπης γυναῖκας ἑκατὸν αὐτῶι ἔδωκεν, ταύτας φάσκων εἶναι τῶν Ἀμαζόνων ... ταύτας μὲν δὴ ἀπαλλάξαι τῆς στρατιᾶς Ἀλέξανδρον ... κελεῦσαι δὲ ἀπαγγεῖλαι πρὸς τὴν βασίλισσαν σφῶν ὅτι αὐτὸς ἥξει πρὸς αὐτὴν παιδοποιησόμενος. ταῦτα δὲ οὔτε Ἀριστοβουλος οὔτε Πτολεμαῖος οὔτε τις ἄλλος ἀνέγραψεν ὅστις ἱκανὸς ὑπὲρ τῶν τηλικούτων τεκμηριῶσαι.* c) GEOGR. RAV. IV 4 p. 174, 10 Pin-Par: *item iuxta*

2 ⟨δὲ⟩ edd 23 *vetusta* Giunta *vetustate* Curt

*Oceanum confinalis regionis Colchiae est patria quae dicitur ab antiquis Amazonum, postquam eas de Caucasis montibus exisse legimus. de qua patria subtilius agunt supra scriptus Pentesileus et Marpesius atque Ptolomeus rex Aegyptiorum Macedonum, philosophi.*

29 (—) ARRIAN. Anab. VII 15, 5—6: Ἄριστος (143 F 2) δὲ καὶ Ἀσκληπιάδης (144 F 1) . . . καὶ Ῥωμαίους λέγουσιν ὅτι ἐπρέσβευσαν (an Alexander) . . . . . καὶ τοῦτο οὔτε ὡς ἀτρεκὲς οὔτε ὡς ἄπιστον πάντῃ ἀνέγραψα· πλήν γε δὴ οὔτε τις Ῥωμαίων ὑπὲρ τῆς πρεσβείας ταύτης . . . . μνήμην τινὰ ἐποιήσατο οὔτε τῶν τὰ Ἀλεξάνδρου γραψάντων οἵστισι μᾶλλον ἐγὼ ξυμφέρομαι, Πτολεμαῖος ὁ Λάγου καὶ Ἀριστόβουλος (139 F 53).

30 (21) — — VII 26, 3: (befragung des Sarapis durch Peithon und genossen; antwort des gottes, Alexander nicht in seinen tempel zu bringen; Alexander stirbt — Ephem. 117 F 3). οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλῳ (139 F 60) οὔτε Πτολεμαίῳ ἀναγέγραπται. οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ἐρέσθαι μὲν τοὺς ἑταίρους αὐτὸν ὅτῳ τὴν βασιλείαν ἀπολείπει, τὸν δὲ ὑποκρίνασθαι ὅτι τῷ κρατίστῳ· οἱ δὲ προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ ὅτι μεγαν ἐπιτάφιον ἀγῶνα ὁρᾶι ἐφ' αὑτῷ ἐσόμενον. (27) πολλὰ δὲ καὶ ἄλλα οἶδα ἀναγεγραμμένα ὑπὲρ τῆς Ἀλεξάνδρου τελευτῆς, καὶ φάρμακον ὅτι ἐπέμφθη παρὰ Ἀντιπάτρου Ἀλεξάνδρῳι . . . . . a. 323

## Zweifelhaftes und Unechtes.

31 (—) STEPH. BYZ. s. Ἀλεξάνδρεια· .... ιη ἐπὶ τοῦ Τανάιδος αὐτοῦ κτίσμα, ὡς ἐν τῷι γ Πτολεμαῖος ἀποφαίνεται.

32 (—) GEOGR. RAV. I 9 p. 23, 3: *sed et testare sibi de hoc ipso nonnullos mundanos philosophos, inter quos Liginium et Ptolomeum regem Aegyptiorum ex stirpe Macedonum arctoae partis descriptorem asserunt.*

33 (—) — IV 11 p. 199, 13: *iterum ad septentrionalem iuxta Oceanum nominatur patria Sarmatorum ... cuius patriae multi fuerunt descriptores philosophi, ex quibus ego legi Ptolomaeum regem Aegyptiorum ex stirpe Macedonum, sed et praenominatum Hylas atque Sardonium et praedictum Aristarchum Graecorum philosophos.*

## Anhang.

34 (—) ARRIAN. Anab. IV 3, 6: (F 15) ἐν τούτῳι δὲ τῶν τε ἐκ τῆς Ἀσίας Σκυθῶν στρατιὰ ἀφικνεῖται πρὸς τὰς ὄχθας τοῦ ποταμοῦ τοῦ Τανάιδος, ἀκούσαντες οἱ πολλοὶ αὐτῶν, ὅτι ἔστιν οἳ καὶ τῶν ἐπέκεινα τοῦ ποταμοῦ βαρβάρων ἀπ' Ἀλεξάνδρου ἀφεστᾶσιν, ὡς, εἰ δή τι λόγου [ἂν] ἄξιον νεωτερίζοιτο, καὶ αὐτοὶ ἐπιθησόμενοι τοῖς Μακεδόσι. καὶ οἱ ἀμφὶ Σπιταμένην δὲ ἀπηγγέλθησαν ὅτι τοὺς ἐν Μαρακάνδοις καταλειφθέντας ἐν τῇι ἀκραι πολιορκοῦσιν. (7) ἔνθα δὴ Ἀλέξανδρος

---

9 οὔτε ε οὐδὲ **A** 10 καὶ **A** οὔτε ε 24 v. l. *ligimum* 35 [ἂν] Hertlein ἄρα ἄξιον **Pflugk** ἀντάξιον **Abicht** ἂν ἀ. **Polak** 36 τοὺς **edd** τοῖς **A** 37 Μαρακάνδοις **Blancardus** παρακάδοις **A**

ἐπὶ μὲν τοὺς ἀμφὶ Σπιταμένην Ἀνδρόμαχόν τε ἀποστέλλει καὶ Μενέδημον καὶ Κάρανον, ἱππέας μὲν ἔχοντας τῶν ἑταίρων ἑξ ἑξήκοντα καὶ τῶν μισθοφόρων ὀκτακοσίους, ὧν Κάρανος ἡγεῖτο, πεζοὺς δὲ μισθοφόρους ἑξ χιλίους πεντακοσίους. ἐπιτάσσει δὲ αὐτοῖς Φαρνούχην τὸν ἑρμηνέα, τὸ μὲν γένος Λύκιον [τὸν Φαρνούχην], ἐμπείρως δὲ τῆς τε φωνῆς τῶν ταύτῃ βαρβάρων ἔχοντα καὶ τὰ ἄλλα ὁμιλῆσαι αὐτοῖς δεξιὸν φαινόμενον. . . . . (5, 2) οἱ δὲ ἐν Μαρακάνδοις ἐν τῇ ἄκρᾳ φρουρούμενοι Μακεδόνες προσβολῆς γενομένης τῇ ἄκρᾳ ἐκ Σπιταμένους τε καὶ τῶν ἀμφ' αὐτὸν ἐπεκδραμόντες ἀπέκτειναν τε τῶν πολεμίων ἔστιν οὓς καὶ ἀπώσαντο ξύμπαντας καὶ αὐτοὶ ἀπαθεῖς ἀπεχώρησαν ἐς τὴν ἄκραν. (3) ὡς δὲ καὶ οἱ ὑπ' Ἀλεξάνδρου ἐσταλμένοι ἐς Μαράκανδα ἦδη προσάγοντες Σπιταμένει ἐξηγγέλλοντο, τὴν μὲν πολιορκίαν ἐκλείπει τῆς ἄκρας, αὐτὸς δὲ ὡς ἐς τὰ βασίλεια τῆς Σογδιανῆς ἀνεχώρει. Φαρνούχης δὲ καὶ οἱ ξὺν αὐτῷ στρατηγοὶ σπεύδοντες ἐξελάσαι αὐτὸν παντάπασιν ἐπί τε τὰ ὅρια τῆς Σογδιανῆς ξυνείποντο ὑποχωροῦντι καὶ εἰς τοὺς Νομάδας [τοὺς Σκύθας] οὐδενὶ λογισμῷ ξυνεσβάλλουσιν. (4) ἔνθα δὴ προσλαβὼν ὁ Σπιταμένης τῶν Σκυθῶν ἱππέων ἐς ἑξακοσίους προσεπήρθη ὑπὸ τῆς ξυμμαχίας τῆς Σκυθικῆς δέξασθαι ἐπιόντας τοὺς Μακεδόνας. παραταξάμενος δὲ ἐν χωρίοι ὁμαλῷ πρὸς τῇ ἐρήμοι τῆς Σκυθικῆς ὑπομεῖναι μὲν τοὺς πολεμίους ἢ αὐτὸς ἐς αὐτοὺς ἐμβαλεῖν οὐκ ἤθελε, περιιππεύων δὲ ἐτόξευεν ἐς τὴν φάλαγγα τῶν πεζῶν. (5) καὶ ἐπελαυνόντων μὲν αὐτοῖς τῶν ἀμφὶ Φαρνούχην ἔφευγεν εὐπετῶς, οἷα δὴ ὠκυτέρων τε αὐτοῖς καὶ ἐν τῷι τότε ἀκμαιοτέρων ὄντων τῶν ἵππων, τοῖς δὲ ἀμφὶ Ἀνδρόμαχον ὑπό τε τῆς ξυνεχοῦς πορείας καὶ ἅμα χιλοῦ ἀπορίαι κεκάκωτο ἡ ἵππος· μένουσι δὲ ἡ ὑποχωροῦσιν ἐπέκειντο εὐρώστως οἱ Σκύθαι. (6) ἔνθα δὴ πολλῶν μὲν τιτρωσκομένων ἐκ τῶν τοξευμάτων, ἔστι δὲ ὧν καὶ πιπτόντων, ἐς πλαίσιον ἰσόπλευρον τάξαντες τοὺς στρατιώτας ἀνεχώρουν ὡς ἐπὶ τὸν ποταμὸν τὸν Πολυτίμητον, ὅτι νάπος ταύτῃ ἦν ὡς μήτε τοῖς βαρβάροις εὐπετὲς ἔτι εἶναι ἐκτοξεύειν ἐς αὐτούς, σφίσι τε οἱ πεζοὶ ὠφελιμώτεροι ὦσι. (7) Κάρανος δὲ ὁ ἱππάρχης οὐκ ἀνακοινώσας Ἀνδρομάχωι διαβαίνειν ἐπεχείρησε τὸν ποταμὸν ὡς ἐς ἀσφαλὲς ταύτῃ καταστήσων τὴν ἵππον· καὶ οἱ πεζοὶ αὐτῶι ἐπηκολούθησαν οὐκ ἐκ παραγγέλματος, ἀλλὰ φοβερά τε καὶ οὐδενὶ κόσμωι ἐγένετο αὐτοῖς ἡ ἔσβασις ἡ ἐς τὸν ποταμὸν κατὰ κρημνώδεις τὰς ὄχθας. (8) καὶ οἱ βάρβαροι αἰσθόμενοι τὴν ἁμαρτίαν τῶν Μακεδόνων αὐτοῖς ἵπποις ἔνθεν καὶ ἔνθεν ἐσβάλλουσιν ἐς τὸν πόρον. καὶ οἱ μὲν τῶν ἤδη διαβεβηκότων καὶ ἀποχωρούντων εἴχοντο, οἱ δὲ τοὺς διαβαίνοντας ἀντιμέτωποι ταχθέντες ἀνείλουν ἐς τὸν ποταμόν, (9) οἱ δὲ ἀπὸ τῶν πλαγίων ἐκτόξευον ἐς αὐτούς, οἱ δὲ τοῖς ἔτι ἐσβαίνουσιν ἐπέκειντο, ὥστε ἀπορίαι πάντοθεν ξυνεχόμενοι οἱ Μακεδόνες ἐς νῆσόν τινα τῶν ἐν τῶι ποταμῶι ξυμφεύγουσιν οὐ μεγάλην. καὶ περιστάντες αὐτοὺς οἱ Σκύθαι τε καὶ οἱ ξὺν Σπιταμένει ἱππεῖς ἐν κύκλωι πάντας κατετόξευσαν· ὀλίγους δὲ ἡνδραποδίσαντο αὐτῶν, καὶ τούτους πάντας ἀπέκτειναν. (6, 1—2: Aristob. 139 F 27). . . . . (6, 3) ταῦτα δὲ ὡς ἠγγέλθη Ἀλεξάνδρωι, ἤλγησέ τε τῶι πάθει τῶν στρατιωτῶν καὶ ἔγνω σπουδῆι ἐλαύνειν ὡς ἐπὶ Σπιταμένην τε καὶ τοὺς ἀμφ' αὐτὸν βαρβάρους. ἀναλαβὼν οὖν τῶν τε ἑταίρων ἱππέων τοὺς ἡμίσεας καὶ τοὺς ὑπασπιστὰς ξύμπαντας καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῆς φάλαγγος τοὺς κουφοτάτους ἦιει ὡς ἐπὶ Μαράκανδα, ἵνα ἐπανήκειν Σπιταμένην ἐπινυθάνετο καὶ αὖθις πολιορκεῖν τοὺς

---

3 ⟨καὶ⟩ πεντακοσίους Krueger 4 [τὸν Φαρν.] Polak 11 βασίλεια A (Sogdiana-Buchara v. Schwarz Alex. d. Gr. Feldzüge in Turkestan 1906, 41) ἀνώτερα Schmieder ἀσινέα Enthoven βόρεια Polak 14 [τοὺς Σκύθ.] Jac τοὺς Σκύθας τ. Νομ. Krueger (s. 139 F 54 c. 16, 4) 21 Ἀνδρόμαχον Palmerius ἀριστόμαχον A 38 δὲ A³ al δὴ B

ἐν τῇι ἄκραι. (4) καὶ αὐτὸς μὲν ἐν τρισὶν ἡμέραις διελθὼν χιλίους καὶ πεντακοσίους σταδίους τῇι τετάρτηι ὑπὸ τὴν ἕω προσῆγε τῇι πόλει. Σπιταμένης δὲ καὶ οἱ ἀμφ' αὐτόν, ὡς ἐξηγγέλθη προσάγων Ἀλέξανδρος, οὐκ ἔμειναν, ἀλλ' ἐκλιπόντες τὴν πόλιν φεύγουσιν. (5) ὁ δὲ ἐχόμενος αὐτῶν ἐδίωκεν. ὡς δὲ ἐπὶ ⟨τὸν⟩ χῶρον ἦκεν, οὐ ἡ μάχη ἐγένετο, ὑφ᾽ας τοὺς στρατιώτας ὡς ἐκ τῶν παρόντων εἵπετο ἔστε ἐπὶ τὴν ἔρημον τοῖς φεύγουσιν. ἐκεῖθεν δὲ ἀναστρέφων ἐπόρθει τὴν χώραν καὶ τοὺς ἐς τὰ ἐρύματα καταπεφευγότας τῶν βαρβάρων ἔκτεινεν, ὅτι ξυνεπιθέσθαι ἐξηγγέλλοντο καὶ αὐτοὶ τοῖς Μακεδόσι· καὶ ἐπῆλθε πᾶσαν τὴν χώραν ὅσην ὁ ποταμὸς ὁ Πολυτίμητος ἐπάρδων ἐπέρχεται. (folgt Aristob. 139 F 28b).

35 (—) ARRIAN. Anab. V 21—24: (F 22) περάσας δὲ τὸν ποταμὸν (sc. τὸν Ἀκεσίνην) Κοῖνον μὲν ξὺν τῇι αὐτοῦ τάξει ἀπολείπει αὐτοῦ ἐπὶ τῇι ὄχθηι προστάξας ἐπιμελεῖσθαι τῆς ὑπολελειμμένης στρατιᾶς τῆς διαβάσεως, οἳ τόν τε σῖτον αὐτῶι τὸν ἐκ τῆς ἠόης ὑπηκόου τῶν Ἰνδῶν χώρας καὶ τὰ ἄλλα ἐπιτήδεια παρακομίζειν ἔμελλον. (2) Πῶρον δὲ ἐς τὰ αὐτοῦ ἤθη ἀποπέμπει, κελεύσας Ἰνδῶν τε τοὺς μαχιμωτάτους ἐπιλεξάμενον καὶ εἴ τινας παρ' αὐτῶι ἔχοι ἐλέφαντας, τούτους δὲ ἀναλαβόντα ἰέναι παρ' αὐτόν. αὐτὸς δὲ Πῶρον τὸν ἕτερον τὸν κακόν, ὅτι ἐξηγγέλθη πεφευγέναι ἀπολιπὼν τὴν χώραν ἧς ἦρχεν, ἐπενόει διώκειν σὺν τοῖς κουφοτάτοις τῆς στρατιᾶς. (3) ὁ γὰρ Πῶρος οὗτος, ἔστε μὲν πολέμια ξυνειστήκει Ἀλεξάνδρωι τὰ πρὸς τὸν ἄλλον Πῶρον, πρέσβεις παρ' Ἀλέξανδρον πέμπων αὐτόν τε καὶ τὴν ὑπὸ οἱ χώραν ἐνεδίδου Ἀλεξάνδρωι, κατὰ ἔχθος τὸ Πώρου μᾶλλον ἢ φιλίαι τῆι Ἀλεξάνδρου· ὡς δὲ ἀφειμένον τε ἐκεῖνον καὶ πρὸς τῆι αὐτοῦ καὶ ἄλλης πολλῆς ἀρχοντα ἐμαθε, τότε δὴ φοβηθεὶς οὐχ οὕτω τι Ἀλέξανδρον, ὡς τὸν Πῶρον ἐκεῖνον τὸν ὁμώνυμον φεύγει τὴν ἑαυτοῦ ἀναλαβὼν ὅσους τῶν μαχίμων ξυμπεῖσαι ἠδυνήθη μετασχεῖν οἱ τῆς φυγῆς. (4) ἐπὶ τοῦτον ἐλαύνων Ἀλέξανδρος ἀφικνεῖται ἐπὶ τὸν Ὑδραώτην ποταμόν, ἄλλον αὖ τοῦτον Ἰνδὸν ποταμόν, τὸ μὲν εὖρος οὐ μείονα τοῦ Ἀκεσίνου, ὀξύτητι δὲ τοῦ ῥοῦ μείονα. ὅσην δὲ τῆς χώρας ἔστε ἐπὶ τὸν Ὑδραώτην ἐπῆλθε, φυλακὰς ὑπέλιπεν ἐν τοῖς ἐπικαιροτάτοις χωρίοις, ὅπως οἱ ἀμφὶ Κρατερόν τε καὶ Κοῖνον δι' ἀσφαλείας ἐπέρχοιντο τῆς χώρας τὴν πολλὴν προνομεύοντες. (5) ἐνταῦθα Ἡφαιστίωνα μὲν ἐκπέμπει, δοὺς αὐτῶι μέρος τῆς στρατιᾶς πεζῶν μὲν φάλαγγας δύο, ἱππέων δὲ τήν τε αὐτοῦ καὶ τὴν Δημητρίου ἵππαρχίαν καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, ἐς τὴν Πώρου τοῦ ἀφεστηκότος χώραν, κελεύσας παραδιδόναι ταύτην Πώρωι τῶι ἄλλωι· καὶ εἰ δή τινα πρὸς ταῖς ὄχθαις τοῦ Ὑδραώτου ποταμοῦ αὐτόνομα ἔθνη Ἰνδῶν νέμεται, καὶ ταῦτα προσαγαγόμενον τῶι Πώρωι ἄρχειν ἐγχειρίσαι. (6) αὐτὸς δ' ἐπέρα τὸν Ὑδραώτην ποταμόν, οὐ καθάπερ τὸν Ἀκεσίνην χαλεπῶς. προχωροῦντι δὲ αὐτῶι ἐπέκεινα τῆς ὄχθης τοῦ Ὑδραώτου τοὺς μὲν πολλοὺς καθ' ὁμολογίαν προσχωρεῖν ξυνέβαινεν, ἤδη δέ τινας ξὺν ὅπλοις ἀπαντήσαντας, τοὺς δὲ καὶ ὑποφεύγοντας ἐλὼν βίαι κατεστρέψατο.

(22) ἐν τούτωι δὲ ἐξαγγέλλεται Ἀλεξάνδρωι τῶν αὐτονόμων Ἰνδῶν ἄλλους τέ τινας καὶ τοὺς καλουμένους Καθαίους αὐτούς τε παρασκευάζεσθαι ὡς πρὸς μάχην, εἰ προσάγοι τῆι χώραι αὐτῶν Ἀλέξανδρος, καὶ ὅσα ὅμορά σφισιν ⟨ἔθνη⟩ ὡσαύτως αὐτόνομα, καὶ ταῦτα παρακαλεῖν ἐς τὸ ἔργον. (2) εἶναι δὲ τήν τε πόλιν ὀχυρὰν πρὸς ἣν ἐπενόουν ἀγωνίσασθαι — Σάγγαλα ἦν τῆι πόλει ὄνομα — καὶ αὐτοὶ οἱ Καθαῖοι εὐτολμότατοί τε καὶ τὰ πολέμια κράτιστοι ἐνομίζοντο, καὶ τούτοις κατὰ τὰ αὐτὰ Ὀξυδράκαι, ἄλλο Ἰνδῶν ἔθνος, καὶ Μαλλοί, ἄλλο καὶ τοῦτο· ἐπεὶ καὶ ὀλίγωι πρόσθεν στρατεύσαντας ἐπ' αὐτοὺς Πώρόν τε καὶ Ἀβισάρην ξύν τε τῆι σφετέραι δυνάμει καὶ πολλὰ ἄλλα ἔθνη τῶν αὐτονόμων Ἰνδῶν ἀναστήσαντας οὐδὲν πράξαντας

4 ⟨τὸν⟩ Schmieder Krueger 41 ἠι Pflugk ἣν A 15 ἀναλαβόντα Vulcanius —τας A σαλγαλα Polyaen. IV 3, 30. 39 ⟨ἔθνη⟩

τῆς παρασκευῆς ἄξιον ξυνέβη ἀπελθεῖν. (3) ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, σπουδῇ ἤλαυνεν ὡς ἐπὶ τοὺς Καθαίους. καὶ δευτεραῖος μὲν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου πρὸς πόλιν ἦκεν ἡ ὄνομα Πίμπραμα· τὸ δὲ ἔθνος τοῦτο τῶν Ἰνδῶν Ἀδραισταὶ ἐκαλοῦντο. (4) οὗτοι μὲν δὴ προσεχώρησαν ὁμολογίαι Ἀλεξάνδρῳ. καὶ Ἀλεξάνδρος ἀναπαύσας τῇι ὑστεραίαι τὴν στρατιὰν τῇι τρίτηι προσῄει ἐπὶ τὰ Σάγγαλα, ἵνα οἱ Καθαῖοί τε καὶ οἱ ἄλλοι πρόσχωροι αὐτοῖς ξυνεληλυθότες πρὸ τῆς πόλεως παρατεταγμένοι ἦσαν ἐπὶ γηλόφου οὐ πάντηι ἀποτόμου· κύκλωι δὲ τοῦ γηλόφου ἁμάξας περιστήσαντες ἐντὸς αὐτῶν ἑστρατοπέδευον, ὡς τριπλοῦν χάρακα προβεβλῆσθαι πρὸ τῶν ἁμαξῶν. (5) Ἀλέξανδρος δὲ τό τε πλῆθος κατιδὼν τῶν βαρβάρων καὶ τοῦ χωρίου τὴν φύσιν, ὡς μάλιστα πρὸς τὰ παρόντα ἐν καιρῷι οἱ ἐφαίνετο παρετάσσετο. καὶ τοὺς μὲν ἱπποτοξότας εὐθὺς ὡς εἶχεν ἐκπέμπει ἐπ' αὐτούς, ἀκροβολίζεσθαι κελεύσας παριππεύοντας, ὡς μήτε ἐκδρομήν τινα ποιήσασθαι τοὺς Ἰνδοὺς πρὶν ξυνταχθῆναι αὐτῶι τὴν στρατιὰν καὶ ὡς πληγὰς γίγνεσθαι αὐτοῖς καὶ πρὸ τῆς μάχης ἐντὸς τοῦ ὀχυρώματος. (6) αὐτὸς δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως τῶν ἱππέων τὸ ἄγημα κατέστησε καὶ τὴν Κλείτου ἵππαρχίαν, ἐχομένους δὲ τούτων τοὺς ὑπασπιστάς, καὶ ἐπὶ τούτοις τοὺς Ἀγριᾶνας· κατὰ δὲ τὸ εὐώνυμον Περδίκκας αὐτῶι ἐτέτακτο τήν τε αὐτοῦ ἔχων ἵππαρχίαν καὶ τὰς τῶν πεζεταίρων τάξεις· ἐπὶ κέρως δὲ ἑκατέρου οἱ τοξόται αὐτῶι διχῆι διακριθέντες ἐτάχθησαν. (7) ἐκτάσσοντι δὲ αὐτῶι παρεγένοντο καὶ οἱ ἀπὸ τῆς ὀπισθοφυλακίας πεζοί τε καὶ ἱππεῖς. καὶ τούτων τοὺς μὲν ἱππέας ἐπὶ τὰ κέρατα διελὼν παρήγαγεν, ἀπὸ δὲ τῶν πεζῶν τῶν προσγενομένων πυκνοτέραν τὴν ξύγκλεισιν τῆς φάλαγγος ποιήσας αὐτὸς ἀναλαβὼν τὴν ἵππον τὴν ἐπὶ τοῦ δεξιοῦ τεταγμένην παρήγαγεν ἐπὶ τὰς κατὰ τὸ εὐώνυμον τῶν Ἰνδῶν ἁμάξας. ταύτηι γὰρ εὐπροσοδώτερον αὐτῶι ἐφαίνετο τὸ χωρίον καὶ οὐ πυκναὶ ὡσαύτως αἱ ἅμαξαι ἐφειστήκεσαν. (23) ὡς δὲ ἐπὶ τὴν ἵππον προσαγαγοῦσαν οὐκ ἐξέδραμον οἱ Ἰνδοὶ ἔξω τῶν ἁμαξῶν, ἀλλ' ἐπιβεβηκότες αὐτῶν ἀφ' ὑψηλοῦ ἠκροβολίζοντο, γνοὺς Ἀλέξανδρος ὅτι οὐκ εἴη τῶν ἱππέων τὸ ἔργον καταπηδήσας ἀπὸ τοῦ ἵππου πεζὸς ἐπῆγε τῶν πεζῶν τὴν φάλαγγα. (2) καὶ ἀπὸ μὲν τῶν πρώτων ἁμαξῶν οὐ χαλεπῶς ἐβιάσαντο οἱ Μακεδόνες τοὺς Ἰνδούς· πρὸ δὲ τῶν δευτέρων οἱ Ἰνδοὶ παραταξάμενοι ῥᾴων ἀπεμάχοντο, οἷα δὴ πυκνότεροί τε ἐφεστηκότες ἐλάττονι τῶι κύκλωι καὶ τῶν Μακεδόνων οὐ κατ' εὐρυχωρίαν ὡσαύτως προσαγόντων σφίσιν, ἐν ὧι τάς τε πρώτας ἁμάξας ὑπεξῆγον καὶ κατὰ τὰ διαλείμματα αὐτῶν ὡς ἑκάστοις προὐχώρει ἀτάκτως προσέβαλλον· ἀλλὰ καὶ ἀπὸ τούτων ὅμως ἐξώσθησαν οἱ Ἰνδοὶ βιασθέντες πρὸς τῆς φάλαγγος. (3) οἱ δὲ οὐκέτι ἐπὶ τῶν τρίτων ἔμενον, ἀλλὰ ὡς τάχους εἶχον φυγῆι εἰς τὴν πόλιν κατεκλείσθησαν.

καὶ Ἀλέξανδρος ταύτην μὲν τὴν ἡμέραν περιεστρατοπέδευσε τοῖς πεζοῖς τὴν πόλιν ὅσα γε ἠδυνήθη αὐτῶι περιβαλεῖν ἡ φάλαγξ· ἐπὶ πολὺ γὰρ ἐπέχον τὸ τεῖχος τῶι στρατοπέδωι κυκλώσασθαι οὐ δυνατὸς ἐγένετο. (4) κατὰ δὲ τὰ διαλείποντα αὐτοῦ, ἵνα καὶ λίμνη οὐ μακρὰν τοῦ τείχους ἦν, τοὺς ἱππέας ἐπέταξεν ἐν κύκλωι τῆς λίμνης, γνοὺς οὐ βαθεῖαν οὖσαν τὴν λίμνην καὶ ἅμα εἰκάσας ὅτι φοβεροὶ γενόμενοι οἱ Ἰνδοὶ ἀπὸ τῆς προτέρας ἥττης ἀπολείψουσι τῆς νυκτὸς τὴν πόλιν. (5) καὶ συνέβη οὕτως ὅπως εἴκασεν. ἀμφὶ γὰρ δευτέραν φυλακὴν ἐκπίπτοντες ἐκ τοῦ τείχους οἱ πολλοὶ αὐτῶν ἐνέκυρσαν ταῖς προφυλακαῖς τῶν ἱππέων· καὶ οἱ μὲν πρῶτοι αὐτῶν

---

3 ἀδραῖσται A Ἀ(ν)δρεσταί Diod. XVII 91, 2 *Adrestae* Justin. XII 8, 9 6 ⟨οἱ⟩ πρόσχωροι Pflugk 8 [πρό] Vulcanius 17 πεζεταίρων Blancardus ἀσθεταίρων A 28 πρὸ: ἀπὸ Anspach 29 ἐλάττονι Blancardus ἐλάττον A² ἔλαττοι B ἐν ἐλάττονι k 33—34 κατειλήθησαν Sintenis 36 περιλαβεῖν Pflugk 39 [τὴν λίμνην] Polak

κατεκόπησαν πρὸς τῶν ἱππέων, οἱ δὲ ἐπὶ τούτοις αἰσθόμενοι ὅτι φυλάσσεται ἐν κύκλωι ἡ λίμνη ἐς τὴν πόλιν αὖθις ἀνεχώρησαν. (6) Ἀλέξανδρος δὲ χάρακί τε διπλῶι περιβάλλει ἵναπερ μὴ εἶργεν ἡ λίμνη τὴν πόλιν καὶ φυλακὰς ἐν κύκλωι τῆς λίμνης ἀκριβεστέρας κατέστησεν. αὐτὸς δὲ μηχανὰς προσάγειν τῶι τείχει ἐπενόει, ὡς κατασείειν τὸ τεῖχος. αὐτομολήσαντες δὲ αὐτῶι τῶν ἐκ τῆς πόλεώς τινες φράζουσιν, ὅτι ἐν νῶι ἔχοιεν αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐκπίπτειν ἐκ τῆς πόλεως οἱ Ἰνδοὶ κατὰ τὴν λίμνην, ἵναπερ τὸ ἐκλιπὲς ἦν τοῦ χάρακος. (7) ὁ δὲ Πτολεμαῖον τὸν Λάγου ἐπιτάττει ἐνταῦθα, τῶν τε ὑπασπιστῶν αὐτῶι δοὺς χιλιαρχίας τρεῖς καὶ τοὺς Ἀγριᾶνας ξύμπαντας καὶ μίαν τάξιν τῶν τοξοτῶν, ἀποδείξας τὸ χωρίον, ἥπτερ μάλιστα εἰκαζε βιάσεσθαι τοὺς βαρβάρους. 'σὺ δὲ ἐπειδὰν αἴσθηι', ἔφη, 'βιαζομένους ταύτηι, αὐτὸς μὲν ξὺν τῆι στρατιᾶι εἴργειν τοὺς βαρβάρους τοῦ πρόσω, τὸν δὲ σαλπιγκτὴν κέλευε σημαίνειν· ὑμεῖς δέ, ἄνδρες ἡγεμόνες, ἐπειδὰν σημανθῆι, ξὺν τοῖς καθ' αὐτοὺς ἕκαστοι ξυντεταγμένοι ἰέναι ἐπὶ τὸν θόρυβον, ἵνα ἂν ἡ σάλπιγξ παρακαλῆι. ἀποστατήσω δὲ οὐδὲ ἐγὼ τοῦ ἔργου.'

(24) ὁ μὲν ταῦτα παρήγγειλεν· Πτολεμαῖος δὲ ἀμάξας τε ἐκ τῶν ἀπολελειμμένων ἐν τῆι πρώτηι φυγῆι ἁμαξῶν ταύτηι ξυναγαγὼν ὡς πλείστας κατέστησεν ἐγκαρσίας, ἵνα πολλὰ ἐν νυκτὶ τὰ ἄπορα φαίνηται τοῖς φεύγουσι, καὶ τοῦ χάρακος τοῦ κεκομμένου τε καὶ οὐ καταπηχθέντος συννῆσαι ἄλληι καὶ ἄλληι ἐκέλευσεν ἐν μέσωι τῆς τε λίμνης καὶ τοῦ τείχους· καὶ ταῦτ' αὐτῶι οἱ στρατιῶται ἐν τῆι νυκτὶ ἐξειργάσαντο. (2) ἤδη τε ἦν ἀμφὶ τετάρτην φυλακὴν καὶ οἱ βάρβαροι, καθάπερ ἐξήγγελτο Ἀλεξάνδρωι, ἀνοίξαντες τὰς ὡς ἐπὶ τὴν λίμνην πύλας ὁρόμωι ἐπ' αὐτὴν ἐφέροντο. οὐ μὴν ἔλαθόν τε σαλπιγκταὶ ἐσήμαινον αὐτῶι καὶ αὐτὸς τὴν στρατιὰν ὡπλισμένην τε καὶ συντεταγμένην ἔχων ἐχώρει ἐπὶ τοὺς βαρβάρους. τοῖς δὲ αἵ τε ἅμαξαι ἐμποδὼν ἦσαν καὶ ὁ χάραξ ἐν μέσωι καταβεβλημένος· ὡς δὲ ἥ τε σάλπιγξ ἐφθέγξατο καὶ οἱ ἀμφὶ Πτολεμαῖον προσέκειντο αὐτοῖς τοὺς δεῖ ἐκπίπτοντας διὰ τῶν ἁμαξῶν κατακαίνοντες, ἐνταῦθα δὴ ἀποστρέφονται αὖθις ἐς τὴν πόλιν. καὶ ἀπέθανον αὐτῶν ἐν τῆι ἀποχωρήσει ἐς πεντακοσίους.

(4) ἐν τούτωι δὲ καὶ Πῶρος ἀφίκετο τούς τε ὑπολοίπους ἐλέφαντας ἅμα οἱ ἄγων καὶ τῶν Ἰνδῶν ἐς πεντακισχιλίους, αἵ τε μηχαναὶ Ἀλεξάνδρωι ξυμπεπηγμέναι ἦσαν καὶ προσήγοντο ἤδη τῶι τείχει. ἀλλὰ οἱ Μακεδόνες πρίν καὶ κατασεισθῆναί τι τοῦ τείχους, ὑπορύττοντές τε αὐτοὶ πλίνθινον ὂν τὸ τεῖχος καὶ τὰς κλίμακας ἐν κύκλωι πάντηι προσθέντες αἱροῦσι κατὰ κράτος τὸν πόλιν. (5) καὶ ἀποθνήσκουσι μὲν ἐν τῆι καταλήψει τῶν Ἰνδῶν ἐς μυρίους καὶ ἑπτακισχιλίους, ἑάλωσαν δὲ ὑπὲρ τὰς ἑπτὰ μυριάδας καὶ ἅρματα τριακόσια καὶ ἵπποι πεντακόσιοι. τῆς δὲ ξὺν Ἀλεξάνδρωι στρατιᾶς ἀπέθανον μὲν ὀλίγον ἀποδέοντες τῶν ἑκατὸν ἐν τῆι πάσηι πολιορκίαι, τραυματίαι δὲ οὐ κατὰ τὸ πλῆθος τῶν νεκρῶν ἐγένοντο, ἀλλὰ ὑπὲρ τοὺς χιλίους καὶ διακοσίους, καὶ ἐν τούτοις τῶν ἡγεμόνων ἄλλοι τε καὶ Λυσίμαχος ὁ σωματοφύλαξ.

(6) θάψας δὲ ὡς νόμος αὐτῶι τοὺς τελευτήσαντας Εὐμενῆ τὸν γραμματέα ἐκπέμπει ἐς τὰς δύο πόλεις τὰς ξυναφεστώσας τοῖς Σαγγάλοις, δοὺς αὐτῶι τῶν ἱππέων ἐς τριακοσίους, φράσοντα τοῖς ἔχουσι τὰς πόλεις τῶν τε Σαγγάλων τὴν ἅλωσιν καὶ ὅτι αὐτοῖς οὐδὲν ἔσται χαλεπὸν ⟨ἐξ⟩ Ἀλεξάνδρου ὑπομένουσί τε καὶ δεχομένοις φιλίως Ἀλέξανδρον· οὐδὲ γὰρ οὐδὲ ἄλλοις τισὶ γενέσθαι τῶν αὐτονόμων

9 εἴκασε Krueger 20 ἐξήγγελτο Krueger —έλλετο A 22 τούτωι: ταὐτῶι Grundmann 35 ἵπποι Lezius ἱππεῖς A 42 φράσοντα Krueger —τας A 48 ⟨ἐξ⟩ add k

Ἰνδῶν ὅσοι ἑκόντες σφᾶς ἐνέδοσαν. (7) οἱ δέ — ἤδη γὰρ ἐξήγγελτο αὐτοῖς κατὰ κράτος ἑαλωκότα πρὸς Ἀλεξάνδρου τὰ Σάγγαλα — φοβεροὶ γενόμενοι ἔφευγον ἀπολιπόντες τὰς πόλεις· καὶ Ἀλέξανδρος, ἐπειδὴ ἐξηγγέλθη αὐτῶν ἡ φυγή, σπουδῇ ἐδίωκεν. ἀλλὰ οἱ πολλοὶ μὲν αὐτῶν ἔφθασαν ἀποφυγόντες — διὰ μακροῦ γὰρ ἡ δίωξις ἐγίγνετο —, ὅσοι δὲ κατὰ τὴν ἀποχώρησιν ἀσθενείαι ὑπελείποντο, οὗτοι ἐγκαταληφθέντες πρὸς τῆς στρατιᾶς ἀπέθανον ἐς πεντακοσίους μάλιστα. (8) ὡς δὲ ἀπέγνω διώκειν τοῦ πρόσω τοὺς φεύγοντας, ἐπανελθὼν ἐς τὰ Σάγγαλα τὴν πόλιν μὲν κατέσκαψε, τὴν χώραν δὲ τῶν Ἰνδῶν τοῖς πάλαι μὲν αὐτονόμοις, τότε δὲ ἑκουσίως προσχωρήσασι προσέθηκεν. καὶ Πῶρον μὲν ξὺν τῇ δυνάμει τῇ ἀμφ' αὐτὸν ἐκπέμπει ἐπὶ τὰς πόλεις αἳ προσεχωρήκεσαν φρουρὰς εἰσάξοντα εἰς αὐτάς, αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ ἐπὶ τὸν Ὕφασιν ποταμὸν προύχώρει, ὡς καὶ τοὺς ἐπέκεινα Ἰνδοὺς καταστρέψαιτο. οὐδὲ ἐφαίνετο αὐτῷ πέρας τι τοῦ πολέμου ἔστε ὑπελείπετό τι πολέμιον.

## 139. ARISTOBULOS VON KASSANDREIA.

T

1 ARRIAN. Anab. VI 28, 2: *Ἀριστόβουλος ὁ Ἀριστοβούλου.* s. T 6; F 50.

2 PLUT. Demosth. 23, 6: *Ἀριστόβουλος ὁ Κασσανδρεύς.* s. F 6; 47.

3 [LUKIAN.] Macrob. 22: *Ἀριστόβουλος δὲ ὁ Κασανδρεὺς ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται βεβιωκέναι· τὴν ἱστορίαν δὲ τέταρτον καὶ ὀγδοηκοστὸν ἔτος γεγονὼς ἤρξατο συγγράφειν, ὡς αὐτὸς ἐν ἀρχῇ τῆς πραγματείας λέγει.*

4 LUKIAN. quom. hist. conscr. 12: *ὥσπερ Ἀριστόβουλος μονομαχίαν γράψας Ἀλεξάνδρου καὶ Πώρου, καὶ ἀναγνόντος αὐτῷ τοῦτο μάλιστα τὸ χωρίον τῆς γραφῆς — ὤιετο γὰρ χαριεῖσθαι τὰ μέγιστα τῷ βασιλεῖ ἐπιψευδόμενος ἀριστείας τινὰς αὐτῷ .... — λαβὼν ἐκεῖνος τὸ βιβλίον (πλέοντες δὲ ἐτύγχανον ἐν τῷ ποταμῷ τῷ Ὑδάσπῃ) ἔρριψεν ἐπὶ κεφαλὴν ἐς τὸ ὕδωρ ἐπειπών 'καὶ σὲ δὲ οὕτως ἐχρῆν, ὦ Ἀριστόβουλε, τοιαῦτα ὑπὲρ ἐμοῦ μονομαχοῦντα καὶ ἐλέφαντας ἐνὶ ἀκοντίῳ φονεύοντα'.*

5 ANON. Epit. Rhet. III 610, 18 W: *πέμπτη* (sc. ῥητορική) *ἡ κολακευτική, ἧς ἡγήσατο Δημάδης καὶ Ἀριστόβουλος.*

6 ARRIAN. Anab. pro. 1—2: *Πτολεμαῖος ὁ Λάγου καὶ Ἀριστόβουλος ὁ Ἀριστοβούλου ὅσα μὲν ταὐτὰ ἄμφω περὶ Ἀλεξάνδρου ... συνέγραψαν, ταῦτα ἐγὼ ὡς πάντῃ ἀληθῆ ἀναγράφω ..... ὁ μὲν ὅτι συνεστράτευσε βασιλεῖ Ἀλεξάνδρῳ Ἀριστόβουλος ..... ἄμφω δὲ ὅτι τετελευτηκότος ἤδη Ἀλεξάνδρου ξυγγράφουσιν .....* s. 138 T 1.

F

### Alexander-Geschichte.

1 (Script. Alex. M. p. 95, 1). [LUKIAN.] Macrob. 22: s. T 3.

2 (1 a) a) PLUT. Non posse 10 p. 1093 C: *τίς δ' ἂν ἡσθείη συναπαυσάμενος τῇ καλλίστῃ γυναικὶ μᾶλλον ἢ προσαγορυπνήσας οἷς γέγραφε περὶ Πανθείας Ξενοφῶν* (Kyrup. VI 1 ff.) *ἢ περὶ Τιμοκλείας Ἀριστόβουλος ἢ Θήβης Θεόπομπος* (115 F 337). b) PLUT. Mul. virt. p. 259 D—260 D: s. 335 a.

6 δὲ καταληφθέντες Sintenis 29 Ἀριστόδημος ebd. VI 25, 8.

Τιμόκλεια. Θεαγένης ὁ Θηβαῖος, Ἐπαμεινώνδαι καὶ Πελοπίδαι καὶ τοῖς ἀρίστοις ἀνδράσι τὴν αὐτὴν ὑπὲρ τῆς πόλεως λαβὼν διάνοιαν, ἔπταισε περὶ τὴν κοινὴν τύχην τῆς Ἑλλάδος ἐν Χαιρωνείαι, κρατῶν ἤδη καὶ διώκων τοὺς κατ' αὐτὸν ἀντιτεταγμένους — ἐκεῖνος γὰρ ἦν ὁ πρὸς τὸν ἐμβοήσαντα 'μέχρι ποῦ διώκεις;' ἀποκρινάμενος 'μέχρι Μακεδονίας'. ἀποθανόντι δ' αὐτῶι περιῆν ἀδελφὴ μαρτυροῦσα κἀκείνη ἀρετῆι γένους καὶ φύσει μέγαν ἄνδρα καὶ λαμπρὸν γενέσθαι· πλὴν ταύτηι γε καὶ χρηστὸν ἀπολαθσαί τι τῆς ἀρετῆς ὑπῆρξεν, ὥστε κουφότερον ὅσον τῶν κοινῶν ἀτυχημάτων εἰς αὐτὴν ἦλθεν ἐνεγκεῖν. ἐπεὶ γὰρ ἐκράτησε Θηβαίων Ἀλέξανδρος, ἄλλοι δ' ἄλλα τῆς πόλεως ἐπόρθουν ἐπιόντες, ἔτυχε τὴν Τιμοκλείας οἰκίαν καταλαβὼν ἄνθρωπος οὐκ ἐπιεικὴς οὐδ' ἥμερος ἀλλ' ὑβριστὴς καὶ ἀνόητος· ἦρχε δὲ Θρᾳκίου τινὸς ἴλης καὶ ὁμώνυμος ἦν τοῦ βασιλέως, οὐδὲν δ' ὅμοιος· οὔτε γὰρ τὸ γένος οὔτε τὸν βίον αἰδεσθεὶς τῆς γυναικός, ὡς ἐνέπλησεν ἑαυτὸν οἴνου, μετὰ δεῖπνον ἐκάλει συναναπαυσομένην. καὶ τοῦτο πέρας οὐκ ἦν· ἀλλὰ καὶ χρυσὸν ἐζήτει καὶ ἄργυρον, εἴ τις εἴη κεκρυμμένος ὑπ' αὐτῆς, τὰ μὲν ὡς ἀπολῶν τὰ δὲ ὡς ἔξων διὰ παντὸς ἐν τάξει γυναικός. ἡ δὲ δεξαμένη λαβὴν αὐτοῦ διόδοντος 'ὄφελον μέν', εἶπε, 'τεθνάναι πρὸ ταύτης ἐγὼ τῆς νυκτὸς ἢ ζῆν· τὸ γοῦν σῶμα πάντων ἀπολλυμένων ἀπείρατον ὕβρεως διεφύλαξα. πεπραγμένων δ' οὕτως, εἴ σε κηδεμόνα καὶ δεσπότην καὶ ἄνδρα δεῖ νομίζειν, τοῦ δαίμονος διδόντος, οὐκ ἀποστερήσω σε τῶν σῶν· ἐμαυτὴν γάρ, ὅ τι βουλήσηι, ὁρῶ γεγενημένην. ἐμοὶ περὶ σῶμα κόσμος ἦν καὶ ἄργυρος ἐν ἐκπώμασιν, ἦν τι καὶ χρυσοῦ καὶ νομίσματος. ὡς δ' ἡ πόλις ἡλίσκετο, πάντα συλλαβεῖν κελεύσασα τὰς θεραπαινίδας ἔρριψα, μᾶλλον δὲ κατεθέμην εἰς φρέαρ ὕδωρ οὐκ ἔχον. οὐδ' ἴσασιν αὐτὸ πολλοί· πῶμα γάρ ἐπιστι καὶ κύκλωι περιπέφυκεν ὕλη σύσκιος. ταῦτα σὺ μὲν εὐτυχοίης λαβών, ἐμοὶ δ' ἔσται πρός σε μαρτύρια καὶ γνωρίσματα τῆς περὶ τὸν οἶκον εὐτυχίας καὶ λαμπρότητος.' ἀκούσας οὖν ὁ Μακεδὼν οὐ περιέμεινε τὴν ἡμέραν, ἀλλ' εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν τόπον ἡγουμένης τῆς Τιμοκλείας· καὶ τὸν κῆπον ἀποκλεῖσαι κελεύσας, ὅπως αἰσθοιτο μηδείς, κατέβαινεν ἐν τῶι χιτῶνι. στυγερὰ δ' ἡγεῖτο Κλωθὼ τιμωρὸς ὑπὸ τῆς Τιμοκλείας ἐφεστώσης ἄνωθεν. ὡς δ' ἤσθετο τῆι φωνῆι κάτω γεγονότος, πολλοὺς μὲν αὐτὴ τῶν λίθων ἐπέφερε, πολλοὺς δὲ καὶ μεγάλους αἱ θεραπαινίδες ἐπεκυλίνδουν, ἄχρι οὗ κατέκοψαν αὐτὸν καὶ κατέχωσαν. ὡς δ' ἔγνωσαν οἱ Μακεδόνες καὶ τὸν νεκρὸν ἀνείλοντο, κηρύγματος ἤδη γεγονότος μηδένα κτείνειν Θηβαίων, ἦγον αὐτὴν συλλαβόντες ἐπὶ τὸν βασιλέα καὶ προσήγγειλαν τὸ τετολμημένον. ὁ δὲ καὶ τῆι καταστάσει τοῦ προσώπου καὶ τῶι σχολαίωι τοῦ βαδίσματος ἀξιωματικόν τι καὶ γενναῖον ἐνιδὼν πρῶτον ἀνέκρινεν αὐτὴν τίς εἴη γυναικῶν. ἡ δ' ἀνεκπλήκτως πάνυ καὶ τεθαρρηκότως εἶπεν· 'ἐμοὶ Θεαγένης ἦν ἀδελφός, ὃς ἐν Χαιρωνείαι στρατηγῶν καὶ μαχόμενος πρὸς ὑμᾶς ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἔπεσεν, ὅπως ἡμεῖς μηδὲν τοιοῦτον πάθωμεν. ἐπεὶ δὲ πεπόνθαμεν ἀνάξια τοῦ γένους, ἀποθανεῖν οὐ φεύγομεν· οὐδὲ γὰρ ἄμεινον ἴσως ζῶσαν ἑτέρας πειρᾶσθαι νυκτός, εἰ σὺ τοῦτο μὴ κωλύσεις.' οἱ μὲν οὖν ἐπιεικέστατοι τῶν παρόντων ἐδάκρυσαν, Ἀλεξάνδρωι δ' οἰκτίρειν μὲν οὐκ ἐπῆιει τὴν ἄνθρωπον ὡς μείζονα, θαυμάσας δὲ τὴν ἀρετὴν καὶ τὸν λόγον εὖ μάλα καθαψάμενον αὐτοῦ, τοῖς μὲν ἡγεμόσι παρήγγειλε προσέχειν καὶ φυλάττειν, μὴ πάλιν ὕβρισμα τοιοῦτον εἰς οἰκίαν ἐνδοξον γένηται, τὴν δὲ Τιμόκλειαν ἀφῆκεν αὐτήν τε καὶ πάντας, ὅσοι κατὰ γένος αὐτῆι προσήκοντες εὑρέθησαν.

**3** (1 b) PLUT. Demosth. 23, 4—6: εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξήιτει πέμπων τῶν δημαγωγῶν δέκα μέν, ὡς Ἰδομενεὺς (III) καὶ Δοῦρις (76 F 39) εἰρή- a. 335/4

1 ⟨ἄλλους⟩ ἀρίστους? 5 κἀκείνη Jac κἀκεῖνον Pl 12 τοῦτο Meineke τούτου Pl 16 ἀπολομένων ἀπείρατον ⟨ἀν⟩ Cobet διεφύλαξα Turnebus διαφυλάξαι Pl διεφύλαξα ἄν? 18 βούλει σὴν Cobet βούλει σύ Bernardakis 27 ὡς γὰρ? 43 ἐζήτει N

κασιν, ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε· Δημοσθένην Πολύευκτον Ἐφιάλτην Λυκοῦργον Μοιροκλέα Δήμωνα Καλλισθένην Χαρίδημον. ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε διηγησάμενος, αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῶι κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένους, Ἀλέξανδρον δὲ τὸν Μακεδόνα μονόλυκον προσηγόρευσεν. ἔτι δ' ὥσπερ ἔφη τοὺς ἐμπόρους ὁρῶμεν ὅταν ἐν τρυβλίοι δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεκδιδόντες. ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασσανδρεὺς ἱστόρηκε.

4 (1 c) — De Alex. fort. I 3 p. 327 DE (II 11 p. 342 D; Alex. 15): a. 334 Alexander geht nach Asien τοῖς τρισμυρίοις . . . πεζοῖς καὶ τετρακισχιλίοις ἱππεῦσι πιστεύσας· τοσοῦτοι γὰρ ἦσαν, ὡς Ἀριστόβουλός φησιν· ὡς δὲ Πτολεμαῖος (138 F 4) . . . τρισμύριοι πεζοί, πεντακισχίλιοι δ' ἱππεῖς· . . . . τὸ δὲ λαμπρὸν αὐτῶι καὶ μέγα παρακενασθὲν ὑπὸ τῆς Τύχης ἐφόδιον ἑβδομήκοντα τάλαντ' ἦν, ὡς φησιν Ἀριστόβουλος.

5 (2) — Alex. 16: λέγονται δὲ πεζοὶ μὲν δισμύριοι τῶν βαρβάρων, ἱππεῖς δὲ δισχίλιοι πεντακόσιοι πεσεῖν (in der schlacht am Granikos). τῶν δὲ περὶ τὸν Ἀλέξανδρον Ἀριστόβουλός φησι τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας, ὧν ἐννέα πεζοὺς εἶναι.

6 (3) ATHEN. II 19 p. 43 D: Ἀριστόβουλος δ' ὁ Κασανδρεύς φησιν ἐν Μιλήτωι κρήνην εἶναι Ἀχίλλειον καλουμένην, ἧς τὸ μὲν ῥεῦμα εἶναι γλυκύτατον, τὸ δ' ἐφεστηκὸς ἁλμυρόν· ἀφ' ἧς οἱ Μιλήσιοι περιρράνασθαί φασι τὸν ἥρωα, ὅτε ἀπέκτεινε Τράμβηλον τὸν τῶν Λελέγων βασιλέα.

7 (4) a) ARRIAN. Anab. II 3: Ἀλέξανδρος δὲ ὡς ἐς Γόρδιον παρῆλθε, πόθος λαμβάνει αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν, ἵνα καὶ τὰ βασίλεια ἦν τὰ Γορδίου καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν. (2) λόγος δὲ περὶ τῆς ἁμάξης ἐκείνης παρὰ τοῖς προσχώροις πολὺς κατεῖχε Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα πένητα καὶ ὀλίγην εἶναι αὐτῶι γῆν ἐργάζεσθαι καὶ ζεύγη βοῶν δύο· καὶ τῶι μὲν ἀροτριᾶν, τῶι δὲ ἁμαξεύειν τὸν Γόρδιον. (3) καί ποτε ἀροῦντος αὐτοῦ ἐπιστῆναι ἐπὶ τὸν ζυγὸν ἀετὸν καὶ ἐπιμεῖναι ἕστε ἐπὶ βουλυτὸν καθήμενον· τὸν δὲ ἐκπλαγέντα τῆι ὄψει ἰέναι κοινώσοντα ὑπὲρ τοῦ θείου παρὰ τοὺς Τελμισσέας τοὺς μάντεις· εἶναι γὰρ τοὺς Τελμισσέας σοφοὺς τὰ θεῖα ἐξηγεῖσθαι καί σφισιν ἀπὸ γένους δεδόσθαι αὐτοῖς καὶ γυναιξὶν καὶ παισὶ τὴν μαντείαν. (4) προσάγοντα δὲ κώμηι τινὶ τῶν Τελμισσέων ἐντυχεῖν παρθένωι ὑδρευομένηι καὶ πρὸς ταύτην εἰπεῖν ὅπως οἱ τὸ τοῦ ἀετοῦ ἔσχε· τὴν δὲ — εἶναι γὰρ καὶ αὐτὴν τοῦ μαντικοῦ γένους — θύειν κελεῦσαι τῶι Διὶ τῶι βασιλεῖ, ἐπανελθόντα ἐς τὸν τόπον αὐτόν. καὶ — δεηθῆναι γὰρ αὐτῆς Γόρδιον τὴν θυσίαν ξυνεπισπομένην οἱ αὐτὴν ἐξηγήσασθαι — θῦσαί τε ὅπως ἐκείνη ὑπετίθετο τὸν Γόρδιον καὶ ξυγγενέσθαι ἐπὶ γάμωι τῆι παιδὶ καὶ γενέσθαι αὐτοῖν παῖδα Μίδαν ὄνομα.

2 μυροκλέα Y 3—4 Δημοσθένης — αὐτὸν Y Δ. προσῆψε τῶι δήμωι ἃ τ. λόκ. — ἐξέδωκε καὶ διηγούμενος αὐτὸν N 5 τὸν δὲ ἀλέξανδρον τὸν N 22 ὑφεστηκὸς Schweighaeuser 23 Τράμβηλον Eust. Il. B 770 στράμβηλον CE 26 τὴν Γορδίου A[1] al τοῦ Γορδίου BL 30 ἐπιπτῆναι Lobeck

(5) ἤδη τε ἄνδρα εἶναι τὸν Μίδαν καλὸν καὶ γενναῖον καὶ ἐν τούτῳ στάσει πιέζεσθαι ἐν ἀφίσι τοὺς Φρύγας, καὶ γενέσθαι αὐτοῖς χρησμόν, ὅτι ἅμαξα ἄξει αὐτοῖς βασιλέα καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν στάσιν. ἔτι δὲ περὶ αὐτῶν τούτων βουλευομένοις ἐλθεῖν τὸν Μίδαν ὁμοῦ τῶι πατρὶ καὶ τῆι μητρὶ καὶ ἐπιστῆναι τῆι ἐκκλησίαι αὐτῆι ἁμάξηι. (6) τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον τοῦτον ἐκεῖνον γνῶναι ὄντα, ὄντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν ὅτι ἄξει ἡ ἅμαξα καὶ καταστῆσαι μὲν αὐτοὺς βασιλέα τὸν Μίδαν, Μίδαν δὲ αὐτοῖς τὴν στάσιν καταπαῦσαι καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῆι ἄκραι ἀναθεῖναι χαριστήρια τῶι Διὶ τῶι βασιλεῖ ἐπὶ τοῦ ἀετοῦ τῆι πομπῆι. πρὸς δὲ δὴ τούτοις καὶ τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο, ὅστις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. (7) ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανίας καὶ τούτου οὔτε τέλος οὔτε ἀρχὴ ἐφαίνετο. Ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε, μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ μὲν λέγουσιν, ὅτι παίσας τῶι ξίφει διέκοψε τὸν δεσμὸν καὶ λελύσθαι ἔφη· Ἀριστόβουλος δὲ λέγει ἐξελόντα τὸν ἧστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπάξ, ξυνέχων τὸν δεσμόν, ἐξελκύσαι ἔξω τοῦ ῥυμοῦ τὸν ζυγόν. (8) ὅπως μὲν δὴ ἐπράχθη τὰ ἀμφὶ τῶι δεσμῶι τούτωι Ἀλεξάνδρωι οὐκ ἔχω ἰσχυρίσασθαι· ἀπηλλάγη δ' οὖν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ὡς τοῦ λογίου τοῦ ἐπὶ τῆι λύσει τοῦ δεσμοῦ ξυμβηκότος. καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης βρονταί τε καὶ σέλας ἐξ οὐρανοῦ ἐπεσήμηναν· καὶ ἐπὶ τούτοις ἔθυε τῆι ὑστεραίαι Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα καὶ τοῦ δεσμοῦ τὴν λύσιν.

**b)** PLUT. Alex. 18: καὶ Γόρδιον πόλιν, ἑστίαν Μίδου τοῦ παλαιοῦ γενέσθαι λεγομένην, παραλαβὼν τὴν θρυλουμένην ἅμαξαν εἶδε φλοιῶι κρανίας ἐνδεδεμένην, καὶ λόγον ἐπ' αὐτῆι πιστευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν, ὡς τῶι λύσαντι τὸν δεσμὸν εἱμαρται βασιλεῖ γενέσθαι τῆς οἰκουμένης. οἱ μὲν οὖν πολλοί φασι, τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἑλιγμοῖς ὑποφερομένων, τὸν Ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι διατεμεῖν τῆι μαχαίραι τὸ σύναμμα καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος ἀρχὰς φανῆναι. Ἀριστόβουλος δὲ καὶ πάνυ λέγει ῥαιδίαν αὐτῶι τὴν λύσιν γενέσθαι ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἧστορα καλούμενον, ὧι συνείχετο τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν.

8 (5) ARRIAN. Anab. II 4, 7: Ἀλέξανδρος δέ, ὡς μὲν Ἀριστοβούλωι λέλεκται, ὑπὸ καμάτου ἐνόσησεν, οἱ δὲ ἐς τὸν Κύδνον τὸν ποταμὸν λέγουσι ῥίψαντα ⟨ἑαυτὸν⟩ νήξασθαι, ἐπιθυμήσαντα τοῦ ὕδατος, ἰδρῶντα καὶ καύματι ἐχόμενον. a. 333

9 (6) **a)** ATHEN. XII 39 p. 530 A B: Ἀριστόβουλος δ' «ἐν Ἀγχιάλῃ, ᾗ ἐδείματο» φησὶ «Σαρδανάπαλλος, Ἀλέξανδρος ἀναβαίνων

**b)** STRAB. XIV 5, 9: εἶτ' Ἀγχιάλη μικρὸν ὑπὲρ τῆς θαλάττης, κτίσμα Σαρδαναπάλλου, φησὶν Ἀριστόβου-

**c)** ARRIAN. Anab. II 5, 2–4: ἐς Ἀγχίαλον πόλιν ἀφικνεῖται. ταύτην δὲ Σαρδανάπαλον κτίσαι τὸν Ἀσσύριον λόγος καὶ τῶι περιβόλωι δὲ καὶ τοῖς θεμελίοις τῶν τειχῶν δῆλη ἐστὶ μεγάλη τε πόλις κτισθεῖσα καὶ ἐπὶ μέγα ἐλθοῦσα

6 [ἡ] ἅμαξα Sintenis Duebner 24[1] τὸν edd τὸ A 34 ⟨ἑαυτὸν⟩ Boehner (Eust. Dion. Per. 867) κατασῆσαι Vulcanius κατασήσειν A 83 [τὸν] ποταμὸν Vulcanius τὸν ποτ. τὸν K.? Roos 12[1] κρανείας

εἰς Πέρσας κατεστρατοπεδεύσατο». καὶ ἦν οὐ πόρρω τὸ τοῦ Σαρδαναπάλλου μνημεῖον, ἐφ' οὗ ἑστάναι τύπον λίθινον συμβεβληκότα τῆς δεξιᾶς χειρὸς τοὺς δακτύλους ὡς ἂν ἀποκροτοῦντα. ἐπιγεγράφθαι δ' αὐτῷ Ἀσσυρίοις γράμμασι· Σαρδανάπαλλος Ἀνακυνδαράξου παῖς Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ. ἔσθιε, πῖνε, παῖζε· ὡς τἆλλα τούτου οὐκ ἄξια', [τοῦ ἀποκροτήματος ἔοικε λέγειν].

λος· ἐνταῦθα δ' εἶναι μνῆμα τοῦ Σαρδαναπάλλου καὶ τύπον λίθινον, συμβάλλοντα τοὺς τῆς δεξιᾶς χειρὸς δακτύλους, ὡς ἂν ἀποκροτοῦντα, [ἔνιοι δὲ] καὶ ἐπιγραφὴν εἶναι Ἀσσυρίοις γράμμασι τοιάνδε· 'Σαρδανάπαλλος ὁ Ἀνακυνδαράξεω παῖς Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ. ἔσθιε, πῖνε, παῖζε· ὡς τἆλλα τούτου οὐκ ἄξια', τοῦ ἀποκροτήματος.

δυνάμεως. καὶ τὸ μνῆμα τοῦ Σαρδαναπάλου ἐγγὺς ἦν τῶν τειχῶν τῆς Ἀγχιάλου· καὶ αὐτὸς ἐφειστήκει ἐπ' αὐτῷ Σαρδανάπαλος συμβεβληκὼς τὰς χεῖρας ἀλλήλαις ὡς μάλιστα ἐς κρότον συμβάλλονται, καὶ ἐπίγραμμα ἐπεγέγραπτο αὐτῷ Ἀσσύρια γράμματα. οἱ μὲν Ἀσσύριοι καὶ μέτρον ἔφασκον ἐπεῖναι τῶι ἐπιγράμματι. ὁ δὲ νοῦς ἦν αὐτῶι ὃν ἔφραζε τὰ ἔπη ὅτι Σαρδανάπαλος ὁ Ἀνακυνδαράξου παῖς Ἀγχίαλον καὶ Ταρσὸν ἐν ἡμέραι μιᾶι ἐδείματο. σὺ δέ, ὦ ξένε, ἔσθιε καὶ πῖνε καὶ παῖζε, ὡς τἆλλα τὰ ἀνθρώπινα οὐκ ὄντα τούτου ἄξια', τὸν ψόφον αἰνισσόμενος, ὄντερ αἱ χεῖρες ἐπὶ τῶι κρότωι ποιοῦσι· καὶ τὸ 'παῖζε' ῥαιδιουργότερον ἐγγεγράφθαι ἔφασαν τῶι Ἀσσυρίωι ὀνόματι.

10 (6 a) ARRIAN. Anab. II 12, 3—6 (Alexander und die königlichen frauen nach der schlacht bei Issos): s. 138 F 7. s. 333

11 (7) PLUT. Alex. 21: ἀλλ' Ἀλέξανδρος . . . οὔτε τούτων ἔθιγεν οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου πλὴν Βαρσίνης. αὕτη δὲ μετὰ τὴν Μέμνονος τελευτὴν χήρα γενομένη περὶ Δαμασκὸν ἐλήφθη. πεπαιδευμένη δὲ παιδείαν Ἑλληνικὴν καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα καὶ πατρὸς Ἀρταβάζου γεγονότος ἐκ βασιλέως θυγατρὸς ἐγνώσθη, Παρμενίωνος προτρεψαμένου τὸν Ἀλέξανδρον, ὡς φησιν Ἀριστόβουλος, καλῆς καὶ γενναίας [καὶ τὸ κάλλος] ἅψασθαι γυναικός.

12 (7 b) MENAND. π. ἐπιδεικτ. II 1 (III 345 Sp): εἰ δὲ νῆσον ἐπαινοίης, καὶ πρὸς ἡδονὴν καὶ πρὸς ὠφέλειαν, ὥσπερ Ἀριστείδης ἐν τῶι Νησιωτικῶι. εἰ δὲ νήσωι ἐοικυῖαν, ἅ τε περὶ Τύρου Ἀριστόβουλος ἱστόρησε καὶ περὶ Κυζίκου Ἀριστείδης . . . . . s. 333

13—15 (8—10) ARRIAN. Anab. III 3—4: ἐπὶ τούτοις δὲ πόθος λαμβάνει αὐτὸν ἐλθεῖν παρ' Ἄμμωνα εἰς Λιβύην. τὸ μέν τι τῶι θεῶι χρησόμενον, ὅτι ἀρεκὲς ἐλέγετο εἶναι τὸ μαντεῖον τοῦ Ἄμμωνος καὶ χρήσασθαι αὐτῶι Περσέα s. 333/1

---

8¹ ἀποκροτοῦντα Str ὑποκρ— E 8²—9² ἔνιοι δὲ om E 10¹ ἀποκροτοῦντα Niese ἐπι— AE 13²—14² ὁ Κυνδαράξεω Steph. Byz. s. Ἀγχιάλη 16¹ μιῆι E μιᾶι A 16²—17² ἐν ἡμέραι μιῆι Steph Byz 19¹—20¹ [τοῦ — λέγειν] Jac 20²—21² [τοῦ ἀποκρ.]? 29—30 [καὶ τ. κ.] Schmieder

καὶ Ἡρακλέα, τὸν μὲν ἐπὶ τὴν Γοργόνα ὅτε πρὸς Πολυδέκτον ἐστέλλετο, τὸν δὲ ὅτε παρ' Ἀνταῖον ἦιει εἰς Λιβύην καὶ παρὰ Βούσιριν εἰς Αἴγυπτον. (2) Ἀλεξάνδρωι δὲ φιλοτιμία ἦν πρὸς Περσέα καὶ Ἡρακλέα, ἀπὸ γένους τε ὄντι τοῦ ἀμφοῖν καὶ τι καὶ αὐτὸς τῆς γενέσεως τῆς ἑαυτοῦ ἐς Ἄμμωνα ἀνέφερε, καθάπερ οἱ μῦθοι τὴν Ἡρακλέους τε καὶ Περσέως ἐς Δία. καὶ οὖν παρ' Ἄμμωνα ταύτηι τῆι γνώμηι ἐστέλλετο, ὡς καὶ τὰ αὐτοῦ ἀτρεκέστερον εἰσόμενος ἢ φήσων γε ἐγνωκέναι.

(3) μέχρι μὲν δὴ Παραιτονίου παρὰ θάλασσαν ἦιει δι' ἐρήμου, οὐ μέντοι δι' ἀνύδρου τῆς χώρας, σταδίους ἑξ χιλίους καὶ ἑξακοσίους, ὡς λέγει Ἀριστόβουλος. ἐντεῦθεν δὲ ἐς τὴν μεσόγαιαν ἐτράπετο, ἵνα τὸ μαντεῖον ἦν τοῦ Ἄμμωνος. ἔστι δὲ ἐρήμη τε ἡ ὁδὸς καὶ ψάμμος ἡ πολλὴ αὐτῆς καὶ ἄνυδρος. (4) ὕδωρ δὲ ἐξ οὐρανοῦ πολὺ Ἀλεξάνδρωι ἐγένετο, καὶ τοῦτο ἐς τὸ θεῖον ἀνηνέχθη. ἀνηνέχθη δὲ ἐς τὸ θεῖον καὶ τόδε· ἄνεμος νότος ἐπὰν πνεύσηι ἐν ἐκείνωι τῶι χώρωι, τῆς ψάμμου ἐπιφορεῖ κατὰ τῆς ὁδοῦ ἐπὶ μέγα, καὶ ἀφανίζεται τῆς ὁδοῦ τὰ σημεῖα οὐδὲ ἔστιν εἰδέναι ἵνα χρὴ πορεύεσθαι καθάπερ ἐν πελάγει τῆι ψάμμωι, ὅτι σημεῖα οὐκ ἔστι κατὰ τὴν ὁδὸν οὔτε που ὄρος οὔτε δένδρον οὔτε γήλοφοι βέβαιοι ἀνεστηκότες, οἱστισιν οἱ ὁδῖται τεκμαίροιντο ἂν τὴν πορείαν, καθάπερ οἱ ναῦται τοῖς ἄστροις, ἀλλὰ ἐπλανᾶτο γὰρ ἡ στρατιὰ Ἀλεξάνδρωι καὶ οἱ ἡγεμόνες τῆς ὁδοῦ ἀμφίβολοι ἦσαν. (5) Πτολεμαῖος μὲν δὴ ὁ Λάγου (138 F 8) λέγει δράκοντας δύο ἰέναι πρὸ τοῦ στρατεύματος ..... (6) Ἀριστόβουλος δὲ — καὶ ὁ πλείων λόγος ταύτηι κατέχει — κόρακας δύο προπετομένους πρὸ τῆς στρατιᾶς, τούτους γενέσθαι Ἀλεξάνδρωι τοὺς ἡγεμόνας. . . . . .

(4) ὁ δὲ χῶρος, ἵναπερ τοῦ Ἄμμωνος τὸ ἱερόν ἐστι, τὰ μὲν κύκλωι πάντα ἔρημα καὶ ψάμμον τὸ πᾶν ἔχει καὶ ἄνυδρον, αὐτὸς δὲ ἐν μέσωι ὀλίγος ὢν — ὅσον γὰρ πλεῖστον αὐτοῦ ἐς πλάτος διέχει ἐς τεσσαράκοντα μάλιστα σταδίους ἔρχεται — κατάπλεως ἐστιν ἡμέρων δένδρων, ἐλαιῶν καὶ φοινίκων, καὶ ἔνδροσος μόνος τῶν περιξ. (2) καὶ πηγὴ ἐξ αὐτοῦ ἀνίσχει οὐδέν τι ἐοικυῖα ταῖς πηγαῖς, ὅσαι ἄλλαι ἐκ γῆς ἀνίσχουσιν. ἐν μὲν γὰρ μεσημβρίαι ψυχρὸν τὸ ὕδωρ γευσαμένωι τε καὶ ἔτι μᾶλλον ἀψαμένωι οἷον ψυχρότατον· ἐγκλίναντος δὲ τοῦ ἡλίου ἐς ἑσπέραν θερμότερον· καὶ ἀπὸ τῆς ἑσπέρας ἔτι θερμότερον ἔστε ἐπὶ μέσας τὰς νύκτας, μέσων δὲ νυκτῶν ἑαυτοῦ θερμότατον. ἀπὸ δὲ μέσων νυκτῶν ψύχεται ἐν τάξει, καὶ ἕωθεν ψυχρὸν ἤδη ἐστί, ψυχρότατον δὲ μεσημβρίας. καὶ τοῦτο ἀμείβει ἐν τάξει ἐπὶ ἑκάστηι [τῆι] ἡμέραι. (3) γίγνονται δὲ καὶ ἅλες αὐτόματοι ἐν τῶι χωρίωι τούτωι ὀρυκτοί· καὶ τούτων ἔστιν οὓς ἐς Αἴγυπτον φέρουσι τῶν ἱερέων τινὲς τοῦ Ἄμμωνος. ἐπειδὰν γὰρ ἐπ' Αἰγύπτου στέλλωνται, ἐς κοιτίδας πλεκτὰς ἐκ φοίνικος ἐσβαλόντες ὕδωρ τῶι βασιλεῖ ἀποφέρουσιν ἢ εἴ τωι ἄλλωι. (4) ἔστι δὲ μακρὸς τε ὁ χόνδρος — ἤδη τινὲς αὐτῶν καὶ ὑπὲρ τρεῖς δακτύλους — καὶ καθαρὸς ὥσπερ κρύσταλλος. καὶ τούτωι ἐπὶ ταῖς θυσίαις χρῶνται ὡς καθαρωτέρωι τῶν ἀπὸ θαλάσσης ἁλῶν Αἰγύπτιοί τε καὶ ὅσοι ἄλλοι τοῦ θείου οὐκ ἀμελῶς ἔχουσιν. (5) ἐνταῦθα Ἀλέξανδρος τόν τε χῶρον ἐθαύμασε καὶ τῶι θεῶι ἐχρήσατο. καὶ ἀκούσας ὅσα αὐτῶι πρὸς θυμοῦ ἦν, ὡς ἔλεγεν, ἀνέζευξεν ἐπ' Αἴγυπτον, ὡς μὲν Ἀριστόβουλος λέγει, τὴν αὐτὴν ὀπίσω ὁδόν, ὡς δὲ Πτολεμαῖος ὁ Λάγου (138 F 9), ἄλλην εὐθείαν ὡς ἐπὶ Μέμφιν.

1—2 ὅτε παρ' Gronovius ὅτι παρ' A  4 τὴν Krueger τῆς A  14 [σημεῖα] Krueger 'speciose' Roos. doch s. F 49a c. 26, 4  23 ἄνυδρον Ellendt —ος A  24 πεντήκοντα Diod. XVII 50, 1  31 ἀμείβει edd —οι A  [τῆι] Krueger  33—34 ἐπειδὰν — στέλλωνται Pflugk ἐπειδὴ — στέλλονται A  35 ⟨καὶ⟩ ἤδη k ἤδη ⟨δὲ⟩ Roos

16 (11) ARRIAN. Anab. VI 11, 5 (ort der schlacht von Arbela-Gaugamela): s. 138 F 10. s. III

17 (12) — — III 11, 3—7: ἐτάχθη δὲ αὐτῶι ἡ στρατιὰ ὧδε (bei Gaugamela)· ἐάλω γὰρ ὕστερον ἡ τάξις, ἥντινα ἔταξε Δαρεῖος, γεγραμμένη, ὡς λέγει Ἀριστόβουλος. τὸ μὲν εὐώνυμον αὐτῶι κέρας οἵ τε Βάκτριοι ἱππεῖς εἶχον καὶ ξὺν τούτοις Δάαι καὶ Ἀραχωτοί· ἐπὶ δὲ τούτοις Πέρσαι ἐτετάχατο, ἱππεῖς τε ὁμοῦ καὶ πεζοὶ ἀναμεμιγμένοι· καὶ Σούσιοι ἐπὶ Πέρσαις, ἐπὶ δὲ Σουσίοις Καδούσιοι. (4) αὕτη μὲν ἡ τοῦ εὐωνύμου κέρως ἔστε ἐπὶ τὸ μέσον τῆς πάσης φάλαγγος τάξις ἦν. κατὰ δὲ τὸ δεξιὸν οἵ τε ἐκ Κοίλης Συρίας καὶ οἱ ἐκ τῆς μέσης τῶν ποταμῶν ἐτετάχατο· καὶ Μῆδοι ἔτι κατὰ τὸ δεξιόν· ἐπὶ δὲ Παρθυαῖοι καὶ Σάκαι· ἐπὶ δὲ Τόπειροι καὶ Ὑρκάνιοι· ἐπὶ δὲ Ἀλβανοὶ καὶ Σακεσῖναι· οὗτοι μὲν ἔστε ἐπὶ τὸ μέσον τῆς πάσης φάλαγγος. (5) κατὰ τὸ μέσον δέ, ἵνα ἦν βασιλεὺς Δαρεῖος, οἵ τε συγγενεῖς οἱ βασιλέως ἐτετάχατο καὶ οἱ μηλοφόροι Πέρσαι καὶ Ἰνδοὶ καὶ Κᾶρες οἱ ἀνάσπαστοι καλούμενοι καὶ οἱ Μάρδοι τοξόται· Οὔξιοι δὲ καὶ Βαβυλώνιοι καὶ οἱ πρὸς τῆι Ἐρυθρᾶι θαλάσσηι καὶ Σιττακηνοὶ εἰς βάθος ἐπιτεταγμένοι ἦσαν. (6) προετετάχατο δὲ ἐπὶ μὲν τοῦ εὐωνύμου κατὰ τὸ δεξιὸν τοῦ Ἀλεξάνδρου οἵ τε Σκύθαι ἱππεῖς καὶ τῶν Βακτριανῶν ἐς χιλίους καὶ ἅρματα δρεπανηφόρα ἑκατόν. οἱ δὲ ἐλέφαντες ἕστησαν κατὰ τὴν Δαρείου ἵλην τὴν βασιλικὴν καὶ ἅρματα ἐς πεντήκοντα. (7) τοῦ δὲ δεξιοῦ οἵ τε Ἀρμενίων καὶ Καππαδοκῶν ἱππεῖς προετετάχατο καὶ ἅρματα δρεπανηφόρα πεντήκοντα. οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι παρὰ Δαρεῖόν τε αὐτὸν ἑκατέρωθεν καὶ τοὺς ἅμα αὐτῶι Πέρσας κατὰ τὴν φάλαγγα αὐτὴν τῶν Μακεδόνων ὡς μόνοι δὴ ἀντίρροποι τῆι φάλαγγι ἐτάχθησαν.

18 (13) ATHEN. XII 8 p. 513 F: κληθῆναι δὲ τὰ Σοῦσά φησιν Ἀριστόβουλος καὶ Χάρης (125 F 11) διὰ τὴν ὡραιότητα τοῦ τόπου· σοῦσον γὰρ εἶναι τῆι Ἑλλήνων φωνῆι τὸ κρίνον.

19 (14) STRABON XI 7, 2: φησὶ δ' Ἀριστόβουλος ὑλώδη οὖσαν a. 330 τὴν Ὑρκανίαν δρῦν ἔχειν, πεύκην δὲ καὶ ἐλάτην καὶ πίτυν μὴ φύειν, τὴν δ' Ἰνδικὴν πληθύειν τούτοις. τῆς δὲ Ὑρκανίας ἐστὶ καὶ ἡ Νησαία· τινὲς δὲ καὶ καθ' αὑτὴν τιθέασι τὴν Νησαίαν.

20 (17) — XI 7, 3: διαρρεῖται δὲ καὶ ποταμοῖς ἡ Ὑρκανία τῶι τε Ὄχωι καὶ τῶι Ὄξωι μέχρι τῆς εἰς θάλατταν ἐκβολῆς, ὧν ὁ Ὄχος καὶ διὰ τῆς Νησαίας ῥεῖ· ἔνιοι δὲ τὸν Ὄχον εἰς τὸν Ὄξον ἐμβάλλειν φασίν. Ἀριστόβουλος δὲ καὶ μέγιστον ἀποφαίνει τὸν Ὄξον τῶν ἑωραμένων ὑφ' ἑαυτοῦ κατὰ τὴν Ἀσίαν πλὴν τῶν Ἰνδικῶν. φησὶ δὲ καὶ εὔπλουν εἶναι καὶ οὗτος καὶ Ἐρατο-

12 Τάπουροι Blancardus Ἀλβανοὶ Schmieder ἀλβάνιοι A Σακεσῖναι III 8, 4 σακεσεῖναι A 33 διαρρεῖται Casaubonus διαιρεῖται Str 34 ὦξωι CE (ständig) ὄξω rell

σθένης (V), παρὰ Πατροκλέους λαβών, καὶ πολλὰ τῶν Ἰνδικῶν φορτίων κατάγειν εἰς τὴν Ὑρκανίαν θάλατταν· ἐντεῦθεν δ' εἰς τὴν Ἀλβανίαν περαιοῦσθαι καὶ διὰ τοῦ Κύρου καὶ τῶν ἑξῆς τόπων εἰς τὸν Εὔξεινον καταφέρεσθαι. οὐ πάνυ δὲ ὑπὸ τῶν παλαιῶν ὁ Ὦχος ὀνομάζεται.

21 (14) PLUT. Alex. 46; ARRIAN. Anab. VII 13, 1—2 (Alexander und die Amazonen): s. 138 F 28.

22 (15) ARRIAN. Anab. III 26, 1 (verschwörung des Philotas): s. 138 F 13. a. 329

23 (16) — — III 28, 5—7: τὸ δὲ ὄρος ὁ Καύκασος ὑψηλόν ἐστιν ὥσπερ τι ἄλλο τῆς Ἀσίας, ὡς λέγει Ἀριστόβουλος, ψιλὸν δὲ τὸ πολὺ αὐτοῦ τό γε ταύτῃ. μακρὸν γὰρ ὄρος παρατέταται ὁ Καύκασος, ὥστε καὶ τὸν Ταῦρον τὸ ὄρος, ὃς δὴ τὴν Κιλικίαν τε καὶ Παμφυλίαν ἀπείργει, ἀπὸ τοῦ Καυκάσου εἶναι λέγουσι καὶ ἄλλα ὄρη μεγάλα, ἀπὸ τοῦ Καυκάσου διακεκριμένα ἄλλῃ καὶ ἄλλῃ ἐπωνυμίαι κατὰ ἤθη τὰ ἑκάστων. (6) ἀλλὰ ἔν γε τούτῳ τῶι Καυκάσωι οὐδὲν ἄλλο ὅτι μὴ τέρμινθοι πεφύκασι καὶ σίλφιον, ὡς λέγει Ἀριστόβουλος· ἀλλὰ καὶ ὡς ἐπωικεῖτο πολλοῖς ἀνθρώποις, καὶ πρόβατα πολλὰ καὶ κτήνη ἐνέμοντο, ὅτι καὶ χαίρουσι τῶι σιλφίωι τὰ πρόβατα, καὶ εἰ ἐκ πολλοῦ πρόβατον σιλφίου αἴσθοιτο, καὶ θεῖ ἐπ' αὐτὸ καὶ τό τε ἄνθος ἐπινέμεται καὶ τὴν ῥίζαν ἀνορύττον καὶ ταύτην κατεσθίει. (7) ἐπὶ τῶιδε ἐν Κυρήνηι ὡς μακροτάτω ἀπελαύνουσι τὰς ποίμνας τῶν χωρίων, ἵνα αὐτοῖς τὸ σίλφιον φύεται· οἱ δὲ καὶ περιφράσσουσι τὸν χῶρον τοῦ μηδὲ εἰ πελάσειεν αὐτῶι πρόβατα δυνατὰ γενέσθαι εἴσω παρελθεῖν, ὅτι πολλοῦ ἄξιον Κυρηναίοις τὸ σίλφιον.

24 (18) — — III 30, 5: (Ptolem. 138 F 14) Ἀριστόβουλος δὲ τοὺς ἀμφὶ Σπιταμένην τε καὶ Δαταφέρνην Πτολεμαίωι ἀγαγεῖν Βῆσσον καὶ παραδοῦναι Ἀλεξάνδρωι γυμνὸν ἐν κλοιῶι δήσαντας.

25 (19) — — III 30, 7: ἔνθεν (von Marakanda) δὲ ἐπὶ τὸν Τάναιν ποταμὸν προήιει (sc. Ἀλέξανδρος). τῶι δὲ Τανάιδι τούτωι, ὃν δὴ καὶ Ὀρξάντην (?) ἄλλωι ὀνόματι πρὸς τῶν ἐπιχωρίων βαρβάρων καλεῖσθαι λέγει Ἀριστόβουλος, αἱ πηγαὶ μὲν ἐκ τοῦ Καυκάσου ὄρους καὶ αὐτῶι εἰσιν· ἐξίησι δὲ καὶ οὗτος ὁ ποταμὸς εἰς τὴν Ὑρκανίαν θάλασσαν. a. 328

26 (20) — — IV 3, 5 (eroberung der städte in Sogdiana): s. 138 F 15.

27 (21) — — IV 6, 1—2: (vernichtung der entsatztruppen von Marakanda unter Andromachos und Pharnuches: Ptolem. 138 F 34) Ἀριστόβουλος δὲ ἐνέδραι τὸ πολὺ τῆς στρατιᾶς διαφθαρῆναι λέγει, τῶν

16 ὡς B ὧν A² ὦν al σειεν Krueger πελάσειεν A oder [Πτολεμαίωι]? Jac 19 ἀνορύττον Vulcanius —των A 21—22 πελάΞαξάρτην JPalmerius 26 [Ἀλεξάνδρωι] Krueger καὶ ⟨Πτολεμαῖον⟩ π. Ἀ. 29 Ὀξυάρτης F 54 c. 16, 3 Ὀρεξάρτης Plut. Alex. 45

*Σκυθῶν ἐν παραδείσοις κρυφθέντων, οἳ ἐκ τοῦ ἀφανοῦς ἐπεγένοντο τοῖς Μακεδόσιν ἐν αὐτῶι τῶι ἔργωι· ἵνα τὸν μὲν Φαρνούχην παραχωρεῖν τῆς ἡγεμονίας τοῖς ξυμπεμφθεῖσι Μακεδόσιν ὡς οὐκ ἐμπείρως ἔχοντα ἔργων πολεμικῶν, ἀλλ' ἐπὶ τῶι καθομιλῆσαι τοὺς βαρβάρους μᾶλλόν τι πρὸς Ἀλεξάνδρου ἢ ἐπὶ τῶι ἐν ταῖς μάχαις ἐξηγεῖσθαι ἱσταλμένον, τοὺς δὲ Μακεδόνας τε εἶναι καὶ ἑταίρους βασιλέως.* (2) *Ἀνδρόμαχον δὲ καὶ Κάρανον καὶ Μενέδημον οὐ δέξασθαι τὴν ἡγεμονίαν, τὸ μέν τι ὡς μὴ δοκεῖν παρὰ τὰ ἐπηγγελμένα ὑπὸ Ἀλεξάνδρου αὐτούς τι κατὰ σφᾶς νεωτερίζειν, τὸ δὲ καὶ ἐν αὐτῶι τῶι δεινῶι οὐκ ἐθελήσαντας, εἰ δή τι παίσειαν, μὴ ὅσον κατ' ἄνδρα μόνον μετέχειν αὐτοῦ, ἀλλὰ καὶ ὡς τὸ πᾶν αὐτοὺς κακῶς ἐξηγησαμένους. ἐν τούτωι δὴ τῶι θορύβωι τε καὶ τῆι ἀταξίαι ἐπιθεμένους αὐτοῖς τοὺς βαρβάρους κατακόψαι πάντας, ὥστε ἱππέας μὲν μὴ πλείονας τῶν τεσσαράκοντα ἀποσωθῆναι, πεζοὺς δὲ ἐς τριακοσίους.*

28 (22) **a)** STRABON XI 11, 5: *τὸν δὲ διὰ τῆς Σογδιανῆς ῥέοντα ποταμὸν † καὶ Πολυτίμητον Ἀριστόβουλος, τῶν Μακεδόνων θεμένων — καθάπερ καὶ ἄλλα πολλὰ τὰ μὲν καινὰ ἔθεσαν, τὰ δὲ παρωνόμασαν —, ἄρδοντα δὲ τὴν χώραν ἐκπίπτειν εἰς ἔρημον καὶ ἀμμώδη γῆν καταπίνεσθαί τε εἰς τὴν ἄμμον, ὡς καὶ τὸν Ἄριον τὸν δι' Ἀρίων ῥέοντα. τοῦ δὲ Ὄχου ποταμοῦ πλησίον ὀρύττοντας εὑρεῖν ἐλαίου πηγὴν λέγουσιν· εἰκὸς δέ, ὥσπερ νιτρώδη τινὰ καὶ στύφοντα ὑγρὰ καὶ ἀσφαλτώδη καὶ θειώδη διαρρεῖ τὴν γῆν, οὕτω καὶ λιπαρὰ εὑρίσκεσθαι, τὸ δὲ σπάνιον ποιεῖν τὴν παραδοξίαν.*

**b)** ARRIAN. Anab. IV 6, 6: (138 F 34 p. 766, 8) *ἵνα δὲ ἀφανίζεται τῶι ποταμῶι* (sc. *τῶι Πολυτιμήτωι*) *τὸ ὕδωρ, ἐντεῦθεν ἤδη τὸ ἐπέκεινα ἔρημος ἡ χώρα ἐστίν· ἀφανίζεται δὲ καίπερ πολλοῦ ὂν ὕδατος ἐς τὴν ψάμμον. καὶ ἄλλοι ποταμοὶ ὡσαύτως ἐκεῖ ἀφανίζονται μεγάλοι καὶ ἀέναοι, ὅ τε Ἔπαρδος, ὃς ῥέει διὰ Μάρδων τῆς χώρας, καὶ Ἄρειος, ὅτου ἐπώνυμος ἡ τῶν Ἀρείων γῆ ἐστιν, καὶ Ἐτύμανδρος, ὃς δι' Εὐεργετῶν ῥέει.* (7) *καὶ εἰσὶ ξύμπαντες οὗτοι τηλικοῦτοι ποταμοὶ ὥστε οὐδεὶς αὐτῶν μείων ἐστὶ τοῦ Πηνειοῦ .... ὃς διὰ τῶν Τεμπῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν· ὁ δὲ Πολυτίμητος πολὺ ἔτι μείζων ἢ κατὰ τὸν Πηνειὸν ποταμόν ἐστι.*

29 (23) ARRIAN. Anab. IV 8, 9: *Ἀριστόβουλος δὲ ὅθεν μὲν ἡ παροινία ὡρμήθη οὐ λέγει, Κλείτου δὲ γενέσθαι μόνου τὴν ἁμαρτίαν, ὃν γε ὠργισμένου Ἀλεξάνδρου καὶ ἀναπηδήσαντος ἐπ' αὐτὸν ὡς διαχρησομένου ἁπαχθῆναι μὲν διὰ θυρῶν ἔξω ὑπὲρ τὸ τεῖχός τε καὶ τὴν τάφρον τῆς ἄκρας, ἵνα ἐγίνετο ⟨ὁ πότος⟩, πρὸς Πτολεμαίου τοῦ Λάγου τοῦ* a. 327

10 αὐτοῦ Roos αὐτοὺς A Jac Ἀριστόβουλος ⟨λέγει⟩ edd Kramer 20¹ κενὰ CD *Pardis* Itin. Alex. 39 25¹ Ὄχου: Ὄξου Arrian. IV 15, 8; vgl. Curt. VI 10, 18—15. 29¹ διαρρεῖ E Eust διαρρεῖν Str Roos ἐπίνετο Krueger 17¹ ⟨ὄνομα μέν φησι καλεῖσθαι⟩ Πολυτίμητον? 18¹—19¹ ⟨τοὔνομα⟩ θεμένων Casaubonus ⟨ὄνομα⟩ θ. 22² ἀέναοι Sintenis ἀένναοι A 23² Ἔπαρδος: *Pardis* 30¹ ποιεῖν E ποιεῖ Str 35 ἐγίνετο ⟨ὁ πότος⟩

σωματοφύλακος· οὐ καρτερήσαντα δὲ ἀναστρέψαι αὖθις καὶ περιπετῆ Ἀλεξάνδρωι γενέσθαι Κλεῖτον ἀνακαλοῦντι καὶ φάναι ὅτι 'οὗτός τοι ἐγὼ ὁ Κλεῖτος, ὦ Ἀλέξανδρε', καὶ ἐν τούτωι πληγέντα τῆι σαρίσσηι ἀποθανεῖν.

30 (24) ARRIAN. Anab. IV 13, 5: (verschwörung des Hermolaos; die verschwörer warten, bis die wache an Antipatros kommt) ξυμβῆναι δὲ οἱ μὲν αὐτομάτως λέγουσιν ἔστε ⟨ἐφ'⟩ ἡμέραν πίνειν Ἀλέξανδρον, Ἀριστόβουλος δὲ ὧδε ἀνέγραψε. Σύραν γυναῖκα ἐφομαρτεῖν Ἀλεξάνδρωι κάτοχον ἐκ τοῦ θείου γιγνομένην, καὶ ταύτην τὸ μὲν πρῶτον γέλωτα εἶναι Ἀλεξάνδρωι τε καὶ τοῖς ἀμφ' αὐτόν· ὡς δὲ τὰ πάντα ἐν τῆι κατοχῆι ἀληθεύουσα ἐφαίνετο, οὐκέτι ἀμελεῖσθαι ὑπ' Ἀλεξάνδρου, ἀλλ' εἶναι γὰρ τῆι Σύραι πρόσοδον πρὸς τὸν βασιλέα καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ καθεύδοντι πολλάκις ἤδη ἐπιστῆναι. (6) καὶ δὴ καὶ τότε ἀπαλλασσομένου ἐκ τοῦ πότου κατεχομένην ἐκ τοῦ θείου ἐντυχεῖν καὶ δεῖσθαι ἐπανελθόντα πίνειν δλην τὴν νύκτα· καὶ Ἀλέξανδρον θεῖόν τι εἶναι νομίσαντα ἐπανελθεῖν τε καὶ πίνειν, καὶ οὕτως τοῖς παισὶ διαπεσεῖν τὸ ἔργον.

31 (25) — — IV 14, 1: Ἀριστόβουλος μὲν λέγει ὅτι καὶ Καλλισθένην ἐπᾶραι σφᾶς ἔφασαν (sc. οἱ παῖδες) ἐς τὸ τόλμημα. καὶ Πτολεμαῖος (138 F 16) ὡσαύτως λέγει . . . .

32 (23 a) ATHEN. X 44 p. 434 D: Καλλισθένης δὲ ὁ σοφιστής, ὡς Λυγκεὺς ὁ Σάμιός φησιν ἐν τοῖς Ἀπομνημονεύμασι (IV) καὶ Ἀριστόβουλος καὶ Χάρης ἐν ταῖς Ἱστορίαις (125 F 13), ἐν τῶι συμποσίωι τοῦ Ἀλεξάνδρου τῆς τοῦ ἀκράτου κύλικος εἰς αὐτὸν ἐλθούσης ὡς διωθεῖτο, εἰπόντος τέ τινος αὐτῶι 'διὰ τί οὐ πίνεις'; 'οὐδὲν δέομαι' ἔφη 'Ἀλεξάνδρου πιὼν τοῦ Ἀσκληπιοῦ δεῖσθαι'.

33 (26) ARRIAN. Anab. IV 14, 3: Καλλισθένην δὲ Ἀριστόβουλος μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῆι στρατιᾶι, ἔπειτα νόσωι τελευτῆσαι. (folgt 138 F 17)

34 (—) — — V 7, 1: τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τοῦ Ἰνδοῦ ποταμοῦ ὅπως μὲν ἐποιήθη Ἀλεξάνδρωι οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος (138 F 19), οἷς μάλιστα ἐγὼ ἕπομαι, λέγουσιν. a. 326

35 (29) SRABON XV 1, 17—19: Ἀριστόβουλος δὲ μόνα καὶ ὕεσθαι καὶ νίφεσθαι τὰ ὄρη καὶ τὰς ὑπωρείας φησί, τὰ πεδία (134 F 22 p. 732, 17) δὲ καὶ ὄμβρων ὁμοίως ἀπηλλάχθαι καὶ νιφετῶν, ἐπικλύζεσθαι δὲ μόνον κατὰ τὰς ἀναβάσεις τῶν ποταμῶν. νίφεσθαι μὲν οὖν τὰ ὄρη κατὰ χειμῶνα, τοῦ δὲ ἔαρος ἀρχομένου καὶ τοὺς ὄμβρους ἐνάρχεσθαι καὶ ἀεὶ [καὶ] μᾶλλον λαμβάνειν ἐπίδοσιν, τοῖς δ' ἐτησίαις καὶ ἀδιαλείπτως νύκτωρ καὶ μεθ' ἡμέραν ἐκχεῖσθαι καὶ λάβρους ἕως ἐπιτολῆς Ἀρκτούρου· ἔκ τε δὴ τῶν

6 ⟨ἐφ'⟩ Krueger 35 συνάρχεσθαι $D^1$ καὶ om E 36 τοῖς δ' ἐτησίαις Tyrwhit τοῖς δὲ τῆς ἀσίας Str ἀδιαλείπτους Groskurd

χιόνων καὶ τῶν ὑετῶν πληρουμένους ⟨τοὺς ποταμοὺς⟩ ποτίζειν τὰ πεδία. κατανοηθῆναι δὲ ταῦτα καὶ ὑφ' ἑαυτοῦ καὶ ὑπὸ τῶν ἄλλων φησίν, ὡρμηκότων μὲν εἰς τὴν Ἰνδικὴν ἀπὸ Παροπαμισαδῶν μετὰ [δὲ] ὑσμὰς Πληιάδων, καὶ διατριψάντων κατὰ τὴν ὀρεινὴν ἔν τε τῇι Ὑπασίων καὶ τῇι Ἀσσακανοῦ γῆι τὸν χειμῶνα, τοῦ δ' ἔαρος ἀρχομένου καταβεβηκότων εἰς τὰ πεδία καὶ πόλιν Τάξιλα εὐμεγέθη, ἐντεῦθεν δ' ἐπὶ Ὑδάσπην καὶ τὴν Πῶρου χώραν. τοῦ μὲν οὖν χειμῶνος ὕδωρ οὐκ ἰδεῖν, ἀλλὰ χιόνας μόνον· ἐν δὲ τοῖς Ταξίλοις πρῶτον ὑσθῆναι, καὶ ἐπειδὴ καταβᾶσιν ἐπὶ τὸν Ὑδάσπην καὶ νικήσασι Πῶρον ὁδὸς ἦν ἐπὶ τὸν Ὕπανιν πρὸς ἕω κἀκεῖθεν ἐπὶ τὸν Ὑδάσπην πάλιν, ὕεσθαι συνεχῶς, καὶ μάλιστα τοῖς ἐτησίαις· ἐπιτείλαντος δὲ Ἀρκτούρου γενέσθαι παῦλαν. διατρίψαντας δὲ περὶ τὴν ναυπηγίαν ἐπὶ τῶι Ὑδάσπηι καὶ πλεῖν ἀρξαμένους πρὸ δύσεως Πληιάδος οὐ πολλαῖς ἡμέραις, καὶ τὸ φθινόπωρον πᾶν καὶ τὸν χειμῶνα καὶ τὸ ἐπιὸν ἔαρ καὶ θέρος ἐν τῶι κατάπλωι πραγματευθέντας ἐλθεῖν εἰς τὴν Παταληνὴν περὶ Κυνὸς ἐπιτολήν· δέκα μὲν δὴ τοῦ κατάπλου γενέσθαι μῆνας, οὐδαμοῦ δ' ὑετῶν αἰσθέσθαι, οὐδ' ὅτε ἐπήκμασαν οἱ ἐτησίαι, τῶν δὲ ποταμῶν πληρουμένων τὰ πεδία κλύζεσθαι· τὴν δὲ θάλατταν ἄπλουν εἶναι τῶν ἀνέμων ἀντιπνεόντων, ἀπογαίας δὲ μηδεμιᾶς πνοῆς ἐκδεξαμένης.

(18) τοῦτο μὲν οὖν αὐτὸς καὶ ὁ Νέαρχος (133 F 18) λέγει· περὶ δὲ τῶν θερινῶν ὄμβρων οὐχ ὁμολογεῖ, ἀλλά φησιν ὕεσθαι τὰ πεδία θέρους, χειμῶνος δ' ἄνομβρα εἶναι.

λέγουσιν δ' ἀμφότεροι καὶ τὰς ἀναβάσεις τῶν ποταμῶν· ὁ μέν γε Νέαρχος τοῦ Ἀκεσίνου πλησίον στρατοπεδεύοντάς φησιν ἀναγκασθῆναι μεταλαβεῖν τόπον ἄλλον ὑπερδέξιον κατὰ τὴν ἀνάβασιν, γενέσθαι δὲ τοῦτο κατὰ θερινὰς τροπάς· ὁ δ' Ἀριστόβουλος καὶ μέτρα τῆς ἀναβάσεως ἐκτίθεται τετταράκοντα πήχεις, ὧν τοὺς μὲν εἴκοσιν ὑπὲρ τὸ προυπάρχον βάθος πληροῦν μέχρι χείλους τὸ ῥεῖθρον, τοῖς δ' εἴκοσιν ὑπέρχυσιν εἶναι εἰς τὰ πεδία. ὁμολογοῦσι δὲ καὶ διότι συμβαίνει νησίζειν τὰς πόλεις ἐπάνω χωμάτων ἱδρυμένας, καθάπερ καὶ ἐν Αἰγύπτωι καὶ Αἰθιοπίαι· μετὰ δὲ Ἀρκτοῦρον παύεσθαι τὴν πλήμμυραν, ἀποβαίνοντος τοῦ ὕδατος.

ἔτι δ' ἡμίψυκτον σπείρεσθαι τὴν γῆν, ὑπὸ τοῦ τυχόντος ὀρύκτου χαραχθεῖσαν, καὶ ὅμως φύεσθαι τὸν καρπὸν τέλειον καὶ καλόν. τὴν δ' ὀρυζάν φησιν ὁ Ἀριστόβουλος ἑστάναι ἐν ὕδατι κλειστῶι, πρασιὰς δ' εἶναι τὰς ἐχούσας αὐτήν. ὕψος δὲ τοῦ φυτοῦ τετράπηχυ, πολύσταχύ τε καὶ

---

1 ⟨τοὺς ποταμοὺς⟩ Jac ⟨ποταμοὺς⟩ Groskurd 3 [δὲ] Jac 4 Ὑπασίων (XV 1, 27): Ἀσπασίων (Arrian. Anab. IV 23, 1; 24, 1) Corais; s. Kiessling RE IX 230 Ἀσσακανοῦ (Arrian. Anab. IV 27, 4) Corais Μουσικανοῦ Str 19 αὐτὸ Xylander αὐτοὶ Str 23 στρατοπεδεύοντας Casaubonus στρατ(οπεδ)εύοντος Str στρατεύοντα E 27 τοὺς δ' F (?) Tzschucke 29 χώματος E 30 ὑποβαίνοντος ς 31 ὑπὸ Corais ἀπὸ Str τυχόντος E ψύχοντος Str

πολύκαρπον· θερίζεσθαι δὲ περὶ δύσιν Πλειάδος καὶ πτίσσεσθαι ὡς τὰς ζειάς. φύεσθαι δὲ καὶ ἐν τῇι Βακτριανῇι καὶ Βαβυλωνίαι καὶ Σουσίδι· καὶ ἡ κάτω δὲ Συρία φύει. (es folgen Megillos VI; Onesikr. 134 F 15).

(19) τὴν δ' ὁμοιότητα τῆς χώρας ταύτης πρός τε τὴν Αἴγυπτον καὶ τὴν Αἰθιοπίαν καὶ πάλιν τὴν ἐναντιότητα παραθεὶς ὁ Ἀριστόβουλος, διότι τῶι Νείλωι μὲν ἐκ τῶν νοτίων ὄμβρων ἐστὶν ἡ πλήρωσις, τοῖς Ἰνδικοῖς δὲ ποταμοῖς ἀπὸ τῶν ἀρκτικῶν, ζητεῖ, πῶς οἱ μεταξὺ τόποι οὐ κατομβροῦνται — οὔτε γὰρ ἡ Θηβαὶς μέχρι Συήνης καὶ τῶν ἐγγὺς Μερόης οὔτε τῆς Ἰνδικῆς τὰ ἀπὸ τῆς Παταληνῆς μέχρι τοῦ Ὑδάσπου. τὴν δ' ὑπὲρ ταῦτα τὰ μέρη χώραν, ἐν ἧι καὶ ὄμβροι καὶ νιφετοί, παραπλησίως ἔφη γεωργεῖσθαι τῇι ἄλληι τῇι ἔξω τῆς Ἰνδικῆς χώραι· ποτίζεσθαι γὰρ ἐκ τῶν ὄμβρων καὶ χιόνων.

εἰκὸς δ' οἷς εἴρηκεν οὗτος καὶ εὔσειστον εἶναι τὴν γῆν, χαυνουμένην ὑπὸ τῆς πολλῆς ὑγρασίας καὶ ἐκρήγματα λαμβάνουσαν, ὥστε καὶ ῥεῖθρα ποταμῶν ἀλλάττεσθαι. πεμφθεὶς γοῦν ἐπί τινα χρείαν ἰδεῖν φησιν ἐρημωθεῖσαν χώραν πλειόνων ἢ χιλίων πόλεων σὺν κώμαις, ἐκλιπόντος τοῦ Ἰνδοῦ τὸ οἰκεῖον ῥεῖθρον, ἐκτραπομένου δ' εἴς τι ἕτερον ἐν ἀριστερᾶι κοιλότερον πολὺ καὶ οἷον καταρράξαντος, ὡς τὴν ἀπολειφθεῖσαν ἐν δεξιᾶι χώραν μηκέτι ποτίζεσθαι ταῖς ὑπερχύσεσι, μετεωροτέραν οὖσαν οὐ τοῦ ῥείθρου τοῦ καινοῦ μόνον, ἀλλὰ καὶ τῶν ὑπερχύσεων.

36 (30) STRABON XV 1, 21: κατὰ δὲ τὸν Ἀκισίνην καὶ τὴν συμβολὴν τὴν πρὸς Ὑάρωτιν καὶ Ἀριστόβουλος εἴρηκε περὶ τῶν κατακαμπτομένους ἐχόντων τοὺς κλάδους· καὶ περὶ τοῦ μεγέθους, ὥσθ' ὑφ' ἑνὶ δένδρωι μεσημβρίζειν σκιαζομένους ἱππέας πεντήκοντα· οὗτος (= Onesikritos 134 F 22) δὲ τετρακοσίους.

37 (30) — — —: (F 36) λέγει δὲ ὁ Ἀριστόβουλος καὶ ἄλλο δένδρον οὐ μέγα, λοποὺς ἔχον, ὡς ὁ κυάμος, δεκαδακτύλους τὸ μῆκος, πλήρεις μέλιτος· τοὺς δὲ φαγόντας οὐ ῥαιδίως σώζεσθαι.

38 (32) — XV 1, 45: (Nearch. 133 F 10 b) Ἀριστόβουλος δὲ τῶν θρυλουμένων μεγεθῶν οὐδὲν ἰδεῖν φησιν, ἔχιδναν δὲ μόνον ἐννέα πηχῶν καὶ σπιθαμῆς . . . ἔχεις δὲ πολλούς φησι πολὺ ἐλάττους καὶ ἀσπίδας, σκορπίους δὲ μεγάλους. οὐδὲν δὲ τούτων οὕτως ὀχλεῖν ὡς τὰ λεπτὰ ὀφείδια, οὐ μείζω σπιθαμιαίων· εὑρίσκεσθαι γὰρ ἐν σκηναῖς, ἐν σκεύεσιν, ἐν θριγγοῖς ἐγκεκρυμμένα. τοὺς δὲ πληγέντας αἱμορροεῖν ἐκ παντὸς πόρου μετὰ ἐπωδυνίας, ἔπειτα ἀποθνήσκειν, εἰ μὴ βοηθήσει τις εὐθύς· τὴν δὲ βοήθειαν ῥαιδίαν εἶναι διὰ τὴν ἀρετὴν τῶν Ἰνδικῶν ῥιζῶν καὶ

---

1 θερίζεσθαί τε E πτίζεσθαι CD¹FE 17 τι Groskurd τὸ Str [τὸ] Corais 20 κενοῦ CDF 27 οὐ μέγα, λοποὺς ἔχον Kramer οὐ μεγαλολεπισματαποὺς CDF μεγάλους λοβοὺς E 34 θριγγοῖς: θρύοις CDFE 35 βοηθείσῃ F βοηθήσῃ C

φαρμάκων. κροκοδείλους τε οὔτε πολλοὺς οὔτε βλαπτικοὺς ἀνθρώπων ἐν τῶι Ἰνδῶι φησιν εὑρίσκεσθαι· καὶ τὰ ἄλλα δὲ ζῶια τὰ πλεῖστα τὰ αὐτά, ἅπερ ἐν τῶι Νείλωι, γεννᾶσθαι πλὴν ἵππου ποταμίου. Ὀνησίκριτος (134 F 7) δὲ καὶ τοῦτόν φησι γεννᾶσθαι. τῶν δ' ἐκ θαλάττης φησὶν ὁ Ἀριστόβουλος εἰς μὲν τὸν Νεῖλον ἀνατρέχειν μηδὲν ἔξω θρίσσης καὶ κεστρέως καὶ δελφῖνος διὰ τοὺς κροκοδείλους, ἐν δὲ τῶι Ἰνδῶι πλῆθος· τῶν δὲ καρίδων τὰς μὲν μικρὰς μέχρι †ὄρους ἀναθεῖν, τὰς δὲ μεγάλας μέχρι τῶν συμβολῶν τοῦ τε Ἰνδοῦ καὶ τοῦ Ἀκεσίνου.

39 (32) STRABON XVII 2, 5: φησὶ δ' Ἀριστόβουλος ἐκ τῆς θαλάττης μηδὲν ἀνατρέχειν ὕψον εἰς τὸν Νεῖλον πλὴν κεστρέως καὶ θρίσσης καὶ δελφῖνος διὰ τοὺς κροκοδείλους· τοὺς μὲν δελφῖνας διὰ τὸ κρείττους εἶναι, τοὺς δὲ κεστρέας τῶι παραπέμπεσθαι ὑπὸ τῶν χοίρων παρὰ γῆν κατά τινα οἰκείωσιν φυσικήν· τῶν δὲ χοίρων ἀπέχεσθαι τοὺς κροκοδείλους, στρογγύλων ὄντων καὶ ἐχόντων ἀκάνθας ἐπὶ τῆι κεφαλῆι φερούσας κίνδυνον τοῖς θηρίοις. ἀναθεῖν μὲν οὖν ἔαρος τοὺς κεστρέας γόνον ἔχοντας, μικρὸν δὲ πρὸ δύσεως Πλειάδος καταβαίνειν τεξομένους ἀθρόους, ὅτε καὶ ἡ ἅλωσις αὐτῶν γίνεται περιπιπτόντων τοῖς φράγμασιν ἀθρόων. τοιαύτην δέ τινα εἰκάζειν ἐστὶ καὶ περὶ τῆς θρίσσης αἰτίαν.

40 (34 b) PLUTARCH. pro nob. 19: Ἰνδικοὺς κύνας δῶρον πεμφθέντας Ἀλεξάνδρωι φησὶν Ἀριστόβουλος πρὸς μὲν τοὺς ἀγρίους ταύρους καὶ ὀρεῖς ἀδμήτους προβαλλομένους ἀκινήτους κατακεῖσθαι, πρὸς δὲ τὸν εἰσηγμένον λέοντα ἐκθορήσαντας εἰς μάχην ἐπερρῖφθαι.

41 (34) STRABON XV 1, 61: Ἀριστόβουλος δὲ τῶν ἐν Ταξίλοις σοφιστῶν ἰδεῖν δύο φησί, Βραχμᾶνας ἀμφοτέρους, τὸν μὲν πρεσβύτερον ἐξυρημένον, τὸν δὲ νεώτερον κομήτην, ἀμφοτέροις δ' ἀκολουθεῖν μαθητάς. τὸν μὲν οὖν ἄλλον χρόνον κατ' ἀγορὰν διατρίβειν τιμωμένους ἀντὶ συμβούλων, ἐξουσίαν ἔχοντας ὅτι βούλονται τῶν ὠνίων φέρεσθαι δωρεάν· ὅτωι δ' ἂν προσίωσι, καταχεῖν αὐτῶν τοῦ σησαμίνου λίπους, ὥστε καὶ κατὰ τῶν ὁμμάτων ῥεῖν· τοῦ τε μέλιτος πολλοῦ προκειμένου καὶ τοῦ σησάμου, μάζας ποιουμένους τρέφεσθαι δωρεάν. παρερχομένους δὲ καὶ πρὸς τὴν Ἀλεξάνδρου τράπεζαν, παραστάντας δειπνεῖν. καρτερίαν ⟨δὲ⟩ διδάσκειν παραχωροῦντας εἴς τινα τόπον πλησίον, ὅπου τὸν μὲν πρεσβύτερον πεσόντα ὕπτιον ἀνέχεσθαι τῶν ἡλίων καὶ τῶν ὄμβρων· ἤδη γὰρ ὕειν ἀρχομένου τοῦ ἔαρος. τὸν δ' ἑστάναι μονοσκελῆ, ξύλον ἐπηρμένον ἀμφοτέραις ταῖς χερσὶν ὅσον τρίπηχυ· κάμνοντος δὲ τοῦ σκέλους, ἐπὶ θάτερον μεταφέρειν τὴν βάσιν καὶ διατελεῖν οὕτως τὴν ἡμέραν ὅλην. φανῆναι δ'

---

7 τῶν γὰρ? ὁρῶν Guarinus Οὔρων Corais Ὀροστρῶν (Plin. NH VI 76 *Orostrae Patalam insulam attingentes*)? Jac 12 τῶι: τὸ E 17 ἀθρόων D ἀθρόον cett 27 ὅ τι ἂν βούλωνται ς 31 ⟨δὲ⟩ Jac ⟨καὶ⟩ καρτερίαν Corais

ἐγκρατέστερον μακρῶι τὸν νεώτερον· συνακολουθήσαντα γὰρ μικρὰ τῶι s. 336
βασιλεῖ ταχὺ ἀναστρέψαι πάλιν ἐπ' οἶκον· μετιόντος τε, αὐτὸν κελεῦσαι ἥκειν, εἴ του βούλεται τυγχάνειν. τὸν δὲ συναπᾶραι μέχρι τέλους καὶ μεταμφιάσασθαι καὶ μεταθέσθαι τὴν δίαιταν, συνόντα τῶι βασιλεῖ· ἐπιτιμώμενον δ' ὑπό τινων λέγειν, ὡς ἐκπληρώσειε τὰ τετταράκοντα ἔτη τῆς ἀσκήσεως, ἃ ὑπέσχετο. Ἀλέξανδρον δὲ τοῖς παισὶν αὐτοῦ δοῦναι δωρεάν.

42 (34) STRABON XV 1, 62: τῶν δ' ἐν Ταξίλοις νομίμων καινὰ καὶ ἀήθη λέγει· τό τε τοὺς μὴ δυναμένους ἐκδιδόναι τὰς παῖδας ὑπὸ πενίας προάγειν εἰς ἀγορὰν ἐν ἀκμῆι τῆς ὥρας, κόχλωι τε καὶ τυμπάνοις, οἱσπερ καὶ τὸ πολεμικὸν σημαίνουσιν, ὄχλου προσκληθέντος. τῶι δὲ προσελθόντι τὰ ὀπίσθια πρῶτον ἀνασύρεσθαι μέχρι τῶν ὤμων, εἶτα τὰ πρόσθεν· ἀρέσασαν δὲ καὶ συμπεισθεῖσαν, ἐφ' οἷς ἂν δοκῆι συνοικεῖν. καὶ τὸ γυψὶ ῥίπτεσθαι τὸν τετελευτηκότα. τὸ δὲ πλείους ἔχειν γυναῖκας κοινὸν καὶ ἄλλων. παρά τισι δ' ἀκούειν φησὶ καὶ συγκατακαιομένας τὰς γυναῖκας τοῖς ἀνδράσιν ἀσμένας, τὰς δὲ μὴ ὑπομενούσας ἀδοξεῖν. εἴρηται καὶ ἄλλοις ταῦτα.

43 (27) ARRIAN. Anab. V 14, 3: Ἀριστόβουλος δὲ λέγει τὸν Πώρου παῖδα φθάσαι ἀφικόμενον σὺν ἅρμασιν ὡς ἑξήκοντα πρὶν τὸ ὕστερον ἐκ τῆς νήσου τῆς μικρᾶς περᾶσαι Ἀλέξανδρον. καὶ τοῦτον δυνηθῆναι ἂν εἶρξαι Ἀλέξανδρον τῆς διαβάσεως χαλεπῶς καὶ μηδενὸς εἴργοντος περαιωθέντα, εἴπερ οὖν καταπηδήσαντες οἱ Ἰνδοὶ ἐκ τῶν ἁρμάτων προσέκειντο τοῖς πρώτοις τῶν ἐκβαινόντων. ἀλλὰ παραλλάξαι γὰρ ξὺν τοῖς ἅρμασι καὶ ἀκίνδυνον ποιῆσαι Ἀλεξάνδρωι τὴν διάβασιν· καὶ ἐπὶ τούτους ἀφεῖναι Ἀλέξανδρον τοὺς ἱπποτοξότας, καὶ τραπῆναι αὐτοὺς οὐ χαλεπῶς, πληγὰς λαμβάνοντας. (4) οἱ δὲ καὶ μάχην λέγουσιν ἐν τῆι ἐκβάσει γενέσθαι (in der Alexander und der Bukephalas von Poros' sohn verwundet werden; dann Ptolem. 138 F 20).

44 (—) LUKIAN. Quom. hist. conscr. 12: s. T 4.

45 (28) ARRIAN. Anab. V 20, 2: (nach der Porosschlacht) αὐτὸς δὲ ἤλαυνεν ὡς ἐπὶ τοὺς προσχώρους τῆι Πώρου ἀρχῆι Ἰνδούς. ὄνομα δὲ ἦν τῶι ἔθνει Γλαυγανῖκαι, ὡς λέγει Ἀριστόβουλος, ὡς δὲ Πτολεμαῖος (138 F 21), Γλαῦσαι.

46 (28a) PLUT. De Alex. fort. II 9 p. 341 C: ἐν Μαλλοῖς τοξεύματι διπήχει διὰ τοῦ θώρακος εἰς τὸ στῆθος (sc. ἐτρώθη Ἀλέξανδρος)· ὑπελάσας ⟨δὲ πρὸς τὸ τεῖχος πληγὴν ὑπέρου⟩ ἔλαβε κατὰ τοῦ αὐχένος, ὡς Ἀριστόβουλος ἱστόρηκε.

---

2 μετιόντος: sc. τοῦ βασιλέως 9 κόχλωι CF ὄχλωι cett τε om CD 19 μικρᾶς (vgl. νῆσον οὐ μεγάλην Plut. Alex 60): μακρᾶς Schmieder 23 τούτους Vulcanius τούτοις A 35 ὑπελάσας ⟨δὲ — ὑπέρου⟩ Jac στῆθος, ὑπέρου δὲ πληγὴι Wyttenbach ὑπέρωι δὲ πληγὰς Geier ὑ⟨πέρωι δέ τις⟩ πελάσας ἔβαλε Bernardakis

47 (28b) ATHEN. VI 57 p. 251 A: *Ἀριστόβουλος δέ φησιν ὁ Κασσανδρεὺς Διώξιππον τὸν Ἀθηναῖον παγκρατιαστὴν τρωθέντος ποτὲ τοῦ Ἀλεξάνδρου καὶ αἵματος ῥέοντος εἰπεῖν 'ἰχὼρ οἷόσπερ τε ῥέει μακάρεσσι θεοῖσι* (Il. *E* 340)'.

48 (31) STRABON XV 1, 33: *τῆς Παταληνῆς ἣν ὁ Ἰνδὸς ποιεῖ, σχισθεὶς εἰς δύο προχοάς. Ἀριστόβουλος μὲν οὖν εἰς χιλίους σταδίους διέχειν ἀλλήλων φησὶν αὐτάς* (es folgen Nearch. 133 F 21; Onesikritos 134 F 26).

49 (35) a) ARRIAN. Anab. VI 22, 4: *καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ* a. 325 (sc. *τῶν Γαδρωσῶν*) *λέγει Ἀριστόβουλος σμύρνης πολλὰ δένδρα πεφυκέναι μείζονα ἢ κατὰ τὴν ἄλλην σμύρναν, καὶ τοὺς Φοίνικας τοὺς κατ' ἐμπορίαν τῇ στρατιᾷ ξυνεπομένους ξυλλέγοντας τὸ δάκρυον τῆς σμύρνης — πολὺ γὰρ εἶναι, οἷα δὴ ἐκ μεγάλων τε τῶν πρέμνων καὶ οὕπω πρόσθεν ξυλλελεγμένον — ἐμπλήσαντας τὰ ὑποζύγια ἄγειν.* (5) *ἔχειν δὲ τὴν ἔρημον ταύτην καὶ νάρδου ῥίζαν πολλήν τε καὶ εὔοδμον, καὶ ταύτην ξυλλέγειν τοὺς Φοίνικας. πολὺ δὲ εἶναι αὐτῆς τὸ καταπατούμενον πρὸς τῆς στρατιᾶς, καὶ ἀπὸ τοῦ πατουμένου ὀδμὴν ἡδεῖαν κατέχειν ἐπὶ πολὺ τῆς χώρας· τοσόνδε εἶναι τὸ πλῆθος.* (6) *εἶναι δὲ καὶ ἄλλα δένδρα ἐν τῇ ἐρήμῳ, τὸ μέν τι δάφνῃ ἐοικὸς τὸ φύλλον, καὶ τοῦτο ἐν τοῖς προσκλυζομένοις τῇ θαλάσσῃ χωρίοις πεφυκέναι· καὶ ἀπολείπεσθαι μὲν τὰ δένδρα πρὸς τῆς ἀμπώτεως ἐπὶ ξηροῦ, ἐπελθόντος δὲ τοῦ ὕδατος ἐν τῇ θαλάσσῃ πεφυκότα φαίνεσθαι· τῶν δὲ καὶ ἀεὶ τὰς ῥίζας τῇ θαλάσσῃ ἐπικλύζεσθαι, ὅσα ἐν κοίλοις χωρίοις ἐπεφύκει, ἔνθενπερ οὐχ ὑπενόστει τὸ ὕδωρ, καὶ ὅμως οὐ διαφθείρεσθαι τὸ δένδρον πρὸς τῆς θαλάσσης.* (7) *εἶναι δὲ τὰ δένδρα ταύτῃ πήχεων καὶ τριάκοντα ἔστιν ἃ αὐτῶν, τυχεῖν τε ἀνθοῦντα ἐκείνῃ τῇ ὥρᾳ, καὶ τὸ ἄνθος εἶναι τῶν λευκῶν μάλιστα ἴωι προσφερές, τὴν ὀδμὴν δὲ πολύ τι ὑπερφέρον. καὶ ἄλλον εἶναι καυλὸν ἐκ γῆς πεφυκότα ἀκάνθης, καὶ τούτῳ ἐπεῖναι ἰσχυρὰν τὴν ἄκανθαν, ὥστε ἤδη τινῶν καὶ παριππευόντων ἐμπλακεῖσαν τῇ ἐσθῆτι κατασπάσαι ἀπὸ τοῦ ἵππου μᾶλλόν τι τὸν ἱππέα ἢ αὐτὴν ἀποσχισθῆναι ἀπὸ τοῦ καυλοῦ.* (8) *καὶ τῶν λαγῶν λέγεται ὅτι παραθεόντων εἴχοντο ἐν ταῖς θριξὶν αἱ ἄκανθαι καὶ ὅτι οὕτως ἡλίσκοντο οἱ λαγῶ, καθάπερ ὑπὸ ἰξοῦ αἱ ὄρνιθες ἢ τοῖς ἀγκίστροις οἱ ἰχθύες· σιδήρωι δὲ ὅτι διακοπῆναι οὐ χαλεπὴ ἦν. καὶ ὁπόν ὅτι ἀνίει πολὺν ὁ καυλὸς τῆς ἀκάνθης τεμνομένης, ἔτι πλείονα ἢ αἱ συκαῖ τοῦ ἤρος καὶ θριμύτερον.* .....

(24, 1) .... *καὶ λέγουσιν οἱ πολλοὶ τῶν ξυγγραψάντων τὰ ἀμφ' Ἀλέξανδρον οὐδὲ τὰ*

b) STRABON XV 2, 5—7: *πολλὰ δ' ἐταλαιπώρει ὁ Ἀλέξανδρος καθ' ὅλην τὴν ὁδὸν διὰ λυπρᾶς ἰών· πόρρωθεν δ' ὅμως ἐπεχορηγεῖτο μικρὰ καὶ σπάνια,*

11 *ἐμπορείαν* A 15 *καὶ ταύτην* ⟨*δὲ*⟩ Krueger 25 *ταῦτα* Sintenis
32 *εἴχοντο* Ellendt *εἴχονται* A *ἔχονται* Vulcanius *ὅτι* Vulcanius *οὕτι* A

ξύμπαντα δσα ἐταλαιπώρησεν αὐτῶι κατὰ τὴν Ἀσίαν ἡ στρατιὰ ξυμβληθῆναι ἄξια εἶναι τοῖς τῆιδε πονηθεῖσι πόνοις. [[(2) οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα ταύτηι ἐλθεῖν — τοῦτο μὲν μόνος Νέαρχος (133 F 3a) λέγει ὧδε — ἀλλὰ ἀκούσαντα .....]]

ὥστε λιμώττειν τὸ στράτευμα· καὶ τὰ ὑποζύγια ἐπέλιπε, καὶ τὰ σκεύη κατελείπετο ἐν ταῖς ὁδοῖς καὶ τοῖς στρατοπέδοις· ἀπὸ δὲ τῶν φοινίκων ἦν ἡ σωτηρία, τοῦ τε καρποῦ καὶ τοῦ ἐγκεφάλου. φασὶ δὲ φιλονεικῆσαι τὸν Ἀλέξανδρον, καίπερ εἰδότα τὰς ἀπορίας, πρὸς τὴν κατέχουσαν δόξαν, ὡς Σεμίραμις μὲν ἐξ Ἰνδῶν φεύγουσα σωθείη μετὰ ἀνδρῶν ὡς εἴκοσι, Κῦρος δὲ ἑπτά, εἰ δύναιτο αὐτὸς τοσοῦτο στράτευμα διασῶσαι διὰ τῆς αὐτῆς χώρας, νικῶν καὶ ταῦτα. a. 325

(4) τό τε οὖν καῦμα ἐπιφλέγον καὶ τοῦ ὕδατος τὴν ἀπορίαν πολλὴν τῆς στρατιᾶς διαφθεῖραι καὶ μάλιστα δὴ τὰ ὑποζύγια, ταῦτα μὲν πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρμης, ὅτι κεκαυμένη ἦν, τὰ πολλὰ δὲ καὶ δίψει ἀπόλλυσθαι· καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς ψάμμου βαθείας, οὐ νεναγμένης, ἀλλ' οἵας δέχεσθαι καθάπερ ἐς πηλὸν ἢ ἔτι μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντας. (5) καὶ ἅμα ἐν ταῖς προσβάσεσί τε καὶ καταβαίνοντας τούς τε ἵππους καὶ τοὺς ἡμιόνους ἔτι μᾶλλον κακοπαθεῖν τῶι ἀνωμάλωι τῆς ὁδοῦ καὶ ἅμα οὐ βεβαίοις, τῶν τε σταθμῶν τὰ μήκη πιέσαι οὐχ ἥκιστα τὴν στρατιάν· ἀπορία γὰρ ὕδατος οὐ ξύμμετρος οὖσα μᾶλλόν τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι. (6) ὁπότε μὲν δὴ τῆς νυκτὸς ἐπελθόντες τὴν ὁδὸν ἤντινα ἀνύσαι ἐχρῆν ἔωθεν πρὸς ὕδωρ ἔλθοιεν, οὐ πάντηι ἐταλαιπορεῖντο· προχωρούσης δὲ τῆς ἡμέρας ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ ὁδοιπορεῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐναυθα ἂν ἐταλαιπώρουν πρὸς τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστωι συνεχόμενοι.

(6) πρὸς δὲ τῆι ἀπορίαι χαλεπὸν ἦν καὶ τὸ καῦμα καὶ τὸ βάθος τῆς ψάμμου καὶ ἡ θερμότης, ἔστι δ' ὅπου καὶ ὕδνες ὑψηλοί, ὥστε πρὸς τῶι δυσχερῶς ἀναφέρειν τὰ σκέλη, καθάπερ ἐκ βυθοῦ, καὶ ἀναβάσεις εἶναι καὶ καταβάσεις. ἀνάγκη δ' ἦν καὶ σταθμοὺς ποιεῖσθαι μακροὺς διὰ τὰ ὑδρεῖα, διακοσίων καὶ τετρακοσίων σταδίων, ἔστι δ' ὅτε καὶ ἑξακοσίων, νυκτοπορουντας τὸ πλέον. πόρρω δὲ τῶν ὑδρείων ἐστρατοπεδεύοντο ἐν τριάκοντα σταδίοις πολλάκις τοῦ μὴ ἐμφορεῖσθαι κατὰ δίψος· πολλοὶ γὰρ ἐμπίπτοντες σὺν ὅπλοις ἔπινον ὡς ἂν ὑποβρύχιοι, φυσώμενοι δ' ἐπέπλεον ἐκπεπνευκότες καὶ τὰ ὑδρεῖα βραχέα ὄντα διέφθειρον. οἱ δ' ἐν τῶι ἡλίωι κατὰ μέσην τὴν ὁδὸν ἀπηγορευκότες ἔκειντο ὑπὸ δίψους· ἔπειτα τρομώδεις μετὰ παλμοῦ χειρῶν καὶ σκελῶν ἐθνησκον παραπλησίως, ὡς ἂν ⟨ὑπὸ⟩ ῥίγους καὶ φρίκης ἐχόμενοι. συνέβαινε δέ τισι καὶ ἐκτραπο-

(25) τῶν δὲ δὴ ὑποζυγίων πολὺς ὁ φθόρος καὶ ἐκούσιος τῆι στρατιᾶι ἐγίγνετο· ξυνιόντες γάρ, ὁπότε ἐπιλίποι σφᾶς τὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο καὶ ἔλεγον δίψει ἀποθανεῖν αὐτοὺς ἢ ὑπὸ καμάτου ἐκλιπόντας. καὶ ὁ τὴν ἀτρέκειαν τοῦ ἔργου ἐξελέγξων ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν καὶ ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρτανον. (2) καὶ Ἀλέξανδρον μὲν οὐκ ἐλελήθει τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι ἢ τὴν ὡς

---

$2^3$ κατελείπετο Corais —λίπετο Str $4^2$ φησί (d. h. Nearchos) Corais $5^1$—$10^2$ einlage Arrians $15^2$ πρὸς τῶι Corais πρὸς τὸ Str $18^1$ ἐπεμβαίνοντας Krueger ⟨τοὺς⟩ ἐπιβ.? Roos $23^1$ ἀπορία: ἀφθονία? Jac ξύμμετρους Krueger $26^2$ εἴκοσι p. 785, $42^1$ $28^1$ ἐγκαταληφθεῖεν Vulcanius $29^2$—$30^2$ ὡς ἄν: καὶ ἦσαν Corais ἕως ἦσαν Groskurd $31^1$ πολὺς k πολλῶν A $37^1$ πόνου B πάνου $A^2$ $38^2$ ⟨ὑπὸ⟩ Tzschucke $39^1$ ἑώρα A ἐποίει Suid. s. ἐπιχώρησις

γιγνωσκομένων ἐπιχώρησιν. οὔκουν οὐδὲ τοὺς νόσωι κάμνοντας τῆς στρατιᾶς οὐδὲ τοὺς διὰ κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς ἄγειν ἔτι ἦν εὐμαρῶς ἀπορίαι τε τῶν ὑποζυγίων καὶ ὅτι τὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ βάθους τῆς ψάμμου ἄγεσθαι καὶ ὅτι ἐν τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ὁδῶν, ἀλλὰ τὰς εὐπορωτάτας τοῖς ζεύγεσι. (3) καὶ οὕτως οἱ μὲν νόσωι κατὰ τὰς ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος ἢ τῶι ὄψει οὐκ ἀντέχοντες, καὶ οὔτε οἱ ἄξοντες ἦσαν οὔτε οἱ μένοντες θεραπεύσοντες· σπουδὴι γὰρ πολλῆι ἐγίγνετο ὁ στόλος καὶ ἐν τῶι ὑπὲρ τοῦ παντὸς προθύμωι τὸ καθ' ἑκάστους ξὺν ἀνάγκηι ἠμελεῖτο. οἱ δὲ καὶ ὕπνωι κατοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν ὁόναμις ἔτι ἦν κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφομαρτήσαντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν, οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες ἐν τῆι ψάμμωι ἀπώλλυντο.

(4) ξυνηνέχθη δὲ τῆι στρατιᾶι καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. ὕεται γὰρ ἡ Γαδρωσίων γῆ ὑπ' ἀνέμων τῶν ἐτησίων, καθάπερ οὖν καὶ ἡ Ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων ἀλλὰ τὰ ὄρη, ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ἐκ τοῦ πνεύματος καὶ ἀναχέονται, οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς. (5) ὡς δὲ ηὐλίσθη ἡ στρατιὰ πρὸς χειμάρρωι ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χειμάρρους ὁ ταύτηι ῥέων ἀφανῶν τῆι στρατιᾶι γεγενημένων τῶν ὄμβρων τοσούτωι ἐπῆλθε τῶι ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῆι στρατιᾶι διαφθεῖραι καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι καὶ τῶν ὑποζυγίων ὅσα ἀπελείπετο, αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις οὐδὲ τούτοις πᾶσιν ἀποσωθῆναι. (6) οἱ πολλοὶ δὲ καὶ πίνοντες ὁπότε ἐκ καύματός τε καὶ ὄψους ὕδατι ἀθρόωι ἐπιτύχοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλλυντο. καὶ τούτων ἕνεκα Ἀλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῶι ὕδατι αὐτούς τε καὶ κτήνη ἀπόλλυσθαι καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν μένοις τὴν ὁδὸν καταδαρθεῖν κρατουμένους ὑπὸ ὕπνου καὶ κόπου· ὑστερήσαντες δ' οἱ μὲν ἀπώλοντο πλάνηι τῶν ὁδῶν καὶ ὑπὸ ἀπορίας ἁπάντων καὶ καύματος, οἱ δ' ἐσώθησαν πολλὰ ταλαιπωρήσαντες.

πολλὰ δὲ κατέκλυσε καὶ τῶν σωμάτων καὶ τῶν χρηστηρίων ἐπιπεσόντα χειμάρρους νύκτωρ· καὶ τῆς βασιλικῆς δὲ κατασκευῆς ἐξηλείφθη πολλή.

1[1] γιγνωσκομένων Suid —νην A 5[1] βάθους edd βάθος A 11[1] μένοντες Krueger —τας A 14[1] ξὺν: ξύμφορον Krueger 19[1] [δὲ] Schmieder 32[1] τοσοῦτος Krueger 38[1] ἀθρόοι Sintenis 42[1] τριάκοντα p. 784, 26[2]

ἐπεμβαίνοντας ἐς τὰς πηγὰς ἢ τὰ ῥεύματα διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ.

(26) ἔνθα δὴ ἔργον καλὸν εἴπερ τι ἄλλο τῶν Ἀλεξάνδρου οὐκ ἐδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώραι πραχθὲν ἢ ἔτι ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὡς μετεξέτεροι ἀνέγραψαν. ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι· τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ. καὶ αὐτόν τε Ἀλέξανδρον ὀλίγοι κατεχόμενον μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἠγεῖσθαι· ὡς δὲ καὶ τοὺς ἄλλους στρατιώτας, οἷάπερ φιλεῖ ἐν τῶι τοιῶιδε, κουφοτέρως φέρειν τοὺς πόνους ἐν ἰσότητι τῆς ταλαιπωρήσεως. (2) ἐν δὲ τούτωι τῶν φιλῶν τινας κατὰ ζήτησιν ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς εὑρεῖν ὕδωρ συλλελεγμένον ἐν τινι χαράδραι οὐ βαθείαι, ὀλίγην καὶ φαύλην πίδακα. καὶ τούτου χαλεπῶς συλλέξαντας σπουδῆι ἰέναι παρ' Ἀλέξανδρον, ὡς μέγα δή τι ἀγαθὸν φέροντας· ὡς δὲ ἐπίλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ προσενεγκεῖν τῶι βασιλεῖ. (3) τὸν δὲ λαβεῖν μὲν καὶ ἐπαινέσαι τοὺς κομίσαντας, λαβόντα δὲ ἐν ὄψει πάντων ἐκχέαι. καὶ ἐπὶ τῶιδε τῶι ἔργωι ἐς τοσόνδε ἐπιρρωσθῆναι τὴν στρατιὰν ξύμπασαν ὥστε εἰκάσαι ἄν τινα πότον γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς Ἀλεξάνδρου ἐκχυθέν. ....

(4) ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾶι ἐν τῇι γῆι ἐκείνηι. οἱ γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες οὐκέτι μεμνῆσθαι ἔφασκον τὴν ὁδόν, ἀλλ' ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς πρὸς τοῦ ἀνέμου ἐπινεύσαντος· καὶ — οὐ γὰρ εἶναι ἐν τῇι ψάμμωι πολλῆι τε καὶ ὁμοίαι πάντηι νενημένηι ὅτωι τεκμηριώσονται τὴν ὁδόν, οὔτ' οὖν δένδρα ξυνήθη παρ' αὐτὴν πεφυκότα οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα· οὐδὲ πρὸς τὰ ἄστρα ἐν νυκτὶ ἢ μεθ' ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαι σφισι τὰς πορείας, καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων, τὴν μὲν Φοινίξι τὴν ὀλίγην, τὴν δὲ τοῖς ἄλλοις ἀνθρώποις τὴν μείζονα —· (5) ἔνθα δὴ Ἀλέξανδρον ξυνέντα ὅτι ἐν ἀριστερᾶι ⟨δεῖ⟩ ἀποκλίνοντα ἄγειν, ἀναλαβόντα ὀλίγους ἅμα οἱ ἱππέας ⟨προχωρῆσαι⟩· ὡς δὲ καὶ τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τούτων καὶ τῶν καθοδηγῶν τε κατ' ἄγνοιαν πολὺ εἰς τὴν μεσόγαιαν ἐκτραπομένων, ὥστε μηκέτι ὁρᾶν τὴν θάλατταν, [δ] συνεὶς ὁ βασιλεὺς ἑαυτὸς ὥρμησε ζητήσων τὴν ἠιόνα. καὶ ἐπειδὴ εὗρε καὶ ὀρύξας εἶδεν ὕδωρ πότιμον, μεταπέμπεται τὸ στρατόπεδον· καὶ λοιπὸν μέχρι ἡμερῶν ἑπτὰ πλησίον ἦισι τῆς ἠιόνος, εὐπορῶν ὑδρείας, ἔπειτ' αὖθις εἰς τὴν μεσόγαιαν ἀνεχώρησεν.

---

4¹ ἔδοξε edd —ξα A 9¹ πρόσθεν: πρόσω Schneider αὐτόν δὲ Sintenis ὀλίγη A 11¹ ὡς δὲ Krueger ὡς δὲ A ὥστε Raphelius 17¹ τούτου Grundmann τοῦτο οὐ A τ. οὗ⟨ν⟩ Pflugk συλλέξαντας Vulcanius —ες A 24¹ πότον Vulcanius ποτὸν A 26¹ τε: δὴ C (?) Corais 29² [ὃ] Corais 29¹—30¹ ἀφανισθῆναι ⟨γὰρ⟩ — οὐκ εἶναι Pflugk 30¹ οὐκ ἂρ' Krueger 38¹—40¹ ⟨δεῖ⟩ — ⟨προχωρῆσαι⟩ Facius ⟨ἴστιν ἡ θάλασσα⟩, ἀποκλίναντα κτλ.? Jac

τοὺς πολλούς, αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφιππάσασθαι καὶ εὑρεῖν τὴν θάλασσαν, διαμησάμενόν τε αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν κάχληκα ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ καὶ οὕτω μετελθεῖν τὴν στρατιὰν πᾶσαν. καὶ ἐς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν ὑδρευομένους ἐκ τῆς ἠιόνος· ἔνθεν δέ — ἤδη γὰρ γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας — ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον.

(7) ἦν δέ τι ὅμοιον τῇι δάφνηι φυτόν, οὗ τὸ γευσάμενον τῶν ὑποζυγίων ἀπέθνησκε μετὰ ἐπιληψίας καὶ ἀφροῦ· ἄκανθα δὲ τοὺς καρποὺς ἐπὶ γῆς κεχυμένη, καθάπερ οἱ σίκυοι, πλήρης ἦν ὀποῦ. τούτου δὲ ῥανίδες ἐς ὀφθαλμὸν ἐμπεσοῦσαι πᾶν ἀπετύφλουν ζῷον· οἵ τε ὦμοὶ φοίνικες ἔπνιγον πολλούς. ἦν δὲ κίνδυνος καὶ ἀπὸ τῶν ὄφεων· ἐν γὰρ τοῖς ὕδασιν ἐπεφύκει βοτάνη, ταύτηι δ' ὑποδεδυκότες ἐλάνθανον, τοὺς δὲ πληγέντας ἀπέκτεινον. ἐν δὲ τοῖς Ὠρίταις τὰ τοξεύματα χρίεσθαι θανασίμοις φαρμάκοις ἔφασαν, ξύλινα ὄντα καὶ πεπυρακτωμένα, τρωθέντα δὲ Πτολεμαῖον κινδυνεύειν· ἐν ὕπνωι δὲ παραστάντα τινὰ τῶι Ἀλεξάνδρωι δεῖξαι ῥίζαν αὐτόπρεμνον, ἣν κελεῦσαι τρίβοντα ἐπιτιθέναι τῶι τρωθέντι. ἐκ δὲ τοῦ ὕπνου γενόμενον, μεμνημένον τῆς ὄψεως εὑρεῖν ζητοῦντα τὴν ῥίζαν πολλὴν πεφυκυῖαν καὶ χρήσασθαι καὶ αὐτὸν καὶ τοὺς ἄλλους· ἰδόντας δὲ τοὺς βαρβάρους εὑρημένον τὸ ἀλέξημα ὑπηκόους γενέσθαι τῶι βασιλεῖ. εἰκὸς δέ τινα μηνῦσαι τῶν εἰδότων· τὸ δὲ μυθῶδες προσετέθη κολακείας χάριν. ἐλθὼν δ' εἰς τὸ βασίλειον τῶν Γεδρωσίων ἑξηκοσταῖος ἀπὸ Ὠρῶν, διαναπαύσας τὰ πλήθη μικρόν, ἀπῆρεν εἰς τὴν Καρμανίαν.

**50** (36) ARRIAN. Anab. VI 28, 2—4: (der bakchische zug Alexanders durch Karmanien) ταῦτα δὲ οὔτε Πτολεμαῖος ὁ Λάγου (138 F 27) οὔτε Ἀριστόβουλος ὁ Ἀριστοβούλου ἀνέγραψαν οὐδέ τις ἄλλος ὄντινα ἱκανὸν ἄν τις ποιήσαιτο τεκμηριῶσαι ὑπὲρ τῶν τοιῶνδε, καὶ μοι ὡς οὐ πιστὰ ἀναγεγράφθαι ἐξήρκεσαν. (3) ἀλλὰ ἐκεῖνα ἤδη Ἀριστοβούλωι ἑπόμενος ξυγγράφω, θῦσαι ἐν Καρμανίαι Ἀλέξανδρον χαριστήρια τῆς κατ' Ἰνδῶν νίκης καὶ ὑπὲρ τῆς στρατιᾶς, ὅτι ἀπεσώθη ἐκ Γαδρωσίων, καὶ ἀγῶνα διαθεῖναι μουσικόν τε καὶ γυμνικόν. καταλέξαι δὲ καὶ Πευκέσταν ἐς τοὺς σωματοφύλακας, ἤδη μὲν ἐγνωκότα σατράπην καταστῆσαι τῆς Περσίδος, ἐθέλοντα δὲ πρὸ τῆς σατραπείας μηδὲ ταύτης τῆς τιμῆς καὶ πίστεως ἀπείρατον εἶναι ἐπὶ τῶι ἐν Μαλλοῖς ἔργωι. (4) εἶναι δὲ αὐτῶι ἑπτὰ εἰς τότε σωματοφύλακας, Λεοννάτον Ἀντέου, Ἡφαιστίωνα τὸν Ἀμύντορος, Λυσίμαχον Ἀγαθοκλέους, Ἀριστόνουν Πεισαίου (τούτους μὲν Πελλαίους).

11[1] τῆς γῆς CD Corais ἀπέκτεν(ν)ον Str 11[2]—12[2] κεχυμένη: ἐστρωμένη CD 35 ἐξήρκεσεν Ellendt 17[2] ἀπέκτεινον

*Περδίκκαν δὲ Ὀρόντου ἐκ τῆς Ὀρεστίδος, Πτολεμαῖον δὲ Λάγου καὶ Πείθωνα Κρατεύα Ἐορδαίους· ὄγδοον δὲ προσγενέσθαι αὐτοῖς Πευκέσταν τὸν Ἀλεξάνδρου ὑπερασπίσαντα.*

51 (37) a) ARRIAN. Anab. VI 29, 4—11: ἐλύπησε δὲ αὐτὸν ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε τοῦ Κύρου τὸν τάφον, ὡς λέγει Ἀριστόβουλος. εἶναι γὰρ ἐν Πασαργάδαις ἐν τῷι παραδείσωι τῷι βασιλικῷι Κύρου ἐκείνου τάφον καὶ περὶ αὐτὸν ἄλσος πεφυτεῦσθαι δένδρων παντοίων καὶ ὕδατι εἶναι κατάρρυτον καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷι λειμῶνι· (5) καὶ αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι, ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν ἔσω στενήν, ὡς μόλις ἂν ⟨εἶναι⟩ ἐνὶ ἀνδρὶ οὐ μεγάλωι πολλὰ κακοπαθοῦντι παρελθεῖν. ἐν δὲ τῷι οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην παρὰ τῆι πυέλωι· πόδας δὲ εἶναι τῆι κλίνηι χρυσοῦς σφυρηλάτους καὶ τάπητα ἐπίβλημα τῶν Βαβυλωνίων καὶ καυνάκας πορφυροῦς ὑποστρώματα. (6) ἐπεῖναι δὲ καὶ κάνδυς καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας. καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς λέγει ὅτι ἔκειντο, αἱ δὲ πορφύρας, αἱ δὲ ἄλλης καὶ ἄλλης χρόας· καὶ στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων κολλητά· καὶ τράπεζα ἔκειτο. ἐν μέσωι δὲ τῆς κλίνης ἡ πύελος ἔκειτο ἡ τὸ σῶμα τὸ Κύρου

b) STRABON XV 3, 7 (EUST. Dion. 1069): *εἶτ' εἰς Πασαργάδας ἦκε· καὶ τοῦτο δ' ἦν βασίλειον ἀρχαῖον. ἐνταῦθα δὲ καὶ τὸν Κύρου τάφον εἶδεν ἐν παραδείσωι, πύργον οὐ μέγαν, τῶι δάσει τῶν δένδρων ἐναποκεκρυμμένον, κάτω μὲν στερεόν, ἄνω δὲ στέγην ἔχοντα καὶ σηκόν, στενὴν τελέως ἔχοντα τὴν εἴσοδον· δι' ἧς παρελθεῖν εἴσω φησὶν Ἀριστόβουλος κελεύσαντος τοῦ βασιλέως καὶ κοσμῆσαι τὸν τάφον· ἰδεῖν δὲ κλίνην τε χρυσῆν καὶ τράπεζαν σὺν ἐκπώμασι καὶ πύελον χρυσῆν καὶ ἐσθῆτα πολλὴν κόσμον τε λιθοκόλλητον. κατὰ μὲν οὖν τὴν πρώτην ἐπιδημίαν ταῦτ' ἰδεῖν· ὕστερον δὲ συληθῆναι καὶ τὰ μὲν ἄλλα ἐκκομισθῆναι, τὴν δὲ κλίνην θρυσθῆναι μόνον καὶ τὴν πύελον, μεταθέντων τὸν νεκρόν, δι' οὗ δῆλον γενέσθαι, διότι προνομευτῶν ἔργον ἦν, οὐχὶ τοῦ σατράπου, καταλιπόντων ἃ μὴ δυνατὸν ἦν ῥαιδίως ἐκκομίσαι. συμβῆναι δὲ ταῦτα, καίπερ φυλακῆς περικειμένης μάγων, σίτησιν λαμβανόντων καθ' ἡμέραν πρόβατον, διὰ μηνὸς δ' ἵππον. ἀλλ' ὁ ἐκτοπισμὸς τῆς Ἀλεξάνδρου στρα-*

2 Κρατεύα Ellendt κρατευᾶ A 19¹—20¹ ⟨εἶναι⟩ ἐνὶ Roos εἶναι (für ἐνί) Krueger 16¹ τετραπέδου FHL τετραπόδου A²B —θόντι A 24¹ [παρὰ] o. ὑπὸ Krueger 20²—21¹ κακοπαθοῦντι edd 27² δι' οὗ Tyrwhit δ' οὗ Str 26¹ ἐπίβλημα τῶν Röhl ἐπιβλημάτων A 33² σίτησιν Str

ἔχουσα. (7) εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ οἴκημα σμικρὸν τοῖς μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν φυλακήν. καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα, καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῶι Κύρωι. (8) ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι, καὶ ἑλληνιστὶ τάδε· 'ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι ὁ Καμβύσου ὁ τὴν ἀρχὴν Πέρσαις καταστησάμενος καὶ τῆς Ἀσίας βασιλεύσας· μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.' (9) Ἀλέξανδρος δέ — ἐπιμελὲς γὰρ ἦν αὐτῶι, ὁπότε ἔλοι Πέρσας, παριέναι ἐς τοῦ Κύρου τὸν τάφον — τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα πλὴν τῆς πυέλου καὶ τῆς κλίνης. οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλωβήσαντο ἀφελόντες τὸ πῶμα τῆς πυέλου καὶ τὸν νεκρὸν ἐξέβαλον. αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκόν σφισι ποιήσασθαι καὶ ταύτηι εὔφορον, τὰ μὲν παρακόπτοντες τὰ δὲ ξυνθλῶντες αὐτῆς. ὡς δὲ οὐ προὐχώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον. (10) καὶ λέγει Ἀριστόβουλος αὐτὸς ταχθῆναι πρὸς Ἀλεξάνδρου κοσμῆσαι ἐξ ὑπαρχῆς τῶι Κύρωι τὸν τάφον. καὶ τοῦ μὲν σώματος ὅσαπερ ἔτι σῶα ἦν καταθεῖναι ἐς τὴν πύελον καὶ τὸ πῶμα ἐπιθεῖναι, ὅσα δὲ λελώβητο αὐτῆς κατορθῶσαι. καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις καὶ τἆλλα ὅσα ἐς κόσμον ἔκειτο κατὰ ἀριθμόν τε καὶ τοῖς πάλαι ὅμοια ἀποθεῖναι, καὶ τὴν θυρίδα δὲ ἀφανίσαι, τὰ μὲν αὐτῆς λίθωι ἐνοικοδομήσαντα τὰ δὲ πηλῶι ἐμπλάσαντα, καὶ ἐπιβαλεῖν τῶι πηλῶι τὸ σημεῖον τὸ βασιλικόν. (11) Ἀλέξανδρος δὲ ξυλλαβὼν τοὺς μάγους τοὺς φύλακας τοῦ τάφου ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας, οἱ δὲ οὐδὲν οὔτε σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ἐξηλέγχοντο ξυνειδότες τῶι ἔργωι· καὶ ἐπὶ τῶιδε ἀφείθησαν ἐξ Ἀλεξάνδρου.

52 (38) ARRIAN. Anab. VII 4, 4: ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν Σούσοις αὐτοῦ τε καὶ τῶν ἑταίρων· αὐτὸς μὲν τῶν Δαρείου θυγατέρων τιᾶς εἰς Βάκτρα καὶ Ἰνδοὺς πολλά τε ἄλλα νεωτερισθῆναι παρεσκεύασε, καὶ δὴ καὶ τοῦθ' ἓν τῶν νεωτερισθέντων ὑπῆρξεν. οὕτω μὲν οὖν Ἀριστόβουλος εἴρηκε, καὶ τὸ ἐπίγραμμα δὲ ἀπομνημονεύει τοῦτο· 'ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι ὁ τὴν ἀρχὴν τοῖς Πέρσαις κτησάμενος καὶ τῆς Ἀσίας βασιλεύς· μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.' (es folgen Onesikrit. 134 F 34; Aristos 143 F 1). a. 324

---

6¹—7¹ ἐκδεχόμενος Krueger 16 ἔλοι: ἔλθοι ⟨ἐς⟩ Pflugk 20—21 ἐξέβαλον FGHL ἔξω ἔβαλ(λ)ον A²(B) 22 δὲ ξυνθλῶντες FGHL ἐξ ωθλῶντες A² δὲ ἔξω θλῶντες B 23 προυχώρει Vulcanius προχώρει Ar 24 πρὸς BG παρ' A²FH πρὸς παρ' L 33 ἄλλου ⟨του⟩ Krueger ἐξηλέγχοντο Krueger ξυνη— A

τὴν πρισβυτάτην Βαρσίνην ἠγάγετο· ὡς δὲ λέγει Ἀριστόβουλος, καὶ ἄλλην πρὸς ταύτῃ, τῶν Ὀξυάρτου τὴν νεωτάτην Παρύσατιν.

53 (—) ARRIAN. Anab. VII 15, 6: (von einer römischen gesandtschaft an Alexander berichtet kein Römer) οὔτε τῶν τὰ Ἀλεξάνδρου γραφόντων, οἵπερ μᾶλλον ἐγὼ ξυμφέρομαι, Πτολεμαῖος ὁ Λάγου (138 F 29) καὶ Ἀριστόβουλος.

54 (39) — — VII 16, 1: ἐκ τούτου δὴ Ἡρακλείδην τὸν Ἀργαῖον ἐκπέμπει ἐς Ὑρκανίαν ναυπηγοὺς ἅμα οἱ ἄγοντα, κελεύσας ὕλην τεμόντα ἐκ τῶν ὀρῶν τῶν Ὑρκανίων ναυπηγεῖσθαι ναῦς μακρὰς ἀφράκτους τε καὶ πεφριγμένας ἐς τὸν πόντον τὸν Ἑλληνικόν. (2) πόθος γὰρ εἶχεν αὐτὸν καὶ ταύτην ἐκμαθεῖν τὴν θάλασσαν τὴν Κασπίαν τε καὶ Ὑρκανίαν καλουμένην ποίαι τινὶ ξυμβάλλει θαλάσσῃ, πότερα τῇ τοῦ πόντου τοῦ Εὐξείνου ἢ ἀπὸ τῆς ἑῴας τῆς κατ' Ἰνδοὺς ἐκπεριερχομένη ἡ μεγάλη θάλασσα ἀναχεῖται εἰς κόλπον τὸν Ὑρκάνιον, καθάπερ οὖν καὶ τὸν Περσικὸν ἔξεστιν, τὴν Ἐρυθρὰν δὴ καλουμένην θάλασσαν, κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης. (3) οὐ γὰρ πω ἐξεύρητο αἱ ἀρχαὶ τῆς Κασπίας θαλάσσης, καίτοι ἐθνῶν τε αὐτὴν περιοικούντων οὐκ ὀλίγων καὶ ποταμῶν πλοίμων ἐμβαλλόντων ἐς αὐτήν· ἐκ Βάκτρων μὲν Ὦξος, μέγιστος τῶν Ἀσιανῶν ποταμῶν πλήν γε δὴ τῶν Ἰνδῶν, ἐξίησιν ἐς ταύτην τὴν θάλασσαν, διὰ Σκυθῶν δὲ Ὀξυάρτης. καὶ τὸν Ἀράξην δὲ τὸν ἐξ Ἀρμενίων ῥέοντα ἐς ταύτην ἐσβάλλειν ὁ πλείων λόγος κατέχει. (4) μέγιστοι μὲν οὗτοι· πολλοὶ δὲ δὴ καὶ ἄλλοι ἐς τε τούτους ἐμβάλλοντες καὶ αὐτοὶ ἐπὶ σφῶν ἐς τὴν θάλασσαν ταύτην ἐξιᾶσιν, οἱ μὲν καὶ γινωσκόμενοι πρὸς τῶν ἀμφ' Ἀλέξανδρον ἐπελθόντων τὰ ἔθνη τάδε, οἱ δὲ κατὰ τὰ ἐπέκεινα τοῦ κόλπου, ὡς εἰκός, κατὰ τοὺς Σκύθας τοὺς Νομάδας, ὃ δὴ ἄγνωστον πάντῃ ἐστίν.

(5) Ἀλέξανδρος δὲ ὡς τὸν Τίγρητα ποταμὸν ξὺν τῇ στρατιᾷ διέβη ἐλαύνων ἐπὶ Βαβυλῶνος, ἐνταῦθα ἐντυγχάνουσιν αὐτῷ Χαλδαίων οἱ λόγιοι, καὶ ἀπαγαγόντες ἀπὸ τῶν ἑταίρων ἐδέοντο ἐπισχεῖν τὴν ἐπὶ Βαβυλῶνος ἔλασιν. λόγιον γὰρ γεγονέναι σφίσιν ἐκ τοῦ θεοῦ τοῦ Βήλου μὴ πρὸς ἀγαθοῦ οἱ εἶναι τὴν πάροδον τὴν ἐς Βαβυλῶνα ἐν τῷδε τῷ τότε. (6) τὸν δὲ ἀποκρίνασθαι αὐτοῖς λόγος τοῦ Εὐριπίδου τοῦ ποιητοῦ ἔπος· ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε· 'μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς (F 973 N²)'. 'οὐ δέ, ὦ βασιλεῦ', ἔφασαν οἱ Χαλδαῖοι, 'μὴ πρὸς δυσμὰς ἀφορῶν αὐτὸς μηδὲ τὴν στρατιὰν ταύτῃ ἐπέχουσαν ἄγων παρελθεῖν, ἀλλὰ ἐκπεριελθὼν πρὸς ἕω μᾶλλον.' (7) τῷ δὲ οὐδὲ τοῦτο εὐμαρὲς διὰ ὀνοχωρίαν ξυνέβη· ἀλλὰ ἦγε γὰρ αὐτὸν ταύτῃ τὸ δαιμόνιον ἤδη παρελθόντα ἔχρῃν ἤδη τελευτῆσαι. ..... (17) ἦν δέ τι καὶ ὑποπτον αὐτῷ ἐς τοὺς Χαλδαίους, ὡς οὐ κατὰ μαντείαν τι μᾶλλον ἢ ἐς ὠφέλειαν τὴν αὐτῶν φέροι αὐτοῖς ἡ κώλυσις τῆς Ἀλεξάνδρου ἐς Βαβυλῶνα ἐν τῷ τότε ἐλάσεως. ὁ γὰρ τοῦ Βήλου νεὼς ἐν μέσῃ τῇ πόλει ἦν τῶν Βαβυλωνίων, μεγέθει τε μέγιστος καὶ ἐκ πλίνθου ὀπτῆς ἐν ἀσφάλτῳ ἡρμοσμένης. (2) τοῦτον τὸν νεών, ὥσπερ καὶ τὰ ἄλλα ἱερὰ τὰ Βαβυλωνίων. Ξέρξης κατέσκαψεν, ὅτε ἐκ τῆς Ἑλλάδος ὀπίσω ἀπενόστησεν. Ἀλέξανδρος δὲ ἐν νῷ εἶχεν ἀνοικοδομεῖν οἱ μὲν λέγουσιν ὅτι ἐπὶ τοῖς θεμελίοις τοῖς πρόσθεν καὶ τούτου ἕνεκα τὸν χοῦν ἐκφέρειν ἐκέλευε

---

1 Βαρσίνην: Ἀρσινόη Phot. bibl. 91 p. 68 b 7 18 Ὀξάντης F 25 Ἰαξάρτης Blancardus Νομάδας] Abicht vgl. 138 F 34 c. 5, 3 — [ἔπος]? [τοῦ] Εὐριπίδου Sintenis εὐριπίδ. (!) B 16 (περι)οικούντων Krueger 22 κατὰ τοὺς k ἐς τοὺς A [ἐς — 28 λόγος Krueger λόγον A λόγον [τοῦ] 29 Εὐριπίδῃ FGH εὐριπίδα A²

τοὺς Βαβυλωνίους, οἱ δὲ ὅτι καὶ μείζονα ἔτι τοῦ πάλαι ὄντος. (3) ἐπεὶ δὲ ἀποστάντος αὐτοῦ μαλθακῶς ἀνθήψαντο τοῦ ἔργου οἷς ταῦτα ἐπετέτραπτο, ὁ δὲ τῇ στρατιᾷ πάσῃ ἐπενόει τὸ ἔργον ἐργάσασθαι. εἶναι δὲ τῶι θεῶι τῶι Βήλωι πολλὴν μὲν τὴν χώραν ἀνειμένην ἐκ τῶν Ἀσσυρίων βασιλέων, πολὺν δὲ χρυσόν. (4) καὶ ἀπὸ τού⟨του⟩ πάλαι μὲν τὸν νεὼν ἐπισκευάζεσθαι καὶ τὰς θυσίας τῶι θεῶι θύεσθαι· τότε δὲ τοὺς Χαλδαίους τὰ τοῦ θεοῦ νέμεσθαι, οὐκ ὄντος ἐς ὅ τι ἀναλωθήσεται τὰ περιγιγνόμενα. τούτων δὴ εἵνεκα ὑποπτοι Ἀλεξάνδρωι ἦσαν οὐκ ἐθέλειν παρελθεῖν εἴσω Βαβυλῶνος Ἀλέξανδρον, ὡς μὴ ὀλίγου τὸν νεὼν ἐπιτελεσθέντα ἀφελέσθαι αὐτοὺς τὰς ἐκ τῶν χρημάτων ὠφελείας. (5) ὅμως δὲ τά γε τῆς ἐπιστροφῆς τῆς κατὰ τὴν εἴσοδον τὴν ἐς τὴν πόλιν ἐθελῆσαι αὐτοῖς πεισθῆναι λέγει Ἀριστόβουλος καὶ τῇι πρώτηι μὲν παρὰ τὸν ποταμὸν τὸν Εὐφράτην καταστρατοπεδεῦσαι, ἐς δὲ τὴν ὑστεραίαν ἐν δεξιᾶι ἔχοντα τὸν ποταμὸν παρ' αὐτὸν πορεύεσθαι, θέλοντα ὑπερβάλλειν τῆς πόλεως τὸ μέρος τὸ ἐς δυσμὰς τετραμμένον, ὡς ταύτηι ἐπιστρέψαντα πρὸς ἕω ἄγειν. (6) ἀλλὰ οὐ γὰρ δυνηθῆναι ὑπὸ δυσχωρίας οὕτως ἐλάσαι ξὺν τῇι στρατιᾶι, ὅτι τὰ ἀπὸ δυσμῶν τῆς πόλεως εἰσιόντι, εἰ ταύτηι πρὸς ἕω ἐπέστρεφεν, ἑλώδη τε καὶ τεναγώδη ἦν. καὶ οὕτω καὶ ἑκόντα καὶ ἄκοντα ἀπειθῆσαι τῶι θεῶι.

(18) ἐπεὶ καὶ τοιόνδε τινὰ λόγον Ἀριστόβουλος ἀναγέγραφεν, Ἀπολλόδωρον τὸν Ἀμφιπολίτην τῶν ἑταίρων τῶν Ἀλεξάνδρου, στρατηγὸν τῆς στρατιᾶς ἣν παρὰ Μαζαίωι τῶι Βαβυλῶνος σατράπηι ἀπέλιπεν Ἀλέξανδρος, ἐπειδὴ συνέμιξεν ἐπανιόντι αὐτῶι ἐξ Ἰνδῶν, ὁρῶντα πικρῶς τιμωρούμενον τοὺς σατράπας ὅσοι ἐπ' ἄλλῃ καὶ ἄλλῃ χώραι τεταγμένοι ἦσαν, ἐπιστεῖλαι Πειθαγόραι τῶι ἀδελφῶι — μάντιν γὰρ εἶναι τὸν Πειθαγόραν τῆς ἀπὸ σπλάγχνων μαντείας — μαντεύσασθαι καὶ ὑπὲρ αὐτοῦ τῆς σωτηρίας. (2) ἀντεπιστεῖλαι δὲ αὐτῶι Πειθαγόραν πυνθανόμενον τίνα μάλιστα φοβούμενος χρήσασθαι ἐθέλοι τῇι μαντείαι. τὸν δὲ γράψαι αὖθις ὅτι τόν τε βασιλέα αὐτὸν καὶ Ἡφαιστίωνα. θύεσθαι δὴ τὸν Πειθαγόραν πρῶτα μὲν ἐπὶ τῶι Ἡφαιστίωνι· ὡς δὲ ἐπὶ τοῦ ἥπατος τοῦ ἱερείου ὁ λοβὸς ἀφανὴς ἦν, οὕτω δὴ ἐγγράψαντα καὶ κατασημηνάμενον τὸ γραμμάτιον πέμψαι παρὰ τὸν Ἀπολλόδωρον ἐκ Βαβυλῶνος εἰς Ἐκβάτανα, δηλοῦντα μηδὲν ⟨ἕ⟩τι δεδιέναι Ἡφαιστίωνα· ἔσεσθαι γὰρ αὐτοῖς ὀλίγου χρόνου ἐκποδών. (3) καὶ ταύτην τὴν ἐπιστολὴν λέγει Ἀριστόβουλος κομίσασθαι Ἀπολλόδωρον μιᾶι πρόσθεν ἡμέραι ἢ τελευτῆσαι Ἡφαιστίωνα. αὖθις δὲ θύεσθαι τὸν Πειθαγόραν ἐπὶ τῶι Ἀλεξάνδρωι ⟨καὶ⟩ γενέσθαι καὶ ἐπ' Ἀλεξάνδρωι ἄλοβον τὸ ἧπαρ τοῦ ἱερείου· καὶ Πειθαγόραν τὰ αὐτὰ καὶ ὑπὲρ Ἀλεξάνδρου γράψαι Ἀπολλοδώρωι. Ἀπολλόδωρον δὲ οὐ κατασιωπῆσαι, ἀλλὰ φράσαι γὰρ πρὸς Ἀλέξανδρον τὰ ἐπε-

---

2 ἀνθήψαντο FGHL ἀνθήψατο A[2] ἀνήψατο B 5 τούτου Sintenis τοῦ A 21 ἐπειδὴ Ellendt ἐπεὶ δὲ A 23 Πυθαγόρας v. l. Appian BC II 639; Plut. Alex. 73 31 ἔτι Jac τι A 35 ⟨καὶ⟩ Krueger γενέσθαι κ. ἐπ' Ἀ. Anecd. Bekk. I 177, 6 om A ἄλοβον A ἀλόβωτον An Bk

σταλμένα, ὡς εὔνοιαν μᾶλλόν τι ἐπιδειξόμενον τῶι βασιλεῖ, εἰ φυλάττεσθαι παραινέσειε μή τις αὐτῶι κίνδυνος ἐν τῶι τότε ξυμπέσοι. (4) καὶ Ἀπολλόδωρόν τε λέγει ὅτι Ἀλέξανδρος ἐπήινεσε καὶ τὸν Πειθαγόραν, ἐπειδὴ παρῆλθεν εἰς Βαβυλῶνα, ἤρετο ὅτου γενομένου αὐτῶι σημείου ταῦτα ἐπέστειλεν πρὸς τὸν ἀδελφόν· τὸν δὲ εἰπεῖν ὅτι ἄλοβόν οἱ τὸ ἦπαρ ἐγένετο τὸ ἱερείου. ἐρομένου δὲ ὅ τι νοοῖ τὸ σημεῖον μέγα εἰπεῖν εἶναι ⟨καὶ⟩ χαλεπόν. Ἀλέξανδρον δὲ τοσούτου δεῆσαι χαλεπῆναι τῶι Πειθαγόραι, ὡς καὶ δι' ἐπιμελείας ἔχειν αὐτὸν πλείονος, ὅτι ἀδόλως τὴν ἀλήθειάν οἱ ἔφρασε.

(5) ταῦτα αὐτὸς Ἀριστόβουλος λέγει παρὰ Πειθαγόρου πυθέσθαι. καὶ Περδίκκαι δὲ μαντεύσασθαι αὐτὸν λέγει καὶ Ἀντιγόνωι χρόνωι ὕστερον· καὶ τοῦ αὐτοῦ σημείου ἀμφοῖν γενομένου, Περδίκκαν τε ἐπὶ Πτολεμαῖον στρατεύσαντα ἀποθανεῖν καὶ Ἀντίγονον ἐν τῆι μάχηι τῆι πρὸς Σέλευκον καὶ Λυσίμαχον τῆι ἐν Ἰψῶι γενομένηι.

55 (40; 42; 44) ARRIAN. Anab. VII 19, 3—22, 5: κατέλαβε δὲ ἐν Βαβυλῶνι, ὡς λέγει Ἀριστόβουλος, καὶ τὸ ναυτικόν, τὸ μὲν κατὰ τὸν Εὐφράτην ποταμὸν ἀναπεπλευκὸς ἀπὸ θαλάσσης τῆς Περσικῆς, ὅ τι περ σὺν Νεάρχωι ἦν, τὸ δὲ ἐκ Φοινίκης ἀνακεκομισμένον, πεντήρεις μὲν δύο τῶν ἐκ Φοινίκων, τετρήρεις δὲ τρεῖς, τριήρεις δὲ δώδεκα, τριακοντόρους δὲ ἐς τριάκοντα. ταύτας ξυντμηθείσας κομισθῆναι ἐπὶ τὸν Εὐφράτην (F 56) ποταμὸν ἐκ Φοινίκης ἐς θάψακον πόλιν, ἐκεῖ δὲ ξυμπηχθείσας αὖθις καταπλεῦσαι ἐς Βαβυλῶνα. (4) λέγει δὲ ὅτι καὶ ἄλλος αὐτῶι ἐναυπηγεῖτο στόλος τέμνοντι τὰς κυπαρίσσους τὰς ἐν τῆι Βαβυλωνίαι — τούτων γὰρ μόνων τῶν δένδρων εὐπορίαν εἶναι ἐν τῆι χώραι τῶν Ἀσσυρίων, τῶν δὲ ἄλλων ὅσα ἐς ναυπηγίαν ἀπόρως ἔχειν τὴν γῆν ταύτην. πληρώματα δὲ ἐς τὰς ναῦς καὶ τὰς ἄλλας ὑπηρεσίας πορφυρέων τε πλῆθος καὶ τῶν ἄλλων ὅσοι ἐργάται τῆς θαλάσσης ἀφῖχθαι αὐτῶι ἐκ Φοινίκης τε καὶ τῆς Ἀλίης παραλίας. λιμένα τε ὅτι πρὸς Βαβυλῶνι ἐποίει ὁρυκτὸν ὅσον χιλίαις ναυσὶ μακραῖς ὅρμον εἶναι καὶ νεωσοίκους ἐπὶ τοῦ λιμένος. (5) καὶ Μίκκαλος ὁ Κλαζομένιος μετὰ πεντακοσίων ταλάντων ἐπὶ Φοινίκης τε καὶ Συρίας ἐστέλλετο, τοὺς μὲν μισθῶι πείσων τοὺς δὲ καὶ ὠνησόμενος ὅσοι θαλάττιοι ἄνθρωποι. τήν τε γὰρ παραλίαν τὴν πρὸς τῶι κόλπωι τῶι Περσικῶι κατοικίζειν ἐπενόει καὶ τὰς νήσους τὰς ταύτηι. ἐδόκει γὰρ αὐτῶι οὐ μεῖον ⟨ἂν⟩ Φοινίκης εὐδαίμων ἡ χώρα αὕτη γενέσθαι. (6) ἦν (F 56) δὲ αὐτῶι τοῦ ναυτικοῦ ἡ παρασκευὴ ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς, πρόφασιν μὲν ὅτι μόνοι τῶν ταύτηι βαρβάρων οὔτε πρεσβείαν ἀπέστειλαν

7 ⟨καὶ⟩ Krueger τὰ ὅσιατα Appian. BC II 640 9 οἱ BGL ὃν A² αὐτῶι FH 11 αὐτὸν Krueger αὐτῶ A 19 [ἐκ] Φοινίκων Krueger 28 Βαβυλῶνι Krueger —να A 34 ⟨ἂν⟩ JGSchneider 35 πολλούς: παραλίους Polak

οὔτε τι ἄλλο ἐπιεικὲς ἢ ἐπὶ τιμῇι ἐπέπρακτο Ἄραψιν ἐς αὐτόν· τὸ δὲ ἀληθές, ὥς γέ μοι δοκεῖ, ἄπληστος ἦν τοῦ κτᾶσθαί τι ἀεὶ Ἀλέξανδρος.

(20) λόγος δὲ κατέχει ὅτι ἥκουεν Ἄραβας δύο μόνον τιμᾶν θεούς, τὸν (F 56) Οὐρανόν τε καὶ τὸν Διόνυσον· τὸν μὲν Οὐρανὸν αὐτόν τε ὁρώμενον καὶ τὰ ἄστρα ἐν οἷ ἔχοντα τά τε ἄλλα καὶ τὸν ἥλιον, ἀφ' ὅτου μεγίστη καὶ φανοτάτη ὠφέλεια ἐς πάντα ἥκει τὰ ἀνθρώπεια, Διόνυσον δὲ κατὰ δόξαν τῆς ἐς Ἰνδοὺς στρατιᾶς. οὔκουν ἀπαξιοῦν καὶ αὐτὸν τρίτον ἂν νομισθῆναι πρὸς Ἀράβων θεόν, οὐ φαυλότερα ἔργα Διονύσου ἀποδειξάμενον, εἴπερ οὖν καὶ Ἀράβων κρατήσας ἐπιτρέψειεν αὐτοῖς, καθάπερ Ἰνδοῖς, πολιτεύειν κατὰ τὰ σφῶν νόμιμα. (2) τῆς τε χώρας ἡ εὐδαιμονία ὑπεκίνει αὐτόν, ὅτι ἥκουεν ἐκ μὲν τῶν λιμνῶν τὴν κασίαν γίγνεσθαι αὐτοῖς, ἀπὸ δὲ τῶν δένδρων τὴν σμύρναν τε καὶ τὸν λιβανωτόν, ἐκ δὲ τῶν θάμνων τὸ κιννάμωμον τέμνεσθαι· οἱ λειμῶνες δὲ ὅτι νάρδον αὐτόματοι ἐκφέρουσι· τό ⟨τε⟩ μέγεθος τῆς χώρας, ὅτι οὐκ ἐλάττων ἡ παράλιος τῆς Ἀραβίας ἥπερ ἡ τῆς Ἰνδικῆς αὐτῶι ἐξηγγέλλετο, καὶ νῆσοι αὐτῆι προσκεῖσθαι πολλαί, καὶ λιμένες πανταχοῦ τῆς χώρας ἐνεῖναι, οἷοι παρασχεῖν μὲν ὅρμους τῶι ναυτικῶι, παρασχεῖν δὲ καὶ πόλεις ἐνοικισθῆναι καὶ ταύτας γενέσθαι εὐδαίμονας.

(3) δύο δὲ νῆσοι κατὰ τὸ στόμα τοῦ Εὐφράτου πελάγιαι ἐξηγγέλλοντο αὐτῶι, ἡ μὲν πρώτη οὐ πρόσω τῶν ἐκβολῶν τοῦ Εὐφράτου, ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους ἀπέχουσα ἀπὸ τοῦ αἰγιαλοῦ τε καὶ τοῦ στόματος τοῦ ποταμοῦ, μικροτέρα αὕτη καὶ δασεῖα ὕλῃι παντοίαι. εἶναι δὲ ἐν αὐτῆι καὶ ἱερὸν Ἀρτέμιδος καὶ τοὺς οἰκήτορας αὐτῆς ἀμφὶ τὸ ἱερὸν τὴν δίαιταν ποιεῖσθαι. (4) νέμεσθαί τε αὐτὴν αἶξί τε ἀγρίαις καὶ ἐλάφοις, καὶ ταύτας ἀνεῖσθαι ἀφέτους τῆι Ἀρτέμιδι, οὐδὲ εἶναι θέμις θήραν ποιεῖσθαι ἀπ' αὐτῶν, ὅτι μὴ θῦσαί τινα τῆι θεῶι ἐθέλοντα ἐπὶ τῶιδε θηρᾶν μόνον· ἐπὶ τῶιδε γὰρ οὐκ εἶναι ἀθέμιτον. (5) καὶ ταύτην τὴν νῆσον λέγει Ἀριστόβουλος ὅτι Ἴκαρον ἐκέλευσε καλεῖσθαι Ἀλέξανδρος ἐπὶ τῆς νήσου τῆς Ἰκάρου τῆς ἐν τῶι Αἰγαίωι πόντωι, ἐς ἥντινα Ἴκαρον τὸν Δαιδάλου τακέντος τοῦ κηροῦ ὅτωι προσήρτητο τὰ πτερὰ πεσεῖν λόγος κατέχει, ὅτι οὐ κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς πρὸς τῆι γῆι ἐφέρετο, ἀλλὰ μετέωρος γὰρ ὑπὸ ἀνοίας πετόμενος παρέσχε τῶι ἡλίωι θάλψαι τε καὶ ἀνεῖναι τὸν κηρόν, καὶ ἀπὸ ἑαυτοῦ πεσόντος τὸν Ἴκαρον τῆι τε νήσωι καὶ τῶι πελάγει τὴν ἐπωνυμίαν ἐγκαταλιπεῖν τὴν μὲν Ἴκαρον καλεῖσθαι, τὸ δὲ Ἰκάριον. (6) ἡ δὲ ἑτέρα νῆσος ἀπέχειν μὲν ἀπὸ τοῦ στόματος τοῦ Εὐφράτου ἐλέγετο ὅσον πλοῦν ἡμέρας καὶ νυκτὸς κατ' οὖρον θεούσηι νηί· Τύλος δὲ αὐτῆι εἶναι ὄνομα. μεγάλη δὲ εἶναι καὶ

---

4 αὐτόν τε Krueger τε αὐτὸν A 7 στρατείας Ellendt (s. Roos zu I 1, 2) 14 ⟨τε⟩ Krueger 23 αὐτῆς A αὐτοὺς Anecd. Bk. 158, 32 τῆς διαίτης Anecd. ⟨τὰ⟩ τῆς δ. Bekker τὰς διαίτας Polak 26 ἀπ' $A^3$ ἐπ' B 26—27 ἐπὶ τῶιδε γὰρ μόνον θηρᾶν [ἐπὶ τῶιδε] οὐκ εἶναι ἀθέμιτον Castiglioni

οὔτε τραχεῖα ἡ πολλὴ οὔτε ὑλώδης, ἀλλ' οἷα καρπούς τε ἡμέρους ἐκφέρειν καὶ πάντα ὡραῖα.

(7) ταντὶ ἀπηγγέλθη Ἀλεξάνδρωι τὰ μὲν πρὸς Ἀρχίου, ὃς ξὺν (F 67)
τριακοντόρωι ἐκπεμφθεὶς ἐπὶ κατασκοπὴν τοῦ παράπλου τοῦ ὡς ἐπὶ
5 τοὺς Ἄραβας μέχρι μὲν τῆς νήσου τῆς Τύλου ἦλθε, τὸ πρόσω δὲ οὐκέτι
περαιωθῆναι ἐτόλμησεν. Ἀνδροσθένης δὲ ξὺν ἄλληι τριακοντόρωι σταλεὶς
καὶ τῆς χερρονήσου τι τῶν Ἀράβων παρέπλευσε. μακροτάτω δὲ τῶν
ἐκπεμφθέντων προὐχώρησεν Ἱέρων ὁ Σολεὺς ὁ κυβερνήτης, λαβὼν καὶ
οὗτος παρ' Ἀλεξάνδρου τριακόντορον. (8) ἦν μὲν γὰρ αὐτῶι προστεταγ-
10 μένον περιπλεῦσαι τὴν χερρόνησον τὴν Ἀράβων πᾶσαν ἔστε ἐπὶ τὸν
κόλπον τὸν πρὸς Αἰγύπτωι τὸν Ἀράβιον τὸν καθ' Ἡρώων πόλιν· οὐ
μὴν ἐτόλμησέ γε τὸ πρόσω ἑλθεῖν, καίτοι ἐπὶ τὸ πολὺ παραπλεύσας τὴν
Ἀράβων γῆν, ἀλλ' ἀναστρέψας γὰρ παρ' Ἀλέξανδρον ἐξήγγειλεν τὸ
μέγεθός τε τῆς χερρονήσου θαυμαστόν τι εἶναι καὶ ὅσον οὐ πολὺ ἀποδέον
15 τῆς Ἰνδῶν γῆς, ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ τῆς μεγάλης θαλάσσης, (9) ἣν
δὴ καὶ τοὺς σὺν Νεάρχωι ἀπὸ τῆς Ἰνδικῆς πλέοντας, πρὶν ἐπικάμψαι
ἐς τὸν κόλπον τὸν Περσικόν, οὐ πόρρω ἀνατείνουσαν ἰδεῖν (folgt Nearch.
133 F 1 e).

(21) ἐν ὧι δὲ αὐτῶι ἐναυπηγοῦντο μὲν αἱ τριήρεις, ὁ λιμὴν δὲ
20 πρὸς Βαβυλῶνι ὠρύσσετο, ἐκπλεῖ ἐκ Βαβυλῶνος κατὰ τὸν Εὐφράτην ὡς
ἐπὶ τὸν Πολλακόπαν καλούμενον ποταμόν. ἀπέχει δὲ οὗτος τῆς Βαβυλῶνος
σταδίους ὅσον ὀκτακοσίους, καὶ ἔστι διῶρυξ αὕτη [ὁ Πολλακόπας] ἐκ τοῦ
Εὐφράτου, οὐχὶ δὲ ἐκ πηγῶν τις ἀνίσχων ποταμός. (2) ὁ γὰρ Εὐφράτης
ποταμὸς ῥέων ἐκ τῶν Ἀρμενίων ὀρῶν χειμῶνος μὲν ὥραι προχωρεῖ κατὰ
25 τὰς ὄχθας, οἷα δὴ οὐ πολλοῦ ὄντος αὐτῶι τοῦ ὕδατος· ἦρος δὲ ὑπο-
φαίνοντος καὶ πολὺ δὴ μάλιστα ὑπὸ τροπάς, ἅστινας τοῦ θέρους ὁ ἥλιος
ἐπιστρέφει, μέγας τε ἐπέρχεται καὶ ὑπερβάλλει ὑπὲρ τὰς ὄχθας ἐς τὴν
γῆν τὴν Ἀσσυρίαν. (3) τηνικαῦτα γὰρ αἱ χιόνες αἱ ἐπὶ τοῖς ὄρεσι τοῖς
Ἀρμενίοις κατατηκόμεναι αὔξουσιν αὐτῶι τὸ ὕδωρ ἐπὶ μέγα. ὅτι δὲ
30 ἐπιπολῆς ἐστιν αὐτῶι καὶ ὑψηλὸς ὁ ῥοῦς, ὑπερβάλλει ἐς τὴν χώραν, εἰ
μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν Πολλακόπαν ἐς τὰ ἕλη τε ἐκτρέψειε
καὶ τὰς λίμνας, αἳ δὴ ἀρχόμεναι ἀπὸ ταύτης τῆς διώρυχος ⟨διήκουσιν⟩
ἔστε ἐπὶ τὴν ξυνεχῆ τῆι Ἀράβων γῆι, καὶ ἔνθεν μὲν ἐς τέναγος ἐπὶ πολύ,
ἐκ δὲ τοῦ ἐς θάλασσαν κατὰ πολλά τε καὶ ἀραναῖ στόματα ἐκδίδωσι.
35 (4) τετηκυίας δὲ τῆς χιόνος ἀμφὶ Πλειάδων μάλιστα δύσιν ὀλίγος τε ὁ
Εὐφράτης ῥέει καὶ οὐδὲν μεῖον τὸ πολὺ αὐτοῦ κατὰ τὸν Πολλακόπαν
ἐκδιδοῖ ἐς τὰς λίμνας. εἰ δή τις μὴ ἀποφράξει⟨ε⟩ τὸν Πολλακόπαν

3 ταῦτ' Sintenis 21 παλ(λ)ακοτ(τ)αν Appian. BC II 644 22 αὐτῃ Pflugk
αὐτῃ A [ὁ Πολλ.] Roos 32 ⟨διήκουσιν⟩ Roos 33 τῆι FGHL τῶν B om A²
37 ⟨δὲ⟩ δὴ Krueger (s. Roos zu III 2, 1) ἀποφράξει⟨ε⟩ Ellendt

αὐθις, ὡς κατὰ τὰς ὄχθας ἐκτραπὲν φέρεσθαι τὸ ὕδωρ κατὰ πόρου, ἐκένωσεν ἂν τὸν Εὐφράτην ἐς αὐτόν, ὡς μηδ' ἐπάρδεσθαι ἀπ' αὐτοῦ τὴν Ἀσσυρίαν γῆν. (5) ἀλλὰ ἀπεφράσσοντο γὰρ αἱ ἐς τὸν Πολλακόπαν τοῦ Εὐφράτου ἐκβολαὶ πρὸς τοῦ σατράπου τῆς Βαβυλωνίας πολλῶι πόνωι, καίπερ οὐ χαλεπῶς ἀναστομούμεναι, ὅτι ἰλυώδης τε ἡ ταύτηι γῆ καὶ πηλὸς ἡ πολλὴ αὐτῆς, οἷα δεχομένη τὸ ὕδωρ τοῦ ποταμοῦ μὴ εὐμαρῆ τὴν ἀποστροφὴν αὐτοῦ παρέχειν· ἀλλὰ καὶ ἐς τρίτον μῆνα Ἀσσυρίων ἄνδρες ὑπὲρ τοὺς μυρίους ἐν τῶιδε τῶι πόνωι ξυνείχοντο.

(6) ταῦτα ἀπαγγελθέντα ἐπήγαγεν Ἀλέξανδρον ὠφελῆσαί τι τὴν (F 56) χώραν τὴν Ἀσσυρίαν. ἔνθεν μὲν δὴ ἐς τὸν Πολλακόπαν ἐτρέπετο τοῦ Εὐφράτου ὁ ῥοῦς, ταύτηι δὲ ἔγνω βεβαίως ἀποκλεῖσαι τὴν ἐκβολήν· προελθόντι δὲ ὅσον σταδίους τριάκοντα ὑπόπετρος ἡ γῆ ἐφαίνετο, οἷα διακοπεῖσα, εἰ ξυναφὴς ἐγένετο τῆι πάλαι διώρυχι τῆι κατὰ τὸν Πολλακόπαν, οὔτ' ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ ὑπὸ στερρότητος τῆς γῆς, τήν τε ἀποστροφὴν αὐτοῦ τῆι τεταγμένηι ὥραι μὴ χαλεπῶς γίγνεσθαι. (7) τούτων ἕνεκα ἐπί τε τὸν Πολλακόπαν ἔπλευσε καὶ κατ' αὐτὸν καταπλεῖ ἐς τὰς λίμνας ὡς ἐπὶ τὴν Ἀράβων γῆν. ἔνθα χῶρόν τινα ἐν καλῶι ἰδὼν πόλιν ἐξωικοδόμησέ τε καὶ ἐτείχισε, καὶ ἐν ταύτηι κατώικισε τῶν Ἑλλήνων τινὰς τῶν μισθοφόρων, ὅσοι τε ἐκόντες καὶ ὅσοι ὑπὸ γήρως ἢ κατὰ πήρωσιν ἀπόλεμοι ἦσαν. (22) αὐτὸς δὲ ὡς ἐξελέγξας δὴ τῶν Χαλδαίων τὴν μαντείαν, ὅτι οὐδὲν πεπόνθοι ἐν Βαβυλῶνι ἄχαρι, καθάπερ ἐκεῖνοι ἐμαντεύσαντο, ἀλλὰ ἔφθη γὰρ ἐλάσας ἔξω Βαβυλῶνος πρίν τι παθεῖν, ἀνέπλει αὐθις κατὰ τὰ ἕλη θαρρῶν, ἐν ἀριστερᾶι ἔχων τὴν Βαβυλῶνα· ἵνα δὴ καὶ ἐπλανήθη αὐτῶι μέρος τοῦ ναυτικοῦ κατὰ τὰ στενὰ ἀπορίαι ἡγεμόνος, πρίν γε δὴ αὐτὸς πέμψας τὸν ἡγησόμενον ἐπανήγαγεν αὐτοὺς ἐς τὸν πόρον. (2) λόγος δὲ λέγεται τοιόσδε. τῶν βασιλέων τῶν Ἀσσυρίων τοὺς τάφους ἐν ταῖς λίμναις τε εἶναι τοὺς πολλοὺς καὶ ἐν τοῖς ἕλεσι· κυβερνᾶν γὰρ δεδομημένους. ὡς δὲ ἔπλει Ἀλέξανδρος κατὰ τὰ ἕλη — κυβερνᾶν γὰρ αὐτὸν λόγος τὴν τριήρη — πνεύματος μεγάλου ἐμπεσόντος αὐτῶι ἐς τὴν καυσίαν καὶ τὸ διάδημα αὐτῆι συνεχόμενον, τὴν μὲν δὴ οἷα βαρυτέραν πεσεῖν ἐς το ὕδωρ, τὸ διάδημα δὲ ἀπενεχθὲν πρὸς τῆς πνοῆς σχεθῆναι ἐν καλάμωι· τὸν κάλαμον δὲ τῶν ἐπιπεφυκότων εἶναι τάφωι τινὶ τῶν πάλαι βασιλέων. (3) τοῦτό τε οὖν αὐτὸ πρὸ τῶν μελλόντων σημῆναι καὶ ὅτι τῶν τις ναυτῶν ἐκηξάμενος ὡς ἐπὶ τὸ διάδημα ἀφελὼν τοῦ καλάμου αὐτὸ μετὰ χειρας μὲν οὐκ ἤνεγκεν, ὅτι νηχομένου ἂν αὐτοῦ ἐβρέχετο, περιθεὶς δὲ τῆι κεφαλῆι τῆι αὐτοῦ οὕτω διήνεγκε. (4) καὶ οἱ μὲν

1 κατὰ τὸν πόρον k 5 ἰλυώδης $A^2$ ἰλώδης B ἡλιώδης L 9 ἀπαγγελθέντα $A^2$ al ἐπ— B 11—12 προελθόντι BG προσ— $A^2$ al 13 ἐγένετο A γένοιτο k 17 τὴν $A^2$ al τῶν B 26 ⟨καὶ⟩ τοιόσδε Krueger 30 οἷα B om $A^2$ al 33 αὐτὸ B αὐτοὺς $A^2$ αὐτὸς al αὐτῶι Polak αὐτοῖς Roos σημῆναι $A^2$ al συμβῆναι B

πολλοὶ τῶν ἀναγραψάντων τὰ Ἀλεξάνδρου λέγουσιν ὅτι τάλαντον μὲν ἐδωρήσατο αὐτῷ Ἀλέξανδρος τῆς προθυμίας ἕνεκα, ἀποτεμεῖν δὲ ἐκέλευσε τὴν κεφαλήν, τῶν μάντεων ταύτην ἐξηγησαμένων, μὴ περιδεῖν σῶαν ἐκείνην τὴν κεφαλὴν ἥτις τὸ διάδημα ἐφόρησε τὸ βασίλειον· Ἀριστόβουλος δὲ τάλαντον μὲν ὅτι ἔλαβε λέγει αὐτός, ἀλλὰ πληγὰς λαβεῖν τῆς περιθέσεως ἕνεκα τοῦ διαδήματος. (5) Ἀριστόβουλος μὲν δὴ τῶν τινα Φοινίκων τῶν ναυτῶν λέγει ὅτι τὸ διάδημα τῷ Ἀλεξάνδρῳ ἐκόμισεν· εἰσὶ δὲ οἳ Σέλευκον λέγουσιν. καὶ τοῦτο τῷ τε Ἀλεξάνδρῳ σημῆναι τὴν τελευτὴν καὶ τῷ Σελεύκῳ τὴν βασιλείαν τὴν μεγίλλην. Σέλευκον γὰρ μέγιστον τῶν μετὰ Ἀλέξανδρον διαδεξαμένων τὴν ἀρχὴν βασιλέα γενέσθαι τήν τε γνώμην βασιλικώτατον καὶ πλείστης γῆς ἐπάρξαι μετά γε αὐτὸν Ἀλέξανδρον οὗ μοι δοκεῖ ἴσναι ἐς ἀμφίλογον.

**56 (41) STRABON XVI 1, 9—11:** διαρρεῖται δ' ὑπὸ πλειόνων μὲν ποταμῶν ἡ χώρα, μεγίστων δὲ τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγριος· μετὰ γὰρ τοὺς Ἰνδικοὺς οὗτοι λέγονται δευτερεύειν κατὰ τὰ νότια μέρη τῆς Ἀσίας οἱ ποταμοί. ἔχουσι δ' σταδίων. οἱ μὲν οὖν Πέρσαι τοὺς ἀνάπλους ἐπίτηδες κωλύειν θέλοντες φόβῳ τῶν ἔξωθεν ἐφόδων καταῤῥάκτας χειροποιήτους κατεσκευάκεισαν· ὁ δὲ Ἀλέξανδρος ἐπιὼν ὅσους οἷός τε ἦν ἀνεσκεύασε, καὶ μάλιστα τοὺς ἐπὶ τὴν Ὠπιν. ἐπεμελήθη δὲ καὶ τῶν διωρύγων. πλημμυρεῖ γὰρ ὁ Εὐφράτης κατὰ τὴν ἀρχὴν τοῦ θέρους, ἀπὸ τοῦ ἔαρος ἀρξάμενος, ἡνίκα τήκονται αἱ χιόνες αἱ ἀπὸ τῆς Ἀρμενίας, ὥστ' ἀνάγκη λιμνάζειν καὶ κατακλύζεσθαι τὰς ἀρούρας, εἰ μὴ διοχετεύει τις ταφρείαις καὶ διώρυξι τὸ ἐκπῖπτον τοῦ ῥοῦ καὶ ἐπιπολάζον ὕδωρ, καθάπερ καὶ ἐν Αἰγύπτῳ τὸ τοῦ Νείλου· ἐντεῦθεν μὲν οὖν αἱ διώρυγες γεγένηνται. χρεία δέ ἐστιν ὑπουργίας μεγάλης· βαθεῖα γὰρ ἡ γῆ καὶ μαλακὴ καὶ εὐένδοτος, ὥστε καὶ ἐκσύρεται ῥαιδίως ὑπὸ τῶν ῥευμάτων καὶ γυμνοῖ τὰ πεδία, πληροῖ δὲ τὰς διώρυγας καὶ τὰ στόματα αὐτῶν ἐμφράττει ῥαιδίως ἡ ζοῦς· οὕτω δὲ συμβαίνει πάλιν τὴν ὑπέρχυσιν τῶν ὑδάτων εἰς τὰ πρὸς τῇ θαλάττῃ πεδία ἐκπίπτουσαν λίμνας ἀποτελεῖν καὶ ἕλη καὶ καλαμῶνας, ἐξ ὧν καλάμινα πλέκεται παντοῖα σκεύη, τὰ μὲν ὑγροῦ δεκτικά, τῇ ἀσφάλτῳ περιαλειφόντων, τοῖς δ' ἄλλοις ψιλῶς χρωμένων· καὶ ἱστία δὲ ποιοῦνται καλάμινα, ψιάθοις ἢ ῥιψὶ παραπλήσια. (10) τὸ μὲν οὖν παντάπασι κωλύειν τὴν τοιαύτην πλήμμυραν οὐχ οἷόν τε ἴσως, τὸ δὲ τὴν δυνατὴν προσφέρειν βοήθειαν ἠγεμόνων ἀγαθῶν ἐστιν. ἡ δὲ βοήθεια αὕτη· τὴν μὲν πολλὴν παρέκχυσιν ἐμφράξει κωλύειν, τὴν δὲ πλήρωσιν, ἣν ἡ ζοῦς ἐργάζεται, τοὐναντίον ἀνακαθάρσει τῶν διωρύγων καὶ ἐξανοίξει τῶν στομάτων. ἡ μὲν οὖν ἀνακάθαρσις ῥαιδία, ἡ δὲ ἔμφραξις πολυχειρίας δεῖται· εὐένδοτος γὰρ οὖσα ἡ γῆ καὶ μαλακὴ τὴν ἐπιφορηθεῖσαν οὐχ ὑπομένει χοῦν, ἀλλ' εἰκουσα συνεφέλκεται κἀκείνην καὶ ποιεῖ δυσέγχωστον τὸ στόμα. καὶ γὰρ καὶ τάχους δεῖ πρὸς τὸ ταχέως κλεισθῆναι τὰς διώρυγας καὶ μὴ πᾶν ἐκπεσεῖν ἐξ αὐτῶν τὸ ὕδωρ. ξηρανθεῖσαι γὰρ τοῦ θέρους ξηραίνουσι καὶ τὸν ποταμόν· ταπεινωθεὶς δὲ τὰς ἐποχείας οὐ δύναται παρέχεσθαι κατὰ καιρόν, ὧν δεῖται πλεῖστον τοῦ θέρους ἔμπυρος οὖσα ἡ χώρα καὶ καυματηρά· διαφέρει δ' οὐδὲν ἢ τῶι πλήθει τῶν ὑδάτων κατακλύζεσθαι τοὺς καρποὺς ἢ τῇ λειψυδρίαι τῶι δίψει διαφθείρεσθαι. ἅμα δὲ καὶ τοὺς ἀνάπλους, πολὺ τὸ χρήσιμον ἔχοντας, ἀεὶ λυμαινομένους [γὰρ] ὑπ' ἀμφοτέρων

---

4 λέγει $A^2$ al λέγειν B λέγει, ⟨ἀποτμηθῆναι δὲ τὴν κεφαλὴν οὐ λέγει⟩ αὐτὸν Krueger 5 ἀλλὰ ⟨ἅμα⟩ Polak 21 διοχετεύοι vulg 29 ψιλοῖς E om F δὲ Groskurd 41 ⟨καὶ⟩ τῶι δίψει Casaubonus 42 γὰρ

τῶν λεχθέντων παθῶν, οὐχ οἷόν τε ἐπανορθοῦν, εἰ μὴ ταχὺ μὲν ἐξανοίγοιτο τὰ στόμια τῶν διωρύγων, ταχὺ δὲ κλείοιτο, καὶ αἱ διώρυγες ἀεὶ μετριάζοιεν, ὥστε μήτε πλεονάζειν ἐν αὐταῖς τὸ ὕδωρ μήτ' ἐλλείπειν. (11) φησὶ δ' Ἀριστόβουλος τὸν Ἀλέξανδρον αὐτὸν ἀναπλέοντα καὶ κυβερνῶντα τὸ σκάφος ἐπισκοπεῖν καὶ ἀνακαθαίρειν τὰς διώρυγας μετὰ τοῦ πλήθους τῶν συνακολουθησάντων· ὡς δ' αὕτως καὶ τὰ στόμια ἐμφράττειν, τὰ δ' ἀνοίγειν. κατανοήσαντα δὲ μίαν τὴν μάλιστα [συν]τείνουσαν ἐπὶ τὰ ἕλη καὶ τὰς λίμνας τὰς πρὸ τῆς Ἀραβίας, δυσμεταχείριστον ἔχουσαν τὸ στόμα καὶ μὴ ῥαιδίως ἐμφράττεσθαι δυναμένην διὰ τὸ εὐένδοτον καὶ μαλακόγειον, ἄλλο ἀνοῖξαι καινὸν στόμα, ἀπὸ σταδίων τριάκοντα ὑπόπετρον λαβόντα χωρίον, κἀκεῖ μεταγαγεῖν τὸ ῥεῖθρον.

ταῦτα δὲ ποιεῖν προνοοῦντα ἅμα καὶ τοῦ μὴ τὴν Ἀραβίαν δυσείσβολον τελέως ὑπὸ τῶν λιμνῶν ἢ καὶ τῶν ἑλῶν ἀποτελεσθῆναι, νησίζουσαν ἤδη διὰ τὸ πλῆθος τοῦ ὕδατος. διανοεῖσθαι γὰρ δὴ κατακτᾶσθαι τὴν χώραν ταύτην καὶ στόλους καὶ ὁρμητήρια ἤδη κατεσκευάσθαι, καὶ πλοῖα τὰ μὲν ἐν Φοινίκῃ τε καὶ Κύπρωι ναυπηγησάμενον διάλυτά τε καὶ γομφωτά, ἃ κομισθέντα εἰς Θάψακον σταθμοῖς ἑπτὰ εἶτα τῶι ποταμῶι κατακομισθῆναι μέχρι Βαβυλῶνος, τὰ δ' ἐν τῆι Βαβυλωνίαι συμπηξάμενον τῶν ἐν τοῖς ἄλσεσι καὶ τοῖς παραδείσοις κυπαρίττων — σπάνις γὰρ ὕλης ἐνταῦθα, ἐν δὲ Κοσσαίοις καὶ ἄλλοις τισὶ μετρία τίς ἐστιν εὐπορία. σκήψασθαι μὲν οὖν αἰτίαν τοῦ πολέμου φησίν, ἐπειδὴ μόνοι τῶν ἁπάντων οὐ πρεσβεύσαιντο οἱ Ἄραβες ὡς αὐτόν, τὸ δ' ἀληθὲς ὀρεγόμενον πάντων εἶναι κύριον. καὶ ἐπεὶ δύο θεοὺς ἐπενθάνετο τιμᾶσθαι μόνους ὑπ' αὐτῶν, τόν τε Δία καὶ τὸν Διόνυσον, τοὺς τὰ κυριώτατα πρὸς τὸ ζῆν παρέχοντας, τρίτον ὑπολαβεῖν ἑαυτὸν τιμήσεσθαι, κρατήσαντα καὶ ἐπιτρέψαντα τὴν πάτριον αὐτονομίαν ἔχειν, ἣν εἶχον πρότερον. ταῦτά τε δὴ πραγματεύεσθαι περὶ τὰς διώρυγας τὸν Ἀλέξανδρον, καὶ τοὺς τάφους σκευωρεῖσθαι τοὺς τῶν βασιλέων καὶ δυνατῶν· τοὺς γὰρ πλείστους ἐν ταῖς λίμναις εἶναι.

57 (43) STRABON XVI 3, 3: πεζέμποροι δ' εἰσὶν οἱ Γερραῖοι τὸ πλέον τῶν Ἀραβίων φορτίων καὶ ἀρωμάτων. Ἀριστόβουλος δὲ τοὐναντίον φησὶ τοὺς Γερραίους τὰ πολλὰ σχεδίαις εἰς τὴν Βαβυλωνίαν ἐμπορεύεσθαι, ἐκεῖθεν δὲ τῶι Εὐφράτηι τὰ φορτία ἀναπλεῖν εἰς Θάψακον, εἶτα πεζῆι κομίζεσθαι πάντηι.

58 (45) ARRIAN. Anab. VII 24, 1—3: ἀλλὰ γὰρ αὐτῶι ἤδη Ἀλεξάνδρωι ἐγγὺς ἦν τὸ τέλος· καί τι καὶ τοιόνδε περὶ τῶν μελλόντων σημῆναι λέγει Ἀριστόβουλος. καταλοχίζειν μὲν αὐτὸν τὴν στρατιὰν τὴν

---

2 κλείοιτο Kramer κλείοιντο Str μήτε Corais μηδὲ Str 6 στόμια ⟨τὰ μέν⟩? 7 [συν]τείνουσαν Kramer 15 καὶ πλοῖα Tzschucke τὰ πλ. Str ⟨καὶ⟩ τὰ πλ.? 17 σταθμοῖς F σταδίοις rell σταδίοις ⟨χιλίοις ἑπτακοσίοις⟩ Gosselin 31 ἀρωμάτων ς ἀρωματικῶν Str

σὺν Πευκέσται τε ἐκ Περσῶν καὶ ἀπὸ Θαλάσσης ξὺν Φιλοξένωι καὶ Μενάνδρωι ἥκουσαν ἐς τὰς Μακεδονικὰς τάξεις· διιψήσαντα δὲ ἀποχωρῆσαι ἐκ τῆς ἕδρας καταλιπόντα ἔρημον τὸν θρόνον τὸν βασίλειον. (2) εἶναι δὲ κλίνας ἑκατέρωθεν τοῦ θρόνου ἀργυρόποδας, ἐφ' ὧν οἱ ἀμφ' αὐτὸν ἑταῖροι ἐκάθηντο. τῶν τινα οὖν ἠμελημένων ἀνθρώπων — οἱ δὲ καὶ τῶν ἐν φυλακῆι ἀδέσμιοι ὄντα λέγουσιν — ἔρημον ἰδόντα τὸν θρόνον καὶ τὰς κλίνας, περὶ τῶι θρόνωι δὲ ἑστηκότας τοὺς εὐνούχους (καὶ γὰρ καὶ οἱ ἑταῖροι ξυνανέσιησαν τῶι βασιλεῖ ἀποχωροῦντι), διελθόντα διὰ τῶν εὐνούχων ἀναβῆναί τε ἐπὶ τὸν θρόνον καὶ καθέζεσθαι. (3) τοὺς δὲ οὐκ ἀναστῆσαι μὲν αὐτὸν ἐκ τοῦ θρόνου κατὰ δή τινα νόμον Περσικόν, περιρρηξαμένους δὲ τύπτεσθαι τά τε στήθη καὶ τὰ πρόσωπα ὡς ἐπὶ μεγάλωι κακῶι. ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρωι, κελεῦσαι στρεβλωθῆναι τὸν καθίσαντα, μήποτε ἐξ ἐπιβουλῆς ξυντεταγμένον τοῦτο ἔδρασε γνῶναι ἐθέλοντα. τὸν δὲ οὐδὲν ἄλλο κατειπεῖν ὅτι μὴ ἐπὶ νοῦν οἱ ἐλθὸν οὕτω πρᾶξαι· ἦι δὴ καὶ μᾶλλον ἐπ' οὐδενὶ ἀγαθῶι ξυμβῆναι αὐτῶι οἱ μάντεις ἐξηγοῦντο.

**59 (46)** PLUT. Alex. 75: ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος ὥσπερ εἰώθει, μέλλων καθεύδειν, Μηδίου δεηθέντος ὤιχετο κωμασόμενος πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιὼν οὔτε ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον ὥσπερ λόγχηι πεπληγώς — ἀλλὰ ταῦτά τινες ὤιοντο δεῖν γράφειν ὥσπερ δράματος μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διιψήσαντα δὲ σφόδρα πιεῖν οἶνον· ἐκ τούτου δὲ φρενιτιᾶσαι καὶ τελευτῆσαι τριακάδι Δαισίου μηνός.

**60 (—)** ARRIAN. Anab. VII 26, 3: (Alexander stirbt) οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλωι οὔτε Πτολεμαίωι ἀναγέγραπται. s. 138 F 30.

**61 (47)** — — VII 28, 1: ἐτελεύτα μὲν δὴ Ἀλέξανδρος τῆι τετάρτηι καὶ δεκάτηι καὶ ἑκατοστῆι ὀλυμπιάδι ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησιν (324/3)· ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος.

**62 (48)** — — VII 29, 4: καὶ οἱ πότοι δέ, ὡς λέγει Ἀριστόβουλος, οὐ τοῦ οἴνου ἕνεκα μακροὶ αὐτῶι ἐγίγνοντο — οὐ γὰρ πίνειν πολὺν οἶνον Ἀλέξανδρον — ἀλλὰ φιλοφροσύνης τῆς ἐς τοὺς ἑταίρους.

## Unechtes.

**63 (—)** [PLUT.] De fluv. 14, 3: γεννᾶται δ' ἐν αὐτῶι (sc. τῶι Ταναΐδι) καὶ λίθος κρυστάλλωι παραπλήσιος, ἀνθρωπομίμους ἐστεμμένος. ὅταν δ' ἀποθάνηι βασι-

14 οὐδὲν ἄλλο BG οὐδὲν ἄλλον $A^2$ 15 ἦι Raphelius ἢ A 24 φρενιτιᾶσαι Reiske φρενητιᾶσαι P1 87 ⟨ὧν⟩ ἀνθρωπόμιμους Hercher

λεύς, ἀρχαιρεσίας παρὰ τὸν ποταμὸν τελοῦσιν· καὶ ὃς ἂν εὑρεθῇ τὸν λίθον ἐκεῖνον ἔχων, παραχρῆμα βασιλεὺς γίνεται καὶ τὰ σκῆπτρα παραλαμβάνει τοῦ τελευτήσαντος. καθὼς ἱστορεῖ Κτησιφῶν ἐν $\bar{\gamma}$ Περὶ φυτῶν· μέμνηται δὲ τούτων καὶ Ἀριστόβουλος ἐν $\bar{\alpha}$ Περὶ λίθων.

---

## 140. ANTIKLEIDES VON ATHEN.

T

1 SUID. s. Ἀντικλείδης· οὗτος ἔγραψε Περὶ Νόστων.

2 a) PLIN. NH I 4 *situus, gentes .... ex ... Menaechmo, Aglaosthene, Anticlide* (F 10) .... b) — I 7 *gentium mirabiles figurae ... ex .... Xenagora, Metrodoro Scepsio, Anticlide* (F 11), *Critodemo.* c) — I 12; 13 *arborum naturae ... ex .... Diogneto, Nicobule, Anticlide, Charete Mytilenaeo, Menaechmo ...*

F

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ.

(s. F 11—12; 13?).

$\bar{B}$

1 (Script. Al. M. p. 147, 1) DIOG. LAERT. VIII 11: τοῦτον (sc. Πυθαγόραν) καὶ γεωμετρίαν ἐπὶ πέρας ἀγαγεῖν, Μοίριδος πρώτου εὑρόντος τὰς ἀρχὰς τῶν στοιχείων αὐτῆς, ὥς φησιν Ἀντικλείδης ἐν δευτέρῳ Περὶ Ἀλεξάνδρου. a. 332/1?

ΔΗΛΙΑΚΑ.

(F 9—10; 14).

$\bar{B}$

2 (4) SCHOL. APOLL. RHOD. I 1289 (= 1207): ἰδίως δὲ Ἀντικλείδης ἐν τῇ $\bar{\beta}$ τῶν Δηλιακῶν Ὕλλον φησὶ τὸν Ἡρακλέους υἱὸν ἀποβάντα ἐφ' ὕδωρ μὴ ὑποστρέψαι.

ΝΟΣΤΟΙ.

(s. F 9? 15—21?).

$\bar{B}$

3 (6) ATHEN. IV 46 p. 157 F: ... ὁ παρὰ Ἀντικλείδῃ Ἡρακλῆς. φησὶ γὰρ οὗτος ἐν τῷ $\bar{\beta}$ τῶν Νόστων· «μετὰ τὸ συντελέσαι τοὺς ἄθλους Ἡρακλέα Εὐρυσθέως θυσίαν τινὰ ἐπιτελοῦντος συμπαραληφθέντα καὶ τῶν τοῦ Εὐρυσθέως υἱῶν τὰς μερίδας ἑκάστῳ παρατιθέντων, τῷ δ' Ἡρακλεῖ ταπει-

1 εὑρεθῇ Gelenius εὑρηι Pl εὑρηι — [ἔχων] Hercher

ροτέραν παραθέντων, ὁ Ἡρακλῆς ἀτιμάζεσθαι ὑπολαβὼν ἀπέκτεινε τρεῖς τῶν παίδων, Περιμήδην Εὐρύπυλον.»

$\overline{[\iota]F}$

4 (7) ATHEN. XI 15 p. 466 C—781 C: Ἀντικλείδης δ' ὁ Ἀθηναῖος ἐν τῶι [ι]ς Νόστων περὶ Γρᾶ διηγούμενος τοῦ τὴν ἀποικίαν εἰς Λέσβον στείλαντος σὺν ἄλλοις βασιλεῦσι, καὶ ὅτι χρησμὸς ἦν αὐτοῖς δηλώσας καθεῖναι διαπλέοντας τῶι Ποσειδῶνι εἰς τὸ πέλαγος παρθένον, γράφει καὶ ταῦτα· «μυθολογοῦσι δὲ [περὶ] τῶν ἐν Μηθύμνηι τινὲς περὶ τῆς ἀφεθείσης εἰς τὴν θάλασσαν παρθένου καί φασιν ἐρασθέντα αὐτῆς τῶν ἡγεμόνων τινά, ὧι ἦν τοὔνομα Ἔναλος, ἐκκολυμβῆσαι βουλόμενον ἀνασῶσαι τὴν παιδίσκην. τότε μὲν οὖν ὑπὸ κύματος αὐτοὺς ἀμφοτέρους κρυφθέντας ἀφανεῖς γενέσθαι, χρόνωι δ' ὕστερον ἤδη τῆς Μηθύμνης οἰκουμένης παραγενέσθαι τὸν Ἔναλον καὶ διηγεῖσθαι τὸν τρόπον * * καὶ ὅτι ἡ μὲν παρθένος παρὰ ταῖς Νηρηίσι διέτριβεν, αὐτὸς δὲ τὰς τοῦ Ποσειδῶνος ἔβοσκεν ἵππους· καί ποτε [καὶ] κύματος ἐπιφερομένου μεγάλου συγκολυμβήσαντα αὐτὸν ἐκβῆναι ἔχοντα κύπελλον χρυσοῦ οὕτω θαυμασίου ὡς τὸν παρ' αὐτοῖς αὐτῶι παραβαλλόμενον οὐδὲν διάφορον εἶναι χαλκοῦ.»

$\overline{H}$

5 (8) ATHEN. IX 33 p. 384 DE: Ἀντικλείδης δ' ἐν $\overline{\eta}$ Νόστων «ἐν δείπνωι» φησίν «μελλόντων Χίων ὑπ' Ἐρυθραίων ἐξ ἐπιβουλῆς ἀναιρεῖσθαι μαθών τις τὸ μέλλον γίνεσθαι ἔφη· 'ὦ Χῖοι, πολλὴ γὰρ Ἐρυθραίους ἔχει ὕβρις· φεύγετε δειπνήσαντες ὡς κρέα μηδὲ μένειν βοῦν.'»

6 (—) — XIII 89 p. 609 CD: (81 F 21) καὶ τὴν καταγαγοῦσαν δὲ Πεισίστρατον ἐπὶ τὴν τυραννίδα, ὡς Ἀθηνᾶς † πειραν εἶδος ἔχουσαν, καλήν φησι(?) γεγονέναι, ἥτις καὶ τῆι θεῶι εἴκαστο τὴν μορφήν. στεφανόπωλις δ' ἦν, καὶ αὐτὴν ἐξέδωκε πρὸς γάμου κοινωνίαν ὁ Πεισίστρατος Ἱππάρχωι τῶι υἱῶι, ὡς ⟨Ἀντι⟩κλείδη[μο]ς ἱστορεῖ ἐν $\overline{\eta}$ Νόστων· «ἐξέδωκεν δὲ καὶ Ἱππάρχωι τῶι υἱεῖ τὴν παραιβατήσασαν αὐτῶι γυναῖκα Φύην τὴν Σωκράτους θυγατέρα·

---

6 [ι]ς Wilamowitz 7 ἄλλοις ⟨ς⟩ Tuempel 8 καθεῖναι Corais καταγαγοῦσαν Kaibel κατάγουσαν AE 9 [περὶ] Meineke 16 * * Dalec 18 [καὶ] E 28 καταθεῖναι AE Ἀθηνᾶς Σωτείρας Valckenaer ὡς Ἀ. πεῖραν [εἶδος] ἔχοντα o. τῆς Ἀ. παραιβατησάσης εἶδος ἔχουσαν? φησί: i. e. Φύλαρχος (81 F 21)? φασι Schweighaeuser. autorname ausgefallen? 31—32 Ἀντικλείδης Stiehle Κλείδημος AE

καὶ Χάρμου τοῦ πολεμαρχήσαντος θυγατέρα ἔλαβεν Ἱππίαι περικαλλεστάτην οὖσαν τῶι μετ' αὐτὸν τυραννεύσαντι. συνέβη δέ», ὥς φησι, «τὸν Χάρμον ἐραστὴν τοῦ Ἱππίου γενέσθαι καὶ τὸν πρὸς Ἀκαδημίαι Ἔρωτα ἱδρύσασθαι πρῶτον, ἐφ' οὗ ἐπιγέγραπται· 'Ποικιλομήχαν' Ἔρως, σοὶ τόνδ' ἱδρύσατο βωμὸν Χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίου.»

## OHNE BUCHZAHL.

7 (9) CLEM. ALEX. Protr. III 42, 5: *Λυκτίους γὰρ — Κρητῶν δὲ ἔθνος εἰσὶν οὗτοι — Ἀντικλείδης ἐν Νόστοις ἀποφαίνεται ἀνθρώπους ἀποσφάττειν τῶι Διί.*

8 (10) SCHOL. ARISTOPH. Nub. 144: *ἐν Λέσβωι δὲ τοῦ Ναπαίου Ἀπόλλωνος* (sc. χρησμὸς) *ὁ δοθεὶς Πέλοπι, αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντι κειμήλια· ἔστι δὲ οὕτως· 'ὃ βούλομαι δός, μὴ δίδου δ' ὃ μὴ θέλω.' φέρει δὲ τὸν χρησμὸν τοῦτον Ἀντικλείδης ἐν τοῖς Νόστοις.*

## Fragmente ohne Buchtitel.

9 (23) HARPOKR. s. *Καλαύρεια· . . . . νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος* (1 F 125) *. . . . ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαύρεια, καθά φησιν Ἀντικλείδης.* ΔΗΛ.

10 (24) PLIN. NH IV 67: *proxima ei* (sc. Delo) *Rhene, quam Anticlides Celadusam vocat, item Artemiten, Celadinen.* ΔΗΛ.

11 (2) a) PLIN. NH VII 193: *Anticlides in Aegypto invenisse* (sc. litteras) *quendam nomine Menen tradit, XV annorum ante Phoronea antiquissimum Graeciae regem, idque monumentis adprobare conatur.* ΛΑΕΞ.

b) SCHOL. DIONYS. THRAC. [Gr Gr III] p. 183, 11 Hilg: *Ἀντικλείδης δὲ ὁ Ἀθηναῖος Αἰγυπτίοις τὴν εὕρεσιν* (sc. τῶν στοιχείων) *ἀνατίθησι.* s. 1 F 20.

12 (3) PLUT. Alex. 46: (Amazone bei Alexander) *Ἀριστόβουλος* (139 F 21) *δὲ καὶ Χάρης* (125 F 12) *. . . καὶ Πτολεμαῖος* (138 F 28) *καὶ Ἀντικλείδης . . . . . καὶ Δοῦρις ὁ Σάμιος* (76 F 46) *πλάσμα φασὶ γεγονέναι τοῦτο.* s. 134 F 1. ΛΑΕΞ?

13 (22) — De Is. et Os 37 p. 365 F: *ἐῶ καὶ Ἀντικλείδην λέγοντα τὴν Ἶσιν Προμηθέως οὖσαν θυγατέρα Διονύσωι συνοικεῖν.*

---

1 ἔλαβεν 'non verum; latet fortasse nomen virginis velut Ἐλάτην' Kaibel 8 Λυκτίους (Δυκτίους, Λεκτίους) Euseb. PE IV 16 Λυκίους Cl γὰρ: δὲ? 9 οὗτοι Euseb οὕτως Cl 10 ἀποσφάττειν $M^2$ Euseb ἀποσφάττει $PM^*$ 11 τοῦ Ναπαίου Euseb οὕτως Cl 13 παρέχοντι Suid. s. ἀνάθημα —τα Schol Jac γονναπαίου Schol Ναπαίου Lobeck 21 Ἀντικλείδης οὗτος (ο. ἔχει) Dindorf 21 *anticlites* DFR —τος Suid. s. 23 *Celadinen* Jan c(a)eladi(e) $F^2$(R) c(a)elady(e) $AE^2$($E^1$) *Callidemus* Sillig 23 *Menen* Jan *menon* Pl 25 Ἀντικλείδης: οἱ δὲ τὸν παρ' Αἰγυπτίοις Θὼθ εὑρηκέναι, ὃν λέγουσιν Ἑρμῆν $Σ^1$

14 (5) PLUT. De mus. 14 p. 1135 F—1136 B: *οὔτε γὰρ Μαρσύου ἡ Ὀλύμπου ἡ Ὑάγνιδος, ὥς τινες οἴονται, εὕρημα ὁ αὐλός, οὐ μόνη δὲ κιθάρα Ἀπόλλωνος, ἀλλὰ καὶ αὐλητικῆς καὶ κιθαριστικῆς εὑρετὴς ὁ θεός. δῆλον δ' ἐκ τῶν χορῶν καὶ τῶν θυσιῶν, ἃς προσῆγον μετ' αὐλῶν τῶι θεῶι, καθάπερ ἄλλοι τε καὶ Ἀλκαῖος ἔν τινι τῶν ὕμνων* (F 3 B⁴) *ἱστορεῖ. καὶ ἡ ἐν Δήλωι δὲ τοῦ ἀγάλματος αὐτοῦ ἀφίδρυσις ἔχει ἐν μὲν τῆι δεξιᾶι τόξον, ἐν δὲ τῆι ἀριστερᾶι Χάριτας, τῶν τῆς μουσικῆς ὀργάνων ἑκάστην τι ἔχουσαν· ἡ μὲν γὰρ λύραν κρατεῖ, ἡ δ' αὐλούς, ἡ δ' ἐν μέσωι προσκειμένην ἔχει τῶι στόματι σύριγγα. ὅτι δ' οὗτος οὐκ ἐμὸς ὁ λόγος, Ἀντικλῆς καὶ Ἴστρος ἐν ταῖς Ἐπιφανείαις (III) περὶ τούτων ἀφηγήσαντο. οὕτω δὲ παλαιόν ἐστι τὸ ἀφίδρυμα τοῦτο, ὥστε τοὺς ἐργασαμένους αὐτὸ τῶν καθ' Ἡρακλέα Μερόπων φασὶν εἶναι. ἀλλὰ μὴν καὶ τῶι κατακομίζοντι παιδὶ τὴν Τεμπικὴν δάφνην εἰς Δελφοὺς παρομαρτεῖ αὐλητής, καὶ τὰ ἐξ Ὑπερβορέων δ' ἱερὰ μετ' αὐλῶν καὶ συρίγγων καὶ κιθάρας εἰς τὴν Δῆλόν φασι τὸ παλαιὸν στέλλεσθαι. ἄλλοι δὲ καὶ αὐτὸν τὸν θεόν φασιν αὐλῆσαι, καθάπερ .... Ἀλκμάν* (F 102 B⁴)· *ἡ δὲ Κόριννα* (F 29 B⁴) *καὶ διδαχθῆναί φησι τὸν Ἀπόλλω ὑπ' Ἀθηνᾶς αὐλεῖν.*

15 (—) SCHOL. EURIPID. Andr. 277: *μέμνηται τῆς ἱστορίας ἐκείνης ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῶι Πάριδι ..... ἔνιοι δὲ ἐψεῦσθαί φασι τὴν κρίσιν τῶν θεῶν, καθάπερ Ἀντικλείδης· «τρία γάρ ἐστι τῶν ἐπιχωρίων γύναια μαχλὰ τὰ εἰς τὴν τῆς εὐμορφίας κρίσιν καταστάντα.»* NOST.?

16 (—) — — — 285: *ταὶ δ' ἐπεὶ ὑλόκομον νάπος ἦλυθον οὐρεῖαν πιδάκων νίψαν αἰγλᾶντα σώματα ῥοαῖς] παρὰ Ῥοδίοις ὄντως λουτρὰ δεικνύουσιν ὅπου μυθεύουσι τὰς θεὰς ἀπολούσασθαι. καὶ περὶ τούτων δὲ Ἀντικλείδης ἱστόρησεν.* NOST.?

17 (19) SCHOL A D GEN Π HOM. Π. *H* 44: *μυθεύεται τῶν ἐξ Ἐκάβης γεγονότων Πριάμωι παίδων τὸν Ἕλενον καὶ τὴν Κασάνδραν διδύμους γεγενῆσθαι· τῶν δὲ γενεθλίων αὐτοῖς συντελουμένων ἐν τῶι τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῶι λέγεται τὸν Ἕλενον καὶ τὴν Κασάνδραν ἐν τῶι ναῶι παίζοντας κατακοιμηθῆναι, ὑπὸ δὲ μέθης ἐκείνων ἐκλαθομένων περὶ τῶν παίδων οἴκαδε χωρισθῆναι· τῆι δὲ ὑστεραίαι ἐλθόντας εἰς τὸ ἱερὸν θεάσασθαι τοὺς παῖδας ταῖς τῶν ὄφεων γλώτταις τοὺς πόρους τῶν αἰσθητηρίων καθαιρομένους. ὡς οὖν διὰ τὸ παράδοξον αἱ γυναῖκες ἀνέκραγον, συνέβη ἀπαλλαγῆναι τοὺς ὄφεις καὶ καταδῦναι ἐν ταῖς παρα-* NOST.?

---

9 *προσκειμένην* Wyttenbach προκ— Pl 10 *Ἀντικλῆς* Pl (s. zu p. 803, 21) *Ἀντικλείδης* Valesius 12 [*Μερόπων*] Volkmann 20 *ἐψεῦσθαι* Schwartz *διεψεῦσθαι* M *ἐκύεσθαι* O *ἐκύεαρ* N 21 *ἐστι: εἶναι* Wilamowitz 21—22 *γύναια μαχλὰ τὰ* (*τὰ* del Schwartz) Wilamowitz *γυναμαχῆ τὰ* O *γυνομά τὰ* N *γύναια τὰ* M 24 *παρὰ Ῥ. ὄντως* Schwartz *τὰ ῥοδίου ὄντος* O 25 *ὅπου μυθεύουσι* Schwartz *ὅπως μυθεύοι* O

κειμέναις δάφναις, τοὺς δὲ παῖδας ἀμφοτέρους τῆς μαντικῆς οὕτω μεταλαβεῖν. ἡ ἱστορία παρὰ Ἀντικλείδῃ.

18 (12) SCHOL. EHQ VIND EUST HOM. OD. δ 355: Ἀντικλείδης *NOST.?* ἱστορεῖ ὅτι ποθοῦσα Μενέλαον Ἑλένη λάθρα ἔξεισι τῆς πόλεως, καὶ Καρικὸν εὑροῦσα πλοῖον παρακαλεῖ τὸν ναύκληρον, ὃς ἐκαλεῖτο Φάρος, εἰς Λακεδαίμονα αὐτὴν ἀποκαταστῆσαι. χειμασθέντες δὲ ἦκον εἰς Αἴγυπτον, καὶ ἐνθάδε τῆς νεὼς ἀποβάντες τὸν Φάρον ὄφις ἀναιρεῖ. ἡ δὲ θάψασα αὐτὸν οὕτως ὠνόμασε τὴν νῆσον.

19 (18) — — π 471: Ἑρμῆς κατὰ Διὸς κέλευσιν ἀνελὼν Ἄργον τὸν τῆς Ἰοῦς φύλακα ἦλθε πρὸς Αἰκην, Ἥρας αὐτὸν καὶ τῶν ἄλλων θεῶν εἰς κρίσιν ἀγαγόντων, ὅτι πρῶτος ἐπιβεβλήκει δαιμόνων θνητῶι μιάσματι [τὸν Ἄργον καὶ ἀνιηρήκει]. κρίνοντας δὲ τοὺς θεοὺς εὐλαβεῖσθαι μὲν τὸν Δία διὰ τὸ ὑπόδικον γεγενῆσθαι τὸν Ἑρμῆν ταῖς αὐτοῦ παραγγελίαις. ἅμα δὲ ἀφωσιομένους τὸ ἄγος καὶ τῆς ἀνδροφονίας ἀπολύοντας αἷς εἶχον ὀργαῖς προσβαλεῖν αὐτῶι τὰς ψήφους, καὶ οὕτως ἐπισωρευθῆναι πρὸς τοῖς ποσὶ τοῦ Ἑρμοῦ ψήφων πλῆθος. ὅθεν καὶ τοὺς ἀνθρώπους ἄχρι τοῦ νῦν εἰς τιμὴν Ἑρμοῦ κατὰ τὰς ὁδοὺς διὰ τὸ τὸν θεὸν εἶναι τοῦτον καθηγεμόνα καὶ ⟨ἐπι⟩τροπον τῶν ἐκδημούντων σωροὺς ποιεῖν λίθων καὶ διάγοντας προσβάλλειν λίθους καὶ τούτους καλεῖν Ἑρμαίους λόφους (ἔστι δὲ λόφος πᾶν τὸ εἰς ὕψος μετέωρον). ἡ ἱστορία παρ' Ἀντικλείδῃ.

20 (11) SCHOL. LYKOPHR. 466: αὐτουργὸν δὲ καλεῖ τὸν Αἴαντα, *NOST.?* ἐπεὶ ἑαυτὸν ἀνεῖλεν. Ἀντικλείδης δέ φησιν αὐτὸν ὑπὸ τοῦ Πάριδος τοξευθέντα ἀποθανεῖν.

21 (21) STRABON V 2, 4: Ἀντικλείδης δὲ πρώτους φησὶν αὐτοὺς (sc. τοὺς Πελασγούς) τὰ περὶ Λῆμνον καὶ Ἴμβρον κτίσαι, καὶ δὴ τούτων τινὰς καὶ μετὰ Τυρρηνοῦ τοῦ Ἄτυος εἰς τὴν Ἰταλίαν συνᾶραι.

## Zweifelhaftes.

22 (13) ATHEN. XI 46 p. 473 B: Ἀντικλείδης φησὶν ἐν τῶι Ἐξηγητικῶι γράφων οὕτως· «Διὸς Κτησίου σημεῖα ἱδρύεσθαι χρὴ ὧδε· καδίσκον καινὸν ὁλωτον ἐπίθημα τοῦτα στέψαι τὰ ὦτα ἐρίωι λευκῶι καὶ ἐκ τοῦ ὤμου τοῦ δεξιοῦ καὶ ἐκ τοῦ μετώπου * * τοῦ κροκίου, καὶ ἐόθεῖναι ὅτι ἂν εὕρηις καὶ εἰσχέαι ἀμβροσίαν. ἡ ὁ ἀμβροσία ὕδωρ ἀκραιφνές, ἔλαιον, παγκαρπία· ἅπερ ἔμβαλε.»

23 (20) HESYCH s. ἀλευροῦντες· πέμματος γένος παρὰ Ἀντικλείδῃ.

---

4 πόλεως, ὅτε κατέσχεν αὐτὴν ὁ Πρωτεύς Eust ὅτι τῆι Καρίαι προσπλεύσαντος Ἀλεξάνδρου EtM 788, 15 7 ἀποβάντες EQ ἀποβάντων H ἀποβάντα Vind (?) 10—11 ἀγαγόντων nach κρίσιν EtM 376, 9; nach ἄλλων Schol 11 ὅτι — ἀνιηρήκει] Jac καὶ τ. Ἄ. ἀν. om EtM θνητῶι Jac θνητῶν Schol [τὸν — ἀνιηρήκει] Jac καὶ τ. Ἄ. ἀν. om EtM 12 διὰ EtM om Schol 18 αὐτοῦ Bu(ttmann) ἑαυτοῦ QV 14 ὀργαῖς vulgo 12 διὰ EtM om Schol 18 αὐτοῦ Bu(ttmann) ἑαυτοῦ QV 17 ⟨ἐπι⟩τροπον Barnes ἐκδικούντων V Bu ὀργὴν VQ ἣν — ὀργὴν EtM 17 ⟨ἐπι⟩τροπον Barnes ἐκδικούντων V Bu ὀργὴν VQ ἣν — ὀργὴν EtM 21 αντικλῆς ss² 25 τυρσηνοῦ A τυρσηνοὺς C 27 Αὐτοκλείδης (III s. Athen) Schwartz 28 σημεῖα: οἰπύας? Kaibel (Hes. s. καδίσκοι) 28—29 ἐπίθημα ἔχοντα CMueller 29 στέψαι τὰ Jacobs στέψαντα A 30 ⟨καθέσθαι τὰ ἄκρα⟩ τοῦ κροκίου o. s. Kaibel εἰσχεαι C ἰσχεαι A 32 ἀλευροῦντες Lobeck ἀλευρούοντες Hes Αὐτοκλείδηι? Schwartz

## 141. ANTIGENES.

T

1 PLIN. NH I 5: *situus, gentes* (Afrika, Aegypten, Syrien, Kleinasien) .... *ex Eudoxo, Antigene, Callicrate, Xenophonte Lampsaceno* ....

F

1 (Script. Al. M. p. 157, 1) PLUT. Alex. 46: ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι (137 F 15) καὶ Πολύκλειτος (128 F 8) καὶ Ὀνησίκριτος (134 F 1) καὶ Ἀντιγένης καὶ Ἴστρος (III) ..... s. 134 F 1.

2 (2) HERODIAN. π. μον. λέξ. s. ἀσκός (II 947, 10 Lentz): Ζύσκος ποταμὸς Μακεδονίας, ὡς Ἀντιγένης φησί.

---

## 142. HEGESIAS VON MAGNESIA (SIPYLOS).

(F 30—31) T

1 STRABON XIV 1, 41: ἄνδρες δ' ἐγένοντο γνώριμοι Μάγνητες (sc. τῆς ἐπὶ Μαιάνδρωι) Ἡγησίας τε ὁ ῥήτωρ, ὃς ἤρξε μάλιστα τοῦ Ἀσιανοῦ λεγομένου ζήλου, παραφθείρας τὸ καθεστηκὸς ἔθος τὸ Ἀττικόν, καὶ Σίμων ὁ μελοποιός, παραφθείρας καὶ αὐτὸς τὴν τῶν προτέρων μελοποιῶν ἀγωγήν.

2 CICERO Brut. 286: *et quidem duo fuerunt per idem tempus dissimiles inter se, sed Attici tamen; quorum Charisius multarum orationum, quas scribebat aliis, cum cupere videretur imitari Lysiam, Demochares* (75 T 3) *autem ... historiam ..... non tam historico quam oratorio genere perscripsit. atque Charisi vult Hegesias esse similis, isque se ita putat Atticum, ut veros illos prae se paene agrestis putet.* (287) *at quid est tam fractum, tam minutum, tam in ipsa, quam tamen consequitur, concinnitate puerile.*

3 AGATHARCHID. De m. r. V (PHOT. Bibl. 250 p. 445 b 39 ff.): ὅτι πολλοί, φησί, καὶ τῶν πολιτικῶν ἀνδρῶν καὶ τῶν ποιημα γεγραφότων διηπορήκασι πῶς τὰς ὑπερβαλλούσας ἑνίοις ἀκληρίας τὸν ἐκτὸς τῶν κινδύνων κείμενον πρεπόντως ἐξαγγελτέον. ... Ὀλυνθον καὶ Θήβας ... Ἀλέξανδρος καὶ Φίλιππος διαρπάσαντες καθεῖλον εἰς ἔδαφος, τὸ δὲ δεινὸν τοῦ συντελεσθέντος .... καὶ τῶν Ἑλλήνων πολλοῖς ἀγωνίαν περὶ τῶν ὅλων μεγάλην ἐπίστησεν καὶ τῶν ῥητόρων οὐκ ὀλίγοις λόγου παρέσχεν ἀφορμὴν εἰς τὸ δηλῶσαι τὰ πεπραγμένα τοῦ πάθους οἰκείως. εἰρήκασιν οὖν περὶ τούτου τοῦ πράγματος ἄλλοι μὲν ἀλληγορικῶς τῶι τρόπωι καὶ ταῖς διαλέκτοις ὡς δοκοῦσι περιττῶς, οἱ δ' (sc. Demosthenes, Aischines, Stratokles p. 446 b 27; 447 a 18) ἐμβριθέστερον, τὰ συνήθη καὶ τὰς κυριολογίας ἐν τοῖς δεινοῖς οὐ πεφευγότες. .... Ἡγησίας μὲν οὖν πολλάκις τῆς ἀπωλείας μεμνημένος τῶν πόλεων εὐτελὴς ἐστιν. ὁ γὰρ μὴ θέλων τοῖς καιροῖς οἰκείως διαλέγεσθαι, ζητῶν δὲ

10 *Φύσκος* CMueller 11 *Θεαγένης*? CMueller (Steph. Byz. s. *Φύσκος*). 17 *Σίμος* Tzschucke 27 *ποιήματα*? 28 *τῶι — κειμένωι*?

ἐξ ἀνάγκης ἐν αὐστηρῷ πράγματι κομψότητα διαφαίνειν, τοῦ μὲν ἰδίου ζηλώματος ἐπὶ ποσὸν τυγχάνει, τῆς δὲ τῶν ὑποκειμένων ἀξίας οὐ στοχάζεται, ὥσπερ οὗτος ἐν τοῖς αὐτοῦ φωράται λόγοις· οἷον ..... (F 6—14) ..... διὸ καὶ ψυχρότητα ἐσχάτην ἐμφαίνει ..... (F 25—26; 15—17) .... πλὴν τῆς μὲν τούτου κομψότητος, ἵνα μὴ μανίας εἰπὼν πικρότερος φανῶ, διειλήλυθαμεν, φησί, τὰ πλεῖστα ..... τοὺς δὲ περὶ Ἡγησίαν καὶ τὰ παρ' ἐκείνων παραγράφεται.

col. IV ...]ρσ[.....]ν [.** (Κάσσανδρος·) | [.]ωτης [.....] εσοχη[* |
.]ε̣δυει [.....]ειωι [*|.]γγυος σὸν μὲν ἴσως, βα[σιλεῦ, παντὶ σθένει ἐπι|κου]ρεῖν τῶι γέ
σου ὀφ[θαλμῶι *] | τυγχάν[ο]υσιν οἱ φό[** ἔ|β]αλλεν, ὃ κατώ⟨ι⟩κνει ὑπ[**|.]οι. νῦν
γὰρ οὐκ ἄλλο τ[ι κατηγορεῖ ἢ Ὀλυμ]||πιὰς τοῦ γυναικίου ἢ [.....]ρ[*] | τὸν
γάμον τ̣ιαφωρ̣ο̣ιτυ [.....]ω[*] | ἀντιλέγει λόγοις [.]υκ[.....]αν[*] | ἢ, ἀλλ'
εἰς ἐπίτασιν ση[.....]ρροσεχει[*] | δ' αὐτῆι, συνγνώμη, καὶ [γὰρ τ]ὸ ἀπὸ τῆς τύχη[ς] |
προσφάτως π̣αρέστη· τέθνηκεν Ἀλέξαν|δρος· ὡς καὶ ⟨εἰ⟩ μὴ γεγεννήκει τὸν βασιλέα,
ἀνάγκην εἶχε πενθεῖν, καὶ ὅτι γεγεννή|κει. καλὸν μὲν οὖν, ὦ βασιλεῦ, περιμεῖναι
τὴν | γυναῖκαν καὶ ἐν τοιούτοις ὑπάρχουσα. | τὸ γὰρ π[ρο]πετὲς τῆς ἀρνήσεως ἡ
μεταμέ|λεια χ̣ε̣λ̣α̣μ̣ι̣σαι. Ἀντίπατρος. | σὺ μὲν καλῶς ἔλεξας, ὦ Κάσσανδρε, καὶ
σοῦ | τὸ λημ̣ὰ [ἐ]ρ̣τι χρησ[τ]ῶν καὶ ἐν πολέμοις καὶ ἐν | γνώμηι ἄριστον. [ἀ]λλ' ὁρῶ
προσιοῦσαν τὴν θεο|μήτορα καὶ τοῖς [διασκ]ευῆς μύθοις μεγάλα | φρονοῦσα καὶ
τρυ̣φ̣ῶ̣[ς ἐ]πιχωρίους βασιλεῖς ἀ̣φ̣ο̣|ξοῦσα. καὶ τὰ πρὸς ἡμᾶς Ὀλυμπιὰς οὕτω σο|βα-
ρῶς χ̣α̣ὶ τυραν[νι]κῶς. ἔξεστι γάρ σοι δια|λέγεσθαι ομ̣ρ̣κ̣ι̣ά̣ . ονιαζ̣ρυβασ[ι]λ̣ε̣υρ̣[

col. V: dürftige reste von v. 8—11; rest der seite leer.

## V

8 P. Ox. 216: [βούλεσθε οὖν] | ἀπὸ μιᾶς ἐπιστολ[ῆς ἀ]πει|λῆς(?) δουλείαν
ἀντ' ἐλευ|θερίας ἀντικαταλλάσσε|σθαι; καὶ ποῦ τὸ περιμάχη|τον οἰχεται φρόνημα
τῆς ἡγεμονίας; ἐπιζητῶ | γάρ, εἰ μή τι διαμαρτάνω | τῶι λογισμῶι. φησὶν ἡμῖν
πολεμήσειν καὶ ἡμεῖς | ἐκ[είνωι . . . . . ]..ων|... (zerstörte reste) ‖ [τίνα τῶν
συμμά|χω]ν ἀπολωλέκα[μεν; ποῦ | τὰ] τείχη τῆς πό[λεως πέ]||πτωκεν; τίς αἰχμ[ά-
λωτος] | ἡμῶν γέγονεν; [πότε] | πεζο|μαχοῦντες ἢ ναυμαχοῦντες | λελείμμεθα; ἐνταῦθα
γὰρ | ἀνθρωποι περιγεγ[ρα]μμέ|νοι πάσας τὰς ἐλπίδας τῶι | τῆς ἀνάγκης καιρῶι

---

1 πολυμεθα o. λευμ—, ασουμ—, κουμ— Cr 1—3 μισοῦντας — βασιλέα Rei
3 [εἰς Ἄμμωνα τ]ὴν? Cr [φήμην ἔχει τ]ὴν Rei 4 θάνατοι Rei 5 [αἴτιος — οὐ] Rei
6 [μάτην καὶ] Rei τὸ νῦν Rei ἕως νῦν Cr 7 του o. γου Cr 10 σοὶ μὲν ἴσως,
βασιλεῦ Rei 11 ὑπ[οσχέσθαι]? Cr 12 τι — Ὀλυμπιὰς Rei 14 [ὡς εἰ
π]ροσέχει[ς Cr ἔχει[ν] δ' αὐτῆι συγγνώμη⟨ν⟩ Rei γεγεννήκει sc. ὁ Φίλιππος Cr ἡ Ὀλυμπιάς Rei [γὰρ] Rei [ὡς] Cr 15 ⟨εἰ⟩
νήκει? Cr 16—17 περιμεῖναι τ. γ. 'dem weibe zeit zu lassen' Rei ὑπάρχουσα
vgl v. 20/21 φρονοῦσα, ἀδοξοῦσα 18 o. χολ— Cr κολοβίσει Rei 19 [ἐ]στι Cr
ἐ]πί? Rei 22 o. κιγ, κιρ Cr βασιλεῦσ[ι δὲ οὐκ ἔξεστιν] Rei 25 [βούλεσθε
οὖν] Jan(der) ἀπειλῆς (ἀπειλητικῆς?) Jac ἀπεί|λην P δουλείας Jan 28—29 τίνα
τῶν συμμ. Jan τὰς ναῦς μῶ]ν Wil(amowitz) 30 πότε Jan ποῦ Gr-H

δουλεύ|σουσι. ἡμῖν δ' ἀπόρθητός | ἐστιν ἡ δημοκρατία· ὁμονο|οῦμεν πρὸς ἀλλήλους· τοῖς νό|μοις ἐνμένομεν· καρτερεῖν | ἐν τοῖς δεινοῖς ἐπιστάμε|θα· τὴν τῆς ἐλευθερίας τά|ξιν οὐκ ἐνκαταλείπομεν. | [[ἐν]] τοῖς ὅπλοις νικήσας | νεανικευέσθω, ταῖς δ' ἀπὸ | τῶν ἐπιστολῶν ἀπειλαῖς | τοὺς βαρβάρους ἐξαπατάτω. | ἡ δὲ τῶν Ἀθηναίων πόλις | ἐπιτάττειν, οὐχ ὑπακούειν | [ἐπίσταται]· καὶ ὁ[ικά]ζε[ιν * *

## VI

9 P. Berol. 13044: ...]κ[α]ὶ ἄλλο τι.[..|...].ν τιμῶσιν | [... Ἀλέξ]αν[δ]ρος ὑπαισ[[ * * ἐφασι.ε|[ * * ...].ν. Ἀλέξα[ν| * *]ι τοῦ ἐι * * * || ἐγὼ προστάξω κρίνειν, οὗτος ὑμῶν ἔσται βραβευτής, καὶ ἐὰν εὖ δόξῃ κεκρινέναι, οὗτος | ζῶν ἀφεθήσεται μόνος'. ἠρώτησεν οὖν εἷς τῶν Γυμνοσοφιστῶν, εἰ καὶ τὴν αἰτίαν προστιθῶσιν. δοθέν|τος δὲ τούτου τὸν πρῶτον ἠρώτησεν, πότερον αὐτῶι δοκοῦσιν οἱ ζῶντες ἢ οἱ τεθνηκότες εἶναι πλείους | τὸν ἀριθμὸν ἢ τοὐναντίον. τὸν δ' εἰπεῖν τοὺς ζῶντας. 'οὐ δίκαιον γάρ' ἔφη 'τῶν οὐκ ὄντων τοὺς ὄντας εἶναι | πλείους'. μετὰ δὲ τοῦτον ἠρώτα τὸν ἐχόμενον, πότερα ⟨— —⟩ τὴν γῆν, καὶ γὰρ αὐτὴν τὴν θάλασσαν ἐπὶ τῆς γῆς εἶ|ναι. τὸν τρίτον ἤρετο, τί πανουργότατον αὐτῶι δοκεῖ εἶναι ζῶιον. τὸν δ' εἰπεῖν 'ὃ μὴ γινώσκει μηδεὶς ἀνθρώ|πων'. τὸν δὲ τέταρτον ἠρώτα Σαβειλὼ ἡ|γούμ]ενον αὐτῶν εἰς τί συνεβούλευσεν μά|χεσθαι πρὸς αὐτόν. τὸν δ' εἰπεῖν· 'ὅπως ἂν αὐτῶι συμβαίνει ⟨ἢ⟩ καλῶς ζῆν ἢ καλῶς ἀποθανεῖν.' τὸν πέμπτον | ἐκέλευσεν λέγειν, πότερον ἡμέρα πρότερον γέγονεν ἢ νύξ. τοῦτον δ' ἀποκριθῆναι ⟨— —⟩ νυκτὶ μιᾶι πρότερον ἡμέ|ρας. διαπορουμένου δὲ τοῦ Ἀλεξάνδρου περὶ τούτ⟨των⟩ νοήσαντα τὸν Ἰνδὸν εἰπεῖν, ὅτι τοῖς ἀπόροις τῶν ἐρωτημά|των ἀπόρους εἶναι καὶ τὰς ἀποκρίσεις συμβαίνει. τὸν ἕκτον ἠρώτα, τί ποιῶν ἄν τις ὑπὸ ἀνθρώπων ἀγαπῶιτο μά|λιστα. τὸν δὲ εἰπεῖν '[εἰ] κράτιστος ὢν μηθεν[ὶ φο]βερὸς εἶηι'. τὸν δὲ ἕβδομον ἠρώτα, τί || ποιῶν ἄν τις γένοιτο θεός. τὸν δ' εἰπεῖ[ν· 'ὃ μὴ] ὂυνατόν ἐστιν ἀνθρωπον ποιεῖν, εἰ π[οιήσει|εν τις.' τὸν ὄγδοον ἠρώτα πότερον ἰσχυρότατόν ἐστιν θάνατος ἢ ζωή. τὸν δὲ ἀποκριθῆναι τὴν ζωὴν· τὴν μὲν γὰρ | ἐξ οὐκ ὄντων ὄντας ποιεῖν, τὸν δὲ θάνατον ἐξ ὄντων [οὐκ] ὄντας. τὸν ἔσχατον ἐκέλευε λέγειν, πόσον τινὰ | χρόνον ἂν καλῶ[ς ἔχοι |ζῆν]. ⟨τὸν δ'⟩ εἰπεῖν ἕω[ς ἂν.]. ψηφ[ί]|βηι .]ωντα.[..]κρ... εἶναι [.]. στερο[..]ται...[.... λοιποῦ) | δ' ὄντος ε[νὸς τοῦ .....]τος κρίνειν τὰς ἀποκρίσεις ἠρώτησε τοῦτον, τίς αὐτῶν δοκεῖ κάκιστον ἀποκεκρίσθαι καὶ | ὅπως μὴ δόξῃς' ἔφη 'ἀμελεῖν χαριζόμενος'. τὸν δ[ὲ μὴ βουλόμενον || δι' αὐτοῦ μηθ]ένα ἀπο[λέσθαι εἰπ]εῖν τὸν ἕ]τερον δε|ὶ θατέρου [χεῖρον δ]ποκεκρί|σθαι. 'τοιγαροῦν' ἔφη 'πάντες ἀποθανεῖσθε, σὺ δὲ πρῶτος τοιαῦτα κρίνων'.

8 [[ἐν]] Wil 5 ἐπίσταται Jan 7 text nach Wi(lcken); selbstverständliche ergänzungen nicht bezeichnet 8 [ὃν ὁ' ἂν] ἐγὼ Wi 10 εἰ: ἢ P 14 ⟨μείζων ἐστὶν γῆ ἢ θάλασσα. τὸν δ' εἰπεῖν⟩ Wi 19 ⟨νύκτα· τὴν γὰρ γεγονέναι⟩ Wi 25 ποιησαι P ἰσχυρότερον Wi 30 κάκιστα Wi 33 ἀποκεκρίσθαι. ⟨Ἀλέξανδρος δ' εἰπεν⟩ Wi

τὸν δ' εἰπεῖν· ἀλλὰ μήν, Ἀλέξανδρε, | ⟨οὐ βασι⟩λικόν ἐστι [ψεύδεσθαι]. ἔφης γάρ· ['Ὃν ἂν ἐγὼ προσ]τ[άξω * * * || εται γάρ ἡμᾶς ὁ λόγος. τό γε μὴ⟨⟨ν⟩⟩ ἀδίκως ἀποκτείνειν οὐχ ἡμῖν ἐστιν, ἀλλὰ σοὶ φυλακτέον.' | τὸν δὲ Ἀλέξανδρον ἀκούσαντα κρῖναι σοφοὺς εἶναι τοὺς ἄνδρας ⟨καὶ⟩ προστάξαι ὀόντας ἱματισμὸν ἀφεῖναι πάντας.

## VII

10 a) Porphyr. Horat. AP 357: *poeta pessimus fuit Choerilus, qui Alexandrum secutus opera eius descripsit. huius omnino septem versus laudabantur* (s. Amyntas 122 F 2). *cui Alexander dixisse fertur, multum malle se Thersiten iam Homeri esse quam Choerili Achillen.* b) Horat. epp. II 1, 232: *gratus Alexandro regi magno fuit ille Choerilus, incultis qui versibus et male natis rettulit acceptos, regale nomisma, Philippos.* vgl. Schol. Ps. Acr. AP 357—58; Schol. C Ask Ovid. Ibis 519. c) Philodem. *Π. ποιημ.* (P 994; Usener Kl. Schr. I 328): ὑπολάμβανε κατὰ τὸ συνέχον καὶ κυριώτατον τῶν ἐμ ποιητικῇ διαφέρειν Χοιρίλον καὶ Ἀναξιμένην (72 T 26) Ὁμήρου καὶ Καρκίνον καὶ Κλεαίνετον Εὐριπίδου καὶ τοὺς ἄλλους τοὺς πονηροὺς ἐν ποιητικῇ τῶν ἀρίστων. s. F 11 a.

11 a) Curt. Ruf. Hist. Al. VIII 5, 7—8: ... *Graecorum, qui professionem honestarum artium malis conruperant moribus, Agis quidem Argivus, pessimorum carminum post Choerilum conditor, et ex Sicilia Cleo* (F 10 c) ..... b) Arrian. An. IV 9, 9: καὶ δὴ καὶ τῶν σοφιστῶν τῶν ἀμφ' αὐτὸν Ἀνάξαρχόν τε καὶ Ἄγιν Ἀργεῖον ἑποποιόν. s. Plut. Quom. adul. 18 p. 60 BC.

12 a) s. Anaximenes 72 T 26. b) Sext. Emp. adv. gramm. I 282: λέγεται γὰρ αὐτὸν (sc. Πύρρωνα) καὶ ποίησιν εἰς τὸν Μακεδόνα Ἀλέξανδρον γράψαντα μυρίοις χρυσοῖς τετιμῆσθαι.

13 Steph. Byz. s. Ὑστάσπαι· .... Νέστωρ (sc. Λαρανδεὺς ἐκ Λυκίας, ἑποποιός, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως Suid. s. v.) ὁ ἐν τῇ ᾱ τῆς Ἀλεξανδρειάδος.

14 a) Suid. s. Σωτήριχος Ὀασίτης· ἑποποιός, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. Ἐγκώμιον εἰς Διοκλητιανόν· Βασσαρικὰ ἤτοι Διονυσιακά, βιβλία δ'· Τὰ κατὰ Πάνθειαν τὴν Βαβυλωνίαν· Τὰ κατὰ Ἀριάδνην· Βίον Ἀπολλωνίου τοῦ Τυανέως· Πύθωνα ἢ Ἀλεξανδριακόν (ἔστι δὲ ἱστορία Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε Θήβας παρέλαβε)· καὶ ἄλλα. b) Steph. Byz. s. Ὕασις· ... λέγεται καὶ Ὄασις καὶ ὁ πολίτης Ὀασίτης, ὁ ποιητὴς Σωτήριχος, ὁ καὶ τὰ πάτρια γεγραφώς.

15 a) Suid. s. Ἀρριανός ἑποποιός· Μετάφρασιν τῶν Γεωργικῶν τοῦ Βεργιλλίου ἐπικῶς ποιήσας· Ἀλεξανδριάδα (ἔστι δὲ κατὰ τὸν Μακεδόνα ἐν ῥαψωιδίαις εἴκοσι καὶ τέσσαρσιν)· Εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα. b) Steph. Byz. s. Ἀστραία· πόλις Ἰλλυρίας. Ἀδριανὸς Ἀλεξανδρειάδος ᾱ 'οἳ δ' ἔχον Ἀστραίαν τε Δόβηράτε'. c) — s. Σάνεια· πόλις Ἰνδική, ὡς Ἀδριανὸς Ἀλεξανδρειάδος ζ̄.

---

2 [ῥύ]εται Wi 8 *cui* Ps. Acro *ut hic* Porph *et hinc* Petschenig 17 *Agis* Aldus *hages* Curt v. l. *quidam pessimorum* Lauer *piissimorum* Curt 26 ἀλεξανδριάδος RV 27 Ὀασίτης Pearson ἀσίτης Suid 32 ὁ καὶ Holste καὶ ὁ RVP γεγραφὼς αὐτοῦ RV 33—35 μετέφρασε — ἐπικῶς· καὶ ἄλλα πολλὰ εἰς Ἀ. τ. Περγαμηνὸν Eudok 36 (u. v. 37) Ἀδριανός: Ἀρριανός Meineke ἀλεξανδριάδος R Ἀστραίαν Ald ἀστερείαν RVP 37 δόβηραν P Δόβηρον Berkel Holste · ἀδριανὸς R ἀνδρ— P ἀλεξανδριάδος V

## d) DIE DIADOCHEN. PYRRHOS.

### 154. HIERONYMOS VON KARDIA.

T

1 SUID. s. *Ἱερώνυμος Καρδιανός· ὃς τὰ ἐπ' Ἀλεξάνδρωι πραχθέντα συνέγραψε. Καρδία δὲ ὄνομα πόλεως.*

2 [LUKIAN.] Macrob. 22 (= PHLEGON 257 F 37 c. II): *Ἱερώνυμος δὲ ἐν πολέμοις γενόμενος καὶ πολλοὺς καμάτους ὑπομείνας καὶ τραύματα ἔζησεν ἔτη τέσσαρα καὶ ἑκατόν, ὡς Ἀγαθαρχίδης ἐν τῆι ἐνάτηι τῶν Περὶ τῆς Ἀσίας ἱστοριῶν (86 F 4) λέγει· καὶ θαυμάζει γε τὸν ἄνδρα ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις καὶ πᾶσι τοῖς αἰσθητηρίοις, μηδενὸς γενόμενον τῶν πρὸς ὑγίειαν ἐλλιπῆ.*

3 DIOD. XVIII 42, 1: *μετὰ δὲ ταῦτα ὁ Εὐμένης πρὸς τὸν Ἀντίπατρον πρεσβευτὰς ἀπέστειλε περὶ τῶν ὁμολογιῶν* (a. 320), *ὧν ἦν ἡγούμενος Ἱερώνυμος ὁ τὰς τῶν Διαδόχων Ἱστορίας γεγραφώς.*

4 — XVIII 50, 4 (a. 319/8): *ταῦτα δὲ διανοηθεὶς* (sc. *ὁ Ἀντίγονος*) *Ἱερώνυμον μὲν τὸν τὰς Ἱστορίας γράψαντα μετεπέμψατο, φίλον ὄντα καὶ πολίτην Εὐμένους τοῦ Καρδιανοῦ τοῦ συμπεφευγότος εἰς τὸ χωρίον τὸ καλούμενον Νῶρα. τοῦτον δὲ μεγάλαις δωρεαῖς προκαλεσάμενος ἐξαπέστειλε πρεσβευτὴν πρὸς τὸν Εὐμένη* .... PLUT. Eum. 12.

5 — XIX 44, 3 (a. 316/5): nach der gefangennahme des Eumenes *ἀνήχθη δ' ἐν τοῖς τραυματίαις αἰχμάλωτος καὶ ὁ τὰς Ἱστορίας συνταξάμενος Ἱερώνυμος ὁ Καρδιανός, ὃς τὸν μὲν ἔμπροσθεν χρόνον ὑπ' Εὐμένους τιμώμενος διετέλεσεν, μετὰ δὲ τὸν ἐκείνου θάνατον ὑπ' Ἀντιγόνου ἐτύγχανε φιλανθρωπίας καὶ πίστεως.*

6 — XIX 100, 1—3 (a. 312/1): *ὁ δ' Ἀντίγονος ἐπανελθόντος τοῦ Δημητρίου καὶ τὰ κατὰ μέρος τῶν πεπραγμένων ἀπαγγείλαντος ἐπὶ μὲν τῆι συνθέσει τῆι πρὸς τοὺς Ναβαταίους ἐπετίμησεν αὐτῶι .... ἐπὶ δὲ τῶι κατασκέψασθαι τὴν λίμνην* (F 5—6) *καὶ δοκεῖν εὑρηκέναι τινὰ τῆι βασιλείαι πρόσοδον ἐπαινέσας ἐπὶ μὲν ταύτης ἐπιμελητὴν ἔταξεν*

---

4 ⟨ἱστορικός·⟩ ὃς? ἐπ' Ἀλεξάνδρωι Leopardi (vgl. F 3 *Περδίκκας δέ, ὃς ἐπὶ Ἀλεξάνδρωι τῆς Μακεδόνων ἦρχεν*) ἐπ' Ἀλεξάνδρου V ἐπ' Ἀλεξανδρείαι cett 18 προσκαλεσάμενος F 21 τραυματίαις: ἑαλωκόσι F 27 Ναβαταίους: νομάδας F

Ἱερώνυμον τὸν τὰς Ἱστορίας συγγράψαντα (F 6). τούτωι δὲ συνετέτακτο πλοῖα παρασκευάσασθαι καὶ πᾶσαν τὴν ἄσφαλτον ἀναλαβόντα συνάγειν εἴς τινα τόπον. οὐ μὴν ἀπέβη γε καὶ τὸ τέλος κατὰ τὴν ἐλπίδα τοῖς περὶ τὸν Ἀντίγονον· οἱ γὰρ Ἄραβες συστραφέντες εἰς ἑξακισχιλίους, ἐπιπλεύσαντες ἐν ταῖς δέσμαις ἐπὶ τοὺς ἐν τοῖς πλοίοις, σχεδὸν ἅπαντας κατετόξευσαν. ἐξ οὗ δὴ συνέβη τὸν Ἀντίγονον ἀπογνῶναι τὰς προσόδους ταύτας διὰ τὸ γεγονὸς παράπτωμα καὶ διὰ τὸ τὸν νοῦν ἔχειν πρὸς ἑτέροις μείζοσι.

7 [LUKIAN.] Macrob. 11 (= F 8): ὁ συστρατευόμενος αὐτῶι (sc. Ἀντιγόνωι, bei Ipsos a. 301) Ἱερώνυμος.

8 PLUT. Demetr. 39, 3—7: ὡς δὲ ταῖς Θήβαις ἐπαγαγὼν τὰς μηχανὰς ὁ Δημήτριος (a. 293) ἐπολιόρκει καὶ φοβηθεὶς ὑπεξῆλθεν ὁ Κλεώνυμος, καταπλαγέντες οἱ Βοιωτοὶ παρέδωκαν ἑαυτούς. ὁ δὲ ταῖς πόλεσιν ἐμβαλὼν φρουρὰν καὶ πραξάμενος πολλὰ χρήματα καὶ καταλιπὼν αὐτοῖς ἐπιμελητὴν καὶ ἁρμοστὴν Ἱερώνυμον τὸν ἱστορικόν, ἔδοξεν ἠπίως κεχρῆσθαι ..... οὐ πολλῶι δὲ ὕστερον ἁλίσκεται Λυσίμαχος ὑπὸ Δρομιχαίτου, καὶ πρὸς τοῦτο Δημητρίου κατὰ τάχος ἐξορμήσαντος ἐπὶ Θράικην ... πάλιν ἀπέστησαν οἱ Βοιωτοί ... ταχέως οὖν καὶ πρὸς ὀργὴν ἀναστρέψας ὁ Δημήτριος εὗρεν ἡττημένους ὑπὸ τοῦ παιδὸς Ἀντιγόνου μάχηι τοὺς Βοιωτοὺς καὶ τὰς Θήβας αὖθις ἐπολιόρκει.

9 THEON VIT. ARAT. p. 147, 18 M: Ἀντίγονος ὁ Γονατᾶς, παρ' ὧι διέτριβεν αὐτὸς καὶ σὺν αὐτῶι Περσαῖος ὁ Στωικὸς καὶ Ἀνταγόρας ὁ Ῥόδιος ... καὶ Ἀλέξανδρος ὁ Αἰτωλός, ὡς αὐτός φησιν ὁ Ἀντίγονος ἐν τοῖς †περὶ Ἱερώνυμον.

10 DIOD. I 3, 3: τῶν δὲ τὴν ἐπιβολὴν ταύτης τῆς πραγματείας πεποιημένων οὐδεὶς προεβίβασε τὴν ἱστορίαν κατωτέρω τῶν Μακεδονικῶν καιρῶν· οἱ μὲν γὰρ εἰς τὰς Φιλίππου πράξεις, οἱ δ' εἰς τὰς Ἀλεξάνδρου, τινὲς δ' εἰς τοὺς διαδόχους ἢ τοὺς ἐπιγόνους (F 13) κατέστρεψαν τὰς συντάξεις.

11 PAUS. I 9, 8: ὁ δὲ Ἱερώνυμος οὗτος ἔχει μὲν καὶ ἄλλως δόξαν πρὸς ἀπέχθειαν γράψαι τῶν βασιλέων πλὴν Ἀντιγόνου, τούτωι δὲ οὐ δικαίως χαρίζεσθαι. s. F 9; 15.

12 DION. HAL. De comp. verb. 4, 30: τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν, Φύλαρχον λέγω .... Ἱερώνυμόν τε .... s. 76 T 10.

## F

## ⟨ΤΑ ΕΠΙ ΑΛΕΞΑΝΔΡΩΙ ΠΡΑΧΘΕΝΤΑ?⟩

1 (II 452) ATHEN. V 58 p. 217 DE: Περδίκκας τοίνυν πρὸ $\overline{\text{Α}}$ Ἀρχελάου βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιός φησιν Νικομήδης (III), ἔτη $\overline{\text{μα}}$,

1 Ἱερώνυμον: Ἀντίγονον RX 3 τέλος ⟨εἶλε⟩ Rhodomanus 6 ταύτας om RX 22 περὶ: *apud quem Hieronimus* vers Lat πρὸς Ruhnken περὶ Ἱερωνύμου?

*Θεόπομπος* (115 F 279) *δὲ λε*, *Ἀναξιμένης* (72 F 27) *μ*, *Ἱερώνυμος κη*, *Μαρσύας* (135—136 F 15) *δὲ καὶ Φιλόχορος* (III) *κγ*.

2 — V 40 p. 206 DE: *γράφει οὖν ὁ Μοσχίων* (III) *οὕτως·* a. 322/1
*Διοκλείδης μὲν ὁ Ἀβδηρίτης* (VI) *θαυμάζεται ἐπὶ τῇι πρὸς τὴν Ῥοδίων πόλιν ὑπὸ Δημητρίου προσαχθείσηι τοῖς τείχεσιν ἑλεπόλει, Τίμαιος* (III) *δ' ἐπὶ τῇι πυρᾶι τῇι κατασκευασθείσηι Διονυσίωι ...., καὶ Ἱερώνυμος ἐπὶ τῇι κατασκευῇι τῆς ἁρμαμάξης, ἣι συνέβαινε κομισθῆναι τὸ Ἀλεξάνδρου σῶμα, Πολύκλειτος* (128 F 4) *δὲ ....*

3 (1 a) APPIAN. Mithrid. 8: *Καππαδοκίας δὲ πρὸ μὲν Μακεδόνων* a. 322
*οἵτινες ἦρχον, οὐκ ἔχω σαφῶς εἰπεῖν εἴτε ἰδίαν ἀρχὴν εἴτε Δαρείου κατήκουον. Ἀλέξανδρος δέ μοι δοκεῖ τοὺς ἄρχοντας τῶνδε τῶν ἐθνῶν ἐπὶ φόρωι καταλιπεῖν, ἐπειγόμενος ἐπὶ Δαρεῖον. ..... Ἱερώνυμος δὲ οὐδ' ἐπιψαῦσαι τῶν ἐθνῶν ὅλως, ἀλλ' ἀνὰ τὴν παράλιον τῆς Παμφυλίας καὶ Κιλικίας ἑτέραν ὁδὸν ἐπὶ τὸν Δαρεῖον τραπέσθαι. Περδίκκας δέ, ὃς ἐπὶ Ἀλεξάνδρωι τῆς Μακεδόνων ἦρχεν, Ἀριαράθην Καππαδοκίας ἡγούμενον εἴτε ἀφιστάμενον εἴτε τὴν ἀρχὴν αὐτοῦ περιποιούμενος Μακεδόσιν, εἶλε καὶ ἐκρέμασε* (F 4)*· καὶ ἐπέστησε τοῖς ἔθνεσιν Εὐμένη τὸν Καρδιανόν. Εὐμένους δὲ ἀναιρεθέντος ὅτε αὐτὸν οἱ Μακεδόνες εἵλοντο εἶναι πολέμιον, Ἀντίπατρος ἐπὶ τῶι Περδίκκαι τῆς ὑπὸ Ἀλεξάνδρωι γενομένης γῆς ἐπιτροπεύων, Νικάνορα ἔπεμψε Καππαδοκῶν σατραπεύειν.* (9) *Μακεδόνων δὲ οὐ πολὺ ὕστερον ἐς ἀλλήλους στασιασάντων, Ἀντίγονος μὲν ἦρχε Συρίας Λαομέδοντα ἐκβαλών, Μιθριδάτης δ' αὐτῶι συνῆν, ἀνὴρ γένους βασιλείου Περσικοῦ. καὶ ὁ Ἀντίγονος ἐνύπνιον ἔδοξε πεδίον σπεῖραι χρυσίωι, καὶ τὸ χρυσίον ἐκθερίσαντα τὸν Μιθριδάτην ἐς τὸν Πόντον οἴχεσθαι. καὶ ὁ μὲν αὐτὸν ἐπὶ τῶιδε συλλαβὼν ἐβούλετο ἀποκτεῖναι, ὁ δ' ἐξέφυγε σὺν ἱππεῦσιν ἕξ, καὶ φραξάμενός τι χωρίον τῆς Καππαδοκίας, πολλῶν οἱ προσιόντων ἐν τῆι δὲ τῆι Μακεδόνων ἀσχολίαι, Καππαδοκίας τε αὐτῆς καὶ τῶν ὁμόρων περὶ τὸν Πόντον ἐθνῶν κατέσχεν, ἐπί τε μέγα τὴν ἀρχὴν προαγαγὼν παισὶ παρέδωκεν* (F 7). *[[οἱ δ' ἦρχον ἕτερος μεθ' ἕτερον ἕως ἐπὶ τὸν ἕκτον ἀπὸ τοῦ πρώτου Μιθριδάτην, ὃς Ῥωμαίοις ἐπολέμησεν]].*

4 (2) [LUKIAN.] Macrob. 13: *Ἀριαράθης δὲ ὁ Καππαδοκῶν* a. 3..2
*βασιλεὺς δύο μὲν καὶ ὀγδοήκοντα ἔζησεν ἔτη, ὡς Ἱερώνυμος ἱστορεῖ· ἐδυνήθη δὲ ἴσως καὶ ἐπὶ πλέον διαγενέσθαι, ἀλλ' ἐν τῆι πρὸς Περδίκκαν μάχηι ζωγρηθεὶς ἀνεσκολοπίσθη.*

5 (3 a) PARADOX. Flor. De aq. mir. 33: *Ἱερώνυμος ἱστόρησεν ἐν* a. 315/2
*τῆι Ναβαταίων χώραι τῶν Ἀράβων εἶναι λίμνην πικράν, ἐν ἧι οὔτ'*

18 ⟨τῶνδε⟩ *τῶν* Schweighaeuser *ne has quidem gentes* vers. Candidi
15—16 *τῶν Μακεδόνων* Reiske 26 *ἐβούλετο* i *conatus est* Cand *ἐβούλευεν* O

ἰχθῦς οὔτε ἄλλο τι τῶν ἐνύδρων ζώιων γίνεσθαι, ἀσφάλτου δὲ πλίνθους ἐξ αὐτῆς αἴρεσθαι ὑπὸ τῶν ἐπιχωρίων.

6 (13) JOSEPH. c. Apion. I 213—214: ὅτι δὲ οὐκ ἀγνοοῦντες a. 315/1
ἔνιοι τῶν συγγραφέων τὸ ἔθνος ἡμῶν, ἀλλ' ὑπὸ φθόνου τινὸς ἢ δι' ἄλλας αἰτίας οὐχ ὑγιεῖς τὴν μνήμην παρέλιπον, τεκμήριον οἶμαι παρέξειν· Ἱερώνυμος γὰρ ὁ τὴν Περὶ τῶν διαδόχων ἱστορίαν συγγεγραφὼς κατὰ τὸν αὐτὸν μὲν ἦν Ἑκαταίωι (III) χρόνον, φίλος δ' ὢν Ἀντιγόνου τοῦ βασιλέως τὴν Συρίαν ἐπετρόπευεν (T 6)· ἀλλ' ὅμως Ἑκαταῖος μὲν καὶ βιβλίον ἔγραψεν περὶ ἡμῶν, Ἱερώνυμος δ' οὐδαμοῦ κατὰ τὴν ἱστορίαν ἐμνημόνευσε καίτοι σχεδὸν ἐν τοῖς τόποις διατετριφώς.

7 (3) [LUKIAN.] Macrob. 13: Μιθριδάτης δὲ ὁ Πόντου βασιλεὺς a. 302/1
ὁ προσαγορευθεὶς Κτίστης Ἀντίγονον τὸν μονόφθαλμον φεύγων ἐπὶ Πόντου ἐτελεύτησε βιώσας ἔτη τέσσαρα καὶ ὀγδοήκοντα, ὥσπερ Ἱερώνυμος ἱστορεῖ καὶ ἄλλοι συγγραφεῖς. s. F 3—4.

8 (4) — — 11: Ἀντίγονος δὲ ὁ Φιλίππου ὁ μονόφθαλμος βασι- a. 301
λεύων Μακεδόνων περὶ Φρυγίαν μαχόμενος Σελεύκωι καὶ Λυσιμάχωι τραύμασι πολλοῖς περιπεσὼν ἐτελεύτησεν ἐτῶν ἑνὸς καὶ ὀγδοήκοντα, ὥσπερ ὁ συστρατευόμενος αὐτῶι Ἱερώνυμος ἱστορεῖ.

9 (6) PAUS. I 9, 7: Λυσίμαχος δὲ καὶ ἐς πόλεμον πρὸς Πύρρον a. 285/
κατέστη τὸν Αἰακίδου· φυλάξας δὲ ἐξ Ἠπείρου ἀπιόντα, οἷα δὴ τὰ πολλὰ ἐκεῖνος ἐπλανᾶτο, τήν τε ἄλλην ἐλεηλάτησεν Ἤπειρον καὶ ἐπὶ τὰς θήκας ἦλθε τῶν βασιλέων. (8) τὰ δὲ ἐντεῦθεν ἐμοὶ ἐστιν οὐ πιστά, Ἱερώνυμος δὲ ἔγραψε Καρδιανὸς Λυσίμαχον τὰς θήκας τῶν νεκρῶν ἀνελόντα τὰ ὀστᾶ ἐκρῖψαι. ὁ δὲ Ἱερώνυμος οὗτος (T 11) ἔχει μὲν καὶ ἄλλως δόξαν πρὸς ἀπέχθειαν γράψαι τῶν βασιλέων πλὴν Ἀντιγόνου, τούτωι δὲ οὐ δικαίως χαρίζεσθαι· τὰ δὲ ἐπὶ τοῖς τάφοις τῶν Ἠπειρωτῶν παντάπασίν ἐστι φανερὸς ἐπηρείαι συνθείς, ἄνδρα Μακεδόνα θήκας νεκρῶν ἀνελεῖν. χωρὶς δὲ ἠπίστατο δή που καὶ Λυσίμαχος οὐ Πύρρου σφᾶς προγόνους μόνον ἀλλὰ καὶ Ἀλεξάνδρου τοὺς αὐτοὺς τούτους ὄντας· καὶ γὰρ Ἀλέξανδρος Ἠπειρώτης τε ἦν καὶ τῶν Αἰακιδῶν τὰ πρὸς μητρός, ἥ τε ὕστερον Πύρρου πρὸς Λυσίμαχον συμμαχία δηλοῖ καὶ πολεμήσασιν ἀδιάλλακτόν γε οὐδὲν πρὸς ἀλλήλους γενέσθαι σφίσι. τῶι δὲ Ἱερωνύμωι τάχα μέν που καὶ ἄλλα ἦν ἐς Λυσίμαχον ἐγκλήματα, μέγιστον δὲ ὅτι τὴν Καρδιανῶν πόλιν ἀνελὼν Λυσιμάχειαν ἀντ' αὐτῆς ὠκισεν ἐπὶ τῶι ἰσθμῶι τῆς Θραικίας χερρονήσου.

10 (4) [LUKIAN.] Macrob. 11: καὶ Λυσίμαχος δὲ Μακεδόνων a. 281
βασιλεὺς ἐν τῆι πρὸς Σέλευκον ἀπώλετο μάχηι ἔτος ὀγδοηκοστὸν τελῶν, ὡς ὁ αὐτός φησιν Ἱερώνυμος.

11 (7) PLUT. Pyrrh. 17, 7: (schlacht bei Herakleia) Διονύσιος μὲν a. 280
οὖν ὀλίγωι τῶν πεντακισχιλίων καὶ μυρίων ἐλάσσονας πεσεῖν ἱστορεῖ Ῥωμαίων, Ἱερώνυμος δὲ μόνους ἑπτακισχιλίους· τῶν δὲ περὶ Πύρρον ὁ

20 τὸν om L 27 ἐπηρείαι Siebelis —αν Paus 30 ἥ τε om L

μὲν Διονύσιος μυρίους καὶ τρισχιλίους, ὁ δὲ Ἱερώνυμος ἐλάττονας τῶν τετρακισχιλίων· κράτιστοι δὲ ἦσαν οὗτοι. καὶ τῶν φίλων ὁ Πύρρος καὶ τῶν στρατηγῶν οἷς μάλιστα χρώμενος διετέλει καὶ πιστεύων ἀπέβαλεν.

12 (8) PLUT. Pyrrh. 21, 7: ἐκ τούτου μάχης ἄλλης τῶν πραγμάτων a. 279 αὐτῶι δεομένων ἀναλαβὼν τὴν στρατιὰν ἐχώρει, καὶ περὶ Ἄσκλον πόλιν τοῖς Ῥωμαίοις συνάψας καὶ βιαζόμενος πρὸς χωρία δύσιππα καὶ ποταμὸν ὑλώδη καὶ τραχύν, ἔφοδον τῶν θηρίων οὐ λαβόντων, ὥστε προσμεῖξαι τῆι φάλαγγι, τραυματ⟨ί⟩ων πολλῶν γενομένων καὶ νεκρῶν πεσόντων, τότε μὲν διεκρίθη μέχρι νυκτὸς ἀγωνισάμενος. (8) τῆι δ' ὑστεραίαι στρατηγῶν δι' ὁμαλοῦ τὴν μάχην θέσθαι καὶ τοὺς ἐλέφαντας ἐν τοῖς ὅπλοις γενέσθαι τῶν πολεμίων, προέλαβε τὰς δυσχωρίας φυλακῆι, καὶ πολλὰ καταμείξας ἀκοντίσματα καὶ τοξεύματα τοῖς θηρίοις ἐπῆγε μετὰ ῥώμης καὶ βίας πυκνὴν καὶ συντεταγμένην τὴν δύναμιν. (9) οἱ δὲ Ῥωμαῖοι τὰς διακλίσεις καὶ τὰς ἀντιπαραγωγὰς τὰς πρότερον οὐκ ἔχοντες ἐξ ἐπιπέδου συνεφέροντο κατὰ στόμα· (10) καὶ σπεύδοντες ὥσασθαι τοὺς ὁπλίτας πρὶν ἐπιβῆναι τὰ θηρία, δεινοὺς περὶ τὰς σαρίσας τῶν ξιφῶν ἀγῶνας εἶχον, ἀφειδοῦντες ἑαυτῶν καὶ ⟨πρὸς⟩ τὸ τρῶσαι καὶ καταβαλεῖν ὁρῶντες, τὸ δὲ παθεῖν εἰς οὐδὲν τιθέμενοι. (11) χρόνωι δὲ πολλῶι λέγεται μὲν ἀρχὴ τροπῆς κατ' αὐτὸν γενέσθαι τὸν Πύρρον ἐπερείσαντα τοῖς ἀντιτεταγμένοις, τὸ δὲ πλεῖστον ἀλκῆι καὶ βίαι τῶν ἐλεφάντων κατειργάσατο, χρήσασθαι τῆι ἀρετῆι πρὸς τὴν μάχην τῶν Ῥωμαίων μὴ δυναμένων, ἀλλ' οἷον ἐφόδωι κύματος ἢ σεισμοῦ κατερείποντος οἰομένων δεῖν ἐξίστασθαι μηδὲ ὑπομένειν ἀπράκτους ἀποθνήισκειν, ἐν τῶι μηδὲν ὠφελεῖν πάντα πάσχοντας τὰ χαλεπώτατα. (12) *τῆς δὲ φυγῆς οὐ μακρᾶς εἰς τὸ στρατόπεδον γενομένης ἑξακισχιλίους ἀποθανεῖν φησι τῶν Ῥωμαίων Ἱερώνυμος, τῶν δὲ περὶ Πύρρον ἐν τοῖς βασιλικοῖς ὑπομνήμασιν* (229 F 2) *ἀνενεχθῆναι τρισχιλίους πεντακοσίους καὶ πέντε τεθνηκότας.*

13 (8) DION. HAL. AR I 5, 4: οὐδεμία γὰρ ἀκριβὴς ἐξελήλυθε a. 280/79 περὶ αὐτῶν (sc. τῶν Ῥωμαίων) Ἑλληνὶς ἱστορία μέχρι τῶν καθ' ἡμᾶς χρόνων, ὅτι μὴ κεφαλαιώδεις ἐπιτομαὶ πανὺ βραχεῖαι. (6, 1) πρώτου μέν, ὅσα κἀμὲ εἰδέναι, τὴν Ῥωμαικὴν ἀρχαιολογίαν ἐπιδραμόντος Ἱερωνύμου τοῦ Καρδιανοῦ συγγραφέως ἐν τῆι Περὶ τῶν Ἐπιγόνων πραγματείαι· ἔπειτα Τιμαίου (III) .....

14 (9) PLUT. Pyrrh. 27, 8: ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς (des von a. 272 den Lakedaimoniern gegen Pyrrhos aufgeworfenen grabens) πήχεων ἓξ, τὸ δὲ βάθος τεττάρων, τὸ δὲ μῆκος ὀκτάπλεθρον, ὡς ἱστορεῖ Φύλαρχος (81 F 48), ὡς δ' Ἱερώνυμος, ἔλαττον.

8 τραυμάτων Jac 17 ⟨πρὸς⟩ Ziegler 20 κατειργάσατο Reiske —αντο Pl —αστο? 24 μακρὰν Ziegler 33 ἐπιγόνων: ἐπειγομένων B

**15** (10) PAUS. I 13, 7: *ὑπὸ δὲ τοῦτον τὸν χρόνον καὶ τὴν τοῦ* a. 272
*πολέμου τοῦ Λακωνικοῦ τριβὴν Ἀντίγονος τὰς πόλεις τῶν Μακεδόνων ἀνασωσάμενος ἠπείγετο ἐς Πελοπόννησον οἷα ἐπιστάμενος Πύρρον, ἢν Λακεδαίμονα καταστρέψηται καὶ Πελοποννήσου ⟨τὰ⟩ πολλά, οὐκ ἐς Ἤπειρον ἀλλ' ἐπί τε Μακεδονίαν αὖθις καὶ τὸν ἐκεῖ πόλεμον ἥξοντα μέλλοντος δὲ Ἀντιγόνου τὸν στρατὸν ἐξ Ἄργους ἐς τὴν Λακωνικὴν ἄγειν, αὐτὸς ἐς τὸ Ἄργος ἐληλύθει Πύρρος. κρατῶν δὲ καὶ τότε συνεσπίπτει τοῖς φεύγουσιν ἐς τὴν πόλιν καί οἱ διαλύεται κατὰ τὸ εἰκὸς ἡ τάξις.* (8) *μαχομένων δὲ πρὸς ἱεροῖς ἤδη καὶ οἰκίαις καὶ κατὰ τοὺς στενωποὺς καὶ κατ' ἄλλο ἄλλων τῆς πόλεως, ἐνταῦθα ὁ Πύρρος ἐμονώθη καὶ τιτρώσκεται τὴν κεφαλήν. κεράμωι δὲ βληθέντα ὑπὸ γυναικὸς τεθνάναι φασὶ Πύρρον· Ἀργεῖοι δὲ οὐ γυναῖκα τὴν ἀποκτείνασαν, Δήμητρα δέ φασιν εἶναι γυναικὶ εἰκασμένην. ..... (9) .... διάφορα δὲ ὅμως ἐστὶ καὶ ταῦτα ὧν Ἱερώνυμος ὁ Καρδιανὸς ἔγραψεν· ἀνδρὶ γὰρ βασιλεῖ συνόντα ἀνάγκη πᾶσα ἐς χάριν συγγράφειν. εἰ δὲ καὶ Φίλιστος* (III) *αἰτίαν δικαίαν εἴληφεν, ἐπελπίζων τὴν ἐν Συρακούσαις κάθοδον, ἀποκρύψασθαι τῶν Διονυσίου τὰ ἀνοσιώτατα, ἢ που πολλή γε Ἱερωνύμωι συγγνώμη τὰ ἐς ἡδονὴν Ἀντιγόνου γράφειν.*

**16** (5) STRAB. VIII 6, 21: *τὴν δὲ τοποθεσίαν τῆς πόλεως* (sc. *Κορίν-* a. 303/2?
*θου*), *ἐξ ὧν Ἱερώνυμός τε εἴρηκε καὶ Εὔδοξος* (V) *καὶ ἄλλοι, καὶ αὐτοὶ δὲ εἴδομεν, νεωστὶ ἀναληφθείσης ὑπὸ τῶν Ῥωμαίων, τοιάνδε εἶναι συμβαίνει. ὄρος ὑψηλὸν ὅσον τριῶν ἡμισυ σταδίων ἔχον τὴν κάθετον, τὴν δ' ἀνάβασιν καὶ τριάκοντα σταδίων, εἰς ὀξείαν τελευτᾶι κορυφήν· καλεῖται δὲ Ἀκροκόρινθος, οὗ τὸ μὲν πρὸς ἄρκτον μέρος ἐστὶ τὸ μάλιστα ὀρθιον, ὑφ' ὧι κεῖται ἡ πόλις ἐπὶ τραπεζώδους ἐπιπέδου χωρίου πρὸς αὐτῆι τῆι ῥίζηι τοῦ Ἀκροκορίνθου. αὐτῆς μὲν οὖν τῆς πόλεως ὁ κύκλος καὶ τεσσαράκοντα σταδίων ὑπῆρχεν, ἑτετείχιστο δ' ὅσον τῆς πόλεως γυμνόν ἦν τοῦ ὄρους· συμπεριείληπτο δὲ τῶι περιβόλωι τούτωι καὶ τὸ ὄρος αὐτὸ ὁ Ἀκροκόρινθος, ἧι δυνατὸν ἦν τειχισμὸν δέξασθαι ... ὥσθ' ἡ πᾶσα περίμετρος ἐγίνετο περὶ πέντε καὶ ὀγδοήκοντα σταδίων. ἀπὸ δὲ τῶν ἄλλων μερῶν ἧττον ὀρθιόν κορυφὴ ναΐδιον ἔχει Ἀφροδίτης, ὑπὸ δὲ τῆι κορυφῆι τήν τε Πειρήνην εἶναι συμβαίνει κρήνην, ἔκρυσιν μὲν οὐκ ἔχουσαν, μεσιὴν δ' ἀεὶ διαυγοῦς καὶ ποτίμου ὕδατος. φασὶ δὲ καὶ ἐνθένδε καὶ ἐξ ἄλλων ὑπονόμων τινῶν φλεβίων συνθλίβεσθαι τὴν πρὸς τῆι ῥίζηι τοῦ ὄρους κρήνην, ἐκρέουσαν εἰς τὴν πόλιν, ὥσθ' ἱκανῶς ἀπ' αὐτῆς ὑδρεύεσθαι. ἔστι δὲ καὶ φρεάτων εὐπορία κατὰ τὴν πόλιν, λέγουσι δὲ καὶ κατὰ τὸν Ἀκροκόρινθον ..... τοῦ δ' οὖν Εὐριπίδου* (F 1084) *φήσαντος οὕτως· 'ἥκω περίκλυστον προλιποῦσ' Ἀκροκόρινθον ἱερὸν ὄχθον πόλιν Ἀφροδίτας,' τὸ περίκλυστον ἤτοι κατὰ βάθους δεκτέον, ἐπεὶ καὶ φρέατα καὶ ὑπόνομοι λιβάδες διήκουσι δι' αὐτοῦ, ἢ τὸ παλαιὸν ὑπολειπτέον τὴν Πειρήνην ἐπιπολάζειν καὶ κατάρρυτον ποιεῖν τὸ ὄρος. ἐνταῦθα δέ φασι πίνοντα τὸν Πήγασον ἁλῶναι ὑπὸ Βελλεροφόντου, πτηνὸν*

4 τὰ add V 14 ὧν Clavier ὡς Paus ἄνδρα Facius 16 εἰς Συρακούσας Hitzig 17 τῶν ς τὴν cett 30 μέντοι ⟨καὶ⟩ Corais μὲν τὸ Str 31 τε om E 37 [πόλιν] Valckenaer 38 δεκτέον Casaubonus λεκτέον Str

ἵππον ἐκ τοῦ τραχήλου τοῦ Μεδούσης ἀναπαλέντα κατὰ τὴν Γοργοτομίαν· τὸν δ' αὐτὸν φασι καὶ τὴν Ἵππου κρήνην ἀναβαλεῖν ἐν τῶι Ἑλικῶνι, πλήξαντα τῶι ὄνυχι τὴν ὑποπεσοῦσαν πέτραν. ὑπὸ δὲ τῆι Πειρήνηι τὸ Σισύφειόν ἐστιν, ἱεροῦ τινὸς ἢ βασιλείου λευκῶι λίθωι πεποιημένου διασῶζον ἐρείπια οὐκ ὀλίγα. ἀπὸ δὲ τῆς κορυφῆς πρὸς ἄρκτον μὲν ἀφορᾶται ὅ τε Παρνασσὸς καὶ ὁ Ἑλικών, ὄρη ὑψηλὰ καὶ νιφόβολα, καὶ ὁ Κρισσαῖος κόλπος ὑποπεπτωκὼς ἀμφοτέροις, περιεχόμενος ὑπό τῆς Φωκίδος καὶ τῆς Βοιωτίδας καὶ τῆς Μεγαρίδος καὶ τῆς ἀντιπόρθμου τῆι Φωκίδι Κορινθίας καὶ Σικυωνίας· πρὸς ἑσπέραν δὲ * * ὑπέρκειται δὲ τούτων ἁπάντων τὰ καλούμενα Ὄνεια ὄρη, διατείνοντα μέχρι Βοιωτίας καὶ Κιθαιρῶνος ἀπὸ τῶν Σκειρωνίδων πετρῶν, ἀπὸ τῆς παρὰ ταύτας ὁδοῦ πρὸς τὴν Ἀττικήν.

17 (11) STRAB. IX 5, 22: Ἱερώνυμος δὲ τῆς πεδιάδος Θετταλίας a. 303/2 καὶ Μαγνήτιδος τὸν κύκλον τρισχιλίων ἀποφαίνεται σταδίων· ὠικῆσθαι δ' ὑπὸ Πελασγῶν, ἐξελαθῆναι δὲ τούτους εἰς τὴν Ἰταλίαν ὑπὸ Λαπιθῶν. εἶναι δὲ τὸ νῦν καλούμενον Πελασγικὸν πεδίον, ἐν ⟨ὧι⟩ Λάρισα καὶ Γυρτώνη καὶ Φεραὶ καὶ Μόψιον καὶ Βοιβηὶς καὶ Ὄσσα καὶ Ὁμόλη καὶ Πήλιον καὶ Μαγνῆτις. Μόψιον δ' ὠνόμασται οὐκ ἀπὸ Μόψου τοῦ Μαντοῦς τῆς Τειρεσίου, ἀλλ' ἀπὸ τοῦ Λαπίθου τοῦ συμπλευσαντος τοῖς Ἀργοναύταις· ἄλλος δ' ἐστὶ Μόψος, ἀφ' οὗ ἡ Ἀττικὴ Μοψοπία.

18 (12) — X 4, 3: Ἱερώμυμος δέ, μῆκος (sc. τῆς Κρήτης) δισχιλίων φήσας, τὸ δὲ πλάτος ἀνώμαλον, πλειόνων ἂν εἴη λέγων τὸν κύκλον ἢ ὅσων Ἀρτεμίδωρος (V). s. 244 F 206.

### Zweifelhaftes.

19 (—) PHILODEM. *Περὶ τῶν Στωικ.* VI: ... α .. πολλάκις ἐξ [.... Κλεάν]θην. ἃ γὰρ λέγομεν, Ἱερώνυμός τε μαρτυρεῖ κ[αὶ] ὁ Χαλκιδεὺς Εὔφαντος (74 F 3), ἔτι δ' Ἡγήμων ὁ Ἀθηναῖος (?) .....

---

## —. NYMPHIS VON HERAKLEIA.

*ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙ ΤΩΝ ΔΙΑΔΟΧΩΝ ΚΑΙ ΕΠΙΓΟΝΩΝ ΚΔ.*

s. III u. Herakleia.

---

## 155. ANONYME DIADOCHENGESCHICHTE (?).

(HEIDELBERGER EPITOME)

F

1 Ὅτι Ἀλεξάνδρου τελευτήσαντος ἐναπελείφθησαν αἱ γυναῖκες αὐτοῦ a. 323 καὶ παῖς ἀτελής, ὃν ἐγέννησεν ἐκ τῆς Ῥωξάνης. στασιαζόντων δὲ τῶν περὶ

---

1 τῆς *Μεδούσης* B 8 πρὸς ἑσπέραν δὲ om E * * Kramer 10 καὶ τῆς Pleth 18 τῶν *Πελασγῶν* B τὴν om BE Ἰταλίαν $A^1$ αἰτωλίαν $A^2$BE 14 ⟨ὧι⟩ Politus 15 φεραῖς A (comp) BE 16 ὠνομάσθαι Groskurd τοῦ *Μάντους* τῆς Kuhn τοῦ *μάντεως* τοῦ Str 18 *Μόψος* Str E Steph Byz s. *Μόψιον Μόψοπος* Casaubonus 21 ὅσων Corais ὅσον Str

αὐτὸν περὶ τῆς βασιλείας ἐτάχθη βασιλεύειν ὁ ὁμοπάτριος ἀδελφὸς Ἀλεξάνδρου ὁ Ἀρριδαῖος, ὁ καὶ Φίλιππος ὕστερον ὀνομασθείς, μέχρις οὗ φθάσηι εἰς ἀνήκουσαν ἡλικίαν ὁ Ἀλεξάνδρου παῖς. (2) ἐπεὶ δὲ ἦν νωθρὸς ὁ Ἀρριδαῖος, ἔτι δὲ καὶ ἐπιληπτικός, ἠιρέθη ἐπίτροπος καὶ ἐπιμελητὴς τῶν βασιλικῶν πραγμάτων ὁ Περδίκκας, ὧι δέδωκεν ὁ Ἀλέξανδρος τελευτῶν τὸν ἑαυτοῦ δακτύλιον ὡς πιστοτέρωι τῶν ἄλλων στρατηγῶν. ὃς συνδιασκεψάμενος δέδωκεν ἑκάστωι στρατηγῶι σατραπείαν διεξάγειν, μερίσας ἁπάσας οὔσας πλείους τῶν κδ. (3) ἀπελθόντες δὲ οὕτως εἰς τὰς ὁρισθείσας ἑκάστωι σατραπείας ἤρξαντο ὑπερβάθμιον τείνειν πόδα ὡς ἠδύνατο ἕκαστος. ὅθεν μεγάλας δυνάμεις λαβὼν ὁ Περδίκκας ἀπῆλθεν εἰς Αἴγυπτον πολεμήσων Πτολεμαίωι. ἔνθα καὶ ἐπιβουλευθεὶς ἐφονεύθη ὑπὸ τῶν ἑαυτοῦ οἰκείων. (4) εἶτα διεδέξατο τὴν ἐπιμέλειαν τῶν βασιλέων ὁ Ἀντίπατρος, ὃς καὶ αὐτὸς συνδιασκεψάμενος ἐνήλλαξε τὰς δοθείσας παρὰ τοῦ Περδίκκου σατραπείας ἄλλην ἄλλωι δούς, πλὴν Πτολεμαίου καὶ Λυσιμάχου· τούτους γὰρ οὐκ ἠδυνήθη μεταστῆσαι. δέδωκε δὲ ἄλλοις μὲν ἄλλας, Ἀντιγόνωι δὲ τὴν Σουσιανὴν σατραπείαν, Σελεύκωι δὲ τὴν τῆς Βαβυλῶνος· τὸν δὲ ἑαυτοῦ υἱὸν Κάσανδρον ἀπέδειξε χιλίαρχον. (5) εἶτα μετὰ καιρὸν τελευτήσαντος καὶ τοῦ Ἀντιπάτρου διεδέξατο τὴν ἐπιτροπὴν καὶ ἐπιμέλειαν a. 319
τῶν βασιλικῶν πραγμάτων ὁ Πολυσπέρχων, ἐφ' οὗ ἡ Ὀλυμπιὰς ἐδολοφόνησε a. 317
τὸν Ἀρριδαῖον καὶ τὴν γυναῖκα αὐτοῦ Εὐρυδίκην. (6) εἶτα ὁ Κάσανδρος μισθωσάμενός τινας τῶν βασιλικῶν διακόνων ἐδολοφόνησε τήν τε Ὀλυμπιάδα καὶ Ῥωξάνην καὶ τὸν υἱὸν αὐτῆς τὸν Ἀλέξανδρον τὸν υἱὸν Ἀλεξάνδρου, ὃς ἔμελλεν εἶναι διάδοχος τῆς ὅλης βασιλείας. ἐγένετο δὲ ταῦτα ἐν Μακεδονίαι [[τῆς Ὀλυμπιάδος τῆς μητρὸς Ἀλεξάνδρου]]. (7) ἐντεῦθεν σύγχυσις ἐγένετο τῶν σατραπειῶν, καὶ ἐπεβούλευον ἄλλοι ἄλλοις καὶ προσετίθουν ταῖς ἑαυτῶν καὶ μείζονας περιεβάλλοντο δυνάμεις οἱ πανουργότεροι καὶ ἐφόνευον τοὺς ἀσθενεστέρους. ἐμεγαλύνθη δὲ ὑπὲρ τοὺς πολλοὺς ὁ Ἀντίγονος μετὰ τοῦ αὐτοῦ υἱοῦ τοῦ Πολιορκητοῦ Δημητρίου. διὸ καὶ a. 306
ὠνόμασεν ἑαυτὸν βασιλέα καὶ ἐφόρεσε διάδημα. ἰδόντες δὲ καὶ οἱ ἕτεροι, ὅσοι οὐκ ἠλαττοῦντο αὐτοῦ, ἐφόρεσαν κἀκεῖνοι διάδημα καὶ ὠνόμασαν ἑαυτοὺς βασιλεῖς, ὅ τε Πτολεμαῖος ἐν Αἰγύπτωι καὶ Συρίαι καὶ ὁ Λυσίμαχος ἐν Θράικηι καὶ ὁ Σέλευκος ἐν Βαβυλῶνι, ὃς ἀποθανόντος Ἀντιγόνου ἦρξε πάσης Ἀσίας· καὶ κατὰ διαδοχὴν οἱ αὐτοῦ υἱοί. a. 305 a. 301

2 ὅτι τὸ σῶμα τοῦ Ἀλεξάνδρου μετὰ θάνατον κατήγαγον οἱ Μακε-

---

6 *πιστότερον* P 16 *Ἀντιγόνωι*: richtig *Ἀντιγένει* 19—20 *ἐφ' οὗ — Εὐρυδίκην* von gleicher hand über einer rasur von etwa 28 buchstaben 21—22 *ἐδολοφόνησε — καὶ* über einer rasur von etwa 11 buchstaben 24 *Μακεδονίαι*: *νίαι* über rasur von 8 buchstaben (in der Bauer als ursprünglich *ἀπολλυμένης καὶ* vermutet); *τῆς — Ἀλεξάνδρου* nachträglich gestrichen; *ἐν Μακεδονίαι* ⟨*ἀποθανούσης*⟩ Reitzenstein 32—33 *ὃς — υἱοί* nachträglich hinzugefügt 34 *μετὰ* ⟨*τὸν*⟩ Reitzenstein

δόνες εἰς Ἀλεξάνδρειαν ἐκ Βαβυλῶνος, κοσμήσαντες αὐτὸ πάνυ πολυτελῶς a. 322/1
καὶ πλείστου χρυσοῦ καὶ ἀργύρου περιθέντες ἀναλώματα καὶ καλλωπισμόν· κατήγαγον δὲ μετὰ πολλῆς καὶ πεπληθυσμένης δορυφορίας. (2) εἶτα ἐκεῖθεν διεβίβασαν εἰς Μακεδονίαν τὴν Ῥωξάνην μετὰ τοῦ σὺν Ἀλεξάνδρωι a. 321
γενομένου αὐτῆι παιδὸς ὀνομαζομένου Ἀλεξάνδρου καὶ αὐτοῦ. διεβίβασαν δὲ καὶ Φίλιππον τὸν Ἀρριδαῖον, ὃς βασιλεύσας ὑπὸ ἐπιτρόποις ἔτη ϛ καὶ μῆνας η̄ ἐφονεύθη μετὰ τῆς γυναικὸς αὐτοῦ Εὐρυδίκης ἀπηνῶς παρὰ τῆς a. 317
[[Κλεοπάτρας]] μητρυιᾶς αὐτοῦ τῆς Ὀλυμπιάδος. (3) ὕστερον δὲ μετὰ καιρὸν a. 316; 311
ὀλίγον ἐφονεύθη καὶ αὐτὴ ἡ Ὀλυμπιὰς σὺν τῆι νύμφηι Ῥωξάνηι καὶ τῶι ἐγγόνωι Ἀλεξάνδρωι ἀπηνῶς παρὰ τοῦ υἱοῦ τοῦ Ἀντιπάτρου τοῦ Κάσανδρου.
(4) ὃς Κάσανδρος μετὰ τοὺς τοιούτους φόνους ἔγημε τὴν Θεσσαλονίκην τὴν ὁμο- a. 316/5
πάτριον ἀδελφὴν τοῦ μεγάλου Ἀλεξάνδρου, ἥτις Θεσσαλονίκη ἔκτισεν ὕστερον τὴν Θεσσαλονίκην· ὁ δὲ ἀνὴρ αὐτῆς ὁ Κάσανδρος ἔκτισεν τὴν Κασάνδρειαν.

3 ὅτι ὁ Εὐμένης σοφὸς ὢν ἐκ τῶν στρατηγῶν καὶ διαδόχων Ἀλεξάνδρου ἐτήρησε στοργὴν ἀδολωτάτην πρὸς τὸν Ἀλέξανδρον καὶ τεθνεῶτα, καὶ ἐπολέμησεν πολλάκις πρὸς τοὺς ἐπεμβαίνοντας τοῖς βασιλικοῖς πράγμασι, καὶ ἐνίκησε μεγάλους πολέμους καὶ στρατηγοὺς μεγάλους ἐκ τῶν Μακεδόνων. (2) εἶτα ἐπεὶ ὁ Ἀντίγονος πλεονεκτῶν καὶ αὐξανόμενος ἐβούλετο νοσφίζεσθαι καὶ τὸ τῆς βασιλείας ὄνομα, ἐδεήθησαν οἱ βασιλεῖς τοῦ Εὐμένους εἰς βοήθειαν ἥ τε Ὀλυμπιὰς καὶ ὁ Ἀρριδαῖος ὁ Φίλιππος καὶ ἡ Ῥωξάνη διὰ γραμμάτων βασιλικῶν. ὃς καὶ ἐπικαμφθεὶς ταῖς ἐκείνων δεήσεσιν ἀνῆλθεν εἰς τὰς ἐπέκεινα τῆς Βαβυλωνίας σατραπείας, καὶ συναγαγὼν μεγάλας ἐκεῖθεν δυνάμεις ἐπολέμησε τῶι Ἀντιγόνωι. καὶ δὶς καὶ τρὶς καὶ νενίκηκε, τάχα δ' ἂν καὶ ἐς τὸ παντελὲς ἠφάνιζεν, εἰ μή τινες τῶν περὶ αὐτὸν φίλων ἐπιβουλεύσαντες συνέλαβον καὶ δεδώκασι τῶι Ἀντιγόνωι. τούτου a. 316
δὲ γενομένου ηὐξήθη ἐς μέγιστον ὁ Ἀντίγονος καὶ ἦν τοῖς ὅλοις ἀπρόσμαχος.

4 ὅτι νικήσας, ὡς εἴρηται, ὁ Πτολεμαῖος ἐν Αἰγύπτωι τὸν Περδίκκαν a. 321
ἔλαβε τὰ αὐτοῦ στρατεύματα ὅσα ἤθελεν, ἔλαβε δὲ καὶ τὴν αὐτοῦ γυναῖκα Κλεοπάτραν τὴν ὁμοπάτριον ἀδελφὴν τοῦ μεγάλου Ἀλεξάνδρου καὶ εἶχεν αὐτὴν εἰς γάμου κοινωνίαν σὺν ταῖς ἄλλαις αὐτοῦ γυναιξίν. ἦν δὲ ἡ Κλεοπάτρα αὕτη θυγάτηρ μὲν τοῦ Φιλίππου, ἀλλ' ἐξ ἄλλης γυναικός, Κλεοπάτρας κἀκείνης λεγομένης.

---

## 156. ARRIANOS VON NIKOMEDEIA.

### T

1 SUID. s. Ἀρριανός· Νικομηδεύς· φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμηι ἐπὶ Ἀδριανοῦ καὶ Μάρκου καὶ Ἀντωνίνου

8 Κλεοπάτρας durchstrichen 20 ἀριδαῖος P 28 ἤθελεν über ἔχοηζε P
36 [καὶ Μάρκου] Bernhardy καὶ ⟨Ἀντωνίνου καὶ⟩ Μάρκου τοῦ Ἀντωνίνου (s. T 2) Jac

τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

2 PHOT. Bibl. 58 p. 17 a 25: ἀνεγνώσθη Ἀρριανοῦ Παρθικὰ ἐν βιβλίοις ιζ. οὗτος δὲ συντάττει πάντων ἄμεινον καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα, ἔτι δὲ καὶ ἄλλην πραγματείαν, τὰ πάτρια τῆς Βιθυνίας, ἐξ ἧς καὶ αὐτὸς ἔφυ, ἐπιγράψας τὸ βυβλίον Βιθυνιακά (F 14—28). συγγράφεται δὲ καὶ τὰ κατὰ Ἀλανούς, ἣν ἐπέγραψεν Ἀλανικήν (F 12—13). διέρχεται δὲ ἐν ταύτῃ τῇι πραγματείαι .... (s. F 30). οὗτος ὁ Ἀρριανὸς φιλόσοφος μὲν ἦν τὴν ἐπιστήμην, εἷς τῶν ὁμιλητῶν Ἐπικτήτου, κατὰ δὲ τοὺς χρόνους Ἀδριανοῦ καὶ Ἀντωνίνου τοῦ Πίου καὶ Μάρκου τοῦ Ἀντωνίνου ἐγνωρίζετο. ἐπωνόμαζον δὲ αὐτὸν Ξενοφῶντα νέον. διὰ δὲ τὸ τῆς παιδείας ἐπίσημον ἄλλας τε πολιτικὰς ἀρχὰς ἐπιστεύθη καὶ εἰς τὸ τῶν ὑπάτων ἀνέβη τέλος. ἔγραψε δὲ βιβλία καὶ ἕτερα· τῶν μὲν διατριβῶν Ἐπικτήτου τοῦ διδασκάλου ὅσα ἴσμεν βιβλία ὀκτώ, τῶν δὲ ὁμιλιῶν τοῦ αὐτοῦ Ἐπικτήτου βιβλία δώδεκα. ἰσχνὸς δὲ τὴν φράσιν ἐστὶν καὶ μιμητὴς ὡς ἀληθῶς Ξενοφῶντος. (φασὶ δὲ αὐτὸν καὶ ἕτερα γράψαι, ἃ οὔπω εἰς ἡμετέραν ἀφίκετο γνῶσιν). δῆλον δὲ ὡς οὐδὲ ῥητορικῆς σοφίας τε καὶ δυνάμεως ἀπελείπετο.

3 EUSEB. Chron. ol. 232, 1; 149/50 (HIERON. p. 203, 3 Helm; SYNKELL. p. 662, 18 Bonn): Ἀρριανὸς φιλόσοφος Νικομηδεὺς στρατηγὸς ἐγνωρίζετο. s. T 6 b.

4 a) PHOT. Bibl. 93 p. 73 a 35: (F 14 p. 855, 7) Νικομήδειον γάρ τι τὸ γένος αὐτοῦ ἐν ταύτῃ τῇι συγγραφῇι (den Bithyniaka) διορίζει, ἐν αὐτῇι τε γεννηθῆναι καὶ τραφῆναι καὶ παιδευθῆναι, καὶ ἱερέα τῆς Δήμητρος καὶ τῆς παιδὸς αὐτῆς, αἷς καὶ τὴν πόλιν ἀνακεῖσθαί φησιν, χρηματίσαι. μέμνηται δὲ ἐν ταύτῃ τῇι συγγραφῇι καὶ ἑτέρων πραγματειῶν, ὧν ἡ μὲν ὅσα Τιμολέοντι τῶι Κορινθίωι κατὰ Σικελίαν ἐπράχθη διαλαμβάνει (p. 851), ἡ δὲ τὰ Δίωνι τῶι Συρακουσίωι ὅσα ἀξιαφήγητα ἔργα ἐπετελέσθη, ἡνίκα τὰς Συρακούσας καὶ πᾶσαν Σικελίαν ἀπὸ τοῦ δευτέρου Διονυσίου, ὃς ἦν παῖς τοῦ πρωτέρου, ἠλευθέρου καὶ τῶν βαρβάρων, οὓς ὑπὲρ τοῦ βεβαίως τυραννεῖν Διονύσιος ἐπηγάγετο. φαίνεται δὲ τετάρτην γράφων τὴν τῆς πατρίδος ἀφήγησιν· μετὰ γὰρ τὰ περὶ Ἀλέξανδρον καὶ Τιμολέοντα καὶ Δίωνα, μετὰ τὰς περὶ αὐτοὺς ἱστορίας, ἥδε αὐτῶι ἡ συγ-

4 die kollationen der Marciani AM von Phot. Bibl. cod. 58, 92, 93 verdanke ich Edgar Martini. ἀρειανοῦ M (ὄ.) 16 δὲ in ras. $A^2$ 17—18 φασὶ — γνῶσιν randbemerkung des Photios? gehört hinter δώδεκα v. 16 19 ἀπελίγὰρ A (γὰρ $A^2$?) μετά τε M 33—34 τὰ περὶ — μετὰ om A [μετὰ τὰς π. αὐ. ἱστορίας] Bekker

γραφὴ ἐξεπονήθη .... (F 14 p. 855, 11). b) STEPH. BYZ. s. *Νικομήδεια· πόλις Βιθυνίας ... ἐξ ἧς Ἀρριανός.*

5 CASS. DIO LXIX 15 (a. 134?): *ὁ μὲν οὖν τῶν Ἰουδαίων πόλεμος ἐς τοῦτο ἐτελεύτησεν, ἕτερος δὲ ἐξ Ἀλανῶν — εἰσὶ δὲ Μασσαγέται — ἐκινήθη ὑπὸ Φαρασμάνου· καὶ τὴν μὲν Ἀλβανίδα καὶ τὴν Μηδίαν ἰσχυρῶς ἐλύπησε, τῆς δ' Ἀρμενίας τῆς τε Καππαδοκίας ἁψάμενος, ἔπειτα τῶν Ἀλανῶν τὰ μὲν δώροις ὑπὸ τοῦ Οὐολογαίσου πεισθέντων, τὰ δὲ καὶ Φλάουιον Ἀρριανὸν τὸν τῆς Καππαδοκίας ἄρχοντα φοβηθέντων, ἐπαύσατο.* F 37.

6 a) ARRIAN. Kyneg. 1, 4: *δμώνυμός τε ὢν αὐτῷ* (sc. *Ξενοφῶντι*) *καὶ πόλεως τῆς αὐτῆς καὶ ἀμφὶ ταὐτὰ ἀπὸ νέου ἐσπουδακώς, κυνηγέσια καὶ στρατηγίαν καὶ σοφίαν.* b) IG III 1116 (a. 147/8?): [*ἄρχοντος*] *Φλ(αουίου) Ἀρριανοῦ Παιανιέος.* c) IG III 1029 (165/6—167/8); 1032 (169/70—174/5): *οἱ πρυτάνεις τῆς Πανδιονίδος φυλῆς .... Παιανιεὶς· Φλ. Ἀρριανός.*

7 PHOT. Bibl. 92 p. 72 b 40: *ἔστι μὲν οὖν ὁ ἀνὴρ οὐδενὸς τῶν ἄριστα συνταξαμένων ἱστορίας δεύτερος· ἀπαγγεῖλαι τε γὰρ καὶ μετὰ συντομίας κράτιστος καὶ παρεκτροπαῖς ἀκαίροις οὐδὲ παρενθήκαις τὸ συνεχὲς τῆς ἱστορίας οὐδαμοῦ λυμαινόμενος, καινοπρεπὴς δὲ συνθήκῃ λόγου μᾶλλον ἢ λέξει, καὶ οὕτως ὥστε μὴ ἂν ἄλλως μήτε σαφέστερον μήτε ἐναργέστερον τὸ διήγημα δηλωθῆναι. εὐσήμοις δὲ καὶ εὐήχοις καὶ τῶν τῶν λέξεων ἀποκεχρημένος στρογγύλοις καὶ τὸ λεῖον ἔχει τῶι μεγέθει συγκιρνάμενον. καὶ ἡ καινότης τῶν λέξεων οὐχὶ εἰς τὸ πόρρω νεωτερίζεται, ἀλλ' ἐγγιστά τε καὶ εἰς τὸ ἐμφαντικώτατον, ὡς σχηματισμὸν εἶναι λέξεως ἀλλ' οὐχὶ ἐναλλαγὴν συνήθους ὀνόματος. διὸ καὶ τὸ σαφὲς συνεφέλκεται οὐκ ἐν τούτωι μόνον, ἀλλὰ κἂν τῆι διασκευῆι καὶ τάξει καὶ καταστάσει μάλιστα τοῦ διηγήματος, ὅπερ ἐστὶ καὶ τῆς σαφηνείας τὸ ἔντεχνον· ἡ γάρ τοι χρῆσις ἡ κατὰ τὰς εὐθείας τῶν περιόδων καὶ τοῖς ἰδιώταις πρόσεστι μάλιστα καὶ εἰς ὑπτιότητα καὶ ταπεινότητα λίαν καταβιβάζει τὸν λόγον, ἄκρατος μάλιστα γινομένη, ὅπερ οὗτος, εἰ καὶ τοῦ σαφοῦς εἶναι δοκεῖ, οὐ προσήκατο. καὶ τῶι ἐλλείποντι δὲ τῶν τρόπων οὕτω κέχρηται, οὐ κατὰ τὰς περιοδικὰς ἐλλείψεις τοῦτο ποιῶν, ἀλλὰ κατά γε τὰς τῶν λέξεων, ὥστε μηδ' ἐλλείπειν διδόναι συναίσθησιν· καὶ εἴ τις τὸ λεῖπον ἐπιχειροίη προσθεῖναι, εἰς τὸ παρέλκον ἂν ἐπιτεῖναι δόξαι, ἀλλὰ μὴ τοῦ ἐλλιποῦς ἐξευρεῖν τὴν ἀναπλήρωσιν. ἄριστα δὲ αὐτοῦ καὶ*

4 *ἀλανῶν* VCU$^{r}$ Zon A *ἀλβανῶν* V$^{s}$ Zon BCE$^{o}$ 5 *καὶ τὴν — Μηδίαν* U$^{r}$ *καὶ τὴν Ἀλβ. καὶ τὴν μηιδα* VBM (*μηδίαν* V$^{2}$) *τὴν μὲν Μηδίαν* VC 7 *ἀλανῶν* VC Zon A U$^{r}$VBM *ἀλβανῶν* V$^{s}$B$^{1}$ Zon BCE$^{o}$ *βολογαίσου* U$^{r}$ 8—9 *ἐπαύσατο* VC Zon A U$^{r}$VBM *ἀλβανῶν* V$^{s}$B$^{1}$ Zon BCE$^{o}$ *βολογαίσου* U$^{r}$ 8—9 *ἐπαύσατο* VC Zon A U$^{r}$VBM *ἀλβανῶν* V$^{s}$B$^{1}$ Zon BCE$^{o}$ 24 *ἐμφαντικώτατον* A (*ν* add A$^{1}$?) M 26 *ἀλλ' ἐν* M Zon *—αντο* VCU$^{r}$

τὸ πολυσχημάτιστον ἔχει, οὐκ ἀθρόον μεταβαλλόμενον ἀπὸ τῆς αὐτοσχεδιατίστου χρήσεως, ἀλλ' ἠρέμα καὶ ἐξ ἀρχῆς συμπλεκόμενον, ὡς μήτε τῶι προσκορεῖ ἀνιᾶν μήτε τῶι ἀθρόωι ποιεῖν ἐκταράσσεσθαι. καὶ ἁπλῶς εἴ τις κατ' αὐτὸν ἐπὶ τοὺς ἱστορικοὺς ἀναχθείη λόγους, πολλοὺς καὶ τῶν ἀρχαίων ἴδοι τῆς αὐτοῦ τάξεως ἱσταμένους ταπεινότερον.

8 SUID. s. *Δίων* ὁ Κάσσιος· ... ἔγραψε ... *Βίον Ἀρριανοῦ* τοῦ φιλοσόφου.

9 s. DEXIPPOS 100 F 8, 8.

## F

## *ΤΑ ΜΕΤΑ ΑΛΕΞΑΝΔΡΟΝ Ᾱ—Ῑ*

(s. T 2; 4; F 54—56; 117; 124; 129; 134; 135; 137; 172; 174—178; Dexippos 100 F 8).

### *Ᾱ—Ε*

1 (—) PHOT. Bibl. 92 p. 69 a 1: συνεγράφη δὲ αὐτῶι καὶ τὰ μετὰ a. 323
Ἀλέξανδρον ἐν λόγοις δέκα, ἐν οἷς διαλαμβάνει τήν τε στάσιν τῆς στρατιᾶς καὶ τὴν ἀνάρρησιν Ἀρριδαίου, ὃς ἐκ Φιλίννης τῆς Θεσσαλῆς Φιλίππωι τῶι Ἀλεξάνδρου πατρὶ ἐγεγέννητο, ἐφ' ὧι καὶ Ἀλέξανδρον, ὃν ἔμελλεν ἐξ Ἀλεξάνδρου τίκτειν Ῥωξάνη, συμβασιλεύειν αὐτῶι, ὃ καὶ γέγονεν εἰς φῶς ἀχθέντος τοῦ παιδός. τὸν Ἀρριδαῖον δὲ ἀνειπόντες μετωνόμασαν Φίλιππον. (2) διαφέρετο δὲ ἐς ἀλλήλους τὸ πεζὸν καὶ τὸ ἱππικόν, ὧν οἱ μέγιστοι τῶν ἱππέων καὶ τῶν ἡγεμόνων Περδίκκας ὁ Ὀρόντου καὶ Λεοννάτος ὁ Ἄνθους καὶ Πτολεμαῖος ὁ Λάγου, τῶν δὲ μετ' ἐκείνους Λυσίμαχός τε ὁ Ἀγαθοκλέους καὶ Ἀριστόνους ὁ Πεισαίου καὶ Πίθων ὁ Κρατεύα καὶ Σέλευκος ὁ Ἀντιόχου καὶ Εὐμένης ὁ Καρδιανός. οὗτοι μὲν ἡγεμόνες οἱ τῶν ἱππέων, Μελέαγρος δὲ τῶν πεζῶν. (3) εἶτα διαπρεσβεύονται πρὸς ἀλλήλους πολλάκις, καί τέλος συμβαίνουσιν οἵ τε τὸν βασιλέα ἀνειπόντες πεζοὶ καὶ οἱ τῶν ἱππέων ἡγεμόνες, ἐφ' ὧι Ἀντίπατρον μὲν στρατηγὸν εἶναι τῶν κατὰ τὴν Εὐρώπην, Κρατερὸν δὲ προστάτην τῆς Ἀρριδαίου βασιλείας, Περδίκκαν δὲ χιλιαρχεῖν χιλιαρχίας ἧς ἦρχεν Ἡφαιστίων (τὸ δὲ ἦν ἐπιτροπὴ τῆς ξυμπάσης βασιλείας), Μελέαγρον δὲ ὕπαρχον Περδίκκου. (4) Περδίκκας δὲ τὸν στρατὸν καθᾶραι σκηψάμενος τοὺς ἐπιφανεστάτους τῆς γενομένης συνέλαβε στάσεως, καὶ συλλαβὼν ὡς ἐκ προστάξεως Ἀρριδαίου αὐτοῦ παρόντος ἀνεῖλε, δέος ἐμποιήσας τῶι λοιπῶι πλήθει. ἀναιρεῖ δὲ οὐ πολλῶι ὕστερον καὶ Μελέαγρον. (5) ἐξ ὧν Περδίκκας ὑποπτος ἐς πάντας ἦν καὶ αὐτὸς ὑπώπτευεν. ὅμως ἐς σατραπείας ἀνειπεῖν οὓς ὑπώπτευεν, ὡς Ἀρρι-

3 ἐκταράττεσθαι M 19 δὲ A γὰρ M 20 Ἄνθους AM (s. 133 F 1 c. 18, 3) 22 (und stets) πείθων $A^1$ πύθων $A^2$ τοῦ κρατέα M 23 εὐμενὴς (ὁ.) A μὲν οὖν M οἱ add $A^1$ 29 ξυμπάσης: ὅλης M ὕπαρχον ⟨εἶναι⟩?

δαίου κελεύοντος, ἔγνω. καὶ δὴ Πτολεμαῖος μὲν ὁ Λάγου Αἰγύπτου καὶ Λιβύης καὶ ὅσα τῆς Ἀράβων γῆς ξύνορα Αἰγύπτωι ἄρχειν ἐπετάχθη, Κλεομένης δὲ ὁ ἐξ Ἀλεξάνδρου τῆς σατραπείας ταύτης ἄρχειν τεταγμένος Πτολεμαίωι ὕπαρχος εἶναι· τῆς δὲ ἐπὶ ταύτηι Συρίας Λαομέδων· Φιλώτας δὲ Κιλικίας καὶ Πίθων Μηδίας· Εὐμένης δὲ ὁ Καρδιανὸς Καππαδοκίας καὶ Παφλαγονίας καὶ ὅσα τοῦ πόντου τοῦ Εὐξείνου σύνορα ἔστε ἐπὶ πόλιν Ἑλλάδα Τραπεζοῦντα Σινωπέων ἄποικον· (6) Παμφύλων δὲ καὶ Λυκίων καὶ Φρυγίας τῆς μεγάλης Ἀντίγονος· Καρῶν δὲ Ἄσανδρος· Λυδῶν δὲ Μένανδρος· τῆς δὲ ἐφ' Ἑλλησπόντωι Φρυγίας Λεοννάτος, ἣν ἐξ Ἀλεξάνδρου μὲν Κάλας ὄνομα κατέχειν, ἔπειτα Δήμαρχος ἐπετέτραπτο. τὰ μὲν κατὰ τὴν Ἀσίαν ὧδε ἐνεμήθη. (7) τῶν δὲ κατὰ τὴν Εὐρώπην Θράικης μὲν καὶ Χερρονήσου καὶ ὅσα Θραιξὶ σύνορα ἔθνη ἔστε ἐπὶ τὴν Θάλασσαν τὴν ἐπὶ Σαλμυδησσὸν τοῦ Εὐξείνου πόντου καθήκοντα Λυσιμάχωι ἡ ἀρχὴ ἐπετράπη· τὰ δὲ ἐπέκεινα τῆς Θράικης ὡς ἐπὶ Ἰλλυριοὺς καὶ Τριβαλλοὺς καὶ Ἀγριᾶνας καὶ αὐτὴ Μακεδονία καὶ ἡ Ἤπειρος ὡς ἐπὶ τὰ ὄρη τὰ Κεραύνια ἀνήκουσα καὶ οἱ Ἕλληνες σύμπαντες Κρατερῶι καὶ Ἀντιπάτρωι ἐνεμήθη. (8) καὶ ἡ μὲν νέμησις οὕτως· πολλὰ δὲ καὶ ἀδιανέμητα ἔμεινεν ὑπὸ τῶν ἐγχωρίων ἀρχόντων, ὡς ἐτάχθησαν ὑπὸ Ἀλεξάνδρου, ἐχόμενα.

(9) ἐν τούτωι Ῥωξάνη κύει καὶ τίκτει, καὶ εἰς βασιλέα τὸ τεχθὲν ἀνεῖπε τὸ πλῆθος. στάσεων δὲ μετὰ τὸν Ἀλεξάνδρου θάνατον πάντα a. 323/22 ἐπληροῦτο. καὶ πολεμεῖ Ἀντίπατρος πρός τε Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας, Λεωσθένους αὐτοῖς στρατηγοῦντος· καὶ τὰ πρῶτα ἡττώμενος καὶ εἰς ἀπορίαν συγκλειόμενος ὕστερον ἐκράτει. ἀλλὰ πίπτει καὶ Λεοννάτος ἐπιβοηθεῖν δοκῶν Ἀντιπάτρωι. (10) καὶ Λυσίμαχος δὲ Σεύθηι τῶι Θραικὶ πολεμῶν ὑπὲρ τῆς ἀρχῆς παραβόλως — σὺν ὀλίγοις γάρ — καὶ εὐδοκιμῶν ὅμως † ἀνηιρέθη. (11) πολεμεῖ δὲ καὶ Περδίκκας Ἀριαράθηι τῶι Καππα- a. 322 δοκίας, ὅτι Εὐμένει ἄρχειν ἐπιτεταμμένωι τῆς ἀρχῆς οὐκ ἐξίστατο· καὶ δυσὶ νικήσας μάχαις καὶ συλλαβὼν ἐκρέμασεν, Εὐμένει τὴν ἀρχὴν ἀποκαταστήσας. (12) Κρατερὸς δὲ συμμαχῶν Ἀντιπάτρωι κατὰ τῶν Ἑλλήνων αἴτιος τῆς νίκης, ἧς ἐνίκησαν αὐτούς, γέγονεν· ἐξ οὗ καὶ ἅπαντα, ἅπερ ἂν αὐτοῖς Κρατερὸς ἐπέταττε καὶ Ἀντίπατρος, ἀπροφασίστως ἐπράττετο.

καὶ ταῦτα μέχρι τοῦ πέμπτου βιβλίου. (es folgt F 9).

---

2 *Αἰγύπτωι* s. l. $A^1$ 4 *ἐπ' αὐτῆι* M 5 *δὲ καὶ καρδιανὸς* M 6 *ἔσται* M 7 *Ἑλλάδα* om M *Λυκίων* (§ 37): *Κιλίκων* Dexipp. 100 F 8, 2 8 *Ἄσανδρος*: F 9, 37; 41; F 10, 7 (Dexipp. 100 F 8, 2); IG II 234; Kawerau-Rehm Das Delphinion in Milet no. 123 *Κάσανδρος* Phot (Diod. XVIII 3, 2; Justin. XIII 4, 15; Curt. X 10, 2. sehr alter fehler) 9 *ἣν* $A^2$ *ἣν* $A^1$ *δν* M *ἐξ* om A 10 *κατέχειν* AM *μὲν οὖν* M 12 *ἔστε* A *ἔσται* aus *ἔστε* M *ἐπὶ θάλασσαν* M 13 [*τοῦ Εὐξ. π.*]? 14 *ἐπετέτραπτο* M 15 *ἡ* om M *ἡ ἐπὶ* spät. korr. in A 16 [*Κρατερῶι καὶ*]? s. komm. 20 *ἐν τούτωι καὶ* M 23 *λεοσθένους* A

(F 129; 134; 135?) *Ā*

2 (—) ANON. *π. συνταξ.* p. 179, 26 Bk: *Ἀρριανὸς πρώτωι· «εἰ δὲ ψευσθείημεν τῆς ἐπὶ τῶι παιδὶ τοῦ Ἀλεξάνδρου προσδοκωμένης ἐλπίδος», ἀντὶ τοῦ ἀποτύχοιμεν.* a. 323

*B̄*

3 (—) ANON. *π. συνταξ.* p. 131, 19: *γνωσιμαχῶ· ἅπαξ ἐχρήσατο τῆι λέξει Ἀρριανὸς ἐν πάσηι τῆι πράξει αὐτοῦ, ἐν β̄ τῶν μετ' Ἀλέξανδρον· «οἱ δὲ γνωσιμαχήσαντες ὑπέδυσαν τὰ ἐπαγγελλόμενα.»*

4 (—) — — p. 173, 29: *Σισίνης· Σισίνου κλίνει τὸ ὄνομα Ἀρριανός. ἐχρήσατο αὐτῶι ἐν πάσηι τῆι πραγματείαι τετραχῶς. Σισίνης δὲ ὁ Φρατα-φέρνου παῖς* (Anab. VII 6, 4). *ἐν μόνωι δὲ τῶι δευτέρωι λόγωι εὑρέθη τὸ ὄνομα ⟨τῶν⟩ μετὰ Ἀλέξανδρον.*

*Γ̄*

5 (—) ANON. *π. συνταξ.* p. 170, 16 Bk: *πολιτεύω· ἐνεργητικῶς· Ἀρριανὸς τρίτωι· «ὑμῖν δὲ τοὺς πατρίους νόμους ἀποδοὺς ἐν ἐλευθερίαι πολιτεύειν ἀπέδωκεν.»*

(F 137; 178?) *Δ̄* (?)

6 (—) a) ANON. *π. συνταξ.* p. 154, 12 Bk: *καθηγοῦμαι· δοτικῆι. Ἀρριανὸς τετάρτωι τῶν μετὰ Ἀλέξανδρον· «καὶ ἐς τὸν λιμένα καθηγεῖσθαι.«* b) Suid. s. *καθηγοῦμαι· δοτικῆι. «καθηγοῦμαι ταύταις εἰς τὸν λιμένα.»*

*Ē*

7 (—) ANON. *π. συνταξ.* p. 154, 9: *κατακούω· γενικῆι ..... καὶ Ἀρριανὸς πέμπτωι· «οὐδ' ἐθέλει κατακούειν τοῦ σατράπου.»*

8 (—) — — p. 130, 26 Bk: *βουλεύω· ἐνεργητικῆι διαθέσει κέχρηται ὁ Ἀρριανὸς ἐν πᾶσιν. ἐν πέμπτωι τῶν μετὰ Ἀλέξανδρον· «σὲ δὲ εἶναι τὸν βουλεύοντά τε ὑπὲρ τῶν ὅλων τὰ ξυμφορώτατα καὶ ἐπαγγέλλοντα πᾶν ὅ τι περ ἂν ξυλλογισμῶι τύχηι ξυμβουλευθέν.»*

(F 124; 175) *F̄—Θ̄*

9 (—) PHOT. Bibl. 92 p. 69 b 34: (13) *ἐν δὲ τῶι ἕκτωι διαλαμβάνει ὅπως ἐξ Ἀθηνῶν οἱ ἀμφὶ Δημοσθένην καὶ Ὑπερείδην ἔφυγον* a. 322

8 *πράξει: πραγματείαι?* 21 *τετάρτωι: ἕκτωι* U Köhler 30 *ἐπαγγέλλοντα* Bekker —*ται* An 18 ⟨*τῶν*⟩ Roos 35 *οἱ ἐξ* M

Ἀριστόνικός τε ὁ Μαραθώνιος καὶ Ἱμεραῖος ὁ Δημητρίου τοῦ Φαληρέως ἀδελφός, τὰ μὲν πρῶτα εἰς Αἴγιναν· ἐκεῖ δὲ διαγόντων θάνατον αὐτῶν κατέγνω τὸ Ἀθηναίων πλῆθος εἰπόντος Δημάδου, καὶ Ἀντίπατρος εἰς ἔργον ἦγαγε τὸ ψήφισμα. (14) καὶ ὡς Ἀρχίας ὁ Θούριος ⟨ὁ⟩ εἰς τὸν θάνατον αὐτῶν ὑπουργήσας ἐν ἰσχάτῃ πενίᾳ καὶ ἀτιμίᾳ κατατρίψας ἐτελεύτησε τὸν βίον. καὶ ὡς Δημάδης οὐ πολλῷ ὕστερον ἐς Μακεδονίαν ἀχθεὶς ὑπὸ Κασάνδρου ἐσφάγη, τοῦ παιδὸς ἐν τοῖς κόλποις προαποσφαγέντος· αἰτίαν δ' ἐπῆγε Κάσανδρος, ὅτι τὸν αὐτοῦ πατέρα ἐξυβρίσειεν ἐν οἷς ἔγραψε Περδίκκαι σώζειν τοὺς Ἕλληνας ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος ἠρτημένους, οὕτως τὸν Ἀντίπατρον ἐπιχλευάζων. (15) Δείναρχος δὲ ὁ Κορίνθιος ὁ κατήγορος ἦν. ἀλλ' ὅ γε Δημάδης τῆς αὐτοῦ δωροδοκίας καὶ προδοσίας καὶ ἐς πάντα ἀπιστίας τὴν ἀξίαν ἀπέτισε δίκην.

(16) διαλαμβάνει δὲ καὶ ὡς Θίβρων ὁ Λακεδαιμόνιος Ἅρπαλον τὸν τὰ Ἀλεξάνδρου χρήματα ζῶντος ἐκείνου ἁρπάσαντα καὶ φυγόντα πρὸς τὰς Ἀθήνας, τοῦτον ἐκεῖνος ἀποκτείνας καὶ ὅσα ὑπελείπετο λαβὼν χρήματα πρῶτα μὲν ἐπὶ Κυδωνίας τῆς ἐν Κρήτῃ ἐστάλη, ἔνθεν δὲ ἐς Κυρήνην διέβαλεν μετὰ στρατιᾶς εἰς ἑξακισχιλίους συντελούσης· ἐπῆγον δὲ αὐτὸν τῶν ἐκ Κυρήνης καὶ Βαρκέων οἱ φυγάδες. (17) ἐν οἷς πολλαῖς μὲν μάχαις πολλαῖς δὲ ἐπιβουλαῖς ἄλλοτε μὲν κρατῶν ἐνίοτε δὲ ἡττώμενος, τέλος φεύγων ὑπὸ Λιβύων τινῶν συνωρίδας ἀγόντων συνελήφθη καὶ παρὰ Ἐπικύδην ἄγεται τὸν Ὀλύνθιον εἰς Τεύχειρα, ὃν τὴν πόλιν ἐκείνην Ὀφέλλας ἐπετετρόφει, ἀνὴρ Μακεδών, ὃς ὑπὸ Πτολεμαίου τοῦ Λάγου ἐπὶ βοηθείαι τῶν Κυρηναίων ἐτύγχανε σταλείς. (18) οἱ δὲ Τευχειρῖται, Ὀφέλλα τὴν ἐξουσίαν δόντος, ἡικίσαντό τε τὸν Θίβρωνα καὶ εἰς τὸν τῶν Κυρηναίων ἔπεμψαν χρεμασθῆναι λιμένα. (19) ἔτι δὲ τῶν περὶ Κυρήνην στασιαζόντων Πτολεμαῖος ἐπελθὼν καὶ πάντα καταστησάμενος ὀπίσω ἀπέπλευσε.

(20) Περδίκκας δὲ Ἀντιγόνῳ ἐπιβουλεύων εἰς δικαστήριον ἐκάλει· ὁ δὲ εἰδὼς ἐπιβουλεύεσθαι οὔτε ὑπήκουσε, καὶ εἰς ἔχθραν ἀλλήλοις κατέστησαν. (21) ἐν τούτῳ δὲ παρὰ τὸν Περδίκκαν ἐκ Μακεδονίας ἦκον Ἰόλλας τε καὶ Ἀρχίας, ἄγοντες αὐτῷ τὴν Ἀντιπάτρου παῖδα Νίκαιαν εἰς γυναῖκα. ἀλλά γε καὶ Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου μήτηρ ἔπεμπε πυρ' αὐτὸν κατεγγυωμένη τὴν θυγατέρα Κλεοπάτραν. καὶ ὁ μὲν Εὐμένης ὁ Καρδιανὸς συνεβούλευεν ἄγειν Κλεοπάτραν, Ἀλκέται δὲ τῷ ἀδελφῷ εἰς Νίκαιαν ἔτεινεν ἡ συμβουλή· καὶ νικᾷ τὸ Νίκαιαν μᾶλλον ἀγαγεῖν. (22) οὐ πολὺ δὲ ὕστερον καὶ τὸ περὶ Κυνάνην πάθος συνηνέχθη, ὃ Περ-

a. 322

4 ⟨ὁ⟩ Jac 5 κατρίψας $A^1$ 6 εἰς M 8 ἐπήνεγκε M 15 ὑπελίπετο M 16 Κυδωνίας τῆς ἐς Κρήτην A Κυδωνίαν τὴν ἐπὶ Κρήτης M 17 διέβαλλεν $A^1$ 22 οφελλας $A^1$ ὀφελλᾶς $A^{corr}$ ὀφελλας M 23 τευχειρῖται $A^1$ 34 ἀλκετέαι u. (p. 844, 1) ἀλκετέας M

δίκκας τε καὶ ὁ ἀδελφὸς Ἀλκέτας διεπράξαντο. ἡ δὲ Κυνάνη Φίλιππον μὲν εἶχε πατέρα, ὃν καὶ Ἀλέξανδρος, ἐκ δὲ μητρὸς Εὐρυδίκης ἦν, γυνὴ δὲ Ἀμύντου, ὃν ἔφθη Ἀλέξανδρος κτεῖναι, ὁπότε εἰς τὴν Ἀσίαν διέβαινεν. οὗτος δὲ Περδίκκου παῖς ἦν, ἀδελφὸς δὲ Φιλίππου Περδίκκας, ὡς εἶναι Ἀμύνταν τὸν ἀνηιρημένον Ἀλεξάνδρου ἀνεψιόν. (23) ἦγε δὲ ἡ Κυνάνη Ἀδέαν τὴν αὐτῆς θυγατέρα, ἥτις ὕστερον Εὐρυδίκη μετωνομάσθη, τῶι Ἀρριδαίωι εἰς γυναῖκα· ἣν καὶ ὕστερον ἠγάγετο Περδίκκα διαπραξαμένου ἐφ' ὧι παῦσαι τὴν Μακεδόνων στάσιν, ἥτις ἐπὶ τῶι Κυνάνης πάθει ἀναφθεῖσα ἐπὶ μέγα κακοῦ προεχώρει. (24) Ἀντίγονος δὲ ἐς Μακεδονίαν παρὰ Ἀντίπατρον καὶ Κρατερὸν ἔφυγε καὶ τὴν εἰς αὐτὸν ἐπιβουλήν, ἣν Περδίκκας ἐ⟨πε⟩βούλευε, διηγήσατο καὶ ὡς κατὰ πάντων ἡ αὐτὴ αὐτῶι μελέτη σπουδάζεται, ἀνεδίδαξέ τε καὶ τὸ τῆς Κυνάνης ἐκτραγωιδήσας πάθος. καὶ ταῦτα διαθέμενος εἰς πόλεμον αὐτῶι τούτους κατέστησε.

(25) καὶ Ἀρριδαῖος δὲ ὁ τὸ τοῦ Ἀλεξάνδρου σῶμα φυλάσσων, παρὰ a. 321
γνώμην αὐτὸ Περδίκκου λαβών, πρὸς Πτολεμαῖον παραγίνεται τὸν Λάγου, ἀπὸ Βαβυλῶνος διὰ Δαμασκοῦ ἐπ' Αἴγυπτον ἐλαύνων· ὃς πολλὰ μὲν ὑπὸ Πολέμωνος τοῦ προσοικειουμένου Περδίκκαι κωλυθεὶς ἐνίκησεν ὅμως εἰς τὸ τὴν ἑαυτοῦ γνώμην ἔργωι ἐξενεγκεῖν.

(26) ἐν τούτωι καὶ Εὐμένης παρὰ Περδίκκου δῶρα πρὸς Κλεοπάτραν ἐς Σάρδεις ἐκόμισε, καὶ ὅτι ἐγνωσμένον εἴη Περδίκκαι Νίκαιαν μὲν ἐκπέμπειν, ἀντ' ἐκείνης δὲ ταύτην ἄγεσθαι. οὗ μηνυθέντος — Μένανδρος δὲ ὁ Λυδίας σατράπης ἐμήνυσεν — Ἀντιγόνωι καὶ δι' αὐτοῦ τοῖς περὶ Ἀντίπατρον καὶ Κρατερὸν δημοσιωθέντος, ἐπὶ μᾶλλον αὐτοῖς τὰ πρὸς Περδίκκαν ἐξεπολέμωτο. περαιοῦται δὴ Ἀντίπατρος καὶ Κρατερὸς ἀπὸ τῆς Χερρονήσου τὸν Ἑλλήσποντον, τοὺς τὸν πόρον φυλάσσοντας διὰ πρεσβείας ὑπαγόμενοι. πρεσβεύονται δὲ καὶ πρὸς Εὐμένη καὶ πρὸς Νεοπτόλεμον τοὺς ὑπὸ Περδίκκαι· καὶ Νεοπτόλεμος μὲν πείθεται, Εὐμένης δὲ οὐκ ἀνέχεται. (27) ὑποπτεύεται Εὐμένει Νεοπτόλεμος, καὶ συγκροτεῖται πρὸς a. 321
ἀλλήλους πόλεμος, καὶ νικᾶι κατὰ κράτος Εὐμένης. φεύγει δὲ Νεοπτόλεμος παρὰ Ἀντίπατρον καὶ Κρατερὸν σὺν ὀλίγοις καὶ πείθει τούτους ἐπὶ συμμαχίαν κατὰ Εὐμένους ἐλθεῖν αὐτῶι Κρατερόν· καὶ πολεμοῦσιν ἄμφω Εὐμένει. καὶ πάντα ποιήσας Εὐμένης ὥστε λαθεῖν τοὺς σὺν αὐτῶι Κρατερὸν αὐτῶι πολεμεῖν, ἵνα μὴ τῆι περὶ αὐτὸν ἁλόντες φήμηι ἡ προσχωρήσωσιν αὐτῶι ἢ καὶ μένοντες ἀτολμότεροι εἶεν· καὶ κρατήσας τοῖς τεχνάσμασι, κρατεῖ καὶ τῶι πολέμωι. καὶ πίπτει μὲν Νεοπτόλεμος τῆι αὐτοῦ Εὐμένους τοῦ γραμματέως δεξιᾶι, ἀνὴρ στρατιωτικὸς καὶ πολεμιος

2 γυνὴ AM 3 ὅτε M 6 θυγατέραν A 9 κακὸν M 11 ἐ⟨πε⟩βούλευε Jac 17—18 εἰς ἔργον M 20 μὲν om M 22 ἐμήνυεν A 23 δημοσιευθέντος M 24 ἐξεπολέμωτο AM δὴ A δὲ M 27 Περδίκκαν M 31—32 ἐλθεῖν — Εὐμένει om M 32 Εὐμένη A (M fehlt) 34 αὐτῶν M

ἠριστευκώς, Κρατερὸς δὲ ὑπό τινων Παφλαγόνων ἀφειδῶς πρὸς πάντα μαχόμενος καὶ χωρῶν ὥστε γνωσθῆναι· ἀλλ' ἔφθη πεσὼν μὴ γνωσθείς, καίτοι καὶ τὴν καυσίαν τῆς κεφαλῆς ἀφελών. ἡ μέντοι πεζὴ στρατιὰ σὼα πρὸς Ἀντίπατρον ἐκ τοῦ πολέμου παρεγένετο, ὃ καὶ τὸ πολὺ τῆς ἀθυμίας ἐπεκούφισε.

(28) παραγίνεται ἀπὸ Δαμασκοῦ Περδίκκας ἐπ' Αἴγυπτον σὺν τοῖς βασιλεῦσι καὶ τῇ δυνάμει Πτολεμαίωι πολεμῆσαι. κατηγορήσας δὲ Πτολεμαίου, κἀκείνου ἐπὶ τοῦ πλήθους ἀπολυομένου τὰς αἰτίας, καὶ δόξας μὴ δίκαια ἐπικαλεῖν, ὅμως καὶ τοῦ πλήθους οὐχ ἑκόντος πολεμεῖ. καὶ δὶς ἡττηθεὶς καὶ τραχὺς πρὸς τοὺς παρὰ Πτολεμαῖον ἐθέλοντας χωρῆσαι λίαν καταστὰς καὶ τἆλλα τῇι στρατιᾶι ὑπερογκότερον ἢ κατὰ στρατηγὸν προσφερόμενος, ὑπὸ τοῦ οἰκείου πλήθους τῶν ἱππέων ἀναιρεῖται, μαχόμενος καὶ αὐτός. (29) Πτολεμαῖος δὲ μετὰ τὴν ἀναίρεσιν Περδίκκου πρός τε τοὺς βασιλεῖς ἐπεραιώθη τὸν Νεῖλον καὶ δώροις φιλοφρονησάμενος καὶ τῇι ἄλλῃι θεραπείαι οὐ μόνον δὲ * * ἀλλὰ καὶ τοὺς ὅσοι ἐν τέλει Μακεδόνων. ὁ δὲ καὶ τοῖς Περδίκκου φίλοις συναχθόμενός τε δῆλος ἐγένετο καὶ ὅσοις τι κινδύνου ἔτι ἐκ Μακεδόνων ὑπελείπετο καὶ τούτους ἀπαλλάξαι τοῦ δέους παντὶ τρόπωι διεσπούδασεν· ἐφ' οἷς παραυτίκα τε καὶ ἐς τὸ ἔπειτα εὐδοκιμῶν ἐγινώσκετο.

(30) συνεδρίου δὲ κροτηθέντος ἄρχοντες μὲν τῆς πάσης δυνάμεως ἀντὶ Περδίκκου Πίθων καὶ Ἀρριδαῖος ἐν τῶι τέως ἀνερρήθησαν, τῶν δὲ περὶ Εὐμένη τε καὶ Ἀλκέταν ἐς πεντήκοντα κατεγνώσθησαν, μάλιστα ἐπὶ τῇι Κρατεροῦ ἀναιρέσει τῶν Μακεδόνων πρὸς αὐτοὺς ἐκπολεμωθέντων. μετεκαλεῖτο δὲ καὶ Ἀντίγονος ἐκ Κύπρου, καὶ Ἀντίπατρος δέ, ἐπιταχῦναι πρὸς τοὺς βασιλέας. (31) οὕτω δὲ καταλαβόντων ἡ Εὐρυδίκη Πίθωνα καὶ Ἀρριδαῖον μηδὲν ἄνευ αὐτῆς ἠξίου πράττειν. οἱ δὲ τὰ πρῶτα μὲν οὐκ ἀντεῖπον, ἔπειτα δὲ μηδὲν αὐτὴν ἐπικοινωνεῖν τοῖς δημοσίοις ἀντέλεγον πράγμασιν· αὐτοῖς γάρ, ἕως Ἀντίγονος καὶ Ἀντίπατρος παραγέν⟨ν⟩ται, μελήσειν περὶ πάντων. (32) ὧν παραγεγονότων εἰς Ἀντίπατρον ἡ δυναστεία περιίσταται. καὶ ὁ στρατὸς αἰτεῖ τὰ παρὰ Ἀλεξάνδρου ὑποσχεθέντα αὐτοῖς ἐπὶ τῇι συστρατείαι χρήματα, καὶ Ἀντίπατρος παραυτίκα μὲν μηδὲν ἔχειν ἀποκρίνεται φράζειν ἀκριβές, ἐξετάσας δὲ τούς τε βασιλείους θησαυροὺς καὶ τοὺς ὅσοι ἀλλαχόθι που κείμενοι ὦσι, τηνικαῦτα τὸν δυνατὸν τρόπον μὴ ἂν αὐτοῖς ἐπίμεμπτος νομισθῆναι· ἐφ' ὧι οὐχ ἡδέως ἡ στρατιὰ ἤκουσεν. (33) Εὐρυδίκης δὲ συλλαμβανούσης ταῖς κατὰ Ἀντιπάτρου διαβολαῖς τῶι ἀπὸ τοῦ πλήθους ἄχθει στάσις γίνεται. καὶ

---

5 ἐπ' Αἴγυπτον om M 7 τὸ πλῆθος M 9 πρὸς — ἐθέλοντας A τοῖς — θελήσασι M 12 περδίκκα $M^1$ 14 δὲ ⟨αὐτοὺς⟩ Roos ⟨τὸ πλῆθος⟩? 16 ἔτι A αἴτιον M 20 πείθων $A^1$ πύθων $A^2$ 21 ἀλκιτέα M 22 τοῦ κρατεροῦ M ἐκπολεμηθέντων M 24 καταλαβόντων edd καταλαβόντος AM 27—28 παραγένω⟨ν⟩ται edd 31 ἔχων M

δημηγορεῖ Εὐρυδίκη κατ' αὐτοῦ, τοῦ γραμματέως Ἀσκληπιοδώρου ὑπηρετησαμένου τῶι λόγωι, καὶ Ἄτταλος δέ. καὶ ῥύεται μόλις Ἀντίπατρος τῆς σφαγῆς, Ἀντιγόνου καὶ Σελεύκου τῆι παρακλήσει Ἀντιπάτρου ἀντιδημηγορησάντων ἐν τῶι πλήθει, οἳ καὶ αὐτοὶ διὰ τοῦτο ἐγγὺς ἐγένοντο τοῦ κινδύνου· ῥυσθεὶς δὲ Ἀντίπατρος τοῦ θανάτου πρὸς τὸ οἰκεῖον ὑπεχώρησε στρατόπεδον. καὶ οἱ ἵππαρχοι Ἀντιπάτρου καλοῦντος πρὸς αὐτὸν ἦκον, καὶ μόλις τῆς στάσεως πεπαυμένης Ἀντίπατρον πάλιν, ὡς καὶ πρόσθεν, ἄρχειν εἵλοντο.

(34) καὶ ποιεῖται νέμησιν καὶ αὐτὸς τῆς Ἀσίας, τὰ μὲν τῆς προτέρας νεμήσεως ἐπικυρῶν, τὰ δὲ τοῦ καιροῦ βιαζομένου νεωτερίζων. Αἴγυπτον μὲν γὰρ καὶ Λιβύην καὶ τὴν ἐπέκεινα ταύτης τὴν πολλὴν καὶ ὅ τι περ ἂν πρὸς τούτοις δόριον ἐπικτήσηται πρὸς δυομένου ἡλίου Πτολεμαίου εἶναι· Λαομέδοντι δὲ τῶι Μιτυληναίωι Συρίαν ἐπιτετράφθαι· Φιλόξενον δὲ ἐπὶ Κιλικίας ἔταξεν, ἣν καὶ πρῶτον εἶχεν. (35) τῶν δὲ ἄνω ξατραπειῶν τὴν μὲν μέσην τῶν ποταμῶν γῆν καὶ τὴν Ἀρβηλῖτιν Ἀμφιμάχωι τῶι τοῦ βασιλέως ἀδελφῶι ἔνειμε· Σελεύκωι δὲ τὴν Βαβυλωνίαν προσέθηκεν· Ἀντιγένει δὲ τῶι πρώτωι μὲν ἐπιθεμένωι Περδίκκαι, τῶν δὲ ἀργυρασπίδων Μακεδόνων ἡγουμένωι, τῆς Σουσιανῆς συμπάσης ἄρχειν· Πευκέσται δὲ ἐβεβαίου τὴν Περσίδα· Καρμανίαν δὲ Τληπολέμωι ἔνειμε· καὶ Μηδίαν Πίθωνι ἔστ' ἐπὶ πύλας τὰς Κασπίους· Φιλίππωι δὲ τὴν Παρθυαίων γῆν. (36) Ἀρείων δὲ καὶ τῆς Δραγγηνῶν χώρας Στάσανδρον καθίστη ἡγεμόνα· τῆς δὲ Βακτριανῆς καὶ Σογδιανῆς Στασάνορα τὸν Σόλιον· Ἀραχώτων δὲ Σιβύρτιον· καὶ Παραπαμισάδας Ὀξυάρτηι τῶι Ῥωξάνης πατρί· τῆς δὲ Ἰνδῶν γῆς τὰ μὲν ξύνορα Παραπαμισάδαις Πίθωνι τῶι Ἀγήνορος· τὰς δὲ ἐχομένας ξατραπείας, τὴν μὲν παρὰ τὸν Ἰνδὸν ποταμὸν καὶ Πάταλα τῶν ἐκείνηι Ἰνδῶν πόλεων τὴν μεγίστην Πώρωι τῶι βασιλεῖ ἐπεχώρησε· τὴν δὲ παρὰ τὸν Ὑδάσπην ποταμὸν Ταξίληι, καὶ τούτωι Ἰνδῶι, ἐπεὶ μηδὲ ῥάιδιον μετακινῆσαι αὐτοὺς ἐξ Ἀλεξάνδρου τε ἐπιτετραμμένους τὴν ἀρχὴν καὶ δύναμιν ἱκανὴν ἔχοντας. (37) τῶν δὲ ἀπὸ τοῦ Ταύρου ὄρους ὡς ἐπὶ τὴν ἄρκτον φερόντων Καππαδόκας μὲν Νικάνορι ἐπέτρεψεν· ἐπὶ δὲ Φρυγίας τῆς μεγάλης καὶ ἐπὶ Λυκάοσί τε καὶ Παμφύλοις καὶ Λυκίοις, ὡς καὶ πρόσθεν, Ἀντίγονον· Καρίαν δὲ Ἀσάνδρωι ἔνειμε· Λυδία δὲ Κλείτωι ἐδόθη· καὶ Ἀρριδαίωι Φρυγία ἡ πρὸς Ἑλλησπόντωι. (38) τῆι δὲ κατακομιδῆι τῶν

---

6 ὕπαρχοι spät. korr. in A 12 δόριον A δόρειον M δορὶ Bekker οἱονεὶ δορίκτητον Diod. XVIII 39, 5 14 ἔτασσεν M πρότερον? 14—15 (und v. 25) σατραπειῶν ς 15 ἀρβηλίτην A 17 πρῶτον? 19 ἔνεμε M 20 κασπείας M 24 σύνορα M παραπαμεισάδαις A 25 ξατραπείας: βασιλείας Diod. περὶ M ἐκεῖ M ⟨ἐν⟩ ἐκείνηι? 26 ἐπεχώρισε M Suid. s. ἐπεχώρησεν (Etym. cod. Coisl. Cram. An. Par. IV 169, 12)· ἀντὶ τοῦ συνεχώρησεν· οὕτως Ἀρριανός. 31 παμφυλίοις M 32 Ἀσάνδρωι (§ 6): Κασάνδρωι Diod 33 ἑλλήσποντον M

ἐν Σούσοις χρημάτων Ἀντιγένην ἔταξε καὶ τούτωι τῶν στασιασάντων Μακεδόνων τοὺς μάλιστα τρισχιλίους παρέδωκε. σωματοφύλακας δὲ τοῦ βασιλέως Αὐτόδικόν τε τὸν Ἀγαθοκλέους παῖδα καὶ Ἀμύνταν τὸν Ἀλεξάνδρου παῖδα, Πευκέστου δὲ ἀδελφόν, καὶ Πτολεμαῖον τὸν Πτολεμαίου καὶ Ἀλέξανδρον τὸν Πολυσπέρχοντος· Κάσανδρον δὲ τὸν ἑαυτοῦ παῖδα χιλιάρχην τῆς ἵππου· τῆς δυνάμεως δὲ τῆς πρόσθεν ὑπὸ Περδίκκαι τεταγμένης Ἀντίγονον ἡγεμόνα ἀπέφηνε· καὶ τούτωι τοὺς βασιλέας φρουρεῖν τε καὶ θεραπεύειν προστάξας τὸν πόλεμον ἅμα τὸν πρὸς Εὐμένη διαπολεμῆσαι αὐτῶι αἱρουμένωι ἐπέτρεπεν. Ἀντίπατρος δὲ αὐτὸς πολλὰ ὑπὸ πάντων ἕνεκα πάντων ἐπαινούμενος ἐπ' οἴκου ἀνεχώρει.

ἐν οἷς καὶ ὁ $\overline{\Theta}$ λόγος (es folgt F 11).

— ANON. π. συνταξ. p. 154, 12 Bk: s. F 6.

⟨$\overline{Z}$ ?⟩

**10 (—) COD. RESCR. VATIC. GR. 495 fol. 230. 235:**

A

[Ἀρριδαίου] τὴν παρὰ Πτολεμαῖον αὐτομόλησιν καὶ τοῦ σώμ[ατος τ]οῦ Ἀλεξάνδρου τὴν ἐς Αἴγυπτον κομιδὴν επι..ω..... οἱ ἀμφὶ Ἀτταλόν τε καὶ Πολέμωνα οιε...οη..... ‖ ἀποχωρήσεως ἐσταλμένοι [ὡς Π]ερδί[κκαν ἐπανήιε]σαν. ὁ δὲ ἔτι μᾶλλον [ὡρμήθη ἐς Αἴγυπτον στρατεία]ν π[οι]εῖν, ὡς Πτολεμαῖον μὲν ἀφελόμενος τὴν ἀρχὴν τ[ῶ]ν ἑ[αυτῶι τι]να ἐπιτηδείων καταστῆσαι Αἰγύπτου [ὕ]π[αρ]χον, τοῦ σώματος δὲ τοῦ Ἀλεξάνδρου κρατῆσαι. (2) ταῦτα [δὴ] ἐνν[οῶ]ν [ἐπ]ειδὴ ἐς Κιλικίαν ξὺν τῆι δυνάμει ἀφίκετο, Φιλώταν μὲν τὸν ξατράπην τῆς χώρας ἐπιτήδειον [τ]οῖς ἀμφὶ Κρατερὸν γ[ι]γνώσκων [πα]ρέλυσ[ε]ν τῆς ἀρχῆς, Φιλόξενον δὲ ἀντ' αὐτοῦ ἄρχειν κατέστησεν, ἕνα τῶν ἀφανῶν Μακεδόνων οἷα δὴ π..αιολιωιμισθοφορ..οπολεμ..ιδια.ε... ε..εμ.. (3) πέμψας δὲ ἐς Βαβυλῶνα.....στραγ.....μκτηνορα μολεθεν ..Δόκιμον τὸ ὄνομα (?) μετὰ Μ[ακεδ]όν[ων τ]ῶν ἀκ[ρ]ων δοκούντων τὸν μὲν ξατραπεύειν εἶ[π]εν τῆς [Βαβυ]λωνίας, Ἄρχωνα δὲ τὸν πρόσθεν [δυνά]στην ἐπὶ τῆ[ς εἰσπράξ]εως τῶν προσόδων εἶναι επιδετη.....ηναρο φαστῶν

---

3 Αὐτόδικον Syll.[2] 373 Αὐτόλυκον Phot 4 τὸν ἀδελφὸν A 14 text nach Reitzenstein Bresl. Phil. Abh. III 3, dessen lesungen A G Roos in allem wesentlichen bestätigt. unsicheres ist unterpunktiert; andere möglichkeiten teilweise übergeschrieben. 18 o. οιx ερσι o. ησι o. κρσι 19 μαλλον ηωρ καν..εν ..λ..π.....γωνπ..ειν 26 μολεθεν o. βα..τορ o. κω.... 27 το (o. τε, ε ω τα) ονοματα 29 προσωδων hs

Δόκιμον, εἰ ἀφίκοιτο εἰς Βαβυλῶνα καὶ τῆς ξατρα[π]είας ἐγκρατήσειεν, τὸ[ν] Ἄρχωνα μὲν ἀπαλλάξαι | ..σισθενηδεχενκ..πηατιασινωσαντ....ανι.....ο | πε.ενκ.εν...υσινακοαθηοε.εναυτοσοκ..τησατα | ωιστι.ε..β.α...οτι.. αυτονδε..... | τη.α.ονοσαυναι..... | α...ανθα..οσδεε.η.εγη..δητουσαπο.....με τηνικ..ντησ....λωνοσφορτι. φ.....ανεκ | ..ν.λλ...ιωστετινεναινα..ατιωτωνπ..... | μουσ ἐπιλεξάμενος εἰσήγαγεν..ρσκ..ετετοσ..βαβυ||..ξια..δὲ ξυναγαγὼν καὶ φράσας τὴν Περδίκκου μ[ετ]άνοιαν καὶ ἐς τοῦτον (?)...ψιοντρ.....του ἐκ τῶν ε...την .. | ε.ε.....νκαιεθηκαν.....ην..ειτην.ρ....ν | πο.....συναγαγεῖν ὡς μὴ δ[εξ]ομένους ἐπὶ τὴν ἀρχὴν τὸν [Δόκ]ιμον. (5) καὶ οἱ μὲν πρὸς τούτοις ἦσαν, Δόκιμος δὲ ἐς Βαβυλῶνα ἀφικόμενος κα[ὶ] τῶν ἐκ τῆς χώρας τινὰς Βαβυλωνίων προσαν[τ]έχειν ἀμελήσ[ας] τοῖς στρατιώταις προσε...τον ἐπέδραμεν (?) καὶ ἔστη πρὸς Ἄρχωνα. καὶ τὰ μὲν π[λ]ήθη τῶν ἀπομαχομένων καὶ ἰσχ[όν]των χωρίων ἐκρατεῖτο. ὡς δὲ ἀκροβολισμῶι τινὶ τραυματίαι γενομένωι τῶι Ἄρχωνι οὐ πολλῶι ὕστερον ξυνέβη τελευτῆσαι ἐκ τῶν τραυμάτων, τηνικα[ῦ]τα δὲ ἀνασχόμεν[ος ὁ Δό]κιμος ἐδέχθη τε ἐπὶ τὴν ξατραπείαν πρὸς τῶν Βα[βυλω]νίων καὶ τὰ ὑπὸ Περδίκκου προστεταγμένα ξυν.πισιτιτηιεσαυτον ἔπρασσεν.

(6) ἐν δὲ τούτωι Περδίκκας μαθὼν τῶν ἐν Κύπρωι βασιλέων Νικοκρεόντά τε τὸν Σαλαμίνιον καὶ τοὺ[ς ὑπ' αὐτῶι (?) γε]νομένους Πασικρ[ά]την τὸν Σόλιον καὶ Νικο[κλ]έα τὸν Πάφιον, τοῦτον καὶ Ἀνδροκλέα τὸν Ἀμαθούσιον πρὸς μὲν Πτολεμαῖον ξυμμαχίαν πεποιημένους, ναῦς δὲ οὐ πολὺ ἀποδεούσας διακοσίων ξυμ[π]ληροῦντας, τὴν δὲ Μαριέων πόλιν καὶ τὸν ἄρχοντα ἐπιπολιορκοῦντας, ὁ δὲ [τριήρεις ἦθρ]οισεν (?) ἐκ Φοινίκης [πρ]ός τὴν εἰς Μάριον αὐτόθεν ἐκ Κιλικίας ⟨στρατείαν⟩ κα[ὶ] πλο[ῖα π]ολλὰ στρογγύλα παρασκευάσας [ξ]ένους μὲν ἐς ὀ[κ]τακοσίους ἐπ[έβη]σεν τῶν νεῶν, ἱππέας δὲ ἐς πεντακοσίους, Σωσιγένην τὸν Ῥόδιον ἐπιτάξας ναύαρχον καὶ ξεναγὸν ἐπὶ τῶι ξεν⟨ικ⟩ῶι Μήδιον τὸν [Θ]εσσαλόν, ἱππάρχην δὲ τῶν ἱππέων Ἀμύνταν, τῆς δὲ ξυμπάσης δυνάμεως στ[ρ]ατη[γ]ὸν [ἀ]ποφήνας Ἀρι[στόν]ουν τὸν Ἀλεξάνδρου σωματοφύλακα τη ||

2 πη: o. πκ τηνικαθτα τῆς Βαβυλῶνος? 12 ἀμεληκ.τεσα στρατιωται hs(?) 23 κασιεων 24 ..ρ..κκ...ασεν 25 Μάριον: καριων 28 ξενῶ hs

B

(7) γυναῖκα (?) ...α. ν .. αχον ..... | ανα-
μαχεσθαι (?)..... τωγονω | καγ — ιων κ | δεχε —
| τιγονος ἐπιτήδειος ὤν. καὶ Μένανδρος τῆ[ς Λυ]δί[ας ξ]ατράπης τήν τε
ἄφιξιν τὴν Ἀντιγόνου μαθὼν καὶ Ἀσάνδρου παρ' αὐτὸν ἀποχώρησιν, Περ-
δίκκα[ν ἐρρ]ωμένως... χ.....ωκα...κ..γὰρ τὴν..ι..ολδ.... ἔχων κ[α]ὶ δι'
ὀργῆς ἔχων Περδίκκα[ν], ὅτι τὴν μὲν [ξατρ]α[π]είαν ἣν εἶχεν αυτων δε των
π.....επιταχει φ[υ]γὼν [πρ]ὸς τὴν στρατιὰν μοτην..ἀκούειν (?) κα....
ου.....Κλεοπάτραν εἶναι.....νων καὶ τὴν Εὐμένους — | δεν..καιεν.ι
..νδ.....χ.....εν....ρει....| τησειαν.....ιστην.....στρατηγ
....κκ.ν | τῶν ἐπιχωρίων ο..λα κλειστους δυναστ..ειν οἱ τὰ κατα εχοντας
..... εἰς Φρυγίαν τὴν μεγάλην φερούσας ὁδοὺς ενιαφανωνα ... καὶ ὡς ὁ
μὲν (?)....λοων π....| βολισ.ν.....τητη..δ.κναν.....|
τηκα..λλωμενωπεμψαι.....[ἐ]γκρατ[η]ς εἴη (?)..... | ὅτε Περδίκκαν.ξ.ν.
ναντ..δεπι πολεμ...εναν.. | κ..Ἀντίγονος ἐξε..ν..τηδε..τισειστου.....
..... | κησ ἐκ προσηγη.....ειτα...νιωι.αυ..... | ναι — | χιλίους
ἱππέας δε..μετεχων ἀφίκετο καὶ τοῦ..με.... | τῆς δ' [Ἐφέ]σου πό[λεως (?)
πεντακοσίους ἔχ..... | — δέχωνται | τεσι.γκ...ἐνίων τα...χρειοζον
.....ανκα...εσαν || — (8) καὶ αἱ ἐν κύκλωι τῆς Ἐφέσου πόλεις φιλίως
κατεδέξαντο αὐτόν· ὁ δὲ παρεσκευάζετο ὡς ἐπὶ Σάρδεις ἐλάσων ἐ[κεῖθεν ?].
ἐν τούτωι δὲ Κλεοπάτρα μαθοῦσα τοῦ τε Ἀντιγόνου τὴν ὁρμὴν καὶ τὴν
ἐνέδραν τὴν ἐπὶ Εὐμένει παρεσκευασμένην, ἡ μὲν φράζει πρὸς Εὐμένη τὰ
ἐξη[γγελ]μένα, ὁ δὲ ἀμφὶ δείλην ξυναγαγὼν τοὺς ξυνηκολουθηκότας αὐτῶι
φίλους καὶ ἱππέας παραγγέλλει μήτε σάλπιγγα μήτε ἄλλο τι τῶν περι-
φανῶν σημείων προσμείναντας ὡς τάχιστα πρὸς πορείαν ἐσκευασμένους
παρεῖναι. (9) καὶ ἦν μὲν αὐτῶι ἡ διὰ μέσου ὁδὸς ὡς ἐπ' ἀνίσχοντα ἥλιον.
ὁ [δ]ὲ (?) κολο...ζι...φεσμ...ιηδὲν αὐτὴν μὲν ἄγειν εὐλαβήθη τῶι κατει-
λῆφ[θ]α[ι] εἰκάζειν η....ε...αι.κ..ματην ἀναμεσιωτατην τη.θει..ελ.ἐπὶ

---

2 κ(αὶ)? 2—3 ἀναλαβὼν στρατιώτας ἐς τρισχιλίους, παρὰ δὲ Ἀθηναίων ἐς
liest A G Roos 4 Ἀν]τιγόνου Rei 17 τησδ...σουπω..το 27 εὐλαβηθη
28 ἀνωμαλωτάτην? Rei

τῶιδε ἥκιστα προσδοκωμένην. προελθὼν δὲ ἀμφὶ τοὺς εἴκοσιν σταδίους εἰς δεξιὰν μάλιστα ἐπιστρέφει καὶ ἀπο.σωθ.ει πρὸς τὴ[ν] ἐς περσιανεστ .κενωιει ....οδε..μεν...τοῦ δὲ Ἀντιγόνου(?) εὑρων ἐκ Φρυγίας ἔπειτα.. γεμεν τῆς ἐπὶ Φρυγίαν τὴν μεγάλην [φε]ρούσης ὁδοῦ οτ...ειλεν...ευειν τοὺς ἱππέας προς δι.....ων.....ὁδοῦ...ἀφηγεῖτο. (10) τῆς δὲ αὐτῆς ν[υ]κ[τὸ]ς Ἀντίγονος ὑπερεγεγη...ε...κα..τησ.....εισ τε τόν τε μέγαν καὶ.....[Ἀντι]γόνωι τερω....Εὐμένους α...ωνησε....μαθὼν δὲ τὴν φυγὴν τὴν Εὐμένους καὶ ὅτι κ.....φειεν.ω....ἐνεδρεύοντας εἰκάσας. οδεεσ..μυν..ε.....νκα...αλλων τὴν.....τὴν Κλεοπάτραν [ἐπ]εἰ [Π]ερδίκκαν μὲν τὸν ο.ον....τηνκ.ε.....ανολων αφεσιν... ωνκαγ.....ω.....λ...τησεδε [Π]ερδίκκαν εφιεσι καὶ τῆς τεσ...

I

**11** (—) PHOT. Bibl. 92 p. 72 a 25: (39) ὁ δὲ δέκατος διαλαμβάνει a. 321 ὡς Εὐμένης τὰ περὶ Περδίκκαν μαθὼν καὶ ὅτι πολέμιος ἐψηφίσθη Μακεδόσιν, ἐπὶ πόλεμον παρεσκευάζετο. καὶ ὡς Ἀλκέτας ὁ Περδίκκου ἀδελφὸς διὰ ταῦτα ἔφυγε. καὶ Ἄτταλος ὁ τῆς κατὰ Ἀντιπάτρου στάσεως οὐδενὸς φέρων τὰ δεύτερα καὶ αὐτὸς φυγὼν συνέμιξε τοῖς ἄλλοις φυγάσι. καὶ συνήχθη Ἀττάλωι στρατός, πεζοὶ μὲν μύριοι, ἱππεῖς δὲ ὀκτακόσιοι. καὶ ὡς Ἄτταλος καὶ οἱ σὺν αὐτῶι ἐπιθέσθαι Κνίδωι καὶ Καύνωι καὶ Ῥοδίοις ἐπιχειρήσαντες ὑπὸ Ῥοδίων καρτερῶς ἀπεκρούσθησαν, Δημαράτου ναυαρχοῦντος αὐτοῖς.

(40) διαλαμβάνει δὲ καὶ ὡς Εὐμένης Ἀντιπάτρου ἐς Σάρδεις ἰόντος ἐς χεῖρας ἐλθεῖν ἐγγὺς ἦν, Κλεοπάτρα δὲ ἡ τοῦ Ἀλεξάνδρου ἀδελφή, ἵνα μὴ ἐς τὸ τῶν Μακεδόνων πλῆθος ἐν διαβολῇ γένηται ὡς αὐτὴ τὸν πόλεμον αὐτοῖς ἐπάγουσα, παραινεῖ καὶ πείθει Εὐμένη ἀποχωρῆσαι τῶν Σάρδεων. ἀλλ' ὅμως οὐδὲν ἧττον ὁ Ἀντίπατρος παραγενόμενος αὐτὴν ἐπωνείδιζε τῆς ἐς Εὐμένη καὶ Περδίκκαν φιλίας. ἡ δὲ πρός τε ταῦτα κρεῖσσον ἢ κατὰ γυναῖκα ἀπελογεῖτο καὶ πολλὰ ἄλλα ἀντεπεκάλει· τέλος δὲ εἰρηνικῶς ἀλλήλων ἀπηλλάγησαν. (41) ὅτι Εὐμένης ἐπελθὼν ἀπροσδόκητος τοῖς οὐχ ὑπ' αὐτῶι προσχώροις καὶ λείαν πολλὴν καὶ χρήματα συλλαβὼν τὸν οἰκεῖον στρατὸν κατεπλούτει. διαπρεσβεύεται δὲ καὶ πρὸς

3 τοῦ δὲ Ἀντιγόνου Jac τοῦ δεαμ..γονω . 4 παρήγγειλεν ἐλαύνειν? Rei 14 καὶ ὅτι A ὅτι καὶ M 17 καὶ τοῖς M 20 κρατερῶς M 24 ἐν διαβολῇ A διαβολὴ M 27 ὠνείδιζε M 28 ἀντενεκάλει M 29—30 ἀπροσδοκήτως M 30 ὑπ' αὐτὸν M 31 πρὸς om A

Ἀλκέταν καὶ τοὺς σὺν αὐτῶι, ἐς ταὐτὸν τὰς δυνάμεις συναγαγεῖν ἀξιῶν καὶ οὕτως τοῖς κοινοῖς ἐχθροῖς μάχεσθαι· οἱ δὲ ἄλλων ἄλλα συμβουλευσαμένων τέλος οὐ πείθονται. (42) ὅτι Ἀντίπατρος Εὐμένει μὲν πολεμεῖν τέως οὐκ ἐθάρρει, κατὰ δὲ Ἀττάλου καὶ Ἀλκέτα πέμπει πολεμήσοντα Ἄσανδρον· καὶ ἀγχωμάλου τῆς μάχης γεγενημένης ἡττᾶται Ἄσανδρος. a. 321/0

(43) ὅτι διαφέρεται Κάσανδρος πρὸς Ἀντίγονον· καὶ παύεται Κάσανδρος τῆς κατὰ Ἀντιγόνου ἀταξίας, Ἀντιπάτρου τοῦ πατρὸς διακωλύσαντος. ὅμως οὖν ὁ Κάσανδρος, περὶ Φρυγίαν συμβαλὼν τῶι πατρί, ἀναπείθει μήτε πόρρω τῶν βασιλέων ἀποχωρεῖν καὶ Ἀντίγονον δι' ὑποvοίας ἔχειν. ὁ δὲ τῆι τε μετριοφροσύνηι καὶ τῆι ἄλληι θεραπείαι καὶ ἀρετῆι τὸν δυνατὸν τρόπον διέλυε τὴν ὑπόνοιαν. καὶ Ἀντίπατρος ἐπικλασθεὶς τῆς τε ξυνδιαβάσης αὐτῶι ἐς τὴν Ἀσίαν δυνάμεως πεζοὺς μὲν ἐπιτρέπει αὐτῶι Μακεδόνας ὀκτακισχιλίους καὶ πεντακοσίους καὶ ἱππέας τῶν ἑταίρων ἴσους, ἐλέφαντας δὲ τῶν πάντων τοὺς ἡμίσεας $\overline{ο}$, ὡς ῥᾶιον διαπολεμήσειεν τὸν πρὸς Εὐμένη πόλεμον. (44) καὶ Ἀντίγονος μὲν τοῦ πολέμου ἥπτετο, Ἀντίπατρος δὲ ἀναλαβὼν τοὺς βασιλεῖς καὶ τὴν ἄλλην δύναμιν ἤιει ὡς περαιωσόμενος ἐπὶ Μακεδονίαν. καὶ στασιάζει πάλιν ὁ στρατὸς αἰτῶν τὰ χρήματα. Ἀντίπατρος δέ, ἐπειδὰν ἔλθηι εἰς Ἄβυδον, ὡμολόγησε πορεῖν αὐτὰ καὶ δώσειν τυχὸν μὲν πάντα, ὅση ἡ ὡρεά, εἰ δὲ μή, τήν γε πλείστην. (45) καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἀναρτήσας ἀστασιάστως τὸ λοιπὸν καταλαμβάνει τὴν Ἄβυδον. ἐκεῖ δὲ τέχνηι τούτους παρακρουσάμενος νυκτὸς ἅμα τοῖς βασιλεῦσι περαιοῦται τὸν Ἑλλήσποντον παρὰ Λυσίμαχον. τῆι δὲ ὑστεραίαι καὶ αὐτοὶ ἐπεραιώθησαν, ὑπὲρ τῆς ἀπαιτήσεως τῶν χρημάτων παραυτίκα ἡσυχάσαντες.

ἐν οἷς καὶ τοῦ δεκάτου λόγου τὸ τέλος (folgt T 7).

## ΤΑ ΚΑΤΑ ΔΙΩΝΑ (?)
## ΤΑ ΚΑΤΑ ΤΙΜΟΛΕΟΝΤΑ (?)

(s. T 4).

### ΑΛΑΝΙΚΗ.

(T 2; 5).

12 (—) Cod. Laur. gr. 55, 4: Κατὰ Ἀλανῶν. (1) ἡγεῖσθαι μὲν τῆς πάσης στρατιᾶς τοὺς κατασκόπους ἱππέας ἐπὶ δυοῖν τεταγμένους σὺν τῶι οἰκείωι ἡγεμόνι, ἐπὶ τούτοις δὲ τοὺς ἱπποτοξότας τοὺς Πετραίους, καὶ τούτους ἐπὶ δυοῖν. ἀγόντων δὲ αὐτοὺς οἱ δεκαδάρχαι· ἐπὶ δὲ τούτοις ἐπιτετάχθων οἱ ἀπὸ τῆς εἵλης ἡιτινι Ἀὐριανοὶ ὄνομα. συντετάχθων δὲ αὐτοῖς οἱ τῆς σπείρης τῆς τετάρτης τῶν Ραι(τ)ῶν,

1 ἀναγαγεῖν M 2—3 βουλευομένων M 5 ἄσ|||ανδρον A ἀσσανδρον M γενομένης M 10 ὁ δὲ: sc. Ἀντίγονος 17 ἐπὶ A τὴν M 19 ὡμολόγει M 20 τήν τε M 21 ἀστασίαστον A 33 τούτους Sch(effer) τούτοις F 34 δεκάδαρχοι Eb(erhard) 35 Ἀὐριανοὶ Gro(tefend) ειλης ητιν ισαυριανοι F Ραιτῶν C Mueller ῥαίων F

ἧς ἄρχων Δάφνης Κορίνθιος. ἐπὶ τούτοις δὲ οἱ ἀπὸ τῆς εἴλης, ἣν ὄνομα Κολῶνες. συν⟨τε⟩τάχθων δὲ αὐτοῖς Ἰτυραῖοι καὶ Κυρηναῖοι καὶ οἱ ἀπὸ τῆς πρώτης Ῥαιτικῆς. συμπάντων δὲ τούτων ἀρχέτω Δημήτριος. (2) ἐπὶ τούτοις δὲ οἱ Κελτοὶ ἱππεῖς, καὶ αὐτοὶ ἐπὶ ὀνοῖν· καὶ τούτων ἡγείσθω ἑκατόνταρχος, ὥσπερ ἐπὶ στρατοπέδου. (3) πεζοὶ δὲ ἐπὶ τούτοις τετάχθων, τὰ σημεῖα ἀνατεταμένα πρὸ σφῶν ἔχοντες, οἵ τε Ἰταλοὶ καὶ Κυρηναίων οἱ παρόντες· πάντων δὲ ἡγείσθω Πούλχερ, ὅσπερ ἄρχει τοῖς Ἰταλοῖς. Βοσπορανοὶ δὲ ἐπὶ τούτοις πεζοὶ ἰόντων, ἡγεμόνα παρεχόμενοι Λαμπροκλέα, καὶ οἱ Νομάδες ἐπὶ τούτοις ὑποτεταγμένοι Βήρωι τῶι σφετέρωι ἄρχοντι. (4) ἡ τάξις δὲ ἔστω ἐς ὁπλίτας τέσσαρας. αὐτῶν δὲ τούτων ὅσοι τοξόται ἡγείσθων. τὰς δὲ πλευρὰς τῆς τάξεως φυλαττόντων ἑκατέρωθεν οἱ ἱππεῖς οἱ †οἰκεῖοι. ἐπὶ δὲ τούτοις οἱ ἐπίλεκτοι ἱππεῖς ἴτωσαν, καὶ ἐπὶ τούτοις οἱ ἀπὸ τῆς φάλαγγος ἱππεῖς, ἔπειτα οἱ καταπέλται. (5) ἔπειτα τὸ σημεῖον τῆς πεντεκαιδεκάτης φάλαγγος, καὶ ἀμφ' αὐτῶι δὲ ⟨ὁ⟩ ἡγεμὼν τῆς φάλαγγος Οὐάλης καὶ ὁ ὕπαρχος καὶ οἱ χιλιάρχαι οἷς τέτακται καὶ ἑκατόνταρχοι οἱ τῆς πρώτης σπείρης ἐπιστάται. πρὸ δὲ τοῦ σημείου τῶν πεζῶν οἱ ἀκοντισταὶ τετάχθων. αὐτοὺς δὲ τοὺς πεζοὺς ἐπὶ ὃ τεταγμένους ἰέναι. (6) ἐπὶ δὲ τῆι ιϛ φάλαγγι τετάχθω τὸ σημεῖον τῆς ὠδοεκάτης φάλαγγος, καὶ χιλιάρχαι ἀμφ' αὐτῶι καὶ ἑκατοντάρχαι. ἐπὶ ὃ ὡσαύτως καὶ ἥδε ἡ φάλαγξ ἴτω τεταγμένη.

(7) ἐπὶ δὲ τῶι ὁπλιτικῶι τετάχθω τὸ συμμαχικόν, οἵ τε ἀπὸ τῆς μικρᾶς Ἀρμενίας καὶ Τραπεζουντίων οἱ ὁπλῖται καὶ Κόλχοι καὶ Ῥιζιανοὶ οἱ λογχοφόροι. ἐπιτετάχθων δὲ αὐτοῖς οἱ Λεπιδιανοὶ πεζοί. παντὸς δὲ τοῦ συμμαχικοῦ ἡγεμὼν ἔστω Σεκου⟨ν⟩δῖνος, ὅσπερ τῶν Λεπιδιανῶν ἡγεῖται. (8) ἐπὶ τούτοις δὲ τὰ σκευοφόρα ἐπέσθω. σύραγείτω δὲ ἡ εἴλη τῶν Γετῶν καὶ ὁ ταύτης εἰλάρχης. (9) τὰς πλευρὰς δὲ τοῦ πεζικοῦ κοσμούντων μὲν καὶ ἑκατοντάρχαι καὶ ⟨οἱ⟩ ἐπὶ τῶιδε τεταγμένοι· φυλακῆς δὲ ἕνεκα εἴλη ἡ Γαλατικὴ παριππευέτω ἐπὶ ἕνα στοῖχον ἑκατέρωθεν τεταγμένη καὶ οἱ τῶν Ἰταλῶν ἱππεῖς. ὁ δὲ εἰλάρχης αὐτῶν ἐπιφοιτάτω ταῖς πλευραῖς. (10) ὁ δὲ ἡγεμὼν τῆς πάσης στρατιᾶς Ξενοφῶν τὸ πολὺ μὲν πρὸ τῶν σημείων τῶν πεζικῶν ἡγείσθω, ἐπιφοιτάτω δὲ πάσηι τῆι τάξει καὶ ἐπισκοπείτω ὅπως τεταγμένοι ἴασι καὶ τοὺς μὲν ἀτακτοῦντας εἰς τάξιν ἐπαναγέτω, τοὺς δὲ ἐν κόσμωι ἰόντας ἐπαινείτω.

(11) οὕτω μὲν τεταγμένους ἰέναι. ἐλθόντας δὲ εἰς τὸ ἀποδεδειγμένον χωρίον, τὴν μὲν ἵππον πᾶσαν περιστῆναι ἐν κύκλωι εἰς τετράγωνον τάξιν, τοὺς κατασκόπους δὲ πέμψαι εἰς τὰ ὑπερδέξια χωρία ἀποσκοπῆς ἕνεκα τῶν πολεμίων. ἐνταῦθα δὲ ἀπὸ σημείου ὁπλίζεσθαι σιγῆι, ὁπλισαμένους δὲ εἰς τάξιν καθίστασθαι.

---

2 συν⟨τε⟩τάχθων CMueller Ἰτουραῖοι He(rcher) Ῥαιτικῆς ⟨ἴλης⟩ Mommsen ῥαιτίκης F πραιτωρικῆς Seeck 4 καὶ οὗτοι He ὀνοῖν Mueller vulg Ἀχαῖοι o. Ἀχαιοί? CMueller Ἀρεῖοι Gro ἰόντων He 18 αὐτῶι Sch αὐτῆ F αὐτό? He ⟨ὁ⟩ CMueller Οὐάλης Sch οὐαλπη F 14 χιλίαρχοι He ἐπιτέτακται He καὶ ⟨οἱ⟩ He 15 πρὸ edd πρὸς F τῶν Eb αὐτῶν F αὖ τῶν Haase τοῦ τῶν CMueller 16 ἰέναι He εἶεν F εἶναι vulg 19 οἵ τε ⟨Ἀρμένιοι καὶ οἱ⟩ ἀπὸ Mommsen 20 ⟨οἱ⟩ Κόλχοι He 21 Λεπιδιανοὶ Gro; Ritterling (*cohors V Lepidiana equitata civium Romanorum* CIL III 12251) ἀπλανοὶ (§ 14) F Ἀλανοὶ (Schelfer) o. Ἀλβανοί (CMueller) Mommsen 22 Σεκουνδῖνος Gro σεκουλῖνος F ὅσπερ Sch ὥσπερ F Λεπιδιανῶν Gro ἀπλανῶν F 24 κοσμούντων edd —ώντων F ⟨οἱ⟩ CMueller 24—25 ἐπὶ τῶιδε edd ἐπίγω δὲ F 25 Γαλατικὴ Ritterling ἀλλακτικὴ F Καλλαικὴ Gro 30 ἐπαινείτω edd —έτω F 32 περιστῆσαι [ἐν] He

(12) ἡ τάξις δὲ ἔστω ἥδε. τὸ μὲν κέρας ἑκάτερον τῶν πεζῶν τὰ ὑπερδέξια ἐχέτω τῶν χωρίων, ὅτι ἐν τοιῷδε ἡ ἐκταξις ἔσται. ἐπιτετάχθων δὲ τῶι κέρατι τῶι μὲν δεξιῶι οἱ ἀμφὶ Οὐασάκην καὶ Ἄρβηλον Ἀρμένιοι τὸ ὑπερδεξιώτατον τοῦ κέρως ἔχοντες, ὅτι τοξόται εἰσὶν οἱ σύμπαντες. (13) προτετάχθων δὲ αὐτῶν οἱ τῆς σπείρης τῆς Ἰταλικῆς πεζοί. πάντων δὲ ἡγείσθω Πούλχερ, ὅστις καὶ τῆς σπείρης τῆς Ἰταλικῆς ἄρχει. καὶ τούτωι ἐπιτεταράφθω αὐτός τε καὶ ὁ Οὐασάκης καὶ Ἄρβηλος καὶ τὸ ἐκείνων ἱππικόν τε καὶ πεζικόν. (14) ἐπὶ δὲ τοῦ ἀριστεροῦ τετάχθων, καὶ οὗτοι τὸ ὑπερδεξιώτατον τοῦ κέρως ἔχοντες, οἵ τε ἀπὸ τῆς μικρᾶς Ἀρμενίας σύμμαχοι καὶ οἱ Τραπεζουντίων γυμνῆτες καὶ οἱ Ῥιζιανοὶ λογχοφόροι. προτετάχθων δὲ καὶ τούτων οἱ Λεπιδιανοὶ οἱ διακόσιοι καὶ Κυρηναίων οἱ ἑκατόν, ὡς προβολὴν μὲν εἶναι πρὸ τῶν ἀκοντιστῶν τοὺς ὁπλίτας, τοὺς δὲ ὑπεραιωρεῖσθαι ἐκ τοῦ ὑπερδεξιοῦ. (15) τὸ δὲ ἐν μέσωι σύμπαν τὸ μὲν δεξιὸν ἐχέτω ἡ πεζικὴ φάλαγξ ἡ πεντεκαιδεκάτη ὑπὲρ τὸ μέσον τοῦ παντὸς χωρίου, ὅτι πολὺ πλείονες πλήθει οὗτοί εἰσι. τὸ δὲ ὑπόλοιπον τοῦ ἀριστεροῦ ἐκπληροῦντων οἱ τῆς ὀωδεκάτης φάλαγγος πεζοὶ ἔστε ἐπὶ τὸ ἄκρον τοῦ κέρως τοῦ ἀριστεροῦ. τετάχθω δὲ ἐπὶ ὀκτώ, καὶ πυκνὴ αὐτοῖς ἔστω ἡ ξύγκλεισις. (16) καὶ αἱ μὲν πρῶται τέσσαρες τάξεις ἑστωσαν κοντοφόρων, ὧν δὴ κοντοῖς μικρὰ καὶ ἐπίλεπτα τὰ σιδήρια προῆκται· καὶ τούτους οἱ μὲν πρωτοστάται εἰς προβολὴν ἐχόντων, ὡς, εἰ πελάζοιεν αὐτοῖς οἱ πολέμιοι, κατὰ τὰ στήθη μάλιστα τῶν ἵππων τίθεσθαι τῶν κοντῶν τὸν σίδηρον. (17) οἱ δευτεροστάται δὲ καὶ οἱ τῆς τρίτης καὶ τετάρτης τάξεως εἰς ἀκοντισμὸν προβεβλήσθων τοὺς κοντοὺς ὅπου ἂν τύχοιεν καὶ ἵππους τρώσοντες καὶ ἱππότην κατα⟨κα⟩νοῦντες καὶ θυρεῶι ⟨καὶ⟩ καταφράκτωι θώρακι ἐμπαγέντος τοῦ κοντοῦ καὶ διὰ μαλακότητα τοῦ σιδήρου ἐπικαμφθέντος ἀχρεῖον τὸν ἀναβάτην ποιήσοντες. (18) αἱ δὲ ἐφεξῆς τάξεις τῶν λογχοφόρων ἑστωσαν. ἑνάτη δὲ ἐπὶ τούτοις ἔστω τάξις οἱ πεζοὶ τοξόται, οἱ τῶν Νομάδων καὶ Κυρηναίων καὶ Βοσποριανῶν τε καὶ Ἰτυραίων. (19) μιχαναὶ δὲ ἐφεστηκέτωσαν τῶι κέρατι ἑκατέρωι, ὡς πορρωτάτω προσιόντων τῶν πολεμίων ἑξακοντίζειν, καὶ κατόπιν τῆς πάσης φάλαγγος. (20) τὸ δὲ ἱππικὸν ξύμπαν κατὰ εἴλας καὶ λόχους ὀκτὼ ξυντεταγμένον ἐφεστάτω τοῖς πεζοῖς· τὸ μὲν τοῖς κέρασιν ἑκατέροις προβολὴν ἐχον τοὺς ὁπλίτας πρὸ σφῶν καὶ τοὺς τοξότας, λόχοι δύο· τὸ δὲ τῆι μέσηι φάλαγγι, λόχοι ἓξ † μημιον. (21) τούτων δὲ ὅσοι μὲν ἱπποτοξόται πλησίον τῆς φάλαγγος ἐφεστηκέτωσαν, ὡς ὑπερτοξεύειν ὑπὲρ αὐτῆς· ὅσοι δὲ λογχοφόροι ἢ κοντοφόροι ἢ μαχαιροφόροι ἢ πελεκυφόροι εἰς τὰ πλάγιά τε ἑκατέρωθεν ὁρώντων [ἢ] καὶ τὸ ξύνθημα προσμενόντων. (22) οἱ δὲ ἐπίλεκτοι ἱππεῖς ἀμφ' αὐτὸν Ξενοφῶντα ἑστωσαν καὶ τῶν ἀπὸ τῆς φάλαγγος τῶν πεζῶν ὅσον εἰς διακοσίους, οἱ σωματοφύλακες, καὶ ἑκατοντάρχαι, ὅσοι τοῖς ἐπιλέκτοις ξυντεταγμένοι καὶ οἱ τῶν σωματοφυλάκων ἡγεμόνες, καὶ δεκάρχαι οἱ τῶν ἐπιλέκτων.

---

1 ἑκάτερον edd —έρων F 6 τε [καὶ] ὁ He 9 Ῥιζιανοί edd ἀριζιανοὶ F 10 Λεπιδιανοί: zu p. 852, 21 Κυρηναῖοι edd 12 μὲν τὸ Eb ἐχέτω C Mueller ἐχέτωσαν F 15 ἔστε edd ἔσται F τετάχθων He 16 σύγκλεισις C Mueller ξῦν F 17 ὧν Sch ὃν F οἷς Koechly · ⟨τοῖς⟩ κοντοῖς He · ἐπίλεπτα Sch —τὸν F 19—20 οἱ δευτ. δὲ C Mueller οἱ δὲ .. ὑστεροστάται δὲ F ὑποστάται Sch 21 ὅποι (?) F τρώσοντες C Mueller στρώσοντες F 21—22 κατα⟨κα⟩νοῦντες C Mueller 23 ἢ θυρεῶι Doerner ⟨καὶ⟩ C Mueller 23 ἀναβάτην Sch ἀντιβάτην F ποιήσοντες C Mueller —ται F 25 Ἰτυραίων: Ἰταλῶν Ritterling 27 [καὶ] Eb καὶ ⟨αὗται⟩ He 30 μημιον: ἐπιστήτωσαν? C Mueller 31 ὑπὲρ αὐτὴν He 33 [ἢ] C Mueller 34 αὐτὸν Sch αὐτῶν F 36 καὶ οἱ He ἢ F

(23) ἕστωσαν δὲ ἀμφ' αὐτὸν ..... ας ἑκατὸν κούφων λογχοφόρων, ὡς πᾶσαν ἐπιφοιτῶν τὴν φάλαγγα ὅπου τι ἐνδεὲς καταμανθάνοι, ἐκεῖνο ἴδοι καὶ θεραπεύοι. (24) ἡγείσθω δὲ τοῦ μὲν δεξιοῦ κέρως παντὸς ξὺν τῶι ἱππικῶι Οὐάλης, ὅσπερ καὶ τῆς πεντεκαιδεκάτης φάλαγγος ἡγεμών ἐστιν· τοῦ δὲ ἀριστεροῦ οἱ χιλιάρχαι τῆς δωδεκάτης.

(25) οὕτω δὲ ταχθέντων σιγὴ ἔστω ἔστ' ἂν πελάσωσιν ἐντὸς βέλους οἱ πολέμιοι· πελαζόντων δὲ ἤδη, ὡς μέγιστον καὶ φοβερώτατον ἀλαλάξειν ξύμπαντας τῶι Ἐνυαλίωι· καὶ βέλη τε ἀπὸ μηχανῶν καὶ λίθους ἀφίεσθαι καὶ βέλη ἀπὸ τόξων, καὶ λόγχας οἱ λογχοφόροι ἀκοντιζέτωσαν, οἱ τε ψιλοὶ καὶ οἱ † θειασταί. φερέσθωσαν δὲ καὶ λίθοι εἰς τοὺς πολεμίους ἀπὸ τοῦ ξυμμαχικοῦ ἐκ τῶν ὑπερδεξίων· καὶ τὸ πᾶν ἀκροβολισμὸς ἔστω πανταχόθεν ὡς ἔνι πυκνότατος εἰς τάραξίν τε τῶν ἵππων καὶ ὀλεθρον τῶν πολεμίων ἱππέων. (26) καὶ ἐλπὶς μὲν ὑπὸ τοῦ ἀδιηγήτου πλήθους τῶν βελῶν μὴ ἐπὶ πλεῖον πελάσειν τῆι πεζικῆι φάλαγγι ἐπελαύνοντας τοὺς Σκύθας. εἰ δὲ ὀλίγον πελάζοιεν, ἐγχρίμψαντας ταῖς ἀσπίσι καὶ τοῖς ὤμοις ἀντερ⟨ε⟩ίσαντας δέχεσθαι τὴν προσβολὴν ὡς καρτερώτατα καὶ τῆι συγκλείσει πυκνοτάτηι τὰς πρώτας τρεῖς τάξεις ξυνερειδούσας σφίσιν ὡς βιαιότατον οἷόν τε· τὴν τετάρτην δὲ ὑπεραντίζειν τὰς λόγχας· καὶ τὴν πρώτην παίειν ἢ ἀκοντίζειν τοῖς κοντοῖς ἀφειδῶς ἔς τε ἵππους καὶ αὐτούς.

(27) ἀπωσθέντων δέ, εἰ μὲν φυγὴ λαμπρὰ γένηται, διαχωρεῖν ἤδη τὰς πεζικὰς τάξεις καὶ ἐπελαύνειν τοὺς ἱππέας, μὴ πάντας τοὺς λόχους, ἀλλὰ τοὺς ἡμίσεας. τετάχθαι δὲ πρώτους, οἵτινες καὶ πρῶτοι ἐπελάσουσιν. (28) τοὺς δὲ ἄλλους ἡμίσεας ἕπεσθαι μὲν τοῖς ἐπελαύνουσιν, ἐν τάξει δὲ καὶ μὴ παντελεῖ τῆι διώξει χρωμένους, ὡς εἰ μὲν φυγὴ καρτερὰ κατέχοι, ἐκδέξασθαι τὴν πρώτην δίωξιν ἀκμήτοις τοῖς ἵπποις, εἰ δέ τις ἐπιστροφὴ καταλαμβάνοι, ἐπιτίθεσθαι τοῖς ἐπιστρέφουσιν. (29) ὁμοῦ δὲ οἱ τε Ἀρμένιοι τοξόται ἐπελαύνοντες τοξευόντων, ὡς μὴ παρασχεῖν ἀναστροφὴν τοῖς φεύγουσιν, καὶ οἱ λογχοφόροι οἱ γυμνῆτες ὁρόμωι ἐπέσθωσαν. μένειν δὲ μηδὲ τὴν πεζικὴν τάξιν ἐν χώραι ἔτι, ἀλλὰ προχωρεῖν θᾶττον ἢ βάδην, ὡς εἴ τι καρτερώτερον ἀπαντώιη ἀπὸ τῶν πολεμίων, αὖθις εἶναι προβολὴν πρὸ τῶν ἱππέων. (30) τάδε μὲν γίνεσθαι, εἰ ἀπὸ τῆς πρώτης προσβολῆς φυγὴ κατάσχοι τοὺς ἐναντίους. εἰ δὲ ἐπιστραφέντες ἐς κύκλους ὑπὲρ τὰ κέρατα παρελαύνειν ἐθέλοιεν, ἀνατείνεσθαι μὲν ⟨ἐς⟩ τὰ ὑπερδεξιώτερα ἔτι τὰ κέρατα αὐτῆς τῆς ψιλῆς τοξείας· ὡς οὐ δοκιμάζω μήποτε ἀσθενῆ τῆι ἀνατάσει τὰ κέρατα γινόμενα ἰδόντες δι' αὐτῶν ὦσαιντο καὶ διακόψαιεν τὸ πεζικόν. (31) ὑπερβαλλόντων δὲ τὰ κέρατα ἑκάτερα ἢ πότερον οὖν, πᾶσα ἤδη ἀνάγκη πλαγίους μὲν αὐτοῖς γίνεσθαι τοὺς ἵππους, πλαγίους δὲ τοὺς κοντούς. ἐνταῦθα δὴ ἐμβαλλόντων ἐς αὐτοὺς οἱ ἱππεῖς, μὴ ἀκοντισμῶι ἔτι, ἀλλὰ ταῖς σπάθαις αὐτῶν συμφερόμενοι, οἱ δὲ ταῖς πελέκεσιν. οἱ δὲ Σκύθαι γυμνοί τε ὄντες καὶ τοὺς ἵππους γυμνοὺς ἔχοντες * * *

---

1 .....ας: καὶ ἐς? C Mueller 2 τι C Mueller τὸ F ἴδοι C Mueller εἶτω F ἰώιτο Krueger 3 Οὐάλης Sch οὐάλις F ὅσπερ edd ὥσπερ F 6 πελασωσιν He πελασωσει F πελάζωσιν C Mueller 9 θυρεαφόροι? C Mueller πελέλάσειν F ὀὴ C Mueller δεῖ F 12 ἱππέων Sch ἵππων F 13 ἐπὶ C Mueller δὲ F πελάσειν edd C Mueller —ήσει F 14 ἀντερ⟨ε⟩ίσαντας edd 15 συγκλείσει τρίτην F τοὺς ἵππους? He 16 οἷόν τε C Mueller ὄντι F 17 πρώτην Mommsen C Mueller αὐτοὺς F 19 γένοιτο He ἤδη He δεῖ F 21 ἄλλους μήτε F 23 ἀκμήτοις C Mueller —ταῖς F 26 ἀπαντώιη He —οίη F 27 μηδὲ C Mueller —εῖ F 31 ⟨ἐς⟩ C Mueller 32 ἀσθενῆ C Mueller 34 πότερον: τὸ ἕτερον C Mueller ὁπότερον He 36 [αὐτῶν] He αὖ Eb

13 (—) JOANN. LYD. De mag. III 53 p. 142, 16 W: *τοιοῦτος μὲν οὖν περὶ τῶν Κασπίων πυλῶν τοῖς Ῥωμαίων συγγραφεῦσιν ὁ λόγος, ⟨ὃν⟩ Ἀρριανὸς ἐπὶ τῆς Ἀλανικῆς ἱστορίας καὶ οὐχ ἥκιστα ἐπὶ τῆς ὀγδόης τῶν Παρθικῶν (F 37) ἀκριβέστερον διεξέρχεται ....*

## *ΒΙΘΥΝΙΑΚΑ Ᾱ—Η̄.*

(T 2; 4; F 58—111; 173?).

14 (III 591, 24) PHOT. Bibl. 93 p. 73 a 32: *ἀνεγνώσθη τοῦ αὐτοῦ τὰ Βιθυνιακὰ ἐν βιβλίοις ὀκτώ, ἐν οἷς τά τε μυθικὰ τὰ περὶ Βιθυνίας καὶ τἄλλα ὅσα συνέστη περὶ αὐτὴν εἰς λεπτὸν ἀναγράφει, τῇ πατρίδι δῶρον ἀναφέρων τὰ πάτρια.* (es folgt T 4 p. 838, 23) *φαίνεται δὲ τετάρτην γράφων τὴν τῆς πατρίδος ἀφήγησιν* ..... (T 4 p. 838, 32) *ἐξ ἀρχῆς μέν, ἀφ' οὗ γράφειν ἴσχυσε, ταύτην ἐνστήσασθαι καὶ συντάξαι τὴν ὑπόθεσιν βουληθέντι, τῆς δὲ παρασκευῆς τῶι ἐνδεῶς αὐτὸν ἔχειν παρατεινάσης τὸν χρόνον· ταύτην γὰρ αὐτὸς τῆς ἐπὶ τούτωι βραδύτητος ἀποδίδωσιν αἰτίαν. ἄρχεται μὲν οὖν, ὥσπερ εἴρηται, ἀπὸ τῶν μυθικῶν τῆς ἱστορίας, κάτεισι δὲ μέχρι τῆς τελευτῆς τοῦ ἐσχάτου Νικομήδους (74 a. Chr.), ὃς τελευτῶν τὴν βασιλείαν Ῥωμαίοις κατὰ διαθήκας ἀπέλιπεν, οὕπω βασιλευομένοις μετὰ τὴν τοῦ Ταρκυνίου ἐξέλασιν.*

### *Ᾱ*

15 (25) STEPH. BYZ. s. *Ὄλυμπος· ὄρος Μυσίας. Ἀρριανὸς Βιθυνιακῶν ᾱ. οἱ οἰκοῦντες Ὀλυμπηνοί.*

### *Β̄*

16 (26) ET. M. 176, 32: *Ἀφέσιος Ζεὺς ἐν Ἄργει τιμᾶται. εἴρηται δὲ ὅτι Δευκαλίων τοῦ κατακλυσμοῦ γενομένου διαφυγὼν καὶ εἰς τὴν ἄκραν τὴν Ἄργους διασωθεὶς ἱδρύσατο βωμὸν Ἀφεσίου Διός, ὅτι ἀφείθη ἐκ τοῦ κατακλυσμοῦ. ἡ δὲ ἄκρα ὕστερον Νεμέα ἐκλήθη ἀπὸ τῶν Ἄργου βοσκημάτων ἐκεῖ νεμομένων. οὕτως Ἀρριανὸς ἐτυμολογεῖ ἐν τῶι β̄ τῶν Βιθυνιακῶν.*

### *Ε̄*

17 (27) STEPH. BYZ. s. *Βιθυνόπολις· πόλις ἀπὸ Βίθυος. τὸ ἐθνικὸν ὤφειλε Βιθυνοπολίτης· εὗρον δὲ Βιθυνιαπολίτης παρὰ Ἀρριανῶι ἐν ε̄ Βιθυνι⟨α⟩κῶν. δεῖ δὲ τοῦ Βιθυνόπολις εἶναι Βιθυνοπολίτης.*

---

1 *περὶ* Kroll ὁ *περὶ* Lyd 2 ⟨ὃν⟩ Bekker 3 Ἀλανικῆς Fussius σαλανικῆς Lyd Παρθικῶν Bekker παροικων Lyd 8 βιθυνικά $A^a$ 9 λεπτομερῶς M 11 καὶ ἐξ M 13 ἔχειν αὐτὸν M 14 τοῦτο ς 15 ὥσπερ εἴρηται nach ἱστορίας M 16 τῆς om M 27 ἀρρειανὸς Et 30 Βιθυόπολις Salmasius vulg Βιθυνόπολις ⟨καὶ Βιθυόπολις⟩? Jac πόλις ⟨Βιθυνίας⟩? Meineke Βίθυος RV βίθως P 32 Βιθυνιακῶν Ald

18 (29) STEPH. BYZ. s. *Μεγαρικόν· πολίχνιον δ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν. Ἀρριανὸς ε̄ «Ἀστακός* (F 26) *τε καὶ Ἡραία καὶ τὸ Μεγαρικόν».*

19 (28) — s. *Νικομήδειον· ἐμπόριον Βιθυνίας· Ἀρριανὸς ε̄ Βιθυνιακῶν.*

OHNE BUCHZAHL.

20 (35) a) SCHOL. DION. BYZ. *Ἀναπλ. Βοσπ.* 7: *περὶ μὲν οὖν τῆς ἄκρας ἣν Βοσπόριον καλοῦμεν, διττὸς κατέχει λόγος· οἱ μὲν γάρ φασι βοῦν οἴστρωι κατ' αὐτὴν ἐνεχθεῖσαν διανήξασθαι τὸν μεταξὺ πόρον, οἱ δὲ μυθωδέστερον ἀπομνημονεύοντες Ἰὼ τὴν Ἰνάχου κατὰ ζῆλον Ἥρας ἐλαυνομένην ἔνθεν εἰς τὴν Ἀσίαν διαπεράσαι] τοῦτο καὶ Ἀρ⟨ρ⟩ιανὸς λέγει ἐν τοῖς Βιθυνιακοῖς αὐτοῦ.* b) EUSTATH. Dion. Per. 140: *τὸν δὲ Θρακικὸν τοῦτον Βόσπορον οἱ μέν φασιν εἶναι τὰ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενά* (Strab. XII 4, 8) — *φησὶ γοῦν περί τινος ὁ Ἀρριανός, ὅτι «ἐλαύνει ἐπὶ Χρυσόπολιν, ἔνθα ὑπὸ νύκτα περάσας τὸν Βόσπορον» καὶ τὰ ἑξῆς — οἱ δὲ μάλιστα τὰ ἄνω που τοῦ καλουμένου Ἀνάπλου. τοῦτον δὲ τὸν Βόσπορον ἐνήξατο (φησί) ποτὲ ἡ Ἰὼ βουλαῖς Ἥρας δάμαλις οὖσα. διὸ καὶ Βόσπορος λέγεται, οἱονεὶ βοὸς πόρος τῆς ἐκείνης οἰστροπλήγος, περὶ ἧς Ἀρριανὸς οὕτω φησί· «πορθμὸς ὁ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον, ὅ ποτε Μύσιος, διότι Μυσοὶ ἀντιπέραν ὤικουν ποτὲ τῆς Θράικης, ὕστερον δὲ Βόσπορος ἐπὶ τῆι συμφορᾶι τῆς Ἰοῦς, ἣν κατὰ μῆνιν Ἥρας οἰστρηθεῖσαν εἰς τοὺς χώρους τούτους ἀφικέσθαι καὶ ταύτηι διαπεραιώσασθαι οἱ μῦθοι ἐποίησαν.» λεγει δὲ ὁ αὐτὸς καὶ ὅτι κατά τινας οὐκ ἀπὸ τῆς ῥηθείσης βοὸς ὁ τοιοῦτος Βόσπορος, ἀλλ' ἀπό τινος ἑτέρας ὠνόμασται, «ἥτις» φησί «Φρυγῶν ἐπικειμένων ἐμβάλλει ἀδεῶς εἰς τὴν θάλασσαν καὶ περαιοῦται ἀβλαβῶς τὸν κατὰ Χαλκηδόνα καὶ Βυζάντιον Βόσπορον· καὶ οὕτω καθηγεμὼν ἐκείνοις γίνεται κατά τινα θεοφορίαν» ἤγουν μαντείαν, «ἥτις διεκελεύετο βοῦν ἡγεμόνα καταστῆσαι τῆς ὁδοῦ· ὃ καὶ ποιήσαντες ἐκεῖνοι διετου ἕστηκε βοῦς χαλκῆ, ὑστέρωι ποτὲ χρόνωι ὑπὸ Χαλκηδονίων ἱδρυθεῖσα. καὶ τάχα ἐκ ταύτης καί τις ἐκεῖ τόπος καλεῖται Δάμαλις ἕως καὶ νῦν.»*

---

2 ἀριανὸς R ἡραία P (RVP Steph. Byz. s. v.) ἡράα RV 3 καὶ om P 4 ἀριανὸς P 10 Ἰὼ edd Ἰνὼ Di 14 ἀριτανὸς F 16 τὰ ἄνω που: τὸν ἄνωπον C 20 Καλχηδόνα M 28 Καλχηδόνα MN 31 καταστῆσαι τῆς ὁδοῦ UM τῆς ὁ. ποιήσασθαι cett 33—34 Καλχηδονίων U 35 δαμάλιος cy δαμάλιον C (Bernhardy) καὶ νῦν L νῦν cett

21 (66) a) EUST. Hom. Il. *Δ* 407 p. 490, 2: *ἱστέον δὲ ὅτι ἐκ τῶν ῥηθέντων Θηβαικῶν πολέμων παροιμία ἐξέπεσεν ἐπὶ τῶν ἀλυσιτελῶν τὸ «Καδμεία νίκη» .... Ἀρριανὸς μέντοι ἐν τοῖς Βιθυνιακοῖς, ὡς καὶ προεδηλώθη, ἐπὶ μεγίστης νίκης τὴν παροιμίαν ἐδέξατο.* b) — *B* 851 p. 361, 2: *καὶ γοῦν Καδμείαν νίκην οἱ μὲν ἄλλοι οὐκ ἐπαινοῦντές φασι .... Ἀρριανὸς δὲ τὴν μεγάλην καὶ ὅ φασι κατ' ἄκρας νοεῖ διὰ τὸ ἄκρως ἡττηθῆναι τοὺς περὶ τὸν Πολυνείκην ὑπὸ τῶν Καδμείων ὡς μόνον περισωθῆναι τὸν Ἄδραστον.*

22 (30) — *E* 408 p. 429, 1: *Ἀρριανοῦ εἰπόντος ἐν Βιθυνιακοῖς, ὅτι ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν Βιθυνοὶ ἐκάλουν Πάπαν τὸν Δία καὶ Ἄττιν τὸν αὐτόν, ὁμοίως καὶ Ἡροδότου* (IV 59) *τὸ 'καλεῖται Ζεὺς ὑπὸ Σκυθῶν ὀρθότατα Παπαῖος'.*

23 (32) — *H* 459 p. 691, 43: *οὕτω καὶ ὁ Πρίηπος οὐ μόνον ἐν τῶι η λέγεται ἀλλὰ καὶ διὰ τοῦ α Πρίαπος καὶ διὰ τοῦ ε δὲ «Πρίεπος» παρὰ Ἀρριανῶι ἐν Βιθυνιακοῖς, παρ' ὧι καὶ εἰς ἥλιον ἀλληγορεῖται ὁ Πρίεπος διὰ τὸ γόνιμον.*

24 (34) — *O* 302 p. 1017, 15: *τῆς δὲ περιττοσυλλάβου κλίσεως παρὰ τοῖς πλείοσιν, ὡς καὶ παρὰ τῶι ἱστοροῦντι ὅτι μυκήτων οὐκ ἔστιν οὐδὲ ἴχνος τῆς σπερματικῆς κορυνήσεως οὐδὲ στερματώσεως, ὥσπερ οὐδὲ ἄλλων τινῶν. ἔστι γὰρ κατὰ τὸν μύκητα καὶ τὸ ὕδνον τὸ καὶ γεράνειον κατά τινας καὶ ἡ ἕλιξ καὶ ἡ πτέρις δέ, ἣν ἔνιοι βλάχνον καλοῦσιν, ὡς καὶ Ἀρριανὸς δηλοῖ ἐν Βιθυνιακοῖς.*

25 (59) STEPH. BYZ. s. *Ἀμαζόνειον· .... ἔστι καὶ ἐν Βιθυνίαι Μαζαῖον κατὰ παραφθοράν, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς.*

26 (29) — s. *Ἀστακός· πόλις Βιθυνίας· ἀπὸ Ἀστακοῦ τοῦ Ποσειδῶνος καὶ νύμφης Ὀλβίας, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς ἱστορεῖ.* s. F 18.

27 (56) — s. *Τριῆρες· ἔθνος· ἀπὸ Τριήρου τοῦ Ὀμβριάρεω παιδὸς καὶ Θράικης, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς.*

28 (75 a) SCHOL. TZETZ. Chil. I 799 (Cram. An. Ox. III 353, 23): *αὐτὸς* (sc. *Ἀννίβας*) *δὲ φάρμακον πιὼν θνήσκει πρὸς Βιθυνίαν, πρός τι χωρίον Λίβυσσαν καλούμενον τῆι κλήσει, δοκῶν θανεῖν εἰς Λίβυσσαν πατρίδα τὴν οἰκείαν· ἦν γὰρ Ἀννίβαι τις χρησμὸς οὕτω που γεγραμμένος· 'Λίβυσσα κρύψει βῶλος Ἀννίβα δέμας'.*] *τὸ νῦν καλούμενον τὰ Βουτίου, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς γράφει.*

29 (75) TZETZ. Chil. III 950: *ὁ τοῦ Ζιποίτου μὲν υἱός, ἐκεῖνος Νικομήδης ὁ κτίσας Νικομήδειαν, πατὴρ ὁ τοῦ Προυσίου — Προυσίου ἔχοντος ὀστοῦν ἓν τοὺς ὀδόντας πάντας ..... —* (963) *οὗτος ὁ τοῦ*

---

24 κάζαιον P Μαζάειον? Meineke 26 ὀλβύας V βιθυνικοῖς VP
27 Ὀβριάρεω Meineke 27—28 καὶ Θράικης παιδὸς VP ἀριανὸς V

μονώδοντος τούτου πατὴρ Προυσίου, τοῦ κτήτορος τῆς πόλεως Προύσης τῆς παρ' Ὀλύμπωι, ὁ Νικομήδης ὁ ῥηθεὶς μέγιστον εἶχε κύνα, ἐκ γένους ὄντα Μολοσσῶν, πιστότατον ἐκείνωι. οὗτός ποτε τὴν δέσποιναν, σύζυγον Νικομήδους, μητέρα τοῦ Προυσίου δέ, Ζιήλου καὶ Λυσάνδρας, τὴν Διτιζήλην κλῆσιν μέν, ἀπὸ Φρυγῶν δὲ γένους, συμπαίζουσαν τῶι βασιλεῖ νομίσας πολεμίαν ἐσπάσατο περιχανὼν τὸν δεξιὸν τὸν ὦμον καὶ ταύτης σάρκας καὶ ὀστᾶ συντρίψας τοῖς ὀδοῦσιν. ἥπερ θανοῦσα παρ' αὐταῖς ἀγκάλαις βασιλέως Νικομηδείαι τέθαπτο μεγαλοπρεπεστάτως, ἐν τάφωι ἀπὸ λίθου μέν, ἀλλ' ἐγκεχρυσωμένωι ..... (984) τὸν κύνα δὲ γενόμενον ἐξ ὀφθαλμῶν ἐκείνου στοργῆι τοῦ βασιλέως τε καὶ γυναικὸς τῆι λύπηι λόγος ἐμφέρεται πολλοῖς τὸν βίον ἀποπνεῦσαι. Ἀρριανὸς Βιθυνικοῖς γράφει τὴν ἱστορίαν.

## ΠΑΡΘΙΚΑ Ᾱ—ΙΖ̄.

(T 2. F 112; 113? 114—116; 118—123; 125—128; 130—133; 136; 138? 139—140; 142; 144; 149; 151; 153—154; 156—158; 160; 162; 164—167; 169—171).

### ⟨Ᾱ⟩

**30** (1) a) PHOT. BIBL. 58 p. 17 a 23: ἀνεγνώσθη Ἀρριανοῦ Παρθικὰ ἐν βιβλίοις ιζ̄. οὗτος — Ἀλανικήν (s. T 2). διέρχεται δὲ ἐν ταύτηι τῆι πραγματείαι τοὺς πολέμους, οὓς ἐπολέμησαν Ῥωμαῖοι καὶ Πάρθοι, Ῥωμαίων αὐτοκράτορος ὄντος Τραιανοῦ. φησὶ δὲ τὸ Πάρθων γένος Σκυθικόν, ἀποστῆναι δὲ τῆς τῶν Μακεδόνων ἐπικρατείας (F 32), ἅμα Περσῶν καταστραφέντων πάλαι δουλωθέν, δι' αἰτίαν τοιαύτην. Ἀρσάκης καὶ Τηριδάτης ἦστην ἀδελφὼ Ἀρσακίδαι, τοῦ υἱοῦ Ἀρσάκου τοῦ Φριαπίτου ἀπόγονοι. οὗτοι Φερεκλέα τὸν ὑπὸ Ἀντιόχου τοῦ βασιλέως — Θεὸν αὐτὸν ἐπίκλην ὠνόμαζον (261—246) — † ἀλλ' οἵ γε Ἀρσακίδαι τὸν ὑπ' Ἀντιόχου σατράπην αὐτῶν τῆς χώρας καταστάντα Φερεκλέα, ἐπεὶ τὸν ἕτερον τῶν ἀδελφῶν αἰσχρῶς ἐπείρασε βιασάμενος, οὐκ ἐνεγκόντες τὴν ὕβριν ἀνείλόν τε τὸν ὑβρίσαντα καὶ ἑτέροις πέντε τὴν πρᾶξιν ἀνακοινωσάμενοι καὶ τὸ ἔθνος Μακεδόνων ἀπέστησαν καὶ καθ' ἑαυτοὺς ἦρξαν καὶ ἐπὶ μέγα δυνάμεως ἦλασαν, ὡς καὶ Ῥωμαίοις ἀντιρρόπους μάχας θέσθαι, ἐνίοτε δὲ καὶ μεθ' ἑαυτῶν τὴν νίκην ἔχοντας τοῦ πολέμου ἀπελθεῖν. Πάρθους δέ

---

4—5 Διτιζήλην: Ἐταζέτα Memn. Phot. Bibl. 228b 9 6 τῶν ὤμων? 18 ταύτηι: αὐτῆι A 20 πάρθον M 23 Φριαπιτου $A^1$ 24 οὗτοι A ὅτι M Φερεκλέα: Ἀγαθοκλῆς F 31 ὑπὸ: ἀπὸ $A^2$ ἀπὸ $A^1$ 24—26 [ἀλλ' — Ἀντιόχου] n. [Φερεκλέα] vulg ⟨ἀλλ' οἵ γε Ἀρσακίδαι⟩ [οὗτοι Φερεκλέα] τὸν ὑπὸ Ἀντιόχου — Θεὸν αὐ. ἐ. ὠνόμαζον — [ἀλλ' οἵ γε Ἀ. τ. ὑπ' Ἀντ.] σατράπην αὐ. τ. χ. καταστάντα Φερεκλέα? Jac 26 αὐτῆς M 29 τῶν Μακ. M

φησιν ἐπὶ Σεσώστριδος τοῦ Αἰγυπτίων βασιλέως καὶ Ἰανδύσου τοῦ Σκυθῶν ἀπὸ τῆς σφῶν χώρας Σκυθίας εἰς τὴν νῦν μετοικῆσαι. οὓς ὁ Ῥωμαίων αὐτοκράτωρ Τραιανὸς κατὰ κράτος ταπεινώσας ὑποσπόνδους ἀφῆκεν, αὐτὸς αὐτοῖς τὸν βασιλέα καταστησάμενος. b) EUAGRIOS HE V 24: γέγραπται δὲ περὶ τῶν χρόνων τούτων ἔνια Ἀρριανῷ τε καὶ Ἀσινίωι Κουαδράτωι (97 T 3).

31 (1) SYNKELL. p. 539, 11 Bonn: Συρίας . . . $\overline{\delta}$ ἐβασίλευσεν Ἀντίοχος ὁ υἱὸς αὐτοῦ, ὁ ἐπικληθεὶς Καλλίνικος, ὁ αὐτὸς καὶ Σέλευκος (246—226) .... ἐπὶ τούτου τοῦ Ἀντιόχου Πέρσαι τῆς Μακεδόνων καὶ Ἀντιόχων ἀρχῆς ἀπέστησαν, ὑπ' αὐτοὺς τελοῦντες ἀπὸ Ἀλεξάνδρου τοῦ κτίστου διὰ τοιαύτην αἰτίαν. Ἀρσάκης τις καὶ Τηριδάτης ἀδελφοί, τὸ γένος ἔλκοντες ἀπὸ τοῦ Περσῶν Ἀρταξέρξου, ἐσατράπευον Βακτρίων ἐπὶ Ἀγαθοκλέους Μακεδόνος ἐπάρχου τῆς Περσικῆς. ὃς Ἀγαθοκλῆς ἐρασθεὶς Τηριδάτου, ὡς Ἀρριανός φησιν, ἑνὸς τῶν ἀδελφῶν καὶ τὸν νεανίσκον σπουδάζων ἐπιβουλεῦσαι διαμαρτήσας ἀνηιρέθη παρ' αὐτοῦ καὶ Ἀρσάκου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ βασιλεύει Περσῶν Ἀρσάκης, ἀφ' οὗ οἱ Περσῶν βασιλεῖς Ἀρσακίδαι ἐχρημάτισαν, ἔτη $\overline{\beta}$· καὶ ἀναιρεῖται· καὶ μετ' αὐτὸν Τηριδάτης ἀδελφὸς ἔτη $\overline{\lambda\zeta}$.

*32 (—) JOANN. LYD. De mens. III 1 p. 37, 12: ὅθεν καὶ Πάρθοι ἤτοι Πέρσαι μέγα φρονοῦσιν ἐπὶ παλαιότητι. Σκύθας δὲ αὐτοὺς εἶναι πάντες μὲν μαρτυροῦσιν, Ἀρριανὸς δὲ δείκνυσι· τὸ γὰρ Πάρθος ὄνομα ὁ Σκύθης καὶ ἔπηλυς κατ' αὐτὸν τῇι Σκυθῶν φωνῇι ἑρμηνεύεται.

$\overline{B}$

(s. F 166; 170?)

33 (2) STEPH. BYZ. s. Ζηνοδότιον· πόλις Ὀσροηνῆς πλησίον Νικηφορίου· Ἀρριανὸς Παρθικῶν $\overline{\beta}$. a. 54 n. Chr.

$\overline{\Gamma}$

(s. komm. zu F 34).

$\overline{\Delta}$

(s. F 50; 133).

34 (3) STEPH. BYZ. s. Γάζακα· πόλις μεγίστη τῆς Μηδίας, ὡς Κουάδρατος ἐν $\overline{\eta}$ Παρθικῶν (97 F 14). Ἀρριανὸς δὲ κώμην μεγάλην αὐτήν φησιν ἐν Παρθικῶν $\overline{\delta}$, καὶ ἑνικῶς «τῆς Γαζάκου» λέγων. a. 36 n. Chr.

---

1 τῶν αἰγυπτίων M Ἰδάνθυρσος Herod. IV 76 ö. (v. l. Ἰδάνθυρος); Strab. XV 1, 6 (Megasthenes) Ἰνδάθυρσος Arrian. Ind. 5, 4 (Megasth.) *Tanaus* Justin. I 6, 6 *Thanausis* Jordan. Get. 6 9 ἐπὶ C Mueller ἐν Synk 13 Ἀγαθοκλέους: *Φερεκλῆς* F 30 ὃς Scaliger ὡς Synk 26 παρθενικός RV 31 γάζαναι V 32 παρθενικῶν VP

$\overline{E}$

(s. komm. zu F 35).

$\overline{F}$

(s. F 119? 159).

35 (4) STEPH. BYZ. s. *Χολοβητηνή· μοῖρα Ἀρμενίας. Ἀρριανὸς* a. 58 p. Chr.? *ϛ̄ Παρθικῶν· «Τιγράνης †ἀρχόμενος ἄρχεται σατράπης. ἡ δὲ χώρα ἧς ἐπῆρχε Χολοβητηνὴ ὀνομάζεται.»*

$\overline{Z}$ a. 114 p. Chr.

(s. komm. zu F 35).

$\overline{H}$

(s. F 51?; 114; 120; 122? 126; 128; 149).

36 (5) STEPH. BYZ. s. *Ἐλέγεια· χωρίον πέραν Εὐφράτου· Ἀρριανὸς ἐν Παρθικῶν η̄.*

37 (—) JOANN. LYD. De mag. III 53 p. 142, 16 W: *τοιοῦτος μὲν οὖν περὶ τῶν Κασπίων πυλῶν τοῖς Ῥωμαίοις συγγραφεῦσιν ὁ λόγος, ⟨ὃν⟩ Ἀρριανὸς ἐπὶ τῆς Ἀλανικῆς ἱστορίας* (F 13) *καὶ οὐχ ἥκιστα ἐπὶ τῆς ὀγδόης τῶν Παρθικῶν ἀκριβέστερον διεξέρχεται, αὐτὸς τοῖς τόποις ἐπιστάς, οἷα τῆς χώρας αὐτῆς ἡγησάμενος ὑπὸ Τραιανῶι τῶι χρηστῶι· τοιούτους γὰρ ἄρχοντας ἐκεῖνος ἔσχεν, οἳ τοῖς τε λόγοις τοῖς τε ἔργοις εἰς τοσαύτην εὔκλειαν τὴν πολιτείαν ἀνέστησαν.*

$\overline{\Theta}$

(s. F 136; 140; 167?)

38 (6) STEPH. BYZ. s. *Λίβανα· πόλις Συρίας ταῖς Ἄτραις γειτνιάζουσα· Ἀρριανὸς Παρθικῶν ϑ̄.*

$\overline{I}$

(s. F 115—116; 127? 139; 146; 151; 164—165).

39 (7) STEPH. BYZ. s. *Φάλγα· κώμη μέση Σελευκείας τῆς Πιερίας καὶ τῆς ἐν Μεσοποταμίαι. Ἀρριανὸς ἐν ῑ̄ Παρθικῶν. ἡ δὲ φάλγα γλώσσηι τῆι ἐπιχωρίωι τὸ μέσον δηλοῖ.*

40 (8) — s. *Χωχή· κώμη πρὸς τῶι Τίγριδι ποταμῶι. Ἀρριανὸς δεκάτωι· «καὶ βασιλεὺς δὲ ἐξελαύνει ἐκ Σελευκείας οὐ πρόσω τοῦ ποταμοῦ τοῦ Πίγρητος ἐς κώμην, ἧι τινι Χωχὴ ὄνομα.»*

---

6 *παρθενικῶν* V *Ἀχαιμένεος* Guyet *Ἀρχομένους* v. Gutschmid *Ἀρμένιος*? 15 *περὶ* Kroll *ὁ περὶ* Lyd ⟨*ὃν*⟩ Bekker 17 *Παρθικῶν* Bekker *παροικων* Lyd *αὐτὸς* Bekker *αὐτοις* Lyd 18 *Τραιανῶι* Fussius *τραιανου* Lyd 20 *τὴν* Fussius *φάλ* R 23 *λιβαναὶ* VP 24 ..... *κῶν* V 28 *παρθεγικῶν* R 29 *ἐπιχωρία* R (s. F 63) 30 *τίγρηδι* R 32 *πίγρηδος* R *τίγριδος* VP 38 *Coche* Ammian. Marc. XXIV 6, 2

## ΙΑ—ΙΖ

(s. F 49; 112; 121?; 131; 153?; 154; 158?; 160; 162; 169).

### ΙΑ

**41** (10) STEPH. BYZ. s. *Θεβηθά· φρούριον Μεσοποταμίας· Ἀρριανὸς ια.*

**42** (9) — s. *Νάαρδα· πόλις Συρίας πρὸς τῶι Εὐφράτηι, ὡς Ἀρριανὸς Παρθικῶν ια.*

### ΙΓ

**43** (11) STEPH. BYZ. s. *Δόλβα· πόλις τῆς Ἀδιαβηνῆς· Ἀρριανὸς ιγ Παρθικῶν.*

**44** (13) — s. *Ἡφαίστου νῆσοι· τῆς Ἀδιαβηνῆς· Ἀρριανὸς ιγ Παρθικῶν.*

**45** (12) — s. *Χαζήνη· σατραπεία πρὸς τῶι Εὐφράτηι τῆς Μεσοποταμίας. Ἀρριανὸς ἐν ιγ Παρθικῶν· «ἐν ταύτηι τῆι Ὀλβίαι καὶ τὰ πεδία τῆς Χαζήνης †σατραπίου ἐπὶ μήκιστον ἀποτεταμένα.»*

### ΙΓ

**46** (14) STEPH. BYZ. s. *Ἄκρα· .... ι ἔστι καὶ πέραν τοῦ Πίγρητος Ἄκρα· Ἀρριανὸς ις.*

**47** (14) — s. *Ὄραθα· πόλις τῆς ἐν Πίγρητι Μεσήνης· Ἀρριανὸς Παρθικῶν ις.*

### ΙΖ

**48** (15) STEPH. BYZ. s. *Ἄτραι· πόλις μεταξὺ Εὐφράτου καὶ Πίγρητος· Ἀρριανὸς ιξ Παρθικῶν.*

### OHNE BUCHZAHL

**49** (18) a) MALALAS p. 269, 11—270, 16 Bonn: *ἐν ὠι χρόνωι ἐπιστρατεύσας* IF o. IZ? *ἀνῆλθε πολεμῶν μετὰ δυνάμεως πολλῆς κατὰ Ῥωμανίας ⟨Μεερδότης⟩ ἐκ γένους Παρθῶν βασιλεὺς Περσῶν, ὁ ἀδελφὸς Ὀσδρόου βασιλέως Ἀρμενίων. καὶ παρέλαβε πόλεις καὶ ἐπραίδευσε χώρας πολλάς, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν ἴδιον αὐτοῦ υἱόν Σανατρούκιον. καὶ ὡς πραιδεύει ὁ Μεερδότης βασιλεὺς τὴν Εὐφρατησίαν χώραν, ἐλαύνων κατηνέχθη ἀπὸ τοῦ ἵππου καὶ ἐκλάσθη κακῶς καὶ ἐτελεύτησεν ἰδίωι θανάτωι. ἐν τῶι δὲ μέλλειν αὐτὸν τελευτᾶν ἐποίησε τὸν υἱὸν αὐτοῦ τὸν Σανατρούκιον*

---

4 *θεβιδά* R *Θεβοθών* Theophyl. Simok. III 10 p. 134, 9 Bonn 6 *Νέερδα* Joseph. AJ XVIII 369 *Narraga* Plin. NH VI 123 7 *ἀριανὸς* R *ριανὸς* VP 9 *Δόλβα*: Streck RE V 1275 *ἀδαβηνῆς* R *ἀβιαδηνῆς* P 13 *Εὐφράτηι*: l. *Τίγρητι* (Herzfeld Memnon I 123) 14 *γ̄* V *ἐνταῦθ' ἥ τε Ὀλβία*? Meineke 15 *σατραπείας* Salmasius 18 *τίγρητος* P 20 *Ὄραθα*: *Ur* Ammian. Marc. XXV 8, 7 *τίγρητι* P *μεσσήνης* VP 24 *τίγρητος* P 27 *πολεμῶν* Chilmeadus *πόλεμον* Ox ⟨*Μεερδότης*⟩ Dindorf

ἀρσάκην, ὅ ἐστι βασιλέα, ἀντ' αὐτοῦ· περσιστὶ δὲ τορκὶμ βασιλεὺς ἑρμηνεύεται. καὶ ἐπέμεινεν ὁ αὐτὸς Σανατρούκιος βασιλεὺς Περσῶν λυμαινόμενος τὴν Ῥωμανίαν. ὁ δὲ Ὀσδρόης βασιλεὺς Ἀρμενίων, ὁ τοῦ Μεερδότου ἀδελφός, ἀκούσας τὸν αὐτοῦ θάνατον ἔπεμψε καὶ αὐτὸς εὐθέως τὸν ἴδιον αὐτοῦ υἱὸν ἀπ' αὐτῆς τῆς Ἀρμενίας μετὰ πολλοῦ στρατοῦ τὸν Παρθεμασπάτην πρὸς βοήθειαν τοῦ ἑαυτοῦ ἐξαδέλφου Σανατρουκίου, βασιλέως Περσῶν, κατὰ Ῥωμαίων. καὶ ταῦτα ἀκούσας ὁ θειότατος Τραιανὸς βασιλεὺς εὐθέως ἐπεστράτευσε. b) MALALAS p. 273, 21—274, 19: καὶ ἐνίκησεν αὐτοὺς κατὰ κράτος τῶι τρόπωι τούτωι. μαθὼν ὅτι διαφθονεῖται τῶι Σανατρουκίωι βασιλεῖ Περσῶν ὁ ἴδιος αὐτοῦ ἐξάδελφος Παρθεμασπάτης, πέμψας πρὸς αὐτὸν ὑπενόθευσεν αὐτὸν Τραιανὸς βασιλεύς, ταξάμενος δοῦναι αὐτῶι τὴν βασιλείαν Περσῶν, ἐὰν συμμαχήσηι αὐτῶι· καὶ ὑπονοθευθεὶς ἦλθε πρὸς αὐτὸν νυκτός. καὶ λαβὼν αὐτὸν εἰς τὸ ἴδιον αὐτοῦ μέρος μετὰ τοῦ πλήθους αὐτοῦ ὁ αὐτὸς θειότατος Τραιανὸς ὥρμησε κατὰ τοῦ Σανατρουκίου βασιλέως Περσῶν· καὶ πολλῶν Περσῶν πεσόντων συνελάβετο τὸν Σανατρούκιον βασιλέα Περσῶν φεύγοντα καὶ ἐφόνευσεν αὐτόν. καὶ ἐποίησεν ἀντ' αὐτοῦ βασιλέα Περσῶν τοῖς ὑπολειφθεῖσι καὶ προσπεσοῦσιν αὐτῶι Πέρσαις ὁ αὐτὸς Τραιανὸς κατὰ τὰς συντάξεις ὀνόματι Παρθεμασπάτην, υἱὸν Ὀσδρόου, γράψας τῆι συγκλήτωι τῆι ἐν Ῥώμηι ὅτι 'τοσαύτην καὶ ἄπειρον γῆν καὶ ἄμετρα διαστήματα ἀφέστηκότα τῆς Ῥώμης διοικεῖν οὐκ ἀντεχόμεθα, ἀλλὰ παράσχωμεν αὐτοῖς βασιλέα ὑποτεταγμένον τῶι τῶν Ῥωμαίων κράτει'. καὶ ἀντέγραψεν αἰτῶι ἡ σύγκλητος ἀπὸ Ῥώμης ἅπαντα ποιῆσαι ὡς δ' ἂν βούληται καὶ αὐτὸς συνίδηι συμφέρειν τῆι Ῥωμανίαι. καὶ ἐβασίλευσε Περσῶν ὁ Παρθεμασπάτης. τὸν δὲ πόλεμον καὶ τὴν κατὰ Περσῶν νίκην τοῦ θειοτάτου Τραιανοῦ ὁ σοφώτατος Ἀρειανὸς ὁ χρονογράφος ἐξέθετο, ἱστορήσας καὶ συγγραψάμενος πάντα ἀκριβῶς.

50 (—) SIMPLIC. in Aristot. Categ. 8 [Comm. in Arist. gr. VIII] Δ p. 230, 6: καὶ ὑπὸ φαρμάκου δὲ ἐπιλαθέσθαι συνέβη πάντων, ὡς τοῖς μετὰ Ἀντωνίου τοῦ Ῥωμαίων στρατηγοῦ Πάρθοις πολεμοῦσι συνέβη ἐπὶ βοτάνης τινὸς ἐδωδῆι, ὡς Ἀρριανὸς ἱστόρησεν ἐν τοῖς Παρθικοῖς· πλὴν ὅτι ἐκεῖνοι χρόνωι πάλιν ἀπεκατέστησαν εἰς τὸ κατὰ φύσιν ὅσοι περιεσώθησαν οἰνελαίου πόματος εὐπορήσαντες· τοῦτο γὰρ ἐκ περιπτώσεως ηὑρέθη τοῦ πάθους βοήθημα.

51 (16) SUID. s. γνῶσις gl. 3: Ἀρριανὸς ἐν Παρθικοῖς· «περὶ Η? Παρθαμασίρου δὲ οὐχὶ Ἀξιδάρου εἶναι, ἀλλὰ ἑαυτοῦ τὴν γνῶσιν, ὅτι πρῶτος παραβαίνων τὰ ξυγκείμενα ἔτυχε τῆς δίκης.» ἀντὶ τοῦ τὴν αἰτίαν, τὴν ἀφορμήν.

5 παραθεμασπάτην Ox 22 συνείδοι Ox 23 παθεμασπάτης Ox 29 Ἀντωνίου JL —νίνου KAr 35 Παρθαμασίρου Bernhardy Πάρθου (παρ A πᾶρ V πάρθένου C) Μα(ρ)σίρου Suid (s. zu p. 862, 5) 35—36 ἑαυτοῦ τὴν Bernhardy τὴν ἑ. Suid

*ΤΙΛΛΙΒΟΡΟΥ ΒΙΟΣ.*

52 (—) LUKIAN. Alex. 2: *καὶ Ἀρριανὸς γὰρ ὁ τοῦ Ἐπικτήτου μαθητής, ἀνὴρ Ῥωμαίων ἐν τοῖς πρώτοις καὶ παιδείαι παρ' ὅλον τὸν βίον συγγενόμενος, ὅμοιόν τι παθὼν ἀπολογήσαιτ' ἂν καὶ ὑπὲρ ἡμῶν· Τιλλιβόρου γοῦν τοῦ λιστοῦ κἀκεῖνος βίον ἀναγράψαι ἠξίωσεν.*

*ΕΠΙΚΤΗΤΟΥ ΒΙΟΣ.*

53 (—) SIMPLIC. in Epict. Ench. praef.: *περὶ μὲν τοῦ βίου τοῦ Ἐπικτήτου καὶ τῆς αὐτοῦ τελευτῆς Ἀρριανὸς ἔγραψεν ὁ τὰς Ἐπικτήτου διατριβὰς ἐν πολυστίχοις συντάξας βιβλίοις· καὶ ἀπ' ἐκείνου μαθεῖν ἔστιν, ὁποῖος γέγονε τὸν βίον ὁ ἀνήρ.*

## Fragmente ohne Buchtitel.

54 (—) ANON. *π. συντ.* 139, 10 Bk.: *καὶ Ἀρριανός· «ἔν τε ΤΑ ΜΕΤΑ ΑΛ. οὐδὲν ἐδόκει ἀπεῖναι τῶν ἑαλωκυίαι ἤδη πόλει ξυμφερομένων.»*

55 (—) — — 170, 13: *παρεγγυῶ· δοτικῆι. Ἀρριανός· «ταὐτὸ δὲ τοῦτο παρηγγύησε καὶ τοῖς ἀποσπασθεῖσιν ἀπὸ τῆς σὺν αὐτῶι στρατιᾶς.»*

56 (—) — — 178, 25: *ὑπερασπίζω· αἰτιατικῆι. Ἀρριανός· «καὶ ἐπὶ τούτωι Λεον⟨ν⟩άτος ⟨ὁ⟩ ὑπερασπίσας Ἀλέξανδρον.»*

57 (76) EUSTATH. Dion. Per. 222: *τινὲς δὲ Νεῖλόν φασιν ὠνομάσθαι ΒΙΘ. ἀπὸ Νείλου τινὸς ἀπογόνου Ἄτλαντος βασιλεύσαντος τῶν ἐκεῖ. ἄλλοι δέ, ὅτι Μέλας πρότερον καλούμενος μετεκλήθη Νεῖλος ἀπό τινος Νείλου βασιλικοῦ παιδὸς ἐκεῖ ῥίψαντος ἑαυτόν. τινὰς μέντοι ἀπό τινος Νειλασίου κεκλῆσθαι οὕτως αὐτὸν εἰπόντας οὐκ εὖ λέγοντας ἀπελέγχει ὁ Ἀρριανός.*

58 (63) — — 270: *Ἀγήνορος δὲ αὕτη* (sc. *Εὐρώπη*) *θυγάτηρ, ἣν Ταῦρος ὁ τῆς Κρήτης βασιλεὺς ἐλήισατο, ναυμαχίαι τὴν Τύρον ἑλών. σημείωσαι δὲ ὅτι ἄλλος ἐστὶν οὗτος παρὰ τὸν Λύκιον Σαρπηδόνα. Σαρπηδὼν μὲν γὰρ οὗτος ὁ τῆς ῥηθείσης Εὐρώπης ἀδελφός ἐστι Μίνωος καὶ Αἰακοῦ κατὰ τὸν Ἀρριανόν, ὁ δὲ ἐκ Λυκίας Σαρπηδὼν ὁ Ὁμηρικὸς οὐκ ἂν εἴη τούτοις σύγχρονος.*

59 (36) — — 322: *ὁ δὲ Ἀρριανὸς τῶν Εὐρωπαίων Μυσῶν ἀποίκους λέγει τοὺς ἐν τῆι Ἀσίαι Ὀλυμπηνοὺς Μυσούς, οἵτινες Μυσοὶ ὀνομάζονται ἢ ἀπὸ Μυσοῦ τοῦ Διὸς ἢ ἀπὸ ἑτέρου Μυσοῦ υἱοῦ Ἀργανθώνης τῆς γενναίας τῆς ὀρεσιβίου ἢ ἀπὸ τοῦ φυτοῦ τῆς μυσῆς ἢ τοῦ μυσοῦ* (ἀμφοτέρως γὰρ λέγεται), *ὅπερ τὴν ὀξύην δηλοῖ κατὰ τὴν γλῶσσαν τῶν Λυδῶν, ὡς καὶ ὁ Γεωγράφος* (XII 8, 3) *φησίν. Ἡρόδοτος* (VII 74) *δὲ τοὺς ἐν τῆι Ἀσίαι Μυσοὺς Λυδῶν ἀποίκους λέγει, Ὀλυμπηνοὺς καλουμένους ἀπὸ ὄρους Ὀλύμπου τοῦ Ἀσιανοῦ.*

18 *Λεονᾶτος* An ⟨ὁ⟩ Jac 26 ἐστίν: ἦν L 29 v. l. τούτωι
37 v. l. ἀπὸ τοῦ ὄρους

60 (37) EUSTATH. Dion. Per. 322: *ὅτι Θρᾷικες οὐ μόνον Εὐρωπαῖοι ἀλλὰ καὶ Ἀσιανοὶ κατὰ τὴν Ἀρριανοῦ ἱστορίαν, λέγοντος ὥσπερ Φρύγας καὶ Μυσοὺς οὕτω δὴ καὶ Θρᾷικας ἐξ Εὐρώπης διαβῆναι εἰς Ἀσίαν μετὰ Πατάρου τινὸς ἡγεμόνος, ὅτε οἱ Κιμμέριοι τὴν Ἀσίαν κατέτρεχον, οὓς ἐκβαλόντες ἐκ Βιθυνίας* (F 77) *οἱ Θρᾷικες ὤικησεν αὐτοί.* ΒΙΘ.

61 (38) a) — — 322: *ὁ δ' αὐτὸς Ἀρριανὸς καὶ Θράικην τινὰ ἱστορεῖ νύμφην σοφὴν ἀμφὶ ἐπωιδάς τε καὶ φάρμακα καὶ οἵαν τὰ μὲν ἐκλῦσαι τῶν παθημάτων φαρμάκοις, τὰ δὲ ἐργάσασθαι, ὁποία τις καὶ ἡ Μήδεια ἱστόρηται καὶ ἡ Ἀγαμήδη καὶ ἡ θρυλουμένη Κροκοδίκη. καὶ ἀπὸ ταύτης τῆς Θράικης δοκεῖ ὠνομάσθαι ἡ χώρα, Πέρκη ποτὲ καλουμένη.* b) EUSTATH. Π. *Λ* 739 (Od. κ 276): *Ἀρριανὸς δὲ καὶ Κροκοδίκην τινὰ ἱστορεῖ οὐδὲν ἧττον γυναῖκα γοητεύτριαν.* c) EUSTATH. Od. *δ* 228 p. 1493, 47: *ἱστέον δὲ ὅτι κατὰ Ἀρριανὸν ἐφαρμάκου μὲν οἶνον καὶ ἡ παρ' αὐτῶι Κροκοδίκη, οὐκ ἐφ' ὁμοίοις δέ. φησὶ γὰρ ἐκεῖνος, ὅτι ἡ φαρμακὶς Κροκοδίκη οἶνον νέμουσα κατὰ τέλη τῆι τοῦ πατρὸς στρατιᾶι ἐμβάλλει εἰς τοὺς κρατῆρας ῥίζας, λήθης καὶ ὕπνου φάρμακα· οἱ δὲ ἔκειντο ἡμιθανεῖς ὑπὸ τοῦ πόματος. καὶ ἐφθάρησαν ὑπὸ τῶν πολεμίων δι' ἔρωτα Πριηνέως νεανίου.*

62 (37) EUSTATH. Dion. Per. 322: *ὁ αὐτὸς λέγει καὶ ὅτι ἔθος ἦν Θραιξὶ πολλὰς ἔχειν γυναῖκας, ὡς ἂν ἐκ πολλῶν πολλοὺς ἔχοιεν παῖδας· καὶ τὸ ἔθος αὐτοῖς γενέσθαι φησὶν ἀπὸ βασιλέως αὐτῶν Δολόγκου, ὠι παῖδες πολλοὶ ἐκ πολλῶν γυναικῶν ἐγένοντο.*

63 (49) — — 378: *τὴν δὲ ῥηθεῖσαν Ἐνετίαν .... νῦν μὲν Βενετίαν φαμέν, καθότι καὶ Ἀρριανός φησιν, ὅτι «Ἐνετοὶ πονήσαντες ἐν μάχηι κατὰ Ἀσσυρίους* (F 74) *καὶ ἀποπεράσαντες εἰς Εὐρώπην ὠικίσθησαν πρὸς Πάδωι τῶι ποταμῶι καὶ τῆι ἐπιχωρίωι γλώττηι Βενετοὶ ἐς τοῦτο ἔτι ἀντὶ Ἐνετῶν κλητίζονται· καὶ Βενετία ἡ γῆ ἥντινα νέμονται.»*

64 (65) — — 391: *ἱστέον δὲ ὅτι ὁ μὲν μῦθος τὴν τῶι Κάδμωι συνοικήσασαν Ἁρμονίαν Ἄρεος καὶ Ἀφροδίτης γενεαλογεῖ. Ἀρριανὸς δὲ Ἀσιανήν τε αὐτὴν οἶδε καὶ Δαρδάνου ἀδελφήν. φησὶ γὰρ ὅτι Κάδμος ὑπὸ τοῦ πατρὸς κατὰ ζήτησιν τῆς ἀδελφῆς Εὐρώπης σταλεὶς καὶ πλανώμενος περιπετὴς γέγονεν Ἁρμονίαι τῆι τοῦ Δαρδάνου ἀδελφῆι. ἁρπάσας δὲ καὶ εἰς τὰς νῆας ἐνθέμενος προσέσχε τῆι Βοιωτῶν γῆι, ἔνθα θηβαίων ἐγένετο καρτερός, πλούτωι τε εὐδοκιμῶν καὶ τῆι ἄλληι σοφίαι.*

64 bis (—) — — 451: *ὅτι νῆσος ἐσπεριωτάτη τὰ ἐσχατόεντα Γάδειρα κατά μέσον τῶν πρὸς τῆι Ἰβηρίαι πυλῶν· διὸ καὶ Ἰβηρικὰ φησιν Ἀρριανὸς αὐτά.*

8 ἐκλῦσαι mg Y ἐκλῆσαι y ἑλκύσαι cett 9 γανυμήδη L γαμήδη y Κροκοδίκη CEFLNY Κίρκη cett καὶ om FKU 10—11 καλουμένη, ὡς ὁ αὐτὸς λέγει MU 24 v. l. φασίν 25 κατὰ KMU τῆι κατὰ cett 33—34 ἁρπάσας δὲ U καὶ ἁρπ. cett 35 καρτερὸς YK ἀρχηγὸς C mg. Y κρατερὸς cett

65 (70) EUSTATH. Dion. Per. 498: *Κρήτη δὲ λέγεται, ὡς οἱ παλαιοί* ΒΙΘ. *φασιν, ἀπὸ τῶν ἐκεῖ οἰκησάντων Κουρήτων .....· οἱ δὲ ἀπὸ Κρητός τινος αὐτὴν Κρήτην ὠνόμασαν υἱοῦ τοῦ Διός· Ἀρριανὸς δέ φησι· «Κρής, οὗ Κρήτη ἐπώνυμος, ὁ τὸν Δία κρύψας ἐν ὄρει Δικταίωι, ὅτε Κρόνος ἐμάστευεν ἐθέλων ἀφανίσαι αὐτόν.»*

66 (72) — — 506/7: *ἐκαλεῖτο δέ ποτε* (sc. Σαλαμίς) *Κυχρεία ἀπό τινος Κυχρέως, οὗ καὶ Λυκόφρων* (Al. 451) *καὶ Ἀρριανὸς μέμνηνται, ὃς ὄφρις μὲν ἐπεκλήθη διὰ τραχύτητα τρόπου, ἀπηλάθη δὲ τῆς νήσου ὑπὸ Εὐρυλόχου. ὠνόμασται δὲ ἡ νῆσος αὕτη καὶ Σκιρὰς ἀπό τινος ἥρωος .....*

67 (67) — — 517: *ἰστέον δὲ ὅτι Παρίων κτίσμα ἡ Θάσος· τὸ Πάριον δὲ πόλις ἐν τῆι Προποντίδι. ὁ δὲ Ἀρριανὸς ἄλλως φησί* (s. F 107)· *«Πάριος υἱὸς Ἰασίωνος, ὢι ἐπώνυμον τὸ ἐν Ἑλλησπόντωι Πάριον ὡς οἰκιστῆι.» καὶ οὐ διαφωνεῖ Ἀρριανὸς πρὸς τὸν πρῶτον λόγον, ἀλλὰ τάχα ταυτότητα παραδηλοῖ ὡς ἐν πολυωνυμίαι Προποντίδος τε καὶ Ἑλλησπόντου. ..... τινὲς δὲ ἀνάπαλιν τὸ Πάριον ἀπὸ τῆς Θάσου εἶπον ἀποικισθῆναι.*

68 (67) — — 517: *Ἀρριανὸς δέ φησι καὶ ὅτι Θάσος ἀπὸ Θάσου καλεῖται, Ποσειδῶνος υἱοῦ. καὶ ὅτι ἐκαλεῖτό ποτε καὶ Χρυσῆ νῆσος διὰ τὰ χρυσᾶ μέταλλα, ὧν καὶ Ἡρόδοτος* (VI 46—47) *μέμνηται λέγων .....*

68 bis (—) — — 520: *... Ἀβάντων, Θρακίου ἔθνους, ὥς φησιν Ἀρριανός, κληθέντος οὕτως ἀπό τινος Ἀργείου υἱοῦ Ποσειδῶνος Ἄβαντος.*

69 (73) — — 525: *Ἀρριανὸς δὲ περὶ ταύτης φησὶν ὅτι Δῆλος ἡ πάλαι πλωτὴ οὖσα ἔστη, ὅτε ἡ Λητὼ ἐπέβη αὐτῆς διδύμους ἔχουσα παῖδας.*

70 (71) — — 530: *ἡ Μῆλος περὶ τὸ Κρητικὸν πέλαγος, ἀπό τινος ἀνδρὸς Μήλου κληθεῖσα κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν.*

71 (60) — — 549: *Φαιναγόρα καὶ Ἑρμώνασσα, Ἰώνων ἄποικοι πόλεις, ὧν ἡγήσατο Φαιναγόρας τις καὶ Ἕρμων, ἀφ' ὧν οἱ τόποι καλοῦνται. Ἀρριανὸς δὲ οὕτω φησί· «Φαιναγόρεια, ἣν ἔκτισε Φαιναγόρας ὁ Τήιος, φεύγων τὴν τῶν Περσῶν ὕβριν. ἔστι δὲ Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσηι τῆι γυναικὶ Σημάνδρου Μυτιληναίου τινός, οὗ τινας τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῶι τῆς πόλεως οἰκισμῶι ἡ γυνὴ τῆς τε πόλεως ἐγκρατὴς ἐγένετο καὶ τὸ ἑαυτῆς ὄνομα τῆι πόλει ἐπέθετο.»*

72 (52) — — 669: *Σκυθῶν δὲ ἡ τοιαύτη πᾶσα γῆ, περὶ ὧν ἱστορεῖ Ἀρριανὸς ὅτι «σιτοφάγοι ποτὲ καὶ ἀροτῆρες ὄντες*

3 *Κρήτην αὐτὴν* U τοῦ om d 7 Ῥιανὸς Bernhardy (autorenfolge Lyk — A auch zu v. 525; 767) 9 *ὠνομάσθη* CEF 12 ἀσιόνης d 13 ἢ οὐ? 14 *ταυτότητά τινα* CEMy 18 *τὰ* om Cdy *τὸ — ἔχειν* U *καὶ* CUy CMueller 22 *ἔστιν* FKM 26 *τις: Τήιος?* 27 *φαναγορ(ε)ια* YK al *φαιναγόρα* C om cett 28 *φαναγόρας* KY *Τήιος* Holste *τῖος* Eust 29 *ἔτι* edd *ἐπὶ (ἐπεί)* Eust *ἐπὶ Ἑρμωνάσσηι* om K *τῆι* om CDELY 35 *ποτὲ: τινὲς* L *ἀρωτῆρες* Eust

καὶ οἰκίας οἰκοῦντες καὶ πόλεις ἔχοντες, ἐπειδὴ ὑπὸ Βιθ
Θραικῶν ἐπλήγησαν, μετέβαλον τὰ πρότερον ἤθη καὶ
ἀρὰς ἐπηράσαντο μεγάλας μήποτε οἰκίαν ἔτι δείμα-
σθαι μήτε ἀρότρωι γῆν ἀναρρῆξαι μήτε πόλεις δομή-
σασθαι μήτε κτῆμα κειμήλιον ἐπικτήσασθαι, ἀλλ' οἴκους
μὲν ποιήσασθαι ἁμάξας, τροφὴν δὲ κρέα θήρεια πόμα
δὲ [ταὐτὸ καὶ τροφὴν] τὸ γάλα, θρέμματα δὲ κεκτῆσθαι
μόνα, ἅπερ ἄγεσθαι αὐτοῖς ἔμελλεν ἄλλην γῆν ἐξ ἄλλης
ἀμείβουσι· καὶ ἀπὸ τοῦδε ἀντὶ γεωπόνων γενέσθαι
νομάδας.»

73 (51) EUSTATH. Dion. Per. 767: Ἀρριανὸς δὲ οὕτω φησίν· «Χάλυβες πρῶτοι ἀνθρώπων αἰτίαν ἔχουσι χαλκεύσασθαι σίδηρον».

74 (48) — — 772: Ἀρριανὸς δὲ τοὺς περὶ Μεσοποταμίαν Ἀσσυρίους λέγει, ἐν οἷς φησι τοὺς πρὸς Εὐφράτηι ποταμῶι Ἀσσυρίους ἔστε ἐπὶ Νίνον καὶ Βαβυλῶνα, καθ' ὧν Ἀμαζόνες ἐστράτευσαν Εὐρυπύλης ἡγουμένης αὐτῶν. καὶ τοὺς Καππαδόκας δὲ οὕτω ποτὲ ἱστορεῖ λέγεσθαι, ἐν οἷς φησι Καππαδόκα παῖδα Νινύου, ἐφ' ὅτωι Ἀσσύριοι μεταβαλόντες τὸ ὄνομα Καππαδόκαι ὠνομάσθησαν.

75 (54) — — 783: ὅτι ἐφεξῆς τῶι Θερμώδοντι ὁ Ἶρις ποταμὸς .... περὶ τούτου ὁ Ἀρριανὸς ταῦτά φησιν· «Ἅλιμος βασιλεὺς Σκυθῶν, οὗ υἱὸς Ἐρίδιος, ἀφ' οὗ ὁ Ποντικὸς ποταμὸς κληθεὶς Ἐρίδιος ὕστερον εἰς τὸ δεξιώτερον μετωνομάσθη Ἶρις.»

76 (47) a) — — 791: Ἀρριανὸς δὲ οὕτω γράφει περὶ τῶν τοιούτων· «ἐπέκεινα Σαγγαρίου ὅμοροι Παφλαγόνων Μαριανδυνοί, ἔνθα πόλις Ἡράκλεια πεπόλισται, ὅπου Κιμμέριοι πόαν φαγόντες ἀκόνιτον ἐδυστύχησαν· ἦν γὰρ αὐτοῖς πάτριον τὸ ποηφαγεῖν.» b) EUST. Od. λ 14 p. 1671, 27: Ἀρριανὸς δέ φησιν ὅτι Κιμμέριοι Σκυθικὸν ἔθνος ἐξ ἠθῶν τῶν οἰκείων ἀναστάντες καὶ πάντας τοὺς διὰ μέσον βλάπτοντες ἦλθον ἕως Βιθυνίας.

78 (41) a) EUSTATH. Dion. Per. 793: ῥέειν δέ φασι καὶ αὐτὸν (sc. τὸν Ῥήβαντα) ἐκ τοῦ Μυσίου Ὀλύμπου, καθὰ καὶ τὸν Σαγγάριον, ὃς δὴ Σαγγάριος καὶ ναυσίπορός ἐστι καὶ μέγιστος τῶν ἐν Βιθυνίαι ποταμῶν εἰσβάλλων εἰς τὸν Εὔξεινον. τοὺς δὲ Βιθυνοὺς καὶ ναυτικωτάτους ἱστοροῦσι γένεσθαι ποτὲ καὶ τὴν αὐτῶν γῆν πάμφορόν τε καὶ εὔδενδρον εἶναι φασι καὶ λιθοτομίας ἔχουσαν πολλαχοῦ καὶ κρυστάλλους ἐν ὄρεσι φύουσαν καὶ ἄλλα πολλὰ ἔχουσαν ἀγαθά. (Ἡρόδοτος —VII 75/76 — δὲ λέγει Θρᾷικας διαβάντας εἰς Ἀσίαν κληθῆναι Βιθυνούς, καὶ εἶναι παῤ αὐτοῖς χρηστήριον Ἄρεος). λέγεται δὲ καὶ ὅτι τὴν ἀπὸ Βοσπόρου γῆν ἕως ἐπὶ Ῥήβαντα Βιθυνοὶ ποτε κατέσχον. τὴν δὲ αὐτοῦ ἐπέκεινα ἐπὶ Πόντον ὀρεινὴν

2 μετέβαλλον CK πρότερα LY 3 μήτε οἰκίαν C 7 [ταὐτὸ καὶ τροφήν] Jac 18 μεταβάλλοντες C 35 πολλαχοῦ Cy om cett

οἱ Θυνοὶ ἔσχον ἄχρι ποταμοῦ Κάλητος, ὡς εἶναι ὁμόρους τούς τε Θυνοὺς ΒΙΘ.
καὶ τοὺς Βιθυνούς, οὕτω καλουμένους ἀπό τινων ἀδελφῶν ἐπιφανῶν Θυνοῦ
καὶ Βιθυνοῦ, παίδων Φινέως κατὰ ποίησιν, ἤτοι ποιητῶν καὶ θετῶν,
καθά φησιν Ἀρριανός, ὃς καὶ γνήσιον παῖδα Φινέως ἱστορεῖ Παφλαγόνα,
ἐξ οὗ χώρα Παφλαγονία. καὶ γῆν λέγει Ῥηβαντίαν τὴν πρὸς τῶι Ψιλλίωι
ποταμῶι· καὶ δημιουργόν τινα ἱστορεῖ παρὰ Βιθυνοῖς Δοίδαλσον καλού-
μενον, οὗ ἔργον ἐν Νικομηδείαι γενέσθαι θαυμαστὸν ἄγαλμα Στρατίου
Διός. λέγει δὲ ὁ αὐτὸς Ἀρριανὸς καὶ ὅτι ἄλλοι Ὀδρύσου παῖδάς φασι
τὸν Θυνὸν καὶ τὸν Βιθυνόν, ὧν ἡ χώρα ὁμώνυμος. b) EUST. Il. *A*
404 p. 125, 30: καὶ Ἀρριανός· «φῦναι Φινέα».

78 (61) EUSTATH. Dion Per. 803: καὶ ὅρα ὅτι οἱ Χαλκιδεῖς οὗτοι
(sc. οἱ περὶ Χαλκηδόνα) παρώνυμοί εἰσι τῆς ἐνταῦθά που Χαλκίδος, ἀφ'
ἧς ἄρουραν ἀνωτέρω Χαλκίδα εἶπε τὰ περὶ Χαλκηδόνα. κατὰ δὲ τὴν
Ἀρριανοῦ ἱστορίαν ἐπώνυμός ἐστιν ἡ τῶν Χαλκηδονίων πόλις τῶι Κρόνου
υἱῶι Χαλκηδόνι, ἀφ' οὗ πρῶτα μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη
Χαλκηδών, ἔπειτα ἡ πόλις, Δωριέων ἀποικησάντων ὑστέροις χρόνοις,
ὁμώνυμος γίνεται τῶι ποταμῶι.

79 (61) — — 803: ἱστορεῖ δὲ ὁ αὐτὸς καὶ ὅτι τοῖς Χαλκηδονίοις
ἀποφρὰς νομίζεται παντὸς μηνὸς φθίνοντος ἑνάτη· ἦγουν, ὡς τοῖς Ἀττι-
κοῖς ἀρέσκει, αἱ εἰκοσταὶ πρῶται τῶν ὅλων μηνῶν ἀπαίσιοι αὐτοῖς κρίνον-
ται, διότι ἐν τοιαύταις ἡμέραις ἄλλας τε δυστυχίας αὐτοὶ ἔπαθον καὶ
Φαρνάβαζος δὲ ὁ Πέρσης τοὺς αὐτῶν παῖδας ἐκτεμὼν εἰς τὸν Δαρεῖον
ἀνέπεμψε.

80 (61) — — 803: κατασκῆψαι δέ φησιν αὐτοῖς καὶ νόσον ἐκ
θεομηνίας, τὸ αὐτοὺς τὰ σφῶν ἀποτέμνειν αἰδοῖα, διότι θυσιῶν τινων
κατημέλησαν.

81 (50) — — 805: ὅτι μετὰ τοὺς Χαλκηδονίους Χαλκιδέας οἱ
Βέβρυκες κεῖνται, οἳ οὕτως καλοῦνται ἀπὸ Βέβρυκός τινος ἡρωικοῦ ἀνδρὸς
ἢ ἀπὸ Βεβρύκης γυναικός. τούτους τοὺς Βέβρυκας ἱστορεῖται μείζω δοκεῖν
ἔχειν τὰ σώματα ἢ καθ' ἡλικίαν ἀνθρώπου, παρ' οἷς καὶ ὁ Βέβρυξ ἐκεῖνος
Ἀράντας, ὧι τὸ μὲν μῆκος εἰς ὀκτὼ λέγεται πήχεις, εὖρος δέ, ὡς Ἀρρι-
ανός φησιν, ὅσον τοσῶιδε μήκει ἐς κουφότητα ξύμμετρον
(ἦγουν ὅσον ἦν ξύμμετρον πρὸς τοὺς ὀκτὼ πήχεις τοῦ μήκους εἰς τὸ
κούφως βαίνειν τὸν ἄνθρωπον). κατὰ δὲ τοῦ τοσούτου ἀνδρὸς
νικηφόρος γέγονεν εἰς μονομαχίαν συστὰς νεανίας ἐτῶν

5 ψιλίωι DL ψίλλωι y 6 Δοίδαλσον (-σην) Th Reinach; Robert RE V 1266 Δαίδαλον Eust 14 χαλκηδόνων YKM al 15 πρῶτα Cy πρώτως Eust 18 καὶ add Cy 29 ἱστορεῖται c ἱστοροῦνται cett ἱστοροῦσιν? 30 ἀνθρώπου Cy —ων cett

ἑπτακαίδεκα. τὴν δὲ ῥηθεῖσαν Βερβύκην τοῦ Αἰγύπτου μὲν ἀδελφόπαιδά Βιθ.
φασι, μίαν δὲ τῶν θυγατέρων τοῦ Δαναοῦ, ἀδελφὴν τῆς Ὑπερμνήστρας. φείσασθαι δὲ λέγουσι καὶ αὐτὴν Ἱππολύτου τοῦ αὐτανεψιοῦ νυμφίου, ὡς καὶ τὴν Ὑπερμνήστραν τοῦ Λυγκέως, καὶ φυγεῖν σὺν ἐκείνοι καὶ πολλὰ δυνηθῆναι διὰ τὸ διδάσκειν τοὺς βαρβάρους τὴν Αἰγυπτίαν σοφίαν. διὸ καὶ Βερβύκην ἢ Βερβυκίαν ἀπ' αὐτῆς κληθῆναι τὴν χώραν εἰς ἣν ἔφυγε.

82 (46) EUSTATH. Dion. Per. 809: ὀλβιωτάτους δὲ τοὺς Φρύγας καὶ Ἀρριανὸς ἱστορεῖ, λέγων καὶ ὅτι «λέγονται Φρύγες παλαιότατοι ἀνθρώπων γενέσθαι» καὶ ὅτι «μαίνονται τῇ Ῥέᾳ καὶ πρὸς Κορυβάντων κατέχονται», ἤγουν κορυβαντιῶσι δαιμονῶντες· «ὅταν δὲ κατάσχῃ αὐτοὺς τὸ θεῖον, ἐλαυνόμενοι καὶ μέγα βοῶντες καὶ ὀρχούμενοι προθεσπίζουσι τὰ μέλλοντα. θεοφορούμενοι καὶ μαινόμενοι.»

83 (40) — — 809: Ἀρριανὸς δέ φησιν ὅτι «Θυνὸς καὶ Μυσὸς υἱοὶ ἦσαν Ἀργανθώνης, ἥτις καλόν τι χρῆμα νύμφης ἦν, ἀφ' ὧν Θυνὸς μὲν Θυνίαν οἰκίσας ἀφ' ἑαυτοῦ ὠνόμασε, Μυσοὶ δὲ ἐπὶ τῶι Μυσῶι ὠνομάσθησαν.»

84 (58) — — 828: ἔστι δὲ καὶ Ἐλαία τόπος πρὸς τῇι Νικομηδείαι κατὰ τὸν Ἀρριανὸν ἀπὸ Ἐλαίας Ἀμαζόνος. καὶ πρὸς τῶι Πόντωι δὲ Θίβα, τόπος διὰ τοῦ ῑ ἔχων τὴν παραλήγουσαν, ἀπὸ μιᾶς τῶν ὑφ' Ἡρακλέος ἀναιρεθεισῶν Ἀμαζόνων σχοῦσα τὴν κλῆσιν, ὧν αἱ διάφοροι ... κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν εἰσὶν αὗται πρὸς ὄνομα Τράλλα Ἰσοκράτεια Θίβα Πάλλα καὶ ἄλλαι.

85 (58) — — 828: ἔθνος δὲ γυναικεῖον αἱ Ἀμαζόνες πρὸς τῶι Θερμώδοντι· διὸ καὶ ἀπὸ μητέρων ἐγενεαλογοῦντο, καθάπερ Ἀρριανὸς ἱστορεῖ.

86 (69) — — 874: ὅτι Κίλικες τὸ ἔθνος, καθά φησιν Ἀρριανός, ἀπὸ Κίλικος τοῦ Ἀγήνορος, ὃς ἐκ Φοινίκης κατὰ ζήτησιν Εὐρώπης σταλεὶς καὶ πολλὴν γῆν πλανηθεὶς οὐδενὶ μὲν ἔχνει τῆς παιδὸς ἐνέτυχε, τὴν δὲ πολλὴν τῆς Κιλίκων γῆς κατασχὼν ἀφ' ἑαυτοῦ τὴν ἐπωνυμίαν τῇι χώραι δέδωκεν.

87 (17) — — 916: Ἀρριανὸς δὲ περὶ τούτων οὕτω γράφει· «ἐν Δάφνηι τῇι πρὸς Ἀντιοχείαι ἄλσος τι ἱερὸν Ἀπόλλωνος, καὶ αὐτὴ ἐκείνη ἡ δάφνη δείκνυται, ἣν τινες γῆθεν ἀνασχεῖν λέγουσιν ἐπὶ τῇι Δάφνηι τοῦ Λάδωνος, ἣ φεύγουσα τὸν ἐραστὴν Ἀπόλλωνα ηὔξατο τὸν ὑπὸ γῆν ἀφανισμὸν καὶ ἔτυχε τῶν εὐχῶν.»

---

1—2 τὴν — φασί Cy τὴν δὲ ῥ. Β. φασὶ κληθ. ἀπὸ Βερβύκης Αἰγ. μὲν dd. cett 3 ὑπερμήστραν CD 5 ἢ Βερβυκίαν om CDLY 11 κατάσχει C 13 θεοφορούμενοι Cy καὶ θ. cett 32 ἄλσος τε? 33—34 δείκνυται — Δάφνηι om Yy

88 (31) EUSTATH. Dion. Per. 939: *τοῦτο δὲ ὁ Ἀρριανὸς ἐπὶ ΒΙΘ. Σαγγαρίωι μυθοπλασιεῖ, λέγων ὅτι πρὸς ταῖς ὄχθαις τοῦ Σαγγαρίου ἔρρηξε τοὺς δεσμοὺς τοῦ Διὸς ὁ Διόνυσος ἤδη τρόφιμος ὤν.*

89 (81; 74) a) — — 939: *ἐνάπτεσθαι δὲ καὶ καθάπτεσθαι λεγόμεν τὰ μὴ ζώνηι διαλαμβανόμενα μηδὲ τὸ σῶμα ὅλον ἐνδύοντα, ἀλλὰ μέρος τι σκέποντα καὶ ἄρετα ἐξαρτώμενα, οἷον πήραν ⟨ἢ⟩ λεοντῆν ἢ παρδελέην· Ἀρριανὸς δὲ καὶ διφθέρας καθάπτεσθαι λέγει.* b) EUSTATH. Il. *Γ* 17 p. 375, 3: *οὐ μὴν καὶ λεοντῆν προσφυῶς πάνυ λεχθείη ἐνάπτεσθαι ὁ ἀνδρεῖος κατὰ τὸν πάλαι Ἡρακλῆν ἢ κατὰ τὸν ὕστερον Ζιήλαν τὸν παρὰ τῶι Ἀρριανῶι.*

90 (78) — — 1005: *τοὺς δὲ Πέρσας, ὧν μητρόπολις ἡ Βαβυλών, Κηφῆνάς ποτε καλεῖσθαί φησιν ὁ Ἀρριανός.*

91 (77) EUSTATH. HOM. Il. *A* 266 p. 101, 43: *τοιοῦτον δέ τι καὶ ὁ καρτερός, ὡς δηλοῖ παρὰ Ἀρριανῶι τὸ «Θηβαίων ἐγένετο καρτερός.»* — EBD. *A* 25 p. 29, 18.

92 (42) — — *A* 397 ff. p. 123, 35: *φησὶ γὰρ ἡ τοῦ Ἀρριανοῦ ἱστορία, ὅτι Βριάρεως, Γῆς καὶ Οὐρανοῦ παῖς* (Hesiod. Th. 149), *θαλαττοκρατήσας ὁρμητηρίωι ἐχρήσατο Εὐβοίαι τῆι νώσωι κἀκεῖθεν ὁρμώμενος κατεστρέψατο τὰς Κυκλάδας, ὃς καὶ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. οὗτος δὲ καὶ αἰτίαν παρασχεῖν λέγεται τῶι Αἰγαίωι πελάγει εἰς ἐπωνυμίαν. σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὸν Ῥυνδακὸν ποταμὸν οὐ πόρρω θαλάσσης λόφον τινά, καὶ τοῦτον ἐπικαλεῖσθαι Αἰγαίωνος, καὶ ἀπὸ τοῦ λόφου τούτου πίδακας ἐκδιδόναι ἑκατὸν καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω.*

93 (42) — — *A* 402 ff. p. 124, 4: *οὐδὲ ὁ μυθικὸς Βριάρεως φίλα φρονεῖ τῶι πατρί, ἢ Κρόνωι ὄντι κατὰ τὸν Ἀρριανὸν ἢ Ποσειδῶνι κατά τινας.*

— — — *A* 404: s. F 78 b.

94 (43) — — *B* 754 p. 336, 13: *ὥσπερ κατὰ τὴν ἱστορίαν τοῦ Ἀρριανοῦ καὶ Βιθυνίας ποταμὸς Ὅρκος ὄνομα, ὃς φρικωδέστατος ὢν τοῖς ἐκεῖ ἐνομίζετο πρὸς βίαν εἰς τὰς δίνας ἕλκειν τὸν ἐπίορκον, εἰ μὴ δρόμωι ἐξεπήδησεν.*

95 (64) — — *B* 814 p. 351, 30: *ἱστορεῖ δὲ ὁ γεωγράφος* (XIII 3, 6) *καὶ ὅτι Βατ⟨ί⟩εια ἀπὸ Βατείας προσηγόρευται, τῆς Δαρδάνου γυναικός, ἧς καὶ Ἀρριανὸς μεμνημένος φησὶν ὅτι Δάρδανος ἐκ Σάμου τῆς Θραικίας ἐλθὼν τὰς τοῦ Τεύκρου βασιλέως θυγατέρας ἔγημε, Νησὼ καὶ Βάτειαν· καὶ ἐκ μὲν τῆς Νησοῦς ἦν αὐτῶι θυγάτηρ Σίβυλλα ἡ μάντις, ἀφ' ἧς καὶ ἄλλαι γυναῖκες, ὅσαι ἐγένοντο μαντικαί, Σίβυλλαι ἐλέγοντο, οὐχ ὡς πρὸς*

1 ὁ om C y 6 ⟨ἢ⟩ C Mueller ἢ (vor παρδ.) om C H y 29 ὧν (o. ὅρκων ταμίας) Jac ὅρκων Eust 30 ἕλκειν Jac ἕλκων Eust 33 Βατ⟨ί⟩εια Jac (s. 4 F 24)

αἵματος αὐτῆι οὖσαι, ἀλλὰ διὰ τὴν ὁμοίαν θεοφορίαν τυχοῦσαι τῆς ἐπι- ΒΙΘ.
κλήσεως, ἐκ Βατείας δὲ Ἐριχθόνιος καὶ Ἶλος.

96 (68) EUSTATH. HOM. Il. *B* 824 p. 354, 14: *λέγει δὲ καὶ Ἀρριανὸς οὕτω· «Ζέλεια ἡ καὶ Λυκία· καὶ ὁ Ἀπόλλων ἐπὶ τῆιδε τῆι Λυκίαι Λύκιος. διὸ καὶ Πανδάρου πατὴρ Λυκάων, οὐ πόρρω τοῦ τοιούτου ἔθνους πεσόντος τοῦ ὀνόματος· καὶ Λυκηγενεῖ Ἀπόλλωνι ἐκεῖνος εὔχεται τῶι ἐγχωρίωι* (Il. *Δ* 119).»

97 (45) — — *B* 857 p. 364, 1: *Ἀρριανὸς δὲ τοιαῦτα περὶ Ἀλιζώνων ἱστορεῖ· «οὓς Ὅμηρος ἐν Νεῶν Καταλόγωι φησὶν Ἀλιζῶνας, Βιθυνοί εἰσιν, ὧν Ὀδίος καὶ Ἐπίστροφος ἦρχον. καὶ ἡ Ἀλύβη, ἐν ἧι λέγει ἀργύρου γενέθλην εἶναι, παραδείκνυται, καὶ οὐκ ἀμαυρὰ ὑπόμνησις ἀργυρ⟨ε⟩ίων ἔργα ὑπολελειμμένα ὁρᾶται. Ἀλιζῶνες δὲ οἱ ἄνθρωποι οὗτοι» φησί «καλοῦνται ὅτι πανταχόθεν θαλάσσηι περιείργονται, ἀπὸ μὲν ἄρκτου καὶ ἀνατολῆς τῶι Εὐξείνωι πόντωι, πρὸς μεσημβρίαν δὲ καὶ νότον τῶι Ἀστακηνῶι κόλπωι τῶι πρὸς Νικομήδειαν, πρὸς δὲ δύσιν καὶ ζέφυρον τῆι Προποντίδι καὶ τῶι Βοσπόρωι, ὡς μὴ πόρρω χερρονήσου εἶναι τὰ πολλὰ αὐτῶν καὶ δικαιότατα λέγεσθαι διεζῶσθαι θαλάσσηι.»*

98 (45) — — *B* 857 p. 364, 8: *ὁ δ' αὐτὸς Ἀρριανὸς λέγει καὶ τὸν ῥηθέντα Ὀδίον Ῥοδοίτην ποτὲ καλεῖσθαι, εἶτα εἰς Ῥοδίον μεταπεσεῖν, εἶτα Ὀδίον κληθῆναι.*

99 (82) — — *Γ* 204 p. 405, 15: *ὥσπερ καὶ τὸ «ξεναγεῖν», ὅπερ ταὐτόν ἐστι τῶι προξενεῖν, γενικῆι συντάσσει ὁ Ἀρριανός.*

100 (33) — — *Γ* 275 p. 414, 8: *τὸν Ἥλιον δὲ ταμίαν τῶν ὅρκων ἐνταῦθα καλεῖ ὡς πάντα ἐφορῶντα. διὸ καὶ Βιθυνοί, ὡς Ἀρριανὸς ἱστορεῖ, δίκας ἐδίκαζον καθεζόμενοι ἀντίοι τοῦ ἡλίου, ὡς ἂν ὁ θεὸς ἐποπτεύοι.*

101 (44) — — *E* 144 p. 532, 45: *ἐκ τῆς ὑπὸ Ὕπιος ὁ παρὰ Ἀρριανῶι ποταμός.*

102 (—) — — *Z* 75 p. 626, 22: *ἱστέον δὲ καὶ ὅτι περὶ Ἑλένου ἱστορία τοιαύτη φέρεται παρὰ Ἀρριανῶι. Ἠδωνοῦ Θρᾳκὸς ἀνδρὸς παῖς Ἕλενος, μάντεων διαπρεπέστατος· παρὰ τοῦτον ἐξ Ἀσίας φοιτῆσαι τὸν Πριάμου παῖδα Σκαμάνδριον, ὃν ἀπονοστήσαντα οἴκαδε μνήμην θέσθαι τοῦ τὴν μαντικὴν ἐκπαιδεύσαντος Ἕλενον ἀπὸ Σκαμανδρίου μετονομασθέντα.*

103 (57) — — *H* 166 p. 673, 45 (TZETZ. Chil. XII 791): *Ἐνυάλιος δὲ κατὰ μὲν τοὺς πλείους ὁ πολεμικὸς ἀπὸ τῆς Ἐνυοῦς. τινὲς*

---

13 *ἀργυρίων* Eust

δὲ ὥσπερ τὴν Παλλάδα διὰ φόνον τοῦ Πάλλαντος, οὕτω καὶ τὸν Ἐνυάλιον ΒΙΘ.
διά τι τοιοῦτον κεκλῆσθαί φασιν. Ἀρριανὸς γοῦν ἱστορεῖ ὅτι «ἐλθὼν
Ἄρης εἰς τὰ τῆς Θράικης χωρία, ὅπου τὰ οἰκία ἦν τῶι
Ἐνυαλίωι, ἤθελε ξενισθῆναι. ὁ δὲ οὐκ ἤθελε δέχεσθαι
φάμενος οὐκ ἂν ξενίσαι ἄλλον ἢ ὃς κρείσσων αὐτοῦ τὰ
πολέμια ἔλθοι. καὶ ὅς· Ὥρα σοι ξενίζειν ἐμέ, καθότι
κρείσσων σού φημι τὰ πολέμια εἶναι.' τοῦ δὲ Ἐνυαλίου
ἀποφάσκοντος ἔρχεται εἰς χεῖρας καὶ ἐπὶ πολὺ τῆς
μάχης ἐκταθείσης τέλος ὁ Ἐνυάλιος πίπτει ὑπὸ τῶι
Ἄρει, πληγεὶς ὅπλωι τῆι ὀμφαίαι. διὸ καθότι μέγα
τοῦτο ἆθλον ὁ Ἄρης νέος ὢν ἐξετέλεσεν, ἐκαλεῖτο ἐπ'
αὐτῶι Ἐνυάλιος.»

104 (82) EUSTATH. HOM. Il. *H* 171 p. 674, 9: τὴν δὲ ῥηθεῖσαν αἰτίαν τοῦ κλήρου ἀναπτύσσει που καὶ ὁ Ἀρριανός, λέγων περί τινος ὅτι εἰς κλῆρον τοὺς δεῖνα καθίστασθαι ἐδικαίου οὐ θέλων ὡς γέρας αὐτὸ τῶι ἑτέρωι ἀπονείμασθαι οὐδὲ ἀτιμῶσαι τὸν οὐ προκριθέντα εἰς μάχην.

105 (53) — — *N* 1 p. 916, 25: Ἀρριανὸς δέ φησιν ὅτι οἰκοῦσι τὴν Ἀσίαν οἱ Ἄβιοι Σκύθαι αὐτόνομοι διὰ πενίαν καὶ δικαιότητα.

106 (—) — — *Π* 617 p. 1078, 20: ἦν δὲ καὶ σίκιννις κωμικωτέρα (sc. ὄρχησις), ἣν πρῶτοι (φασίν) ὠρχήσαντο Φρύγες ἐπὶ Σαβαζίωι Διονύσωι, ὀνομασθεῖσαν κατὰ τὸν Ἀρριανὸν ἐπὶ μιᾶι τῶν ὀπαδῶν τῆς Κυβέλλης νυμφῶν, ἧι ὄνομα ἦν Σίκιννις.

107 (—) — Od. ε 125 p. 1528, 14: ὁ δὲ Ἀρριανὸς ἱστορεῖ καὶ ὅτι Ἰασίων, ἀδελφὸς Ἀετίωνος καὶ Δαρδάνου, πρόγονος Πριάμου, ἐκ Δήμητρος καὶ Κόρης κάτοχος γενόμενος εἴς τε Σικελίαν ἦλθε καὶ ἐπὶ πολλὴν ἄλλην γῆν ἐπλανήθη τὰ ἐκείνης ὄργια δεικνύων· διὸ λόγον ἔσχεν ὡς Δημήτηρ αὐτῶι μίσγεται. τούτου, φησίν (F 67), υἱὸς Πάριος, ὃι ἐπώνυμον τὸ ἐν Ἑλλησπόντωι Πάριον ὡς οἰκιστῆι.

108 (—) — Od. ι 65 p. 1615, 2: Ἀρριανὸς δὲ λέγει καὶ ὅτε παρὰ Βιθυνοῖς τελοῦνται τὰ νεκύσια, καλεῖν ὀνομαστὶ τὰς τῶν κατοικομένων ψυχὰς ὅσοι τελευτᾶν ἔτυχον ὑπερόριοι καὶ κατακαλεῖν αὐτοὺς ἐς τρὶς καὶ δέεσθαι ἀνελθεῖν ὡς μετάσχοιεν τῆς δαιτός.

— — Od. ν 14 p. 1671, 27: s. F 76.

109 (—) PROKOP. De bell. Goth. IV 14, 47—49: ταύτην (sc. τὴν Λαζικήν) παρραρεῖ τὴν χώραν ποταμὸς Ῥέων ὄνομα, οὗ δὴ καὶ φρούριον οἰκοδομήσαντο ἐκ παλαιοῦ Κόλχοι, οὕπερ ὕστερον αὐτοὶ τὸ πλεῖστον εἰς

8 οἰκία Roos (Eust. Il. *H* 221 χρῆσις δὲ τοῦ οἰκία καὶ παρὰ τῶι πεζογράφωι Ἀρριανῶι, ὡς πρὸ ὀλίγων μεμνημόνευται) οἰκεῖα Eust

ἔδαφος καθεῖλον .... Κοτιάιον δὲ τό τε φρούριον ὠνομάζετο τῇι Ἑλλήνων φωνῇι, νῦν μέντοι Κόταις αὐτὸ καλοῦσι Λαζοὶ τῇι τῆς φωνῆς ἀγνοίαι τὴν τοῦ ὀνόματος διαφθείροντες ἁρμονίαν. ταῦτα μὲν Ἀρριανὸς οὕτως ἱστόρησεν. ἕτεροι δέ φασι πόλιν τε γεγονέναι ἐν τοῖς ἄνω χρόνοις τὸ χωρίον καὶ Κοίταιον καλεῖσθαι, ἔνθεν τε τὸν Λήτην ὁρμᾶσθαι καὶ ἀπ' αὐτοῦ τοὺς ποιητὰς αὐτόν τε Κοιταιέα καὶ γῆν τὴν Κολχίδα Κοιταίδα καλεῖν. ΒΙΘ.

**110** (39) STEPH. BYZ. s. Ἀβρεττηνή· χώρα Μυσίας ἀπὸ Βρεττίας νύμφης. τὸ ἐθνικὸν Ἀβρεττηνός, ὡς Ἀρριανός φησιν.

**111** (62) — s. Ἁλμήνη· πόλις πρὸς τῶι Εὐξείνωι πόντωι, ὡς Ἀρριανός.

**112** (20) — s. Βόρσιππα· πόλις Χαλδαίων ..... οἱ πολῖται Βορσιππηνοί. Ἀρριανὸς δὲ Βορσιππεῖς αὐτούς φησιν. ΠΑΡΘ ΙΑ—ΙΓ

**113** (55) — s. Γετία· ἡ χώρα τῶν Γετῶν. Γέτης γὰρ τὸ ἐθνικόν ..... Ἀρριανὸς δὲ Γετηνοὺς αὐτούς φησι.

**114** (21) — s. Σωφηνή· χώρα τῶν πρὸς Ἀρμενίαν, ὡς Στράβων ἐν ιᾱ (14, 2). παρὰ δ' Ἀρριανῶι Σωφανηνὴ τετρασυλλάβως. ΠΑΡΘ. Η

**115** (22) — s. Τύρος· .... Ἀρριανὸς δὲ τὰ Ἄναθα Τύρον καλεῖ. ΠΑΡΘ. Ι

**116** (—) SUID. s. ἁλιεύς· .... καὶ ἁλιεῖς καὶ ἐπὶ ποταμῶν. «ἐκ τῶν πέριξ πόλεων ἐς τὴν τεταγμένην τῇι ἀναγωγῇι ἡμέραν ἠθροισμένοι ἁλιεῖς ἐφειστήκεισαν» Ἀρριανός φησι. ΠΑΡΘ.

**117** (—) — s. ἁλώσιμα (s. ἦγε καὶ ἔφερεν)· εὔληπτα. Ἀρριανός· «ὁ δὲ ἐκεῖθεν ὁρμώμενος ἦγέ τε καὶ ἔφερε τῆς ὑπ' ἐκείνωι οὐκ ὀλίγην καὶ αὐτὸς οὐδαμῆ ἦν αὐτῶι ἁλώσιμος.» ΤΑ ΜΕΤ ΑΛ.

**118** (—) — s. ἀμαυρά· ..... Ἀρριανός· «ἐξ ὧν καὶ τὰ ὑπόλοιπα δι' ἐλπίδος ἔχω οὐκ ἀμαυρᾶς, ὅτι καλῶς μοι ἔξει.» ΠΑΡΘ.?

**119** (—) a) — s. ἀμφίβολοι· πανταχόθεν βαλλόμενοι ..... Ἀρριανός· «οἱ δὲ Μάρδοι ἑκατέρωθεν ἤδη ἀμφίβολοι γιγνόμενοι, καὶ ὑπὸ τῶν ἀναβαινόντων παιόμενοι καὶ ὑπὸ τῶν κατὰ νώτου ἐπιθεμένων ὠθούμενοι, ἀπέθνησκον.» ΠΑΡΘ.

b) EUSTATH. Od. α 156 p. 1406, 35: ἀμφιβάλλειν δὲ .... καὶ τὸ ἑκατέρωθεν βάλλειν, ὡς δῆλον ἐκ τοῦ ἀμφίβολος, ὃς παρά τε Ἀρριανῶι καὶ

---

1 κοτιάιον K κοτυάειον L τό τε Jac τότε K τότε τὸ L ποτε τὸ? 3 ἀριανὸς L ἀρειανὸς K 5 κίτεον K ἔνθεν τε Haury ἐνθέντε K ἐνθένδε L ἀέτιον K ὡρμῆσθαι e ὁρμᾶσθαι KL 6 αὐτήν L Κοιταιέα Haury κοιτιέα K κοίτην L κοιταίτιδα L 7 Ἀβρεττήνη Berkel Holste ἀβρεττίνη RV ἀβροττίνη P 8 ἀβρετηνὸς RV 9 ἀλλήνη aus ἁλμήνη R¹(?); in RVP hinter Ἄλλαρία 11 βοριππαῖς R βόριππας V αὐτήν R 13 Ῥιανός? Meineke ἀριανῶν R Σωφαννηνή Holste —νίνη RVP 16 ἀριανὸς R ἀνάθα RV 21 ὁ δὲ ἐκεῖθεν (Suid. s. ἦγε): ἀπὸ τῶν φρουρίων Suid. s. ἁλώσιμα

ἑτέροις τὸν ἀμφοτέρωθεν βαλλόμενον σημαίνει. δηλοῖ δὲ καὶ τὸ περιβάλλειν ἤγουν κυκλοῦν. EBD. β 290 p. 1445, 52.

120 (16) SUID. s. ἀμφίλογον (s. Ἀξιδάρης)· ἀμφιβαλλόμενον, ἐνδοιάζοντα. Ἀρριανός· «Ἀξιδάρην δὲ ὅτι ἄρχειν χρὴ Ἀρμενίας, οὗ μοι δοκεῖ ἰέναι ἐς ἀμφίλογον.» ΠΑΡΘ. Η

121 (—) — s. ἄμωμον· Ἀρριανός· «πέμπει παρὰ βασιλέα ἵππον χρυσοχάλινον καὶ ψέλια καὶ ἀκινάκας καὶ ἄμωμον.» ΠΑΡΘ. Η—ΙΖ

122 (—) — s. ἄν· σύνδεσμος συνδετικός. Ἀρριανός· «καὶ ἂν ἤδη ἀφῖχθαι αὐτὸν παρὰ βασιλέα, εἰ μὴ ἐδεδοίκει Πάρθους.» ΠΑΡΘ.

123 (—) — s. ἄνδρα· .... Ἀρριανός· «ἄνδρα κατὰ νεότητα θρασύν, κατὰ ἀπειρίαν πραγμάτων ἀνόητον καὶ διὰ ῥώμην σώματος καὶ τὸ ἐς τὰς μάχας προπεσὸν τῶι πλήθει πιθανόν· οὐδὲ τὰς ὑπὲρ τῶν μεγίστων βουλὰς ἐν ὀλίγοις τοῖς μάλιστα προσιοῦσιν †αὐτῶν, ἀλλ' ἐν παντὶ τῶι πλήθει γίνεσθαι· τὸ πέρα δὲ ἀντιτείνοντας ξυνδεῖν καὶ δεδεμένους μηδὲν μεῖον ἔπεσθαι.»

124 (—) — s. ἀνεβάλλετο· .... Ἀρριανός· «ἀνεβάλλετο τὴν τῆς ἄλλης χώρας δήιωσιν, οἰόμενος ἐνδώσειν Ἀθηναίους.» ΤΑ ΜΕΤ ΑΛ. F

125 (—) — s. ἀνέδην· ..... Ἀρριανός· «οἱ δὲ τοῖς φρέασι φύλακας ἐπέστησαν, ὡς μὴ ἀνέδην ὅπως τις ἐθέλοι ὑδρεύεσθαι, ἀλλ' εἰς τὸ κοινὸν ξυλλέγεσθαι πᾶν ὅσονπερ ἀνιμῶιτο τοῦ ὕδατος· ἐκεῖθεν δὲ διανομὴν γίνεσθαι τὴν ἴσην ἑκάστοις.» ΠΑΡΘ.

126 (—) — s. ἀπείρατον u. γνωσιμαχῆσαι· Ἀρριανός· «οὐκ ἀπείρατον αὐτῶι ἔδοξεν ἐκλιπεῖν εἴ πη Ὀσρόης γνωσιμαχήσας ὑποδύσεται τοῖς ἐκ Ῥωμαίων τε καὶ ἑαυτοῦ ξὺν δίκηι ἀξιουμένοις.» ΠΑΡΘ. Η

127 (—) — s. ἀπήρτα· ἐκώλυε, διατριβὴν παρεῖχεν. Ἀρριανός· «ὁ δὲ ναυτικὸς στρατός, ἵνα περ μὴ ἄκρα ἐπὶ πολὺ ἀνέχουσα τοῦ ποταμοῦ ἀπήρτα τὸν πλοῦν τῆς ὁδοῦ, ξυμπαρέπλει τῆι στρατιᾶι.» ΠΑΡΘ. Ι

---

5 *ἰέναι ἐς* Roos (Anab. VII 22, 5) *εἶναί σε* Suid 9 *βασιλέα* Gutschmid *βασιλέως* Suid 10 ⟨*οὐ*⟩ *κατὰ* Bernhardy 11—13 *διὰ — πιθανόν* Suid. s. *πιθανούς* 12 *προπεσόν: προπετὲς εἶναι* Suid. s. *πιθανούς* 14 *αὐτῶι* Portus *αὐτῶι ⟨κελεύοντα⟩ o. s.* Bernhardy 15—16 *τὸ — ξυνδεῖν* Suid. s. *πέρα* 21 *ἐθέλοι* A C *ἐθέλει al* 22 *ὑδρεύσασθαι* B E *εἰς* om A 25 *Ἀρρ.* add s. *γνωσιμαχῆσαι* 25—26 *οὐκ — ἐκλιπεῖν* add s. *ἀπείρατον* 26 *ὀσρόης* s. *ἀπείρατον χοσρόης* s. *γνωσιμ.* 27 *ἀποδύσεται* s. *ἀπείρατον τε καὶ ἑαυτοῦ* (A *αὐτοῦ* cett) add s. *ἀπείρατόν* 30—31 *ἀντέχουσα* V

**128** (—) SUID. s. αὐτοκέλευστος u. παράγγελμα· ..... Ἀρριανός· *ΠΑΡΘ. Η̄*
«χρότος τε ἀθρόος οὐκ ἐκ παραγγέλματος, ἀλλ' ἐκ τοῦ αὐτοκελεύστου τῶν θεωμένων ὡρμήθη.»

**129** (—) — s. ἀφηλικέστερος· ..... Ἀρριανός· «παιδὸς γὰρ *ΤΑ ΜΕΤ*
ἐκείνου ἀφήλικος ἐπιτροπεύσειν τε † αὐτοῖς μέλλον καὶ *ΑΑ. Ā*
ὑπὸ τῶι ἐκείνου προσχήματι πᾶν ὅτι περ καθ' ἡδονὴν σφίσιν πράξειν ἐς τοὺς ὑπηκόους.»

**130** (—) — s. ἄχαρι gl. 1: ... Ἀρριανός· «ὁ δὲ πίστιν ἔδωκε *ΠΑΡΘ.*
τοῖς κατοικοῦσι μηδὲν ἄχαρι πείσεσθαι ἐκ βασιλέως.»

**131** (—) — s. βουλευτικός· ... Ἀρριανός· «οἱ γράψαντες *ΠΑΡΘ.*
οὐ μόνον τὰ ἔργα Τραιανοῦ ἀλλὰ καὶ τὰ βουλεύματα.» *ΙΑ—ΙΓ̄*

**132** (79) — s. βουλυτός· ἡ δειλινὴ ὀψία .... Ἀρριανός· *ΠΑΡΘ.*
«γίνεται μάχη καρτερὰ ἔστε ἐπὶ βουλυτὸν ἀγχώμαλος.» *Ζ̄?*

**133** (—) — s. γλισχρόν· .... καὶ Ἀρριανός· «τὰ ἐπιτήδεια *ΠΑΡΘ. Ϳ̄*
γλίσχρως τῆι στρατιᾶι ἐπορίζοντο.»

**134** (—) — s. γνώμη gl. 3: ... «ὅτωι θεία μὲν ἡ γνώμη *ΤΑ ΜΕΤ*
περιόντι, εἰς θεοὺς δὲ ἡ μεταχώρησις»· Ἀρριανός. *ΑΑ. Ā*

**135** (—) — s. δεῖμα· φόβος. Ἀρριανός· «τοσόνδε αὐτοὺς *ΤΑ ΜΕΤ*
δεῖμα ὡς προσαγόντων δεινῶν κατέσχεν ὥστε μὴ δύνα- *ΑΑ. Ā—Β̄*
σθαι ἀποστῆσαι τῆς ἐκπλήξεως.»

**136** (—) — s. δεξιός gl. 1 (s. ἀπεχώρησε, *Μάννον*, πατήσας): .... *ΠΑΡΘ. θ*
καὶ Ἀρριανός· «ὁ δὲ παρὰ Μάννου ἀπεχώρησε δεξιάς τε παραβάς, ἃς βασιλεῖ ἔδωκε, καὶ ὅρκους πατήσας, οὓς ὤμοσε.»

**137** (—) — s. διάλειμμα· .... καὶ διαλείποντα· τὰ διαχωρή- *ΤΑ ΜΕΤ*
ματα. Ἀρριανός· «φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου *ΑΑ. Γ̄—Δ̄*
ἐτετάχατο.»

**138** (—) — s. διαφορῆσαι (s. διαφορούμενης; s. ἀνασοβηθείς)·
Ἀρριανός· «τοὺς δὲ ἵππους εἶναι ἀγρίους ὑπό τε τῶι ἀήθει
τοῦ δεσμοῦ, καὶ ὑπὸ τοῦ ἀπηρτημένου βάρους ἔτι μᾶλλον
ἀνασοβηθέντας διαφορῆσαι αὐτόν.»

**139** (—) — s. διηνήσας· στρέψας. Ἀρριανός· «δῖναί τέ ἐστιν *ΠΑΡΘ. Ϊ̄*
ὅπηι ἀτόπως ἐπιστρέφουσαι, ὡς μὴ πρόσθεν ἐμπίπτειν

---

1 Ἀρρ. add s. αὐτοκέλευστος 2 ἀθρόως ebd 2—3 ἀλλ' — θεωμένων s. παράγγελμα: ἀλλ' αὐτοκέλευστος ὡρμήθη s. αὐτοκέλ. 5 αὐτοῖ ἐμελλον καὶ Bernhardy αὐτοὺς μέλλειν U Köhler αὐτοῖς μέλλον [καὶ]? 6 τῶι Bernhardy τῶν Suid 17 μεταχείρησις A 19 δεινῶς Köhler 22 Μάννον Suid. s. Μάννον 29 Ἀρρ. add s. διαφορουμένης δὲ add s. ἀνασοβηθείς [εἶναι]? ἐπί τε τῶι Pflugk ὑποτεινομένους o. s. Bernhardy 32 ἐστιν B C εἰσιν cett (?)

χρῆναι τὴν ἑπομένην τῇι προπλεούσηι νηί ⟨ἢ⟩ τὴν φθάνουσαν τῇι ἄγαν εἱρεσίαι ἐκ τῆς δίνης ἐξελαθεῖσαν εἰς εὐθὺ τοῦ πλοῦ καταστῆναι.»

140 (—) SUID. s. ἐγνωσμένον gl. 2: κεκριμένον. Ἀρριανός· «ἐγνωσμένον δὲ εἶναι σφίσιν, ἐπειδὰν ἐλάσωσιν ἐπ' αὐτοὺς οἱ Μαυρούσιοι, τοὺς μὲν κατὰ πρόσωπον αὐτῶν φεύγειν ὡς πεφοβημένους, τοὺς δὲ ἐφ' ἑκάτερα τεταγμένους ἐς τὰ πλάγια ἐμβάλλειν τῶν διωκόντων.» ΠΑΡΘ. Θ̄

141 (—) — s. ἔδρα gl. 1: .... Ἀρριανός· «ὅτι με καὶ ὄμμασι καὶ φωνῆι καὶ ἕδραι ἐτίμησας.» ἀντὶ τοῦ καθέδραι.

142 (—) — s. ἑκοντήν· Ἀρριανὸς· «τὴν μέσην τῶν ποταμῶν γῆν ἑκοντὴν ἐνδιδόντων τῶν ἐποικούντων κατέσχεν.» ΠΑΡΘ. Ē—Z̄?

143 (—) — s. ἑλινύοντας· .... Ἀρριανός· «αἱ δὲ κατασκοπαὶ οὐδέν τι ἑλινύουσαι ἐγίνοντο.» καὶ αὖθις· «ὁ δὲ ἀπῆγε τὴν στρατιάν, μηδέν τι ἑλινύσας.»

144 (80) — s. ἐπαινέτης· Ἀρριανός· «τοῦ τε ξὺν κόσμωι δρωμένου ἐπαινέτης καὶ τοῦ ἀκοσμήτου ἐν τῶι παραυτίκα ἐπιτιμητὴς καὶ τοῦ ἐσύστερον κολαστήρ.» ΠΑΡΘ. Η̄

145 (—) — s. ἐπελήφθη· ἐπήρξατο. Ἀρριανός· «ἤδη τε ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίστατο.»

146 (—) — s. ἐπίπλους gl. 2: ἐπιβάτας. Ἀρριανός· «κυβερνήτας δὲ καὶ πρωράτας μόνους ἐπίπλους εἶχον.»

147 (—) — s. ἐπιτήδεια. τὰ πρὸς τροφὴν ἁρμόδια. ..... Ἀρριανός· «οὐδὲν ἄλλο εἰ μὴ τὰ ἐπιτήδεια τῆς δικαίας τιμῆς λαμβάνοντας.»

148 (—) — s. εὔψυχος· ..... Ἀρριανός· «τῶν μάλιστα εὐψυχίαν τινὰ ἐν τοῖς δεινοῖς ἐπιδεικνυμένων.»

149 (—) — s. θειασμός· Ἀρριανός· «κρότος τε ἀθρόος καὶ ἐπιθειασμοὶ ὡρμήθησαν ὑπέρ τε αὐτοῦ τοῦ βασιλέως καὶ τῆς στρατιᾶς ἐπιτυχῆ ἀμφοῖν γενέσθαι τὴν ὁρμήν.» ΠΑΡΘ. Η̄

150 (—) — s. κατεδημαγώγησε· κατεστρατήγησε .... Ἀρριανός· «τῶι τε στρατηγήματι τῶιδε μάλιστα φιλανθρώπωι φανέντι κατεδημαγώγησεν, οὐκ ἀπιστεῖν αὐτῶι καὶ πολεμοῦντι τοὺς περιοίκους.»

---

1 ⟨ἢ⟩ ed Bas 9 ὀνόμασι Roos 18 κολαστήρ ABVE —ῆς al 19 ἤδη δὲ Zonar 25 ἢ μὴ ABVE 26 ἀπολαμβάνοντας E 29 ἀθρόως A 30—31 ἐπιθειασμοί — στρατιᾶς Suid. s. ἐπιθειασμοί 30 ὡρμήθησαν: στρατιᾶς ἐγίνοντο ebd αὐτοῦ om s. θειασμός

**151** (—) Suid. s. κελευστής (s. ἐνδόσιμον)· .... Ἀρριανός· «οἱ δὲ κελευσταὶ καθ' ἑκάστην ναῦν τὸ ἐνδόσιμον τοῖς ἐρέταις ἐνέδοσαν.» ΠΑΡΘ. Ī

**152** (—) — s. κολωνός (s. ἅλιθον) .... Ἀρριανός· «καθεώρων κολωνοὺς λίθων πολλαχοῦ τοῦ ὄρους νενημένους, τοὺς μὲν μείζους τοὺς δὲ ἐλάττους, οὓς εἵκαζον ἐκ τοῦ πεδίου συνενηνέχθαι. ἦν γὰρ οὐ φύσει ἅλιθον οὐδὲ εὔγειον τὸ πεδίον, ἀλλ' οἷον εἰκασθῆναι ἐκκεκαθαρμένον.»

**153** (—) — s. λύγος· τὸ ἱμαντῶδες φυτόν ... Ἀρριανός· «ὡς δὲ ἄπορος αὐτοῖς ἡ διάβασις ἐφαίνετο, ξυναγαγὼν ὁ Βρούτιος τοὺς ἐπιχωρίους κελεύει ἡγεῖσθαι τὴν ὁδόν, ὅπως εἰώθεισαν αὐτοὶ παρ' ἀλλήλους φοιτᾶν ὧραι χειμῶνος. οἱ δὲ κύκλους ἐκ λύγων τοῖς ποσὶ περιαρμόσαντες αὐτοί τε ἀβλαβῶς ἐπήρχοντο κατὰ τῆς χιόνος πιεζομένης ὑπὸ τῶν κύκλων καὶ τοῖς Ῥωμαίοις παρεῖχον οὐ χαλεπὴν τὴν πάροδον. ἦν δὲ ἡ χιὼν ὡς ΙΖ̄ πόδας πολλαχῇ τὸ βάθος.» ΠΑΡΘ. ΗΙΖ

**154** (19) — s. ναῦς (s. ἀκροστόλια)· Ἀρριανός· «Τραιανὸς ὁ βασιλεὺς περῶν τὸν ποταμὸν Ν̄ νῆας εἶχε. τέσσαρες δὲ ἔφερον τὰ σημεῖα τὰ βασιλικά, αἵτινες καὶ τὴν στρατηγίδα κάλοις μακροῖς ἐξηρτημένην ἐφεῖλκον. εἶχε δὲ ἡ ναῦς μῆκος μὲν κατὰ τριήρη μάλιστα, εὖρος δὲ καὶ βάθος καθ' ὁλκάδα, ὅσον μεγίστη Νικομηδὶς ἢ Αἰγυπτία· ἐν ἧι ἐπεποίητο βασιλεῖ ἀποχρῶντα ἐνδιαιτήματα. αὕτη δὲ τά τε ἀκροστόλια ἔφαινε ⟨χρυσᾶ⟩ καὶ ἐπ' ἄκρωι τῶι ἱστίωι τὸ βασιλικὸν ὄνομα καὶ ὅσοις ἄλλοις βασιλεὺς γεγαίρεται χρυσῶι ἐγκεχαραγμένα. νενέμητο δὲ τρίχα τὸ πᾶν ναυτικόν, ὡς μὴ τῶι ξυνεχεῖ πλόωι ταράττοιντο.» ΠΑΡΘ. ΙΑ

**155** (—) — s. ξυνάγκεια (s. ὑποτεμόμενος)· ὁ κοῖλος τόπος. Ἀρριανός· «ὁ δὲ ὑποτεμόμενος αὐτὸν ἐν ξυναγκείαι τινὶ βάλλει κατὰ νώτου τὸν ἄνθρωπον.»

**156** (—) — s. ξυστόν· δορύλλιον, ἀκόντιον ..... Ἀρριανός· «τὰ σημεῖα τῆς ἐπιλέκτου στρατιᾶς ἀετοί, εἰκόνες βασίλειοι, στέμματα, πάντα χρυσᾶ, ἀνατεταμένα ἐπὶ ξυστῶν ἠργυρωμένων.» ΠΑΡΘ.

---

1—2 οἱ δὲ κελευσταί add s. ἐνδόσιμον 2—3 τοῖς ἐρέταις τ. ἐνδ. ebd 5 νενημένους Toup (Anab. VI 26, 4) νενεμημένους Suid 7—8 ἦν — πεδίον s. ἅλιθον 10—11 Βρούτιος A Βρόντιος cett 13 λύγων: λύττων A 15 παρεῖχον om A 18 νῆας A ναῦς cett (?) 20 καθεῖλκον V 24 ἔφαινε ABVE ἔφερε al ⟨χρυσᾶ⟩ Roos ans s. ἀκροστόλια 25 ὄμμα Toup 29—30 ὁ δὲ ὑπ. ἐν ξ. τ. βάλλει κ. ν. αὐτόν ders. s. ὑποτεμόμενος

**157** (—) SUID. s. ὀξύτης· πικρία, αὐστηρία. Ἀρριανός· «κατὰ τὴν βασιλέως ὀξύτητα καὶ αὐτὸς ὠμῶς τε καὶ σὺν ὕβρει ἐξηγεῖτο.» ΠΑΡΘ.?

**158** (—) — s. παλτά· τὰ δόρατα. ..... Ἀρριανός· «ἐξηκόντιζον εἰς τοὺς προμαχομένους τοῦ τείχους οἱ μὲν παλτά, οἱ δὲ λίθους, οἱ δὲ τοξεύματα.» ΠΑΡΘ. IZ?

**159** (—) — s. παραυτόθεν· αὐτίκα, ἀπὸ τοῦ παρόντος χρόνου. Ἀρριανός· «παραυτόθεν ὡς ἔχομεν ἐπεξελθόντες ἐν χερσὶ στήσασθαι τὸ τέλος τῆς μάχης.»

**160** (—) — s. παρεξειρεσίαν· τὰ ἔξω τῶν ἐρεσσόντων. ἐν τετάρτῃ (12, 1) Θουκυδίδης. Ἀρριανός· «τῶν μὲν κωπῶν ἔστιν ἃς ξυνέτριψαν καὶ τῆς παρεξειρεσίας τινὰ ἀπέθραυσαν.» ΠΑΡΘ. IA—IF

**161** (—) — s. παρεστηκότες· συνημμένοι, τεθαρρηκότες. Ἀρριανός· «οἱ δὲ ἐσκεδασμένοι καὶ οὐ παρεστηκότες ταῖς γνώμαις ἐς φυγὴν ἐτράπησαν.» —

**162** (—) — s. πονήσαντα· ἀντὶ τοῦ παλαιωθέντα. Ἀρριανός· «τὰ δὲ πονήσαντα αὐταῖς οὐ χαλεπῶς ἐπεσκευάσθη.» ΠΑΡΘ. IA—IF

**163** (—) — s. προυργιαίτερον gl. 2 (s. πρὸ ἔργου ἐτίθετο) ..... Ἀρριανός· «μάλιστα δὲ φίλια τὰ κατὰ νώτου ἑαυτῷ τε καὶ τῇ στρατιᾷ καταλιπεῖν πρὸ ἔργου ἐτίθετο ὁ στρατηγός.»

**164** (—) — s. ῥόθιον gl. 1: ..... «κτύπος τε ῥοθίου καὶ χρεμετισμὸς ἵππων ἀλλήλοις ἀντεπατάγει» φησὶν Ἀρριανός. ΠΑΡΘ. I?

**165** (—) — —: καὶ αὖθις ὁ αὐτός· «στοῖχον ἕνα ὁπλιτῶν προβεβλημένων τὰς ἀσπίδας, πολλῶι τῶι ῥοθίωι καὶ ἅμα ξυγκελευσμῶι παντοίωι ἐν χρῶι τοῦ ἀεὶ ἐμπεποιημένου ζεύγματος παραπλέουσι.» ΠΑΡΘ. I?

**166** (—) — s. σταθμητόν· μετρητόν. Ἀρριανός· «ἦν δὲ καὶ χαμήλων οὐ σταθμητόν τι πλῆθος.» καὶ αὖθις· «πέτραι τε οὐ σταθμηταὶ τὸ μέγεθος ἀπὸ κεραιῶν μετέωροι αἰωρούμεναι πρὸς τοὺς ὑπιέναι ὁρμῶντας τὸ τεῖχος ἐβάλλοντο.» ΠΑΡΘ.

**167** (—) — s. στόλος (s. Σποράκις)· καὶ τὸ πεζικὸν στράτευμα. Ἀρριανός· «Σποράκης μαθὼν τὸν στόλον ⟨τὸν⟩ βασιλέως ἐπὶ τὴν ἑαυτοῦ ἐπικράτειαν γενόμενον ἔφυγεν.» ΠΑΡΘ. Θ

---

11 Ἀρριανός om A 12 ξυνέτριψαν A συν— cett 17 ἐπεσκευάσθαι V 19 μάλιστα: καὶ ἅμα s. πρὸ ἔργου 20 καταλείπειν ebd ὁ στρατηγὸς om ebd 25 ξυγκελευσμῶι Roos (Anab. II 21, 9) ξυγκελευομένωι (—νων E) Suid 26 παραπλέουσαι A 33 Ἀριστοφάνης V σποράκις cett σποράκης V ⟨τὸν⟩ β. Jac βασιλέα V 34 αὐτοῦ s. στόλος ἔφυγεν. τινὲς δὲ Σφωράκιος s. Σποράκις

168 (—) SUID. s. σχάσαντα· τεμόντα. «ἔλεγον σχάσαντα ἐκ τῶν βραχιόνων τὰς φλέβας λειποψυχήσαντα ἀποθανεῖν.» οὕτως Ἀρριανός.

169 (—) — s. ὑπό οἱ· Ἀρριανός· «τὸ δὲ ἕβδομον τέλος ὑπό οἱ ἔχων καὶ ἄλλους πολλούς.» ΠΑΡΘ. Η—ΙΖ

170 (—) — s. φοβερός· . . . . . Ἀρριανός· «οἱ δὲ ἐμβεβληκότων τῶν πολεμίων φοβεροὶ καὶ ἀμήχανοι ἄνευ τοῦ ἐς τὸ κοινὸν ὠφελίμου ἀπώλλυντο.» ΠΑΡΘ. Ε

171 (—) — s. φυλάρχης· δυνάστης. ⟨Ἀρριανός⟩· «ξυμβάλλει τῶι Τραιανῶι περὶ Αὐγάρου, ὃς ἦν Ὀσροήνης χώρας δυνάστης, οὗσπερ φυλάρχας ὀνομάζουσιν οἱ ἐκείνηι, ὅτι καὶ τὰ χωρία αὐτῶν φυλαὶ ὀνομάζονται.» ΠΑΡΘ. Η

172 (—) — s. χρηματισαμένων· χρήματα λαβόντων. Ἀρριανός· «χρηματισαμένων δὲ καὶ αὐτῶν τρίτη παρεγένετο πρεσβεία.» ΤΑ ΜΕΤ ΑΔ. Α.

## Zweifelhaftes.

173 (—) EUST. Dion. Per. 911: ὡς καὶ Ἀρριανὸς λέγει· «Τύρος ἡ τότε ἔτι νῆσος.»

174 (—) EUAGRIOS HE I 20: εἰ τῳ περισπούδαστον ταύτας (s. τὰς ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ἀντιόχειαν σταλείσας ἀποικίας) εἰδέναι, ἱστόρηται περιέργως Στράβωνι τῶι γεωγράφωι (XVI 2, 4), Φλέγοντι (257 F 24) τε καὶ Διοδώρωι τῶι ἐκ Σικελίας, Ἀρριανῶι τε αὖ καὶ Πεισάνδρωι τῶι ποιητῆι, καὶ πρός γε Οὐλπιανῶι Λιβανίωι τε καὶ Ἰουλιανῶι (367 C) τοῖς παναρίστοις σοφισταῖς.

175 (—) a) AINEIAS v. GAZA p. 19 Boiss.: οὔτε Ἀρριανὸς ἐπὶ τὸ ἀληθέστερον μᾶλλον ἢ μυθωδέστερον συγγράφων τοῦ δόγματος (sc. der seelenwanderung) ἐμνήσθη, καίτοι τὴν τῶν Βραχμάνων πρὸς Ἀλέξανδρον παρουσίαν ἐκδιδάσκων, ἐν ἡι παραινοῦσιν Ἀλέξανδρον πλεονεξίας ἀπέχεσθαι κτλ. b) Ps. KALLISTH. III 10 (=PALLADIUS De India et Brahm. libellus): Ἀρριανοῦ τοῦ μαθητοῦ μέντοι Ἐπικτήτου . . . . . τούτου τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα ἱστορήσαντος ὃ ἐκεκτήμην πονημάτιον ἀπέστειλα μοι ὁ τῶν Βραχμάνων διδάσκαλος διηγούμενος τὰ κατὰ τὸν Μακεδόνα ἔφη· βασιλεὺς Ἀλέξανδρος οὐκ ἀνεχόμενος μόνης εἶναι βασιλεὺς τῆς Μακεδονίας οὐδ' ἀρκούμενος Φιλίππωι πατρί, καὶ Ἄμμωνος υἱὸν ἑαυτὸν ἔλεγεν εἶναι καὶ τῆς γεννήσεως ἐλεγχούσης ψευδεῖς ἔφερε τῆς φύσεως ἀποδείξεις, ἀνικήτους δὲ ἀγῶνας προέτεινεν. ἀνέτειλε γὰρ ὡς ὁ ἥλιος ἀπὸ Μακεδονίας κατασπεύσας πολὺν κόσμον πρὶν ἐδυνε (11) Δάνδαμις ὁ τῶν Βραχμάνων διδάσκαλος διηγούμενος τὰ κατὰ τὸν Μακεδόνα ἔφη· βασιλεὺς Ἀλέξανδρος οὐκ ἀνεχόμενος μόνης εἶναι βασιλεὺς τῆς Μακεδονίας οὐδ' ἀρκούμενος Φιλίππωι πατρί, καὶ Ἄμμωνος υἱὸν ἑαυτὸν ἔλεγεν εἶναι καὶ τῆς γεννήσεως ἐλεγχούσης ψευδεῖς ἔφερε τῆς φύσεως ἀποδείξεις, ἀνικήτους δὲ ἀγῶνας προέτεινεν. ἀνέτειλε γὰρ ὡς ὁ ἥλιος ἀπὸ Μακεδονίας κατασπεύσας πολὺν κόσμον πρὶν ἐδυνε

---

9 ⟨Ἀρριανός⟩ Bernhardy aus vorhergehender glosse ⟨Ἀρρ.⟩ περὶ Αὐγάρου (Ἀβγάρου) ders 10 περὶ Αὐγάρου: ὁ Ἄβγαρος Küster, Valesius περὶ ⟨τοῦτον τὸν τόπον ὁ⟩ Αὔγαρος? 27 Ἀρριανοῦ C Mue(ller) *ariou* A *Adriani* Lat (Ps. Palladius) Ἐπικτήτου A *Pitti* Lat 29 ἀνδρείαι Mue ἀλεξανδρείαι A 29 ὑποτάξας — ὑπομνηματικῶι Mue ὑποτάξας τὸ ὑπομνηματικὸν A 31 μόνης Mue ὡς A 32—33 ἐλεγχούσης Mue λεγούσης A 33 προέτεινεν Mue προσέ— A 34 κατασπεύσας πολὺν κόσμον om A *totum mundum perambulans Lat* κατοπτεύσας Biss(aeus)

κατὰ Βαβυλῶνα· τὴν δ' Εὐρώπην τε καὶ τὴν Ἀσίαν ὡς μικρὰ χειρωσάμενος χωρία, ἦλθε καὶ τὸν ἡμέτερον κόσμον κατοπτεύων καὶ ἐρευνῶν. καὶ ἔλεγε ταῦτα ἐν ἑαυτῷ ὁ Ἀλέξανδρος· 'Σοφία, μῆτερ προνοίας, κοινωνὲ τῆς πασῶν * δυνάμεως, † ἀνωτέρω ἐν ἀληθείαι μόνῃ κειμένη, τροφεὺς καὶ δημιουργὲ φύσεως, λόγων δοτήρ, γνώσεως κοινῆς *, ἀδίκων μὲν † ἐπιμιγνὺς δικαίων δὲ φειδομένη, δὸς εὐμενῶς ἤδη μοι τῶν αἰτημάτων τυχεῖν. Βραχμᾶνας δὲ παρόντας ἐνθάδε σοφούς τε καὶ ἀγαθοὺς ἰδεῖν ἥκω, μαθὼν παρὰ Καλάνου τινὸς τῶν ἐνθάδε σπεύσαντος πρός με. πεισθεὶς δὲ ἦλθον, ποθῶ δὲ ὅπως ἴδω καὶ μάθω σαφῶς.' (12) Βραχμᾶνες καὶ αὐτοὶ Ἰνδοὶ Ἀλεξάνδρωι τῶι βασιλεῖ ταῦτα λέγουσιν· 'ὀρεγόμενος σοφίας ἦλθες πρὸς ἡμᾶς Ἀλέξανδρε, ὅπερ προθυμότερον ἀποδεχόμεθα Βραχμᾶνες· ὅτι ἐστὶ βασιλικώτερον ἐν τῶι βίωι ἡμῶν, τοῦτο γὰρ ἠθέλησας μαθεῖν, βασιλεῦ Ἀλέξανδρε. ὁ φιλόσοφος γὰρ οὐ δεσπόζεται, ἀλλὰ δεσπόζει· ἄνθρωπος γὰρ αὐτοῦ οὐ κρατεῖ παντελῶς. ἀλλ' ἐπειδὴ μέχρι τοῦ νῦν διαβεβλημένοι ἠπιστούμεθα ὑπό σου, γευσόμενος νῦν ἀληθινῶν λόγων ἦλθες. Κάλανος γὰρ κακὸς ἀνὴρ ἡμῖν γεγένηται, καὶ διὰ Κάλανον ἄνδρες Ἕλληνες Βραχμᾶνας ἔγνωτε, ἀλλ' οὐκ ἐπέγνωτε· ἐκεῖνος γὰρ οὐκ ἦν ἡμέτερος, ἀπ' ἀρετῆς δραπετεύσας εἰς πλοῦτον. οὐκ ἠρκεσεν αὐτῶι Τιβεροβοάμ (?) ποταμοῦ πίνειν ὕδωρ σωφροσύνης καὶ ἀμολγὰς ἐσθίειν, ἐν οἷς αὐξάνεται νοῦς θεοπρεπής, ἀλλὰ πλοῦτον ἔσχεν ἐχθρὸν ψυχῆς· καὶ οὕτως ἐν ἑαυτῷ δεινὸν ἀνέφλεξε πῦρ καὶ εἰς ἡδονὴν ἑαυτὸν ἀπέστρεψεν ἀπὸ σοφίας. ἡμῶν δὲ οὐδεὶς ἐπ' ἀνθράκων κυλίεται, οὐδὲ ἀλγηδὼν ἡμῶν δαπανᾶι τὸ σῶμα, ἀλλ' ἔστιν ἡμῶν ἡ τροφὴ ὑγιείας φάρμακον. ἄπλουτοι δ' ἐσμὲν κατὰ τὴν φύσιν, καὶ ὁμοίως πᾶσι τῶι βίωι ἡμῶν ἐπακολουθεῖ ὁ θάνατος. εἰ δὲ τῶν κακῶν ἀνδρῶν τινες ψευδεῖς μαθόντες λόγους καὶ κενοῖς ἡμᾶς ὑποτοξεύουσι βέλεσιν, ἀλλὰ τὴν ἐλευθεριαν ἡμῶν οὐ βλάπτουσιν. ἴσον δ' ἐστὶ τὸ ψεύδεσθαι καὶ τὸ τάχος πείθεσθαι· ἀδικεῖ γὰρ ὁ ψευδόμενος ὃς πείθει, ἀδικεῖ δὲ καὶ ὁ πειθόμενος ψευδομένωι προσέχων πρὶν ἢ τἀληθὲς μάθηι. διαβολὴ γάρ μήτηρ ἐστὶ

---

1 χειρωσάμενος Biss *subiugavit* Lat χρησάμενος L ἡγησάμενος A 2 ἐν ἑαυτῶι L *in sensu suo* Lat om A 3—6 Σοφία — τυχεῖν: stark verkürzt Lat 3 κοινωνὲ δὲ L κοινῶν A τῆς πασῶν ⟨ἀρετῶν⟩ δυνάμεως Mue τῆς πασῶν μητρὸς δικαιοσύνης Biss *sapientia quae es caput omnium virtutum* Lat 3—4 ἀνώτερα ἐν ἀλ. μόνῃ κειμένη L ἀνωτέρω ἀλ. μόνηι A 4 τροφὲ L δότειρα Mue γνώσεως: φύσεως A 5 κοινῆς ⟨ἐρευνητά⟩ Biss *et perquiris et vides omnem scientiam* Lat ἀδίκους μὲν ἀποτίννουσα Biss ἀδίκοις μὲν ἐπιμηνίουσα Mue *et iustis et iniustis reddes secundum facta illorum* Lat 8 ποθῶ δὲ: διὸ ποθῶ A 9 τῶι βασιλεῖ L Lat om A 10 Ἀλέξανδρε om A Lat ἡμᾶς ἐνταῦθα C ὅπερ προθυμότερον Biss ὅπερ πρῶτον A C πρότερον L *cum placido animo* Lat 11 βασιλεὺς ὤν Mue 12 οὐ δεσπόζεται ἀλλὰ om A πατελῶς om A 13 μέχρι νῦν L μέχρι τούτου C *huiusmodi* Lat *male fuit dictum tibi de nobis a Calano* Lat γευσόμενος Mue —άμενος A C L *degustans* Ambrosius νῦν L (Ambr) γὰρ τῶν C om A 14 *apud nos homo pessimus* Lat 15 ἔγνωτε: ἔγνωσαν C Lat ἀλλ' οὐκ ἐπ. om L C 16 εἰς πλ. om C εἰς om A *eo quod amavit divitias quas nos non amamus* Lat τιβεροβοὰμ L τιβήριο A ἐν τῆι βαροὰμ C *de tababeno* Lat *de taberunco* Ambr 17 σωφροσύνης ἀγαθόν C ἀμολγὰς ἐσθίειν γῆς C *manducare lac et omnia quae* Lat 18 ἀλλὰ om A L Lat 19 ἑαυτὸν Mue αὐτὸν L C om A πορεύεται ἢ μᾶλλον κυλίεται C *sedet pro frigore* Lat 20 τροφὴ, ζωὴ L C *sed dum vivimus* Lat 22 θνητῶν τινὲς ἀνδρῶν L (?) *aliquis* Lat 23 ἐλευθεριαν: *consuetudinem* Lat

πολέμου καὶ τίκτει ὀργήν, ἀφ' ἧς μάχονται καὶ πολεμοῦσι. πλὴν οὐκ ἔστιν ἀνδρεία τὸ φονεύειν ἄνδρας· ληιστοῦ γὰρ ἔργον ἐστίν. ἀνδρεία δέ ἐστι τὸ πάσηι ἀέρων κράσει μάχεσθαι γυμνῶι τῶι σώματι καὶ γαστρὸς ἐπιθυμίας ἀναιρεῖν καὶ τοὺς ἐν αὐτῆι πολέμους μᾶλλον νικῆσαι καὶ ὑπὸ τῆς ἐπιθυμίας μὴ καταγωνίζεσθαι πρὸς τὸ ὀρέγεσθαι δόξης καὶ πλούτου καὶ ἡδονῆς. τούτους οὖν νίκησον πρῶτον, Ἀλέξανδρε, τούτους ἀπόκτεινον· τούτους γὰρ ἐὰν νικήσηις, οὐκ ἔστι σοι χρεία πρὸς τοὺς ἔξω μάχεσθαι· τοῖς γὰρ ἔξω μάχηι, ἵνα τούτοις ἐνέγκηις φόρους. οὐ βλέπεις ὅτι τοὺς ἔξω νικῶν ὑπὸ τῶν ἔνδον νενίκησαι; πόσοι σοι δοκοῦσι βασιλεῖς ἀνοίας ἐν τοῖς ἄφροσι τυραννεῖν; γλῶσσα, ἀκοή, ὀσφρησις, ὅρασις, ἁφή, γαστήρ, αἰδοῖα, ὅλος ὁ χρώς. πολλαὶ δὲ καὶ ἔσωθεν ὥσπερ ἀμείλικτοι δέσποιναι καὶ τυραννίδες ἀκόρεστοι ἀπέραντα ἐπιτάττουσιν ἐπιθυμίαι, φιλοχρηματίαι, φιληδονίαι, δολοφονίαι, σωματομιξίαι, φονοκτονίαι, διχοστασίαι· αἷς πάσαις ταύταις καὶ ἄλλαις πλείοσι βροτοὶ δουλεύουσι, δι' ἃσπερ φονεύουσι καὶ φονεύονται. Βραχμᾶνες δὲ νικήσαντες τοὺς ἔσωθεν πολέμους πρὸς τοὺς ἔξωθεν οὐ μαχόμεθα· ἀναπαυόμεθα βλέποντες ὕλας καὶ οὐρανόν, καὶ ἀκούομεν ὀρνέων ἦχον εὐμελῆ καὶ ἀετῶν κλαγγήν, φύλλα τε περιβεβλήμεθα καὶ ἀέρι ἐνδιαιτώμεθα, καὶ καρποὺς ἐσθίομεν καὶ ὕδωρ πίνομεν, θεῶι ὕμνους ἀιδομεν, καὶ τὰ μέλλοντα ἐπιθυμοῦμεν, οὐδενὸς μὴ ὠφελοῦντος ἀκούομεν· τοιαῦτα Βραχμᾶνες ζῶμεν, οὐ πολλοὺς λόγους λέγοντες καὶ σωπῶντες. ὑμεῖς δὲ λέγετε ἃ δεῖ μὴ ποιεῖν, καὶ ποιεῖτε ἃ μὴ δεῖ λέγειν. παρ' ὑμῖν δὲ οὐδεὶς φιλόσοφον οἶδεν ἐὰν μὴ λαλήσηι· ὑμῶν γὰρ ὁ νοῦς ἐστὶ ἡ γλῶττα, καὶ ἐπὶ τοῖς χείλεσιν αἱ φρένες. χρυσὸν καὶ ἄργυρον συνάγετε· δούλων χρείαν ἔχετε καὶ μεγάλων οἰκων· ἀρχὰς διώκετε· ἐσθίετε καὶ πίνετε δσα καὶ τὰ κτήνη· οὐκ αἰσθάνεσθε οὐδὲ ὡς ἰδιῶται· περιβάλλεσθε μαλακά, ἐξομοιούμενοι τοῖς σκώληξι τοῖς σηρικοδιασταῖς· ἀδεῶς πάντα πράττετε, καὶ ἐφ' οἷς πράττετε μετανοεῖτε· καθ' ἑαυτῶν λαλεῖτε ὡς κατ' ἐχθρῶν· τῆς γλώττης ἐξουσίαν ἔχοντες ὑπ' αὐτῆς πολεμεῖσθε· κρείττονες ὑμῶν εἰσὶν οἱ σιγῶντες, κἂν ἑαυτοὺς οὐκ ἐλέγχωσι· παρὰ προβάτων ὥσπερ αἰχμάλωτοι ἔρια δανείζεσθε· δόξαν τοῖς δακτύλοις ὑμῶν ὡς ξόανα περιτίθεσθε· χρυσὸν ὡς αἱ θήλειαι φορεῖτε [καὶ ἐπὶ τούτοις μεγαλύνεσθε]· καθ' ὁμοίωσιν τοῦ κτίσαντος

---

1 ὀργὴν ἐν ἀνθρώποις C πολεμοῦσι, Ἀλέξανδρε, ἄνθρωποι C 2 τὸ πολεμεῖν καὶ φονεύειν A 2—3 δὲ πάλιν ἐστὶ τῶι C ἐστὶ πρὸς τὸ πᾶσαν L ἐστὶ πρὸς ἁπασῶν (?) χειρῶν μάχεσθαι A 6 ἐὰν μόνον C 7 οὐ om A *sed primum cogita* Lat 8 νικῶν A νικᾶις καὶ L C *vincis, istos autem* Lat 8—13 stärker abweichend Lat 11 ἐπιτάττουσαι L δολοφονίαι: φειδωλίαι L 11—12 σωματομιξίαι φονοκτονίαι om L C 14 πρὸς — μαχόμεθα: καὶ τοὺς ἔξωθεν, λοιπὸν ὑγειῶς ἔχομεν (λοιπὸν ἀνερρώθησαν L) C L *quos foris habemus non timemus, sed securi semper .... vivimus* Lat 16 ἐνδιαιτώμεθα: διαχεόμεθα A om Lat καρποὺς: *fructus arborum* (vgl. *de frondibus arborum* ~ φύλλα v. 15) Lat 17 *semper canimus* Lat 17—18 ἀκούομεν, οὐ πολλὰ λέγομεν, σιωπῶμεν τοὺς πολλοὺς λόγους A *et non loquimur multa, sed cum locuti fuerimus* (*non dicimus nisi veritatem*) *et statim tacemus* Lat 19 ἃ δεῖ ποιεῖν A L *multa quae debeant fieri* Lat καὶ — λέγειν: *et non facitis* Lat ὑμῖν δὲ: ἡμῖν γὰρ C δὲ om A 19—20 οὐδεὶς — λαλήσηι C *non alium tenetis nisi qui sapit fabellare hominem* Lat οὐδεὶς φιλοσοφῶν οὐδὲν εἰ μὴ λαλήσωιν L τοὺς φιλοσόφους οὐδὲν οἶδεν εἰ μὴ λαλήσωσι A 22 κτήνη: *quantum et alter homo* Lat 22—23 οὐκ — ἰδιῶται om Lat οὐδὲ om L C 23 ἐξομ. — σηρικοδ. om C Lat 24 ἀδεῶς om A μετανοεῖτε: μεγαλύνεσθε A ἑαυτοὺς καταλαλεῖτε C *loquimini vos contra* Lat 28 [ ] Mue ἐπὶ τούτοις μεγαλύνεσθε (ἐπαίρεσθε C) om Lat

δημιουργηθέντες ἀνημέρων θηρίων θυμὸν τίκτετε· ὅταν πολλὰς κτήσεις περιβάλλησθε, ἐπὶ τούτοις μεγαλύνεσθε, καὶ τοῦτο βλέποντες ὅτι πρὸς ἀλήθειαν οὐδὲν ὑμᾶς ὄνηται ὠφελεῖν· χρυσὸς γὰρ ψυχὴν οὐκ ἀνίστησιν οὐδὲ σῶμα πιαίνει, ἀλλὰ τοὐναντίον μᾶλλον καὶ ψυχὴν σκοτοῖ καὶ σῶμα ἐκτήκει. ἡμεῖς δὲ πρὸς ἀλήθειαν τὴν φύσιν ἐπείγοντες † τὰ ταύτηι ἀποκληρωθέντα, ἐκείνων καὶ προνοοῦμεν· πείνης παραγενομένης ἀκροδρύοις καὶ λαχάνοις τοῖς ἐκ τῆς προνοίας ἡμῖν χορηγουμένοις ἰώμεθα ταύτην, καὶ δίψης παραγενομένης ἐπὶ τὸν ποταμὸν ἐρχόμενοι, χρυσὸν πατοῦντες, ὕδωρ πίνομεν καὶ ταύτην θεραπεύομεν. χρυσὸς δὲ οὐ παύει δίψαν οὐδὲ λιμὸν παραμυθεῖται, οὐ τραῦμα θεραπεύει, οὐ νόσον ἰᾶται, οὐκ ἀπλησταίαν ἐμπίπλησιν, ἀλλὰ μᾶλλον καὶ προσεξεγείρει ταύτην τὴν ξένην τῆς φύσεως ἐπιθυμίαν. καὶ διψῶν μὲν ἄνθρωπος [δῆλον ὅτι ἐπιθυμεῖ πιεῖν] καὶ λαβὼν ὕδωρ πέπαυται τῆς δίψης· καὶ ὁ πεινῶν φυσικῶς ἐπιζητεῖ τροφήν, καὶ φαγὼν κορέννυται καὶ τῆς ἐπιθυμίας πέπαυται. παντάπασιν οὖν δῆλον ὅτι ξένον φύσεώς ἐστι τὸ χρυσοῦ ἐπιθυμεῖν· πᾶσα γὰρ ἐπιθυμία πέπαυται βροτῶν, ὅταν λάβηι κόρον, ἐπειδὴ τῆι φύσει τοῦτο συνέσπαρται· ὁ δὲ τῶν χρημάτων ἔρως ἀκόρεστός ἐστι διὰ τὸ εἶναι τοῦτον παρὰ φύσιν. ἔπειτα καὶ ἐν αὐτῶι κοσμεῖσθε καὶ ἐπὶ τούτωι δοξάζεσθε, τῶν ἄλλων ἀνθρώπων ὑπερμεγαλυνόμενοι· καὶ διὰ τοῦτο τὰ κοινὰ τῶν πάντων ἴδια ποιεῖτε, τὴν ὁμοίαν πᾶσι μίαν φύσιν τῆς φιλαργυρίας εἰς πολλὰς γνώμας λοιπὸν κατατεμνούσης. Κάλανος οὖν ὁ ψευδὴς φίλος ὑμῶν ταύτην ἔσχε τὴν γνώμην, ἀλλ' ὑφ' ἡμῶν καταπατεῖται· καὶ ὁ παραίτιος πολλῶν κακῶν πᾶσι παρ' ὑμῖν ἐστὶν ἔντιμος καὶ τιμᾶται ὑφ' ὑμῶν. ἀνωφελὴς δὲ ὢν παρ' ἡμῖν παρ' ἡμῶν παραπέμπεται ἐξουδενωθείς· καὶ πάντα ὅσα ἡμεῖς καταπατοῦμεν, ταῦτα ἐθαύμασεν ὁ φιλαργυρήσας Κάλανος, ὁ μάταιος ὑμέτερος φίλος καὶ οὐχ ἡμέτερος· μέλεος καὶ τῶν ἀθλίων ἐλεεινότερος τὴν ψυχὴν ἑαυτοῦ ἀπώλεσε φιλαργυρήσας· καὶ διὰ τοῦτο ἄξιος ἡμῶν οὐκ ἐφάνη, οὐδὲ ἄξιος τῆς πρὸς θεὸν φιλίας· οὐδὲ ἐνανεπαύσατο ταῖς ἐν ταῖς ὕλαις ἀμεριμνίαις, ἐν ταύταις ἐντρυφήσας, οὐδὲ ἐλπίδα ἔσχε τῆς μετὰ ταῦτα προσδοκίας, τὴν ἀθλίαν ἑαυτοῦ ψυχὴν φιλαργυρίαι κατακτείνας.

## Anhang.

*TA MET AA. F*

176 (—) a) Suid. s. Ἀντίπατρος· .... ὅτι τῶν Ἀθηναίων τὰς Ἀθήνας Ἀντιπάτρωι τῶι Μακεδόνι παραδόντων, ἐν δέει ὄντες οἱ δημαγωγοί, πρὸς τὴν ἐπανάστασιν τοὺς Ἀθηναίους ἐπάραντες, μὴ τὴν αἰτίαν ἐπ' αὐτοὺς ἐνέγκωσιν, ἔφυγον. οἱ δὲ Ἀθηναῖοι θανάτωι ἐρήμην τούτους κατεδίκασαν, ὧν ἦν Δημοσθένης ὁ ῥήτωρ καὶ Ὑπερίδης καὶ Ἰμεραῖος, τὴν τοῦ θανάτου εἰσήγησιν εἰσενεγκόντος ⟨Δημάδου⟩. b) — —: «ἐγεγόνει γὰρ εἰς οὐδὲν μετριώτερος τῆι γνώμηι, διότι μηδέ ἐστι φύσεως μεταβολὴ κακίαι συνελθούσης, ἠττᾶται δὲ

2 ἐπὶ τ. μεγ. om A 3 πιαίνει: saliantur Lat 4 σκοτίζει — τήκει C 5 ἐπιγνόντες A qui cognovimus veritatem et scimus ipsam naturam auri, quando sitimus (τὰ ταύτηι — ἰώμεθα ταύτην, καὶ om) Lat ἐπείγοντες ⟨καὶ⟩ Mue 8 aurum enim Lat χρυσὸς γὰρ? 11 [ ] Jac δῆλόν τι ἐπιθυμεῖ A δῆλον ἐπιθυμεῖ πιεῖν C ἐπιθυμεῖ πιεῖν L om Lat λαβὼν: πιὼν C biberit Lat 13 καὶ τ. ἐπ. πέπαυται om C Lat 14 κόρον: καιρὸν A ὅταν λάβωσι τὸν θάνατον κατὰ νοῦν C anders formt Lat 15 συνέπαρται A καὶ_τοῦτο συνέπαρταται C 16—17 τὸ κοσμεῖσθαι — δοξάζεσθαι A ἐνδόξασθε L 19 ὁ ψ. φίλος ἡμῶν A ὁ ψευδόφιλος ἡμῶν C 21 ἐν τιμῆι A δὲ: γὰρ L παρ' ὑμῶν A om L 25 πρὸς τὸν θεὸν L πρὸς θ. αὐτοῦ C 26 ἐλπίδας A ἐλπίδα παντελῶς ἔσχε τῆς μετανοίας C 33 εἰσενεγκόντος ⟨Δημάδου⟩ A Schaefer εἰσενεγκόντες Suid

αὐτῆς καὶ νόμου ἐπίταξις μὴ παντελῶς κολάζουσα, καὶ ἰσχὺς αὐτῆι ἀνανταγώνιστος ἐφ' ὅπερ ἂν ῥέψηι· καὶ οὔτε φόβωι ἀποτρέπεται τὸ θρασύνεσθαι οὔτε αἰδὼς ἐξεργουσα παραπεῖσαι ἱκανή ἐστιν ἐς τὸ τῶι νόμωι ὑπήκοον.»

177 (—) a) SUID. s. Κρατερός· ὄνομα κύριον. ὁ Μακεδών· ὃς ἦν μέγιστός τε ὀφθῆναι καὶ οὐ πρόσω ὄγκου βασιλικοῦ τῆς τε σκευῆς τῆι λαμπρότητι διαφέρων, καὶ παντὶ τῶι κόσμωι κατὰ τὸν Ἀλέξανδρον ἑσταλτο πλὴν τοῦ διαδήματος· καὶ τοῖς συγγινομένοις οἷος σὺν ἐπιεικείαι καὶ τοῦ σεμνοῦ προσόντος, φιλοφρονέστατος δόξαι καὶ πιθανώτατος τῶι ἐπαγωγῶι τῶν λόγων, ὡς συμβαλεῖν τῆι τε σμικρότητι τοῦ Ἀντιπάτρου σώματος καὶ τῆι φαυλότητι, ἐπὶ τούτοις τῶι ἀπροσμίκτωι καὶ ἀνημέρωι ἐς τοὺς ὑπηκόους, ⟨ὥστε⟩ θεραπεύειν τὸν Κρατερὸν κατὰ βασιλέα καὶ ἐν ἐπαίνοις ἄγοντας κατὰ τὸ εἰκός, οἷα δὴ στρατηγῶν τὸν εὐτολμότατον καὶ τῶν πολεμικῶν ἔργων συνετώτατον, δεύτερον τῆι προτιμήσει μετὰ Ἀλέξανδρον ἀναμφιλόγως ἄγειν. κίνησίς τε οὖν δὴ ἦν ἐπὶ τούτωι τῆς στρατιᾶς συμπάσης, Κρατερὸν μὲν οἷα βασιλέα ἐς τὸ ἐπιφανὲς θεραπευούσης, καὶ ἑκάστων ἀπαξιούντων ἐν ἴσηι μοίραι ἄμφω τετάχθαι, Ἀντιπάτρωι δὲ κατ' οὐδὲν ἐθελόντων πείθεσθαι. TA MET AA. Ē

b) — —: Εὐμένης δὲ (κατὰ τὸν πόλεμον) εὑρὼν τὸ Κρατεροῦ σῶμα κείμενον ἔτι ἔμπνουν, καταπηδήσαί τε ἀπὸ τοῦ ἵππου λέγεται καὶ κατολοφύρασθαι αὐτόν, ἐπιμαρτυρόμενος ἀνδρείαν τε τὴν Κρατεροῦ καὶ σύνεσιν καὶ τὸ ἄγαν ἴλεων τοῦ τρόπου καὶ ἐς φιλίαν τὴν πρὸς αὐτὸν ἀνεπίπλαστον, ὅσον τε πλούτου ἀνέραστον καὶ ὀρθῆι δικαιοσύνηι σύντροφον· κράτιστος δὲ ἄρα οὗτος ὅτου τὰ τῆς ἀρετῆς ἔργα καὶ παρὰ τοῖς ἐναντίοις τῶν ἐπαίνων ξυμφώνησιν ἔχει. ἐντίμως δὲ καὶ μεγαλοπρεπῶς τὸ σῶμα αὐτοῦ ἐκήδευσεν. ἔχει μὲν οὖν καὶ ταῦτα Κρατερῶι ἀγαθὴν δόξαν, πεπίστευται δὲ σωφρονέστατος γενέσθαι καὶ πραιότατος καὶ φιλίας κοινωνῆσαι βεβαιότατος, οἷα δὴ τὸ φιλέταιρον φύσει κτησάμενος καὶ ἐπιτηδεύσας. Z–H

178 (—) — s. Λεοννάτος· στρατηγὸς Μακεδονίας, κατὰ γένος προσήκων ⟨τῆι⟩ Φιλίππου μητρί, συντραφεὶς δὲ Ἀλεξάνδρωι, κατὰ τὸ τῆς τροφῆς ἐπιτήδειον καὶ τοῦ γένους καὶ κατὰ μέγεθος μέντοι καὶ κάλλος τοῦ σώματος τιμῆς μετεῖχεν. ὅθεν αὐτῶι καὶ ζῶντος Ἀλεξάνδρου τό τε φρόνημα ὑπέρογκον ἦν καὶ τις ἀβρότης Περσικὴ κατά τε τὴν τῶν ὅπλων λαμπρότητα καὶ τὴν ἄλλην δίαιταν εἰς τὴν τῶν πολεμίων οὐκ ἀφανῶς ἐπετηδεύετο. τελευτήσαντος δὲ Ἀλεξάνδρου καὶ ζῆλον ἐποιεῖτο, εἰκάζων αὐτὸν πρὸς τὰ βασιλικὰ τῶι τε ἀφέτωι καὶ ἀνειμένωι τῆς κόμης καὶ τῆι ἄλληι κατασκευῆι, ἣ οὐ πρόσω τοῦ Περσικοῦ τρόπου ἤσκητο αὐτῶι. ἵπποι τε Νισαῖοι, οἱ δὲ Φάσιδος ἄπο, χρυσοχάλινοι σύμπαντες, προετετάχατο τῆς τάξεως ἐκπρέποντες τοῖς καλλωπίσμασι. ἐπήγνυντο δὲ αὐτῶι καὶ σκηναὶ μεγαλοπρεπεῖς, καὶ ὅπλα * κάλλει ὑπερφέροντα. εἶπετο καὶ τὸ τῶν ἑταίρων ἄγημα. Ā

179 (—) — s. Λεωσθένης· στρατηγὸς τῶν Ἀθηναίων. οὗτος ἐν τῶι πρὸς τοὺς Μακεδόνας πολέμωι προθυμίαι χρησάμενος τοῦ καιροῦ προθυμοτέραι καὶ τῆι παραπεσούσηι εὐπραγίαι κατὰ τῶν πολεμίων ἐπεξιὼν τήν τε ἐμβολὴν ἀφειδῆ ποιεῖται καὶ λίθωι πληγεὶς πρὸς τὴν κεφαλὴν ἀφυλάκτως ἐπὶ τῆς παρατάξεως πίπτει. Γ–Δ

---

5—6 μέγιστος — βασιλικοῦ Suid. s. ὄγκος gl. 2 6 τῆς — διαφέρων Suid. s. σκευή 9 συμβαλεῖν Roos συμβάλλουσι Suid 11 ἐς: εἰς A ⟨ὥστε⟩ Bernhardy 14 ὅθ' οὖν A 18 καὶ κατολ. αὐτὸν Koehler αὐτὸν κ. κατ. Suid ἐπιμαρτυρόμενος Roos —νον Suid ἀπομαρτυρόμενος Koehler 21—22 τῶν ἐπαίνων ξυμφώνησιν Bernhardy τῶι —ωι ξυμφωνούσης Suid 27 ⟨τῆι⟩ Koehler 29 αὐτῶι A αὐτοῦ cett 36 ὅπλα ⟨ἡμπείχετο⟩ Bernh καὶ ABV δὲ καὶ cett καὶ εἶπετο Bernh 39 περιπεσούσηι A

180 (—) — s. *Περδίκκας· ὁ Μακεδών. ὃν ἐκτειναν ἐξ ἐπιβουλῆς οἱ Μακεδόνες, ἄνδρα τά τε πολέμια κράτιστον γενόμενον καὶ μεγαλονοίαι χρησάμενον διαφερόντως. ἐξ οὗ δὴ καὶ τὸ ὑπίρογκον αὐτῶι τοῦ φρονήματος εὐθαρσὲς πρὸς πάντα κίνδυνον ἦν, τό τε ἄγαν μεγαλήγορον, σὺν ὡι πάντας τοὺς Μακεδόνας ὑπερφρονεῖν ἔδοξε. τὰς [τε] εὐπραγίας αὐτῶι φθόνου ἐπαξίας ἐποίει. ἐπὶ δὲ τῶι φθόνωι μῖσος ἐπεγίνετο καὶ τὸ μὴ φέρειν ὑπὲρ σφᾶς ὄντα τε καὶ ὀνομαζόμενον. δύθεν καὶ τὴν ἐν τοῖς πιαίσμασι μεταβολὴν σὺν ὀργῆι τῆς πρόσθεν ὑπ(ερ)οψίας μᾶλλον ἢ κρίσεως ἀληθεστάτης δικαιώσει εἰς τὸ κατ' αὐτοῦ ἐπιβούλευμα ἐποιοῦντο.* Ē?

## —. DEXIPPOS VON ATHEN.

*ΤΑ ΜΕΤΑ ΑΛΕΞΑΝΔΡΟΝ.*

s. 100 F 8.

## —. CHOIRILOS (VON IASOS).

*ΑΛΜΙΑΚΑ.*

## 157. ASKLEPIADES AREIU.

F

*ΠΕΡΙ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΦΑΛΗΡΕΩΣ.*

1 (III 306) ATHEN. XIII 21 p. 567 D: *Εὐβούλου Κλεψύδρα* (II 182 Kock) — *οὕτω δ' ἐκλήθη αὕτη ἡ ἑταίρα, ἐπειδὴ πρὸς κλεψύδραν συνουσίαζεν ἕως κενωθῆι, ὡς Ἀσκληπιάδης εἴρηκεν ὁ τοῦ Ἀρείου ἐν τῶι Περὶ Δημητρίου τοῦ Φαληρέως συγγράμματι, τὸ κύριον αὐτῆς ὄνομα φάσκων εἶναι Μητίχην.*

## —. TIMAIOS VON TAUROMENION.

*ΤΑ ΠΕΡΙ ΠΥΡΡΟΥ.*

s. III u. Sicilien.

## —. PROXENOS.

*ΤΑ ΠΕΡΙ ΠΥΡΡΟΝ ΣΙΚΕΛΙΚΑ.*

s. III u. Epeiros.

## 158. ZENON.

T

1 (III 174) DIOG. LAERT. VII 35: *γεγόνασι δὲ Ζήνωνες ὀκτώ .... τέταρτος ἱστορικός, τὴν Πύρρου γεγραφὼς στρατείαν εἰς Ἰταλίαν καὶ Σικελίαν, ἀλλὰ καὶ Ἐπιτομὴν τῶν πεπραγμένων Ῥωμαίοις τε καὶ Καρχηδονίοις.*

5 [τε] Roos 7 *ὑπεροψίας* Küster 19 *κενωθείη* Meineke

F

*ΠΥΡΡΟΥ ΣΤΡΑΤΕΙΑ ΕΙΣ ΙΤΑΛΙΑΝ ΚΑΙ ΣΙΚΕΛΙΑΝ.*

*ΕΠΙΤΟΜΗ ΤΩΝ ΠΕΠΡΑΓΜΕΝΩΝ ΡΩΜΑΙΟΙΣ ΚΑΙ ΚΑΡΧΗΔΟΝΙΟΙΣ.*

## 159. HISTORIKER ÜBER PYRRHOS.

T

1 (II 461, 1) PAUSAN. I 12, 2: *ἔστι δὲ ἀνδράσι βιβλία οὐκ ἀφανέσιν ἐς συγγραφήν, ἔχοντα ἐπίγραμμα ἔργων ὑπομνήματα εἶναι. ταῦτα ἐπιλεγομένωι μοι μάλιστα ἐπῆλθε θαυμάσαι Πύρρου τόλμαν τε, ἣν μαχόμενος αὐτός* [τε] *παρείχετο, καὶ τὴν ἐπὶ τοῖς ἀεὶ μέλλουσιν ἀγῶσι πρόνοιαν .....*

6 ἀφανέσιν Jac ἐπιφανέσιν Paus
εἶναι αὐτοῦ· ἃ ἐπιλεγομένωι Lachmann
7 ⟨τῶν Πύρρου⟩ ἔργων Löscher ἔ. ὑπ.
8 [τε] Dindorf

## e) PTOLEMAIER.

### 160. BULLETIN AUS DEM 3. SYRISCHEN KRIEG. (a. 246)

F

1 (—) P. Petrie II 45; III 144: (I) — — ἐ]πὶ τὰ τείχη [.....]νεσθαι | — — ἑτέρους καταβιάσας παρε| — — αι κατέστ[η]σεν ἐπὶ τῶν | [— — ἀποσ]τείλας τινὰ πρὸς τὸν | [— περὶ τῶν γεγε]νημέν[ων] ἐμφανίσας | [— — τοὺ]ς στρατιώτας προσαγόντων | [— — τῆς..... φυλ]ακῆς εἰς ὃν συνέθεντο καιρὸν | — — ους ἐπὶ τῆς ἄκρας καὶ περὶ τῶν | — — Εὔμαχον καὶ Ἀριστέαν ἐπι — — ο[.....]λαι προυπαρχον[...] | — — ἐπ]ιθεμένους ἐπεὶ καιρὸν | — — ον τόνδε συνέλαβον | — — παρὰ τοῦ Ἀνδρίσκου πεμ|[— —]εν ἅπαντας ἐν τοῖς ἐπιτη|[δείοις — — τ]ῶν δ' ἐκ τῆς ἄκρας ὑποτιθε|[μένων — — κ]αὶ δεη[θ]έντων μηθὲν παρα|[— — μήθ' ἑνα]ντίον ἔφησεν ἐσεσθαι φανερὰν | [αὐτοῖς εἰς τὸ λοιπὸν τ]ήν τε παρ' ἡμῶν καὶ τὴν παρὰ | — —]ίαν, μετὰ δὲ ταῦτα δεξιὰν | [δοὺς αὐτοῖς καὶ καταστ]ήσας Ἐπιγένην ἐπὶ τῆς | [ἄκρας καὶ παραδοὺς αὐτῶι] τὴν πόλιν ἅμα τῆι ἡμέραι | — — ντων ἐπιστείλας ὑπῆγεν | — — (§ 2) κ]ατὰ δὲ τοὺς αὐτοὺς καιροὺς καὶ παρα|[..... .....]ῑε (?) σκάφη τῆς ἀδελφῆς πρὸς αὐτοὺς ||

(II) διαπεμψαμένης εἰ[ς (?) τὸ .....]ν προθύμως | καὶ τὴν λοιπὴν χρεία[ν .....] καὶ παραπλεύ|σαντες εἰ⟨ς⟩ Σόλους τοὺς [Κιλικίο]υς δ[νέ]λαβον τὰ | ε[κεῖ]σε κατασχεθέντ[α χρή]ματα καὶ παρεκόμισαν | εἰς Σελεύκειαν ὄντα Ἀφ [ἀργ(υρίου)] (τάλαντα), [ἃ διε]νοεῖτο μὲν Ἀρίβαζος ὁ ἐν Κιλι⟨κί⟩αι στρατ[ηγὸς] ἀποστέλλειν | εἰς Ἔφεσον τοῖς περὶ τὴν Λαοδίκην, [σ]υνφωνησάντων δ[ὲ] | πρὸς αὐτοὺς τῶν τε Σολείων

---

4 die linke seite von col. I, (18—20) buchstaben, ist verloren ψνεσθαι ἰερ̣ Cr(oenert) 5 καταβι⟨β⟩άσας Cr 6 τινὰς Ma(haffy) πρὸς τὸν [Ἀνδρίσκον Cr 7 [τῆς + ordinalzahl] 'also nachtangriff' UKoe(hler) συνεθοντο P 8—9 πλ]εί-[στου]ς καὶ προυπαρχόντων ἠθ[η π]ρ̣λ̣[ῶν] Cr 9 ἐπιθεμένους Wi(lcken) τρόπ]ον τόνδε Bi(label) 10 ἐπιτηδείοις Ho(lleaux) 11 παρά[σπονδον ποιεῖν μηδ' ἑνα]ντίον Koe 12 [αὐτοῖς — λοιπόν] Ho 13 [τῆς ἀδελφῆς φιλανθρωπ]ίαν Ma-Sm(yly) 15 και παρα Ma [Πυθαγό]ρας | [καὶ Ἀριστοκλῆς] Ho (p. 886, 2) καὶ παρα[πλέει] 'vor ρα fehlen nur 4—5 buchstaben; der erste buchstabe sicher nicht π, sondern κ; vor ρα ist α so gut wie sicher' Bi 16 λαβόντες] ῑε? Wi [ἔχοντες πέντ]ε Ho [ἑτοιμάσαντες] ῑε Roos 17 εἰ[ς τὸ στρατεύει]ν Koe ἐκ[πλεῖν ὥρμησα]ν Ho εἰ[ς Κιλικίαν ἦλθο]ν Roos εἰ[ς τὸ στρατόπεδο]ν? 17—18 χρεία[ν παρέχεσθαι] Koe παρασχόμενοι Ho παρέσχοντο Roos παρασχομένης? 18 εἰς Σόλους Ma-Sm εισολους P [Κιλικίο]υς Braunstein τόπο]υς Ho 19 κατασχεθεντα P 20 [ἃ] Wi ἃ — Ἀντιόχειαν 886, 6 parenthese Ma-Sm στρατ[ηγὸς] Wi στρατ[ηγὸς ταῦτ'] Ho στρατ̣ηγ̣ὸ̣[ς] ἐ[ξα]ποστέλλειν Cr 21 τὴν: τον P Σολείων 'nach dem faksimile sicher' Wi

καὶ ⟨τῶν⟩ στρατ[ιωτῶν] τῶν | [αὐ]τόθεν καὶ μετ[ὰ] β[ίας] ἐπιβοηθησάντ[ων τ]ῶν | περὶ τὸν Πυθαγόρα[ν] καὶ Ἀριστοκλῆ . υ . [[. .]] . . θρων | καὶ γενομένων ἀνδρῶν ἀγαθῶν ἁπάντων, συνέβη | ταῦτά τε κατασχεθῆναι καὶ τὴν πόλιν καὶ τὴν | ἄκραν καθ' ἡμᾶς γενέσθαι . . . τοῦ Ἀριβάζου δὲ ἐκπε|πηδηκότος καὶ πρὸς τὴν ὑπερβολὴν τοῦ Ταύρου | συνάπτοντος, τῶν ἐνχωρίων τινὲς τὴν [κε]φ[αλὴν] | ἀποτεμόντες ἀν[ήνε]γκαν εἰς Ἀντιόχεια[ν]. (§ 3) ἡμεῖς δὲ] | ἐπεὶ τὰ κατὰ τὰς ν[αῦς] ἐ[στει]λάμεθα, πρώτης | φυλακῆς ἀρχομένης [ἐμ]βάντες εἰς τοσαύτας ὅσας | ἤμελλεν ὁ ἐν Σελευκεί[αι λ]ιμὴν δέξασθαι παρεπλεύσαμεν | εἰς φρούριον τὸ καλούμενον [Π]οσίδειον καὶ καθωρμί-σθημεν τῆς | ἡμέ[[τε]]ρας περὶ ὀγδ[όην ὥ]ραν. (§ 4) ἐντεῦθεν δὲ ἐωθινῆς [ἀ]||ναβάντες παρεγενόμεθα εἰς τὴν Σελεύκειαν. | τῶν δὲ ἱερέων καὶ ἀρ[χόντ]ων καὶ [τῶ]ν ἄλλων πολιτῶν | καὶ τῶν ἡγεμόνων καὶ τῶν στρατιωτῶν στεφανη|φορησάντων καὶ τὴν ἐπὶ τὸν λιμένα συναντησάν ||

(III) [των ὁδὸν — πρὸς ἡμ]ᾶς εὐνοίας καὶ | — — ] εἰς τὴν πόλιν | [— — τὰ παραστα]θέντα θύματα | [— ἐπὶ τοῖς βωμ]οῖς τοῖς ὑπ' α[ὐ]τῶν | κατασ[κευασθεῖσι . . . . . ]ς καὶ τὰς τιμὰς ἐν τῶι ἐμπορίωι | ανηγ[— — (§ 5) τα]ύτην μὲν τὴν ἡμέ[[τε]]ραν [— —]ν, τῆι δὲ ἑτέραι| . . η — — ὡς ἐνδέχεται | μάλισ[τα — —]ες ἐν αἷς ὑπεδε[ξάμε[θα — — πάντ]ας τοὺς με|θ' ἡμῶ[ν πλεύσαντας καὶ τοὺς αὐτ]όθεν σατράπας καὶ στ[ρατηγοὺς καὶ τοὺς ἄλλους] ἡγεμόνας ὅσοι οὐκ ἦ[σ]αν | τ[εταγμένοι . . . . . κα]τὰ τὴν πόλιν καὶ τὴν | [ἄκραν . . . . . φρου]ρᾶς ἐάσαντ[ες | — — ἦ]σαν γὰρ θαυμαστοί | — —. νται (§ 6) με[τὰ τα]ῦτα εἰς Ἀντιόχειαν | — — τοιαύτην τὴν παρασκευὴν καὶ τῶν | [— — εὖ]ρομεν ὥστε κατα-πλήττεσθαι | [ἡμᾶς. ἀπήντησαν] γὰρ ἡμῖν ἐκτὸς τῆς πόλης | οἱ [. . . . . ]

---

1 τῶν στρατιωτῶν Wi στρατηγῶν Ho μετὰ βίας Ma μεταν[τίκ]α Cr 2 καὶ τ]ῶν περὶ Ho φὺν τάξ[ει] ἀνρ⟨ό⟩ων Roos —κλῆν συνπαρ[έδ]ρων Cr 3 κατα-σκεθηναι P 4 ἐκπεπεδηκότος P 5 κεφαλὴν Koe αν . . . γκεν P 6 ἡμεῖς δὲ Ma-Sm ναῦς Wi ἐ[στει]λάμεθα Roos ἠσφαλισ]άμεθα Ho 'paßt nicht zu den spuren' Wi 7 ἐμβάντες Ho ημελλον P 8 δέξασθαι ναῦς P° 10 παραγενο-μεθα P ιερειων P τῳ[ν συ]νά[ρχ]ιῶν Cr 13 linke seite von col. III (etwa 25 buchstaben) bis auf wenige zeilenanfänge verloren [των ὁδὸν οὐδεμία τῆς πρὸς ἡμ]ᾶς εὐνοίας καὶ [φιλίας ὑπερβολὴ ἀπελείπετο. ἐπεὶ δὲ] Ho 13—14 εἰς τ. π. [εἰσῆμεν, ἠξίουν ἡμᾶς τὰ παραστα]θέντα Ho παρεγενόμεθα] εἰς τ. π. [καὶ κατεσπείσαμεν]? 14 παρασταθέντα Ma-Sm αυτ[[οις]] P κατασ[κευασθεῖσι Wi κατασ[κευασμένοις παρὰ τὰς οἰκία]ς Ho 15 τιμας P ἐνπορίωι P [[ἡ]]νηγ . . . P ἀνήγ[αγον ἡμᾶς εἰς τὴν ἄκραν? Wi ἀνήγ[γελλον οἱ ἱεροκήρυκες Ho 16 ἡμέραν [ἐν τῆι πόλει κατηυλίσθημεν] Ho [. .]ρη Ma ἔχ]ρη[άμεθα τοῖς παροῦσιν? Ho das ρ bezweifelt Wi μάλισ[τα, καὶ εἰς τὰς ναῦς ἐμβάντ]ες Ho 17 . . . ες P πλεύσαντας — αὐτόθεν Wi ἀγωνισαμένους αὐτόθεν Ho 18 [[στρατιωτας]] P 18—19 τεταγμένοι ἐπὶ τῶν κατὰ Ho οὐκ ἐν[α]ντίοι [ἦσαν — —] Cr τεταγμένοι εἰς τὴν φυλακὴν τὴν κατὰ τ. π.? 20 φρουρᾶς Ma ἐάσαντ[ες δὲ Ho 21 παρεγενόμεθα· κἀκεῖ] τοιαύτην Ho τῶν [ὄχλων τοσοῦτον πλῆθος] Ho εὕρομεν Wi εἶδο]μεν Ho 21—22 καταπλήττεσθαι 'er-staunen' Wi 22 ἡμᾶς Ho οἱ[— — καὶ οἱ] Sm β[αδίζοντες οἵ τε] Ho 'faks. spricht für οἱ' Wi οἱ [αὐλικοὶ πάντες καὶ οἱ] Roos οἱ [ἐν τῆι πόλει ὄντες] Bi οἱ [ἐν ταύτηι τῆι πόλει]?

σατράπαι καὶ οἱ ἄλλοι ἡγε|μόν[ες καὶ στρατιῶ]ται καὶ οἱ ἱερεῖς καὶ αἱ συναρχίαι | καὶ [πάντες οἱ ἀπ]ὸ τοῦ γυμνασίου νεανίσκοι καὶ ἄλλος | ὄχ[λος ..... ἐστεφ]ανω-μένος, καὶ τὰ ἱερὰ πάντα εἰς τὴ[ν] | πρὸ [τῆς πόλης] ὁδὸν ἐξήνεγκαν. καὶ οἱ μὲν ἐδεξιοῦ[ντ]ο, | οἱ δὲ [.....] μετὰ κρότου καὶ κραυγῆς ||

(IV) (12 zeilen fehlen) | .....] παρ' ἑκάστην οἰκία[ν | .....]. ους ποιούμενοι διετέλεσα[ν | .....] πολλῶν ἡμῖν ὄντων τῶν | [.....]. οὐθενὶ οὕτως ἡδόμεθα ὡ[ς | ἐπὶ τῆι] τ[ού]των ἐκτενείαι. ἐπεὶ δ' οὖν [[αι]] π[ | παρασταθέντα θύματα παρατετ.[.]ημε[ — | κα⟨ὶ⟩ τῶν ἰδιωτῶν κατεσπείσαμεν, ἤδη | ἡλίου περὶ καταφορὰν ὄντος εἰσήλθομεν εὐθέω[ς] | πρὸς τὴν ἀδελφήν, καὶ μετὰ ταῦτα πρὸς τῶ[ι] | πράσσειν τι τῶν χρησίμων ἐγινόμεθα, τοῖς [τε] | ἡγεμόσιν καὶ τοῖς στρατιώταις καὶ τοῖς ἄλλοις [τοῖς] | κατὰ τὴν χώραν χρηματίζοντες καὶ περὶ [τῶν ὅ]|λων βουλ⟨ευ⟩όμενοι. πρὸς τούτοις δὲ ἡμέρας τιν[ὰς] | — — —

## 161. PTOLEMAIOS VON MEGALOPOLIS. 222/1—205/4

T

1 POLYB. XV 25, 14—15 (a. 203/2): *προεχειρίσατο δὲ* (sc. Agathokles, vormund des Ptolemaios V) *καὶ Πτολεμαῖον τὸν Ἀγησάρχου πρεσβευτὴν πρὸς Ῥωμαίους, οὐχ ὡς ἐπισπεύσοντα τὴν πρεσβείαν, ἀλλ' ὡς, ἂν ἅψηται τῆς Ἑλλάδος καὶ συμμίξηι τοῖς ἐκεῖ φίλοις καὶ συγγενέσιν, αὐτοῦ καταμενοῦντα· προέκειτο γὰρ αὐτῶι πάντας τοὺς ἐπιφανεῖς ἄνδρας ἐκποδὼν ποιῆσαι.*

2 — XVIII 55, 6—9 (a. 197/6): *πιστευθεὶς γὰρ* (sc. Polykrates von Argos) *τῆς Κύπρου καὶ τῶν ἐν ταύτηι προσόδων ἐν καιροῖς ἐπισφαλέσι καὶ ποικίλοις, οὐ μόνον διεφύλαξε τῶι παιδὶ* (sc. Ptolemaios V) *τὴν νῆσον, ἀλλὰ καὶ πλῆθος ἱκανὸν ἤθροισε χρημάτων, ἃ τότε παραγέγονει κομίζων τῶι βασιλεῖ, παραδεδωκὼς τὴν ἀρχὴν τῆς Κύπρου Πτολεμαίωι τῶι Μεγαλοπολίτηι. τυχὸν δὲ διὰ ταῦτα μεγάλης ἀποδοχῆς καὶ περιουσίας ἐν τοῖς ἑξῆς χρόνοις, μετὰ ταῦτα προβαινούσης τῆς ἡλικίας ὁλοσχερῶς εἰς ἀσέλγειαν ἐξώκειλε καὶ βίον ἀσυρῆ. παραπλησίαν δέ τινα τούτωι φήμην ἐκληρονόμησεν ἐπὶ γήρως καὶ Πτολεμαῖος ὁ Ἀγησάρχου. περὶ ὧν, ὅταν ἐπὶ τοὺς καιροὺς ἔλθωμεν, οὐκ ὀκνήσομεν διασαφεῖν τὰ παρακολουθήσαντα ταῖς ἐξουσίαις αὐτῶν ἀπρεπῆ.*

2 ϕ[μοῦ πάντες —] Cr 3 *τὸν πρὸ[ς ἀπάντησιν σ]τόλον* Cr 4 *οἱ δὲ* [ἠσπάζοντο ἡμᾶς]? Ho 5 col. IV am rechten rande vollständig Ho Wi 6 *διε*[τέλεσα]ν Wi *διετελέσα*[μεν Ma-Sm 7 ὡ[ς Wilhelm ὥ[σπερ Ho [ἐπὶ τῆι] Ho *τέλεσα*[ν Wi *διετελέσα*[μεν Ma-Sm πά[ντα τὰ Ho [τὰ] Wilhelm 8 *παρατετρ*[.]ημε Ma-Sm *παρατη* . . . Wilhelm *παρατετ*[ηρ]ήμεθα Ho *παρά τε τ*[ῶν] *ἡ*[γ]ε[μόνων Wilhelm *παρά τε τ*[ῶν] *ἡμε*[τέρων? Wi κα⟨ὶ⟩ Wi *μετὰ δέ*]κα Ho τ[ῶν ἰδ[[α. των]] P 9 [[ἤδη]] Wilhelm *ἤδη* [δὲ] Ho [τοῦ] *ἡλίου* Cr εἰσελθομεν P 12 *περὶ τῶν ὅλων βουλευόμενοι* Ho

F

*ΠΕΡΙ ΤΟΝ ΦΙΛΟΠΑΤΟΡΑ ΙΣΤΟΡΙΑΙ.*

*Ā*

1 (III 66, 1) CLEM. ALEX. Protr. III 45, 4 p. 35, 1 St (ARNOB. adv. nat. VI 6): *Πτολεμαῖος δὲ ὁ τοῦ Ἀγησάρχου ἐν τῶι ᾱ Τῶν περὶ τὸν Φιλοπάτορα ἐν Πάφωι λέγει ἐν τῶι τῆς Ἀφροδίτης ἱερῶι Κινύραν τε καὶ τοὺς Κινύρου ἀπογόνους κεκηδεῦσθαι.*

*B̄*

2 (2) ATHEN. VI 48 p. 246 C: *Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου Μεγαλοπολίτης γένος ἐν τῆι δευτέραι τῶν Περὶ τὸν Φιλοπάτορα Ἱστοριῶν συμπότας φησὶ τῶι βασιλεῖ συνάγεσθαι ἐξ ἁπάσης τῆς πόλεως, οὓς προσαγορεύεσθαι γελοιαστάς.*

*Γ̄*

(F 4?)

3 (3) ATHEN. X 26 p. 425 EF: *Κλεινοῦς δὲ τῆς οἰνοχόου Πτολεμαίου τοῦ βασιλέως, ἐπίκλην δὲ Φιλαδέλφου, μνημονεύει Πτολεμαῖος ὁ τοῦ Ἀγησάρχου ἐν τῆι τρίτηι τῶν Περὶ Φιλοπάτορα Ἱστοριῶν.*

OHNE BUCHZAHL.

4 (4) ATHEN. XIII 40 p. 577 F: *Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου ἐν ταῖς Περὶ τὸν Φιλοπάτορα Ἱστορίαις βασιλέων ἐρωμένας ἀναγράφων φησίν· «Φιλίππου τοῦ Μακεδόνας αὐξήσαντος Φίλιννραν τὴν ὀρχηστρίδα, ἐξ ἧς καὶ γεννῆσαι Ἀρριδαῖον τὸν μετ' Ἀλέξανδρον βασιλεύσαντα· Δημητρίου δὲ τοῦ Πολιορκητοῦ μετὰ τὰς προειρημένας* (sc. Lamia, Leaina u. a. 577 D) *Μανίαν· Ἀντιγόνου δὲ Δημώ, ἐξ ἧς Ἀλκυονέα γεννηθῆναι· Σελεύκου δὲ τοῦ νεωτέρου Μύσταν καὶ Νῦσαν.»*

---

## —. KALLINIKOS VON PETRA.

*ΠΡΟΣ ΚΛΕΟΠΑΤΡΑΝ ΠΕΡΙ ΤΩΝ ΚΑΤ ΑΛΕΞΑΝΔΡΕΙΑΝ ΙΣΤΟΡΙΩΝ*

*Ā—Ī.*

s. III u. Aegypten.

---

7 *ἀπογόνους*: *cum familia omni sua, immo cum omni prosapia* Arn 15 *Κλεινοῦς* Athen. XIII 576 F *κλίνης* AC 21 *Μακεδόνας* Madvig *—νος* AE

## f) GALATERKRIEGE. SELEUKIDEN.

### 162. DEMETRIOS VON BYZANZ.

a. 278/7 ff.

T

1 (II 624) DIOG. LAERT. V 83: *γεγόνασι δὲ Δημήτριοι ἀξιόλογοι εἴκοσι .... ἕβδομος Βυζάντιος, ἐν τρισκαίδεκα βιβλίοις γεγραφὼς τὴν Γαλατῶν διάβασιν ἐξ Εὐρώπης εἰς Ἀσίαν* (278/7)· *καὶ ἐν ἄλλοις ὀκτὼ τὰ περὶ Ἀντίοχον* (sc. *τὸν Σωτῆρα* 280—261) *καὶ Πτολεμαῖον* (sc. *τὸν Φιλάδελφον* 285/4—247) *καὶ τὴν τῆς Λιβύης ὑπ' αὐτῶν διοίκησιν.*

F

*ΓΑΛΑΤΩΝ ΕΞ ΕΥΡΩΠΗΣ ΕΙΣ ΑΣΙΑΝ ΔΙΑΒΑΣΙΣ Α—ΙΓ.*

*ΤΑ ΠΕΡΙ ΑΝΤΙΟΧΟΝ ΚΑΙ ΠΤΟΛΕΜΑΙΟΝ ΚΑΙ ΤΗΝ ΤΗΣ ΛΙΒΥΗΣ ΥΠ ΑΥΤΩΝ ΔΙΟΙΚΗΣΙΝ ΙΔ—ΚΑ.*

---

### 163. SIMONIDES VON MAGNESIA (SIPYLOS).

ca. 276?

T

1 SUID. s. *Σιμωνίδης· Μάγνης* ⟨*ἀπὸ*⟩ *Σιπύλου· ἐποποιός. γέγονεν ἐπὶ Ἀντιόχου τοῦ Μεγάλου κληθέντος, καὶ γέγραφε τὰς Ἀντιόχου* [*τοῦ Μεγάλου*] *πράξεις καὶ τὴν πρὸς Γαλάτας μάχην, ὅτε μετὰ τῶν ἐλεφάντων τὴν ἵππον αὐτῶν ἔφθειρε.*

F

*ΑΝΤΙΟΧΟΥ ΠΡΑΞΕΙΣ ΚΑΙ Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΜΑΧΗ.*

---

### —. ERATOSTHENES D. J. VON KYRENE.

*ΓΑΛΑΤΙΚΑ.*

s. III u. 'Kelten u. Galater'.

---

15 ⟨*ἀπὸ*⟩ Meineke *γέγονεν*: *γέγραφεν* A 16 *κληθέντος — Μεγάλου* om A *τοῦ πρώτου κληθέντος* Meineke [*τοῦ Μεγάλου*] Bernhardy 16—17 *πράξεις κατὰ τὴν* Bernhardy 17 *αὐτῶν* Cuperus *αὐτοῦ* Suid *ἔφθειρε* A *ἔφθειραν* al

## —. PHYLARCHOS VON ATHEN.

*ΤΑ ΚΑΤΑ ΑΝΤΙΟΧΟΝ ΚΑΙ ΤΟΝ ΠΕΡΓΑΜΗΝΟΝ ΕΥΜΕΝΗ.*

s. 81 T 1.

---

## 164. MNESIPTOLEMOS VON KYME.

a. 122 ff.?

T

1 (III 71) ATHEN. XV 53 p. 697 D: ὁ δ' αὐτὸς οὗτος συγγραφεὺς (sc. *Δημήτριος ὁ Σκήψιος*) κἀν τῶι ἐννεακαιδεκάτωι τῆς αὐτῆς πραγματείας (sc. *τοῦ Τρωικοῦ Διακόσμου*) *Μνησιπτολέμου φησί ποτε τοῦ ἱστοριογράφου τοῦ παρὰ Ἀντιόχωι τῶι προσαγορευθέντι Μεγάλωι* (222—187) *πλεῖστον ἰσχύσαντος υἱὸν γενέσθαι Σέλευκον τὸν τῶν ἱλαρῶν ἁισμάτων ποιητήν.*

2 — X 40 p. 432 BC: *ἔπινον* [*οἱ*] *πολλοὶ καὶ ἄλφιτα ἐπιβάλλοντες τῶι οἴνωι, ὡς ὁ Δελφὸς Ἡγήσανδρός φησιν* (IV). *Ἐπίνικος γοῦν, Μνησιπτολέμου ἀνάγνωσιν ποιησαμένου τῶν ἱστοριῶν, ἐν αἷς ἐγέγραπτο ὡς Σέλευκος ἐπηλφίτωσε, γράψας δρᾶμα Μνησιπτόλεμον καὶ κωμωιδῶν αὐτὸν καὶ περὶ τῆς πόσεως ταῖς ἐκείνου χρώμενος φωναῖς ἐποίησε λέγοντα* (III 330, 1 Kock)·

*ἐπ' ἀλφίτου πίνοντα τοῦ θέρους ποτὲ*
*ἰδὼν Σέλευκον ἡδέως τὸν βασιλέα*
*ἔγραψα καὶ παρέδειξα τοῖς πολλοῖς ὅτι*
*κἂν τὸ τυχὸν ἦι πραγμάτιον ἢ σφόδρ' εὐτελές,*
*σεμνὸν δύναται τοῦθ' ἡ δύναμις ἡ 'μὴ ποιεῖν·*
*'γέροντα Θάσιον τόν τε γῆς ἀπ' Ἀτθίδος*
*ἑσμὸν μελίσσης τῆς ἀκραχόλου γλυκὺν*
*συγκυρκανήσας ἐν σκύφωι χυτῆς λίθου,*
*Δήμητρος ἀκτῆι πᾶν γεφύρωσας ὑγρόν,*
*κατησίμωσε πῶμα, καύματος λύσιν.*

3 IG XI 697 (ende 3. jahrhdt.): [*ἐπαινέ*]*σαι Μνησιπτόλεμον Κ*]*αλλιάρχ*[*ου τὸν* | *ἱ*]*στοριογ*[*ρά*]*φ*[*ον*] ..... *ὁ δῆμος ὁ Δηλίων στεφανοῖ Μνησιπτόλεμον Καλλιάρχου Κυμαῖον τῶι ἱερῶι στεφάνωι ἀρετῆς ἕνεκεν καὶ εὐσεβείας τῆς περὶ τὸ ἱερὸν καὶ εὐνοίας τῆς εἰς αὐτόν. δεδόσθαι δ' αὐτῶι κτλ.*

F

*ΙΣΤΟΡΙΑΙ.*

1 s. T 2.

---

12 [*οἱ*] om C 15 *ἐπηλφίτωσε* H Stephanus *ἀπηλφίτισε* A [*Μνησιπτόλεμον*] glosse zu *αὐτόν*? 16 *ἐκείνου*: i. e. *Μνησιπτολέμου* 18 *ἐπαλφιτοῦντα τοῦ θέρους* Cobet 24 *ἑσμὸν*: *νασμὸν* Herwerden *ἀσμὸν* Kock 27 *κατησίμωσε* Schweighäuser —*σα* A —*κα* C

## —. HEGESIANAX VON ALEXANDREIA.

a. 222 ff.?

*ΙΣΤΟΡΙΑΙ* (?).

s. 45 T 2—3.

---

## 165. TIMOCHARES.

a. 168 o. 134

F

*ΠΕΡΙ ΑΝΤΙΟΧΟΥ.*

1 (III 207) EUSEB. PE IX 35 p. 452 BC: *Τιμοχάρης δέ φησιν ἐν τοῖς Περὶ Ἀντιόχου τὰ Ἱεροσόλυμα τὴν μὲν περίμετρον ἔχειν σταδίους $\bar{\mu}$, εἶναι δ' αὐτὴν δυσάλωτον, πάντοθεν ἀπορρῶξι περικλειομένην φάραγξιν. ὅλην δὲ τὴν πόλιν ὕδασι καταρρεῖσθαι, ὥστε καὶ τοὺς κήπους ἐκ τῶν ἀπορρεόντων ὑδάτων ἐκ τῆς πόλεως ἄρδεσθαι· τὴν δὲ μεταξὺ ἀπὸ τῆς πόλεως ἄχρι τεσσαράκοντα σταδίων ἄνυδρον εἶναι, ἀπὸ δὲ τῶν $\bar{\mu}$ σταδίων πάλιν κάθυδρον ὑπάρχειν.*

---

## 166. ATHENAIOS VON NAUKRATIS.

a. 211—64?

F

*ΠΕΡΙ ΤΩΝ ΕΝ ΣΥΡΙΑΙ ΒΑΣΙΛΕΥΣΑΝΤΩΝ.*

1 (III 656) ATHEN. V 47 p. 211 A—D: *ἐπαινῶ δ' ἐγώ, ἄνδρες* a. 152—146 *φίλοι, τὸ γενόμενον παρ' Ἀλεξάνδρωι τῶι βασιλεῖ τῆς Συρίας συμπόσιον. ὁ δ' Ἀλέξανδρος οὗτος ἦν Ἀντίοχου τοῦ Ἐπιφανοῦς υἱὸς ὑποβληθείς, δι' ὃ εἶχον μῖσος πάντες ἄνθρωποι εἰς Δημήτριον. περὶ οὗ ἱστόρησεν ὁ ἑταῖρος ἡμῶν Ἀθήναιος ἐν τοῖς Περὶ τῶν ἐν Συρίαι βασιλευσάντων. τὸ ⟨μὲν⟩ οὖν συμπόσιον τοῦτο τοιόνδε τι ἐγένετο. Διογένης ὁ Ἐπικούρειος, ἕξιν ἔχων ἱκανὴν ἐν οἷς μετεχειρίζετο λόγοις, τὸ μὲν γένος ἦν ἐκ Σελευκείας τῆς ἐν Βαβυλωνίαι, ἀποδοχῆς δ' ἐτύγχανε παρὰ τοῦ βασιλέως καίτοι τοῖς ἀπὸ τῆς Στοᾶς λόγοις χαίροντι. ἐπολυώρει οὖν αὐτὸν ὁ Ἀλέξανδρος καίπερ ὄντα τῶι βίωι φαῦλον, ἔτι δὲ βλάσφημον καὶ βάσκανον ἕνεκά τε τοῦ γελοίου μηδὲ τῶν βασιλέων ἀπεχόμενον· καὶ αἰτησαμένωι αὐτῶι φιλοσοφίας ἀλλοτρίαν αἴτησιν, ὅπως πορφυροῦν τε χιτωνίσκον φορήσει καὶ χρυσοῦν στέφανον ἔχοντα πρόσωπον Ἀρετῆς κατὰ μέσον, ἧς ἱερεὺς ἠξίου προσαγορεύεσθαι, συνεχώρησε καὶ τὸν στέφανον προσχαρισάμενος. ἅπερ ὁ*

---

11 *ἀπό* om O 12 *τεσσαράκοντα*: *ἑξήκοντα* 87 F 70 p. 264, 34 17 *δ' ἐγώ* Mei(neke) *δέ γε, ὦ* A 19 *ἦν* vulg *ὧν* A 19—20 *δι' ὃν* ('oratio anacolutha') Kaibel 22 ⟨*μὲν*⟩ Jac 24 *Βαβυλωνίαι* Kaibel *βαβυλῶνι* A *ἀποδοχῆς* Schweighäuser *ἀνοδοχης* A *παρὰ τοῦ βασιλέως* A (vgl. *ἀποδοχῆς παρὰ ἀνθρώπων* Didym. Stob. II 7, 7b p. 81, 6 Wachsm) *παρὰ τῶι βασιλεῖ* Villebrun Kaibel 27 *ἀπεχόμενον* Musurus *ἀποδεχόμενον* A 28 *φορήσει* Wilamowitz *φορῆι* A

*Διογένης ἐρασθείς τινος λυσιωιδοῦ γυναικὸς ἐχαρίσατο αὐτῇι. ἀκούσας δ' ὁ Ἀλέξανδρος καὶ συναγαγὼν φιλοσόφων καὶ ἐπισήμων ἀνδρῶν συμπόσιον ἐκάλεσε καὶ τὸν Διογένη· καὶ παραγενόμενον ἠξίου κατακλίνεσθαι ἔχοντα τὸν στέφανον καὶ τὴν ἐσθῆτα. ἄκαιρον δ' εἶναι εἰπόντος νεύσας εἰσαγαγεῖν ἐκέλευσε τὰ ἀκούσματα, ἐν οἷς καὶ ἡ λυσιωιδὸς εἰσῆλθεν ἐστεφανωμένη τὸν τῆς Ἀρετῆς στέφανον, ἐνδῦσα καὶ τὴν πορφυρᾶν ἐσθῆτα. γέλωτος οὖν πολλοῦ καταραγέντος ἔμενεν ὁ φιλόσοφος καὶ τὴν λυσιωιδὸν ἐπαινῶν οὐκ ἐπαύσατο. τοῦτον τὸν Διογένη ὁ μεταλαβὼν τὴν βασιλείαν Ἀντίοχος οὐκ ἐνέγκας αὐτοῦ τὴν κακολογίαν ἀποσφαγῆναι ἐκέλευσεν. ὁ δ' Ἀλέξανδρος προσηνὴς ἦν πᾶσι καὶ φιλόλογος ἐν ταῖς ὁμιλίαις . . . .* (folgt Poseidonios 87 F 36).

2 συνάγων Mei  6 καὶ ἐνδῦσα Mei  7 ⟨ἀκίνητος⟩ ἔμενεν? Kaibel
10 προσηνὴς πᾶσι Kaibel προσῆν ἐν πᾶσι A προσηνὴς ἦν ἐν π. Musurus

## g) DIE KÖNIGE VON MAKEDONIEN.

### 167. HERAKLEITOS VON LESBOS.

T

1 (IV 426) DIOG. LAERT. IX 17: *γεγόνασι δ' Ἡράκλειτοι πέντε·*
5 ..... *τέταρτος Λέσβιος ἱστορίαν γεγραφὼς Μακεδονικήν.*

2 (—) LIVIUS XXIII 39, 3: *legati* (Philipps von Makedonien) *ad Hanni-* a. 215
*balem missi Heraclitus* * [*cui Scotino cognomen erat*] *et Crito Boeotius et Sositheus Magnes.*

F

10 *ΙΣΤΟΡΙΑ ΜΑΚΕΔΟΝΙΚΗ.*

---

### 168. STRATON. a. 220—168

T

1 (III 173) DIOG. LAERT. V 61: *γεγόνασι δὲ Στράτωνες ὀκτώ·*
.... *τέταρτος ἱστορικός, Φιλίππου* (220—179) *καὶ Περσέως* (179—168)
15 *τῶν Ῥωμαίοις πολεμησάντων γεγραφὼς πράξεις.*

F

*ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΠΕΡΣΕΩΣ ΠΡΑΞΕΙΣ.*

---

### 169. POSEIDONIOS. a. 179—168?

T

20 1 PLUT. Aem. Paul. 19: s. F 1.

F

*ΠΕΡΙ ΠΕΡΣΕΩΣ*

1 (III 172, 1) PLUT. Aem. Paul. 19: *ὁ δὲ τῶν Μακεδόνων βασιλεύς,* a. 168
*ὡς φησι Πολύβιος* (XXIX 18 B—W), *τῆς μάχης* (bei Pydna) *ἀρχὴν λαμβα-*
25 *νούσης ἀποδειλιάσας εἰς πόλιν ἀφιππάσατο, σκηψάμενος Ἡρακλεῖ θύειν,*

---

7 [*cui — erat*] Gronovius; ausfall des ethnikons Roeper *boeus otius* P *Boeotius* o. *Beroeaeus* Gronovius 25 *πόλιν*: *Πύδναν*? Sintenis

δειλὰ παρὰ δειλῶν ἱερὰ μὴ δεχομένωι μηδ' εὐχὰς ἀθεμίτους ἐπιτελοῦντι .... οὐ μὴν ἀλλὰ Ποσειδώνιός τις ἐν ἐκείνοις τοῖς χρόνοις καὶ ταῖς πράξεσι γεγονέναι λέγων, ἱστορίαν δὲ γεγραφὼς περὶ Περσέως ἐν πλείοσι βιβλίοις, φησὶν αὐτὸν οὐχ ὑπὸ δειλίας οὐδὲ τὴν θυσίαν ποιησάμενον αἰτίαν ἀπελθεῖν, ἀλλὰ τῆι προτέραι τῆς μάχης τυχεῖν λελακτισμένον ὑφ' ἵππου τὸ σκέλος· ἐν δὲ τῆι μάχηι καίπερ ἔχοντα δυσχρήστως καὶ κωλυόμενον ὑπὸ τῶν φίλων ἵππον αὐτῶι κελεῦσαι τῶν φορέων προσαγαγεῖν καὶ περιβάντα συμμῖξαι τοῖς ἐπὶ τῆς φάλαγγος ἀθωράκιστον· φερομένων δὲ παντοδαπῶν ἑκατέρωθεν βελῶν παλτὸν ἐμπεσεῖν ὁλοσίδηρον αὐτῶι καὶ τῆι μὲν ἀκμῆι μὴ θιγεῖν, ἀλλὰ πλάγιον παρὰ τὴν ἀριστερὰν πλευρὰν παραδραμεῖν, ῥύμηι δὲ τῆς παρόδου τόν τε χιτῶνα διακόψαι καὶ τὴν σάρκα φοινίξαι τυφλῶι μώλωπι πολὺν χρόνον διαφυλάξαντι τὸν τύπον. ταῦτα μὲν οὖν ὁ Ποσειδώνιος ὑπὲρ τοῦ Περσέως ἀπολογεῖται.

2 (2) PLUT. Aem. Paul. 20: (die makedonische phalanx wirft die Paeligner und Marruciner zurück) καὶ φυγὴ μὲν οὐκ ἦν, ἀναχώρησις δὲ πρὸς ὄρος τὸ καλούμενον Ὀλόκρον, ὥστε καὶ τὸν Αἰμίλιον ἰδόντα φησὶν ὁ Ποσειδώνιος καταρρήξασθαι τὸν χιτῶνα, τούτων μὲν ἐνδιδόντων, τῶν δ' ἄλλων Ῥωμαίων διατρεπομένων τὴν φάλαγγα προσβολὴν οὐκ ἔχουσαν, ἀλλ' ὥσπερ χαρακώματι τῶι πυκνώματι τῶν σαρισῶν ὑπαντιάζουσαν πάντοθεν ἀπρόσμαχον.

3 (3) — — 21: τῶν δὲ Ῥωμαίων ἔπεσον, ὡς μὲν Ποσειδώνιός φησιν, ἑκατόν, ὡς δὲ Νασικᾶς (233 F 3), ὀγδοήκοντα.

5 προτερ⟨αί⟩αι?

## h) ATTALIDEN.

### 170. LYSIMACHOS. s. III²

T

1 (III 2) ATHEN. VI 60 p. 252 C: Ἀττάλου δὲ τοῦ βασιλέως (241—197) ἐγένετο κόλαξ καὶ διδάσκαλος Λυσίμαχος, ὃν Καλλίμαχος μὲν Θεοδώρειον ἀναγράφει (F 100 d 12 Schn), Ἕρμιππος (IV) δ' ἐν τοῖς Θεοφράστου μαθηταῖς καταλέγει. οὗτος δ' ὁ ἀνὴρ καὶ περὶ τῆς Ἀττάλου παιδείας συγγέγραφε βίβλους πᾶσαν κολακείαν ἐμφαινούσας.

F

ΠΕΡΙ ΤΗΣ ΑΤΤΑΛΟΥ ΠΑΙΔΕΙΑΣ.

---

### 171. NEANTHES D. J. VON KYZIKOS. s. 241—197 ?

F

ΠΕΡΙ ΑΤΤΑΛΩΝ ΙΣΤΟΡΙΑΙ.

Α

1 (III 4, 7) ATHEN. XV 57 p. 699 D: ἄλλος δὲ ἐλάνην (sc. ἔλεγε), ὁ δέ τις ἐλάνας, τὰς λαμπάδας οὕτω φάσκων καλεῖσθαι παρὰ τὴν ἕλην· οὕτω δ' εἰπεῖν Νεάνθην ἐν α τῶν Περὶ Ἄτταλον Ἱστοριῶν. s. 84 F 4.

---

### —. MUSAIOS VON EPHESOS. s. II¹

ΕΙΣ ΕΥΜΕΝΗ ΚΑΙ ΑΤΤΑΛΟΝ.

s. III u. Korinth.

---

### —. ARRIANOS. s. II p. ?

ΕΙΣ ΑΤΤΑΛΟΝ ΤΟΝ ΠΕΡΓΑΜΗΝΟΝ.

s. 153 F 15.

---

### 172. LESCHIDES. s. II¹

T

1 (—) SUID. s. Λεσχίδης· ἐπῶν ποιητής, ὃς συνεστράτευσεν Εὐμενεῖ τῶι βασιλεῖ, ὃς ἦν ἐπιφανέστατος τῶν ποιητῶν. συνῆν δὲ τούτωι καὶ Πυθέας ὁ ζωγράφος καὶ Μένανδρος ἰατρός.

---

5 Λυσίμαχος C σίμαχος A Θεοδώρειον C θεοδώριον A 17 ἐν α τῶν ς ἑατων A 27—28 Πυθέας ὁ ζωγράφος Hecker (Steph. Byz. s. Βοῦρα) Πυθίας (πυθόας, πυθώας al Eudok) ὁ συγγραφεύς Suid

## i) GRIECHISCHE BÜNDE.

### 173. POLYBIOS VON MEGALOPOLIS.

T

1 (—) POLYB. X 21, 2: τοῦ δὲ καιροῦ τοῦ κατὰ τὴν διήγησιν ἐφεστακότος ἡμᾶς ἐπὶ τὴν ἀρχὴν τῶν Φιλοποίμενος πράξεων, καθήκειν ἡγούμεθα, καθάπερ καὶ περὶ τῶν ἄλλων τῶν ἀξιολόγων ἀνδρῶν τὰς ἑκάστων ἀγωγὰς καὶ φύσεις ἐπειράθημεν ὑποδεικνύναι, καὶ περὶ τούτου ποιῆσαι τὸ παραπλήσιον. .... (5) εἰ μὲν οὖν μὴ κατ' ἰδίαν ἐπεποιήμεθα τὴν περὶ αὐτοῦ σύνταξιν, ἐν ἧι διεσαφοῦμεν καὶ τίς ἦν καὶ τίνων καὶ τίσιν ἀγωγαῖς ἐχρήσατο νέος ὤν, ἀναγκαῖον ἦν ὑπὲρ ἑκάστου τῶν προειρημένων φέρειν ἀπολογισμόν. (6) ἐπεὶ δὲ πρότερον ἐν τρισὶν βιβλίοις ἐκτὸς ταύτης τῆς συντάξεως τὸν ὑπὲρ αὐτοῦ πεποιήμεθα λόγον, τήν τε παιδικὴν ἀγωγὴν διασαφοῦντες καὶ τὰς ἐπιφανεστάτας πράξεις, (7) δῆλον ὡς ἐν τῆι νῦν ἐξηγήσει πρέπον ἂν εἴη τῆς μὲν νεωτερικῆς ἀγωγῆς καὶ τῶν νεωτερικῶν ζήλων κατὰ μέρος ἀφελεῖν, τοῖς δὲ κατὰ τὴν ἀκμὴν αὐτοῦ κεφαλαιωδῶς ἐκεῖ δεδηλωμένοις ἔργοις προσθεῖναι καὶ κατὰ μέρος, ἵνα τὸ πρέπον ἑκατέραι τῶν συντάξεων τηρῶμεν. (8) ὥσπερ γὰρ ἐκεῖνος ὁ τόπος ὑπάρχων ἐγκωμιαστικὸς ἀπήιτει τὸν κεφαλαιώδη καὶ μετ' αὐξήσεως τῶν πράξεων ἀπολογισμόν, οὕτως ὁ τῆς ἱστορίας, κοινὸς ὢν ἐπαίνου καὶ ψόγου, ζητεῖ τὸν ἀληθῆ καὶ τὸν μετ' ἀποδείξεως καὶ τῶν ἑκάστοις παρεπομένων συλλογισμῶν.

2 (—) CIC. Epp. ad fam. V 12, 2: ..... *ut multi Graeci fecerunt, Callisthenes* (124 T 25) *Phocicum bellum, Timaeus* (III) *Pyrrhi, Polybius Numantinum, qui omnes a perpetuis suis historiis ea quae dixi bella separaverunt.*

F

(*ΠΕΡΙ ΦΙΛΟΠΟΙΜΕΝΟΣ*) *Ā—Γ̄.* a. 253—183

(NUMANTINISCHER KRIEG) a. 134—133

23 *Phocicum* Westermann *Troicum* Cic

## k) PUNISCHE KRIEGE.
## HIERONYMOS VON SYRAKUS.

### 174. PHILINOS VON AGRIGENT. a. 264—241 ?

T

1 a) DIOD. XXIII 8: *Φιλῖνος δὲ ὁ Ἀκραγαντῖνος ἱστορικὸς ἀνεγράψατο* (s. F 3). b) — 17: *Φιλῖνος δὲ ἱστορικὸς ἦν.*

2 POLYB. I 14, 1—3: *οὐχ ἧττον δὲ τῶν προειρημένων παρωξύνθην ἐπιστῆσαι τούτωι τῶι πολέμωι* (sc. *τῶι πρώτωι συστάντι Ῥωμαίοις καὶ Καρχηδονίοις ὑπὲρ Σικελίας*) *καὶ διὰ τὸ τοὺς ἐμπειρότατα δοκοῦντας γράφειν ὑπὲρ αὐτοῦ, Φιλῖνον καὶ Φάβιον, μὴ δεόντως ἡμῖν ἀπηγγελκέναι τὴν ἀλήθειαν. ἐκόντας μὲν οὖν ἐψεῦσθαι τοὺς ἄνδρας οὐχ ὑπολαμβάνω, στοχαζόμενος ἐκ τοῦ βίου καὶ τῆς αἱρέσεως αὐτῶν· δοκοῦσι δέ μοι πεπονθέναι τι παραπλήσιον τοῖς ἐρῶσι. διὰ γὰρ τὴν αἵρεσιν καὶ τὴν ὅλην εὔνοιαν Φιλίνωι μὲν πάντα δοκοῦσιν οἱ Καρχηδόνιοι πεπρᾶχθαι φρονίμως καλῶς ἀνδρωδῶς, οἱ δὲ Ῥωμαῖοι τοὐναντία· Φαβίωι δὲ τοὔμπαλιν τούτων.* s. F 2.

F

⟨—⟩

*B*

1 (III 18, 2) POLYB. III 25: *ἔτι τοιγαροῦν τελευταίας συνθήκας ποιοῦνται Ῥωμαῖοι κατὰ τὴν Πύρρου διάβασιν, πρὸ τοῦ συστήσασθαι τοὺς Καρχηδονίους τὸν περὶ Σικελίας πόλεμον.* (2) *ἐν αἷς τὰ μὲν ἄλλα τηροῦσι πάντα κατὰ τὰς ὑπαρχούσας ὁμολογίας, πρόσκειται δὲ τούτοις τὰ ὑπογεγραμμένα·* (3) *ἐὰν συμμαχίαν ποιῶνται πρὸς Πύρρον ἔγγραπτον, ποισάσθωσαν ἀμφότεροι. ἵνα* ⟨*δ'*⟩ *ἐξῆι βοηθεῖν ἀλλήλοις ἐν τῆι τῶν πολεμουμένων χώραι,* (4) *ὁπότεροι* [*δ'*] *ἂν χρείαν ἔχωσι τῆς βοηθείας, τὰ πλοῖα παρεχέτωσαν Καρχηδόνιοι καὶ εἰς τὴν ὁδὸν καὶ εἰς τὴν ἔφοδον* (?), *τὰ δὲ ὀψώνια τοῖς αὐτῶν ἑκάτεροι.* (5) *Καρχηδόνιοι δὲ καὶ κατὰ θάλατταν* a. 264

---

6 *Φιλῖνος* C Mueller *φίλιστος* Di 14 *πεπραχέναι* Bekker 24—25 *ἐγγραπτον, ποιεισθωσαν* Wachsmuth 25—26 ⟨*δ'*⟩ — [*δ'*] Beloch 27 *ἐφοδον: ἀφοδον* Reiske *ἐπάνοδον* Klotz

Ῥωμαίοις βοηθεῖτωσαν, ἂν χρεία ᾖ. τὰ δὲ πληρώματα μηδεὶς ἀναγκαζέτω ἐκβαίνειν ἀκουσίως'. ..... (26) τούτων δὴ τοιούτων ὑπαρχόντων καὶ τηρουμένων τῶν συνθηκῶν ἔτι νῦν ἐν χαλκώμασι παρὰ τὸν Δία τὸν Καπετώλιον ἐν τῷι τῶν ἀγορανόμων ταμιείωι, (2) τίς οὐκ ἂν εἰκότως θαυμάσειεν Φιλίνου τοῦ συγγραφέως, οὐ διότι ταῦτ' ἠγνόει — τοῦτο μὲν γὰρ οὐ θαυμαστόν, ἐπεὶ καθ' ἡμᾶς ἔτι καὶ Ῥωμαίων καὶ Καρχηδονίων οἱ πρεσβύτατοι καὶ μάλιστα δοκοῦντες περὶ τὰ κοινὰ σπουδάζειν ἠγνόουν — (3) ἀλλὰ πόθεν ἢ πῶς ἐθάρρησε γράψαι τἀναντία τούτοις, διότι Ῥωμαίοις καὶ Καρχηδονίοις ὑπάρχοιεν συνθῆκαι καθ' ἃς ἔδει Ῥωμαίους μὲν ἀπέχεσθαι Σικελίας ἁπάσης, Καρχηδονίους δ' Ἰταλίας· (4) καὶ διότι ὑπερέβαινον Ῥωμαῖοι τὰς συνθήκας καὶ τοὺς ὅρκους, ἐπεὶ ἐποιήσαντο τὴν πρώτην εἰς Σικελίαν διάβασιν, μήτε γεγονότος μήθ' ὑπάρχοντος παράπαν ἐγγράφου τοιούτου μηδενός. ταῦτα γὰρ ἐν τῆι δευτέραι λέγει βίβλωι διαρρήδην. (5) περὶ ὧν ἡμεῖς ἐν τῆι παρασκευῆι τῆς ἰδίας πραγματείας μνησθέντες (I 10), εἰς τοῦτον ὑπερεθέμεθα τὸν καιρὸν κατὰ μέρος περὶ αὐτῶν ἐξεργάσασθαι διὰ τὸ καὶ πλείους διεψεῦσθαι τῆς ἀληθείας ἐν τούτοις πιστεύσαντας τῆι Φιλίνου γραφῆι. (6) οὐ μὴν ἀλλ' εἰ κατὰ τοῦτό τις ἐπιλαμβάνεται Ῥωμαίων περὶ τῆς εἰς Σικελίαν διαβάσεως, ὅτι καθόλου Μαμερτίνους προσέλαβον εἰς τὴν φιλίαν καὶ μετὰ ταῦτα δεομένοις ἐβοήθησαν, οὔτινες οὐ μόνον τὴν Μεσσηνίων πόλιν ἀλλὰ καὶ τὴν Ῥηγίνων παρεσπόνδησαν, εἰκότως ἂν δόξειεν δυσαρεστεῖν· (7) εἰ δὲ παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ὑπολαμβάνει τις αὐτοὺς πεποιῆσθαι τὴν διάβασιν, ἀγνοεῖ προφανῶς.

2 (1) POLYB. I 15: (T 2) ὁ γὰρ Φιλῖνος ἀρχόμενος ἅμα τῶν a. 263
πραγμάτων καὶ τῆς δευτέρας βύβλου φησὶ προσκαθῆσθαι τῆι Μεσσήνηι πολεμοῦντας τούς τε Καρχηδονίους καὶ τοὺς Συρακουσίους. (2) παραγενομένους δὲ τοὺς Ῥωμαίους κατὰ θάλατταν εἰς τὴν πόλιν εὐθὺς ἐξελθεῖν ἐπὶ τοὺς Συρακουσίους, λαβόντας δὲ πολλὰς πληγὰς ἐπανελθεῖν εἰς τὴν Μεσσήνην· αὖθις δ' ἐπὶ τοὺς Καρχηδονίους ἐκπορευθέντας οὐ μόνον πληγὰς λαβεῖν ἀλλὰ καὶ ζωγρίαι τῶν στρατιωτῶν ἱκανοὺς ἁποβαλεῖν. (3) ταῦτα δ' εἰπὼν τὸν μὲν Ἱέρωνά φησι μετὰ τὴν γενομένην συμπλοκὴν οὕτως ἔξω γενέσθαι τοῦ φρονεῖν ὥστε μὴ μόνον παραχρῆμα τὸν χάρακα καὶ τὰς σκηνὰς ἐμπρήσαντα φυγεῖν νυκτὸς εἰς τὰς Συρακούσας, ἀλλὰ καὶ τὰ φρούρια πάντα καταλιπεῖν τὰ κείμενα κατὰ τῆς τῶν Μεσσηνίων χώρας. (4) ὁμοίως δὲ καὶ τοὺς Καρχηδονίους μετὰ τὴν μάχην εὐθέως ἐκλιπόντας τὸν χάρακα διελεῖν σφᾶς εἰς τὰς πόλεις, τῶν δ' ὑπαίθρων οὐδ' ἀντιποιεῖσθαι

3 τῶν om AN 5 φιλίου N 19 ἀλλ' εἰ $R^s$ ἀλλὰ AN

τολμᾶν ἔτι· διὸ καὶ συνθεωρήσαντας τοὺς ἡγουμένους αὐτῶν ἀποδεδειλιακότας τοὺς ὄχλους βουλεύσασθαι μὴ κρίνειν διὰ μάχης τὰ πράγματα. (5) τοὺς δὲ Ῥωμαίους ἑπομένους αὐτοῖς οὐ μόνον τὴν χώραν πορθεῖν τῶν Καρχηδονίων καὶ Συρακοσίων, ἀλλὰ καὶ τὰς Συρακούσας αὐτὰς προσκαθίσαντας ἐπιβαλέσθαι πολιορκεῖν. (6) ταῦτα δ', ὡς ἐμοὶ δοκεῖ, τῆς πάσης ἐστὶν ἀλογίας πλήρη, καὶ διαστολῆς οὐ προσδεῖται τὸ παράπαν. (7) οὓς μὲν γὰρ πολιορκοῦντας τὴν Μεσσήνην καὶ νικῶντας ἐν ταῖς συμπλοκαῖς ὑπέθετο, τούτους φεύγοντας καὶ τῶν ὑπαίθρων ἐκχωροῦντας καὶ τέλος πολιορκουμένους ... ἀπέφηνεν· (8) οὓς δὲ ἡττωμένους καὶ πολιορκουμένους ὑπεστήσατο, τούτους δώκοντας καὶ παραχρῆμα κρατοῦντας τῶν ὑπαίθρων καὶ τέλος πολιορκοῦντας τὰς Συρακούσας ἀπέδειξε. (9) ταῦτα δὲ συνάιδειν ἀλλήλοις οὐδαμῶς δύναται. πῶς γάρ; ἀλλ' ἀναγκαῖον ἢ τὰς ὑποθέσεις εἶναι τὰς πρώτας ψευδεῖς ἢ τὰς ὑπὲρ τῶν συμβαινόντων ἀποφάσεις. (10) εἰσὶ δ' αὗται μὲν ἀληθεῖς· καὶ γὰρ ἐξεχώρησαν οἱ Καρχηδόνιοι καὶ Συρακόσιοι τῶν ὑπαίθρων, καὶ τὰς Συρακούσας ἐπολιόρκουν οἱ Ῥωμαῖοι κατὰ πόδας, ὡς δ' οὗτός φησιν, καὶ τὴν Ἐχέτλαν ἐν μέσῃ κειμένην τῆι τῶν Συρακοσίων καὶ Καρχηδονίων ἐπαρχίαι. (11) λοιπὸν ἀνάγκη συγχωρεῖν τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις εἶναι ψευδεῖς, καὶ νικώντων εὐθέως τῶν Ῥωμαίων ἐν ταῖς περὶ τὴν Μεσσήνην συμπλοκαῖς ἠττημένους αὐτοὺς ἡμῖν ὑπὸ τοῦ συγγραφέως ἀπηγγέλθαι. (12) Φιλῖνον μὲν οὖν παρ' ὅλην ἂν τις τὴν πραγματείαν εὕροι τοιοῦτον ὄντα, παραπλησίως δὲ καὶ Φάβιον .....

## OHNE BUCHZAHL.

3 (3) DIOD. XXIII 8, 1: ὅτι Ἄννων ὁ πρεσβύτερος ἐκ τῆς Λιβύης κατὰ τὴν πολιορκίαν Ἀκράγαντος ἐπέρασε μεγάλην δύναμιν ἐν Σικελίαι, πεζῶν μυριάδας πέντε, ἱππεῖς δὲ ἑξακισχιλίους, ἐλέφαντας δὲ ἑξήκοντα. Φιλῖνος δὲ ὁ ἱστορικὸς ἀνεγράψατο. ὁ δὲ οὖν Ἄννων ἀναζεύξας μετὰ πάσης τῆς δυνάμεως ἐκ τοῦ Λιλυβαίου παρῆλθεν εἰς τὴν Ἡράκλειαν, καθ' ὃν καιρὸν ἦλθόν τινες ἀπαγγέλλοντες τὸν Ἔρβησσὸν παραδώσειν. Ἄννων δὲ πολεμήσας ἐν δυσὶ μάχαις ἀπέβαλε στρατιώτας πεζοὺς μὲν τρισχιλίους, ἱππεῖς δὲ διακοσίους, ζωγρίας δὲ τετρακισχιλίους. ἐλέφαντας ὀκτὼ θανεῖν, τριάκοντα τρεῖς δὲ κατατραυματισθῆναι. a. 261

4 (4) — XXIII 17 (zwischen der niederlage des Regulus a. 255 und der katastrophe der transportflotte bei Kamarina a. 254): Φιλῖνος δὲ ἱστορικὸς ἦν. a. 255/4

5 (4) — XXIV 11, 1: Λιτάτιος δὲ ὁ ὕπατος ναυσὶ μακραῖς τριακοσίαις καὶ πλοίοις καὶ πορείοις ἑπτακοσίοις, ὁμοῦ χιλίοις, εἰς Σικελίαν ἔπλευσε καὶ εἰς τὸ Ἐρυκίνων ἐμπόριον καθωρμίσθη. Ἄννων δὲ καὶ αὐτὸς ἐκ Καρχηδόνος ναυσὶ διακοσίαις πεντήκοντα μακραῖς καὶ †τοῖς φορτηγοῖς εἰς τὴν νῆσον τὴν Ἱερὰν ἦλθεν. εἶτα δὲ ἐξ αὐτῆς πρὸς τὸν Ἔρυκα ἐρχό- a. 241

4—5 προσκαθίσαντας ἐπιβαλέσθαι Anon προκ— —άλλεσθαι AR 14 ἐπολιόρκουν Anon ἐπολέμουν Pol 32 Φιλῖνος C Mueller φίλιστος Diod

μενος καὶ τῶν Ῥωμαίων ὑπαντησάντων, παρ' ἀμφοτέρων πόλεμος ἐγένετο μέγας. κατὰ δὲ τοῦτον τὸν πόλεμον ἀπέβαλον Καρχηδόνιοι ναῦς ἑκατὸν ἑπτακαίδεκα, αὐτάνδρους μὲν τούτων εἴκοσι † Ῥωμαῖοι δὲ ὀγδοήκοντα, τριάκοντα μὲν εἰς τέλος, πεντήκοντα δὲ εἰς ἐπιμερισμόν. αἰχμαλώτους δέ, ὡς Φιλῖνος ἀνέγραψε, Καρχηδονίων ἑξακισχιλίους, ὡς δὲ ἕτεροι, τετρακισχιλίους τεσσαράκοντα. αἱ δὲ ἄλλαι νῆες πνεύματος ἐπιπνεύσαντος οὐρίου εἰς Καρχηδόνα ἔφυγον.

---

## 175. SILENOS VON KALEAKTE (?)

s. 218—201

T

1 ATHEN. XII 59 p. 542 A: *Σιληνὸς δ' ὁ Καλλατιανὸς* (?) ..... (F 4).

2 CORNEL. NEPOS Hannib. 13, 3: *huius* (sc. Hannibalis) *belli gesta multi memoriae prodiderunt, sed ex his duo, qui cum eo in castris fuerunt simulque vixerunt, quamdiu Fortuna passa est, Silenus et Sosilus Lacedaemonius* (176 T 1).

3 CIC. De div. I 49: *in Sileni, quem Coelius sequitur, Graeca historia . . . — is autem diligentissume res Hannibalis persecutus est* — (F 2).

4 DION. HAL. AR I 6, 1: *ἅμα δὲ τούτοις* (sc. Hieronymos und Timaios) *Ἀντιγόνου* (III) *τε καὶ Πολυβίου καὶ Σιληνοῦ καὶ μυρίων ἄλλων τοῖς αὐτοῖς πράγμασιν* (sc. der römischen geschichte) *οὐχ ὁμοίως ἐπιβαλόντων, ὧν ἕκαστος ὀλίγα καὶ οὐδὲ ταῦτα διεσπουδασμένως, ἀλλ' ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων συνθεὶς ἀνέγραψεν.*

F

*⟨ΠΕΡΙ ΑΝΝΙΒΑΝ⟩ ΙΣΤΟΡΙΑΙ.*

(s. F 6—9).

*Α*

(F 7; 9).

1 (III 101, 6) DIOG. LAERT. II 11: *φησὶ δὲ Σιληνὸς ἐν τῇι πρώτηι τῶν Ἱστοριῶν ἐπὶ ἄρχοντος † Δημύλου λίθον ἐξ οὐρανοῦ πεσεῖν· τὸν δὲ Ἀναξαγόραν εἰπεῖν ὡς ὅλος ὁ οὐρανὸς ἐκ λίθων συγκέοιτο, τῇι σφοδρᾶι δὲ περιδινήσει συνεστάναι καὶ ἀνεθέντα κατενεχθήσεσθαι.*

---

10 *Καλακτῖνος* Holste 13 *Silenus* Bu *Sy*— AP *Silerius* B *Philenius* M 21 *οὐδὲ ταῦτα διεσπουδασμένως* Kiessling Grasberger *οὐδὲ ἀκριβῶς αὐτῶ διεσπουδασμένως* B *οὐδὲ αὐτὰ διεσπουδασμένως οὐδὲ ἀκριβῶς* A *οὐδὲ ἀκριβῶς αὐτῶι διεσπουδασμένα* Hudson Meineke 29 *δημύλου* B *δημύλου* PV *Δημ⟨οτίωνος* (470/69)*⟩ μύλον* Diels *Δυσιστράτου* (467/6) *μύδρον ἢ λίθον* Panzerbieter

ONHE BUCHZAHL.

2 (1) CIC. De div. I 48—49: *Hannibalem Coelius* (F 34 Pet.) a. 219; (205) *scribit, cum columnam auream, quae esset in fano Iunonis Laciniae, auferre vellet* (a. 205) *dubitaretque, utrum ea solida esset an extrinsecus inaurata, perterebravisse, cumque solidam invenisset, statuisse tollere; ei secundum quietem visam esse Iunonem praedicere, ne id faceret, minarique, si fecisset, se curaturam, ut eum quoque oculum, quo bene videret, amitteret; idque ab homine acuto non esse neglectum. itaque ex eo auro quod exterebratum esset, buculam curasse faciendam et eam in summa columna collocavisse.* (49) *hoc item in Sileni, quem Coelius sequitur, Graeca historia est — is autem diligentissume res Hannibalis persecutus est — Hannibalem cum cepisset Saguntum, visum esse in somnis a Iove in deorum concilium vocari; quo cum venisset, Iovem imperavisse, ut Italiae bellum inferret ducemque ei unum e concilio datum, quo illum utentem cum exercitu progredi coepisse; tum ei ducem illum praecepisse, ne respiceret; illum autem id diutius facere non potuisse elatumque cupiditate respexisse, tum visam beluam vastam et immanem circumplicatam serpentibus, quacumque incederet, omnia arbusta virgulta tecta pervertere; et eum admiratum quaesisse de deo, quodnam illud esset tale monstrum; et deum respondisse vastitatem esse Italiae praecepisseque, ut pergeret protinus, quid retro atque a tergo fieret, ne laboraret.*

ΣΙΚΕΛΙΚΑ.

$\overline{B}$

*3 (7) STEPH. BYZ. s. *Παλίκη· πόλις Σικελίας. Θεόφιλος δ' ἐν τῇι Περιηγήσει Σικελίας* (III) *Παλικίνην κρήνην φησὶν εἶναι. πλησίον δὲ αὐτῆς ἱερὸν Παλικῶν, οἵ εἰσι δαίμονές τινες οὓς Αἰσχύλος ἐν Αἴτναις* (F 6 N²) *γενεαλογεῖ Διὸς καὶ Θαλείας τῆς Ἡφαίστου, Σιληνὸς δὲ ἐν $\overline{β}$ Αἴτνης τῆς Ὠκεανοῦ καὶ Ἡφαίστου· κληθῆναι δὲ αὐτοὺς Παλικοὺς διὰ τὸ ἀποθανόντας πάλιν εἰς ἀνθρώπους ἰκέσθαι.*

$\overline{Γ}$

4 (8) ATHEN. XII 59 p. 542 A: *Σιληνὸς δ' ὁ Καλλατιανὸς (?) ἐν τρίτωι Σικελικῶν περὶ Συρακούσας φησὶν κῆπον εἶναι πολυτελῶς κατεσκευασμένον, ὃν καλεῖσθαι Μῦθον, ἐν ὧι χρηματίζειν Ἱέρωνα τὸν βασιλέα.*

25—26 *ἐν τῇι* Jac *ἐν τῷ* R V *ἐν τᾶ* P *Περιηγήσεως* vulg 32 Καλακτῖνος Holste (vgl. Diod. XII 29, 1 *Καλλατίνων*; Suid. s. Καικίλιος ... Καλαντιανός [v. l. καλλατιανός]· *Κάλαντις δὲ πόλις Σικελίας*)

$\bar{\Delta}$

5 (9) PHOT. SUID. s. *Σαρδόνιος γέλως· ... Σιληνὸς δὲ ἐν δ̄ τῶν Περὶ Συρακούσας λάχανον εἶναι παρὰ Σαρδονίοις ἡδύ, σελίνοι ἐμφερές, οὗ τοὺς γευσαμένους τάς τε σιαγόνας ⟨σεσηρέναι⟩ καὶ τὰς σάρκας αὐτῶν ἀποδάκνειν.*

## OHNE BUCHTITEL.

6 (2) LIVIUS XXVI 49: *tum* (nach der einnahme von Neu- s. 210
Karthago durch P. Scipio) *obsides civitatium Hispaniae vocari iussit, quorum quantus numerus fuerit, piget scribere, quippe quum alibi trecentos ferme, alibi tria millia septingentos viginti quattuor fuisse inveniam.* (2) *aeque et alia inter auctores discrepant. praesidium Punicum alius decem, alius septem, alius haud plus quam duum millium fuisse scribit. capta alibi decem millia capitum, alibi supra quinque et viginti invenias.* (3) *scorpiones maiores minoresque ad sexaginta captos scripserim, si auctorem Graecum sequar Silenum; si Valerium Antiatem* (F 24 Pet.), *maiorum scorpionum sex millia, minorum decem tria millia. adeo nullus mentiendi modus est.* (4) *ne de ducibus quidem convenit: plerique Laelium praefuisse classi; sunt qui M. Iunium Silanum dicant.* (5) *Arinen praefuisse Punico praesidio deditumque Romanis Antias Valerius; Magonem alii scriptores tradunt.* (6) *non de numero navium captarum, non de pondere auri atque argenti et redacta pecunia convenit. si aliquis assentiri necesse est, media simillima veris sunt.*

7 (3) PLIN. NH IV 120: *ab eo latere quo Hispaniam spectat passibus fere C altera insula est, M longa passus, M lata, in qua prius oppidum Gadium fuit. vocatur ab Ephoro* (70 F 129) *et Philistide* (11 F 3) *Erythea, a Timaeo* (III) *et Sileno Aphrodisias, ab indigenis Iunonis.*

8 (4) SOLIN. 1, 14—15 p. 5, 6 Momms.²: *Palatium nemo dubitaverit quin Arcadas habeat auctores .... sunt qui velint a balatibus ovium mutata littera, vel a Pale pastorali dea, aut, ut Silenus probat, a Palantho Hyperborei filia, quam Hercules ibi compressisse visus est, nomen monti adoptatum.*

9 (5) STRABON III 5, 7: *φησὶ δὲ ὁ Πολύβιος* (XXXIV 9, 5 BW) *κρήνην ἐν τῷι Ἡρακλείωι τῶι ἐν Γαδείροις εἶναι βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν εἰς τὸ ὕδωρ πότιμον, ἣν ταῖς παλιρροίαις τῆς θαλάττης*

2 *σέλινος* Ph δ̄ Ph Suid A *δώ*, *δευτέρω, τετάρτω, δὲ ἔνδοι* Suid cett 3 *σαρδόνους* Ph *σαρδωνίοις* Suid 4 ⟨*σεσηρέναι*⟩ Jac 27 *aphrodisias* (*apho*— A¹) A *aphoros dyseas* (*disias*) cett 32 *palantha* CS²

ἀντιπαθεῖν, κατὰ μὲν τὰς πλήμας ἐκλείπουσαν, κατὰ δὲ τὰς ἀμπώτεις πληρουμένην. αἰτιᾶται δ' ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν τῆς γῆς ἐκπῖπτον, καλυφθείσης μὲν αὐτῆς ὑπὸ τοῦ κύματος κατὰ τὰς ἐπιβάσεις τῆς θαλάττης εἴργεται τῶν οἰκείων τοιούτων ἐξόδων, ἀναστρέψαν δὲ εἰς τὸ ἐντὸς ἐμφράττει τοὺς τῆς πηγῆς πόρους καὶ ποιεῖ λειψυδρίαν, γυμνωθείσης δὲ πάλιν, εὐθυπορῆσαν ἐλευθεροῖ τὰς φλέβας τῆς πηγῆς, ὥστ' ἀναβλύειν εὐπόρως. Ἀρτεμίδωρος (V) δὲ ἀντειπὼν τούτωι καὶ ἅμα παρ' αὐτοῦ τινα θεὶς αἰτίαν, μνησθεὶς δὲ καὶ τῆς Σιλανοῦ δόξης τοῦ συγγραφέως οὗ μοι δοκεῖ μνήμης ἄξια εἰπεῖν, ὡς ἂν ἰδιώτης περὶ ταῦτα καὶ αὐτὸς καὶ Σιλανός. Ποσειδώνιος (87 F 85) δὲ ψευδῆ λέγων τὴν ἱστορίαν εἶναι ταύτην .....

---

## 176. SOSYLOS VON LAKEDAIMON.

a. 218—201

### T

1 CORNEL. NEP. Hann. 13, 3: *huius* (sc. Hannibalis) *belli gesta multi memoriae prodiderunt, sed ex his duo, qui cum eo in castris fuerunt simulque vixerunt, quamdiu fortuna passa est, Silenus* (175 T 2) *et Sosylus Lacedaemonius. atque hoc Sosylo Hannibal litterarum Graecarum usus est doctore.*

2 DIOD. XXVI 4: *Μηνόδοτος δὲ ὁ Περίνθιος* (82 T 1) *τὰς Ἑλληνικὰς πραγματείας ἔγραψεν ἐν βιβλίοις πεντεκαίδεκα, Σωσύλος δὲ ὁ ⟨Λακεδαιμό⟩νιος τὰ περὶ Ἀννίβαν ἔγραψεν ἐν βιβλίοις ἑπτά.*

3 POLYB. III 20, 5: *πρὸς μὲν οὖν τὰ τοιαῦτα τῶν συγγραμμάτων, οἷα γράφει Χαιρέας* (177) *καὶ Σωσύλος οὐδὲν ἂν δέοι πλέον λέγειν· οὐ γὰρ ἱστορίας ἀλλὰ κουρεακῆς καὶ πανδήμου λαλιᾶς ἔμοιγε δοκοῦσι τάξιν ἔχειν καὶ δύναμιν.* s. F 2.

### F

*ΠΕΡΙ(?) ΑΝΝΙΒΟΥ ΠΡΑΞΕΩΝ Ᾱ—Ζ̄.*

*Δ̄*

1 (—) PAP. WÜRZBURG: (I) —] *μεν*| —].ε..επι:| —] *τελέως* n. 217 o. 208;7

η| —]*λαν ὑπὸ*| .....].*των οἱ*| .....].*τες αὐ*[*τ*.....]*ν*

---

17 *Sosylus* AP *Sosil(l)us* MRB 21 *Λακεδαιμόνιος* Jac *Ἴλιος* Exc Hoesch *Ἰλιεὺς* vulg *Ἑλιεὺς* Bujak (Polyb. V 19, 7 *Ἔλειαν .... πλείστη καὶ καλλίστη χώρα τῆς Λακωνικῆς*) *Ἠλεῖος* Wilamowitz 23 *σωσύλος, σώσυλος* MAB *σώσιλος* R

29 buchhändlerexemplar, zusammengesetzt und ergänzt von Wilcken (Herm. XLI 103 = W¹; XLII 510 = W²); von col. II 2 ab stichometrische punkte vor jeder 10. zeile

εἶναι νο[μίσαντες (?) ....]ηνασαν | —]ροις ναυμα|[χ..... οὐ]δὲν ἄξι[ον ..... τῆ]ς πατρίδος | [..... τῶν] προγόνων | [ἐνδοξότατα] πραττομέ|[νων. ἀποβάλ]λουσι (?) μὲν | [..... τ]ῶν νεῶν | —]αν ἀπολα|[.. .....]εσον . .[. .|. .....]μου προσ|[.....]ες· αὐτάν|[δρους διέφθει]ραν (?). ἡγε|[..... π]αραλυθεί | [.....]ν ἐπὶ πο|[..... ἕ]κ τῶνδε | [.....]δως ἀνεχώ|[ρουν εἰς (?) τ]ὸν ἔσχατον | [ἐλθόντε]ς κίνδυνον | [—]αν δὲ καὶ τὸ | [..... τοὺ]ς Μασ[σ]αλι|[ήτας ....]ς. τὰς δὲ | [—]ος επι: | [—] μετ' αὐτοῦ | [—] .αν τόπων (?) | [—]εω .[.] πλη|[—]αι.

(II) συνηναγκασα[.....] | νομένου πᾶσαι μὲν δι|αφόρως ἠγωνίσαντο, | πολὺ δὲ μάλισθ' αἱ τῶν | Μασσαλιητῶν· ἦρξαν | τό τε γὰρ πρῶται καὶ | τῆς ὅλης εὐημερίας α[ἴ]τ[ι]αι κατέστησαν Ῥω|μαίοις, καὶ τὸ σύνολον | ο[ἱ π]ροεστῶτες αὐτῶν | παρακαλοῦντες τοὺς | μὲν λοιποὺς εὐθαρσε|[στέ]ρους ἐποίουν, αὐτοὶ | δὲ ταῖς ψυχαῖς πολὺ πα|[ρα]λλάττοντες ἐπέχειν|[το] τοῖς πολεμίοις. δι|[πλα]σίως δ' ἠλατ[τοῦ|το] τὰ τῶν Καρχηδονί|[ων] διὰ τὸ τοὺς Μασσα|λιήτας νοῆσαι τὸ κα|τὰ τ̣ὴμ μάχην ἴδιον | ὑπάρχον. συμβαίνει | γὰ[ρ] τοὺς Φοίνικας ἐὰν | ἀντιπρώροις τισὶν | ἀντιταχθῶσιν, ἐπιφέ|ρεσθαι μὲν ὡς ποιησο|μένους ἐμβολήν, οὐκ ἐμ|[βά]λ⟨λ⟩ειν ⟨δ'⟩ εὐθύς, ἀλλὰ δι|εκπλεύσαντας ἐπιστρέ|φειν καὶ πλαγίαις οὔ|σαις ἀκμὴν ταῖς τῶν | ἐναντίων ναυσὶν ἐπι[ρ|ρ]άττειν πολυ[....]ευ|

(III) [—] | [.....].[... ο]ἱ | [Μα]σσαλιῶται προιστο|[ρη]-

---

1 [ἀντιπρώ]ροις Fuhr B ph W 1906, 154 [τοῖς ἀντιπρώ]ροις Bi(label) Die klein. Hist.-Fragm. auf Papyrus 1923 no. 10 [οὐ]δὲν ἄξι[ον] Fuhr οὐ. ἄξι[ον ποιοῦσι] Bi 2 [καὶ τῶν] προγόνων W [τῶν τε ὑπὸ τῶν] πρ. Bi 2—3 ἐνδοξότατα — ἀποβάλλουσι Bi 3—4 [πρῶτον δύο τ]ῶν νεῶν, [καὶ εἰς ἑσπέρ]αν (?) ἀπόλλ[υνται τέσσαρ]ες Bi (Polyb. III 96, 4 πλὴν δύο μὲν αὐτάνδρους νῆας ἀποβαλόντες — sc. οἱ Καρχηδόνιοι — τεττάρων δὲ τοὺς ταρσοὺς καὶ τοὺς ἐπιβάτας, ἐφευγον ἐκκλίναντες εἰς γῆν. Liv. XXII 19, 12 *duae tamen primo concursu captae erant Punicae naves, quattuor suppressae*) 4 [μ]έσον W 4—5 πρὸς [δ' οἱ ἡγεμόν]ες αὐτάν[δροι (!) ἀπέδ]ραν. ἡγε[μονίας δὲ π]αραλυθει[σης ἐφυγο]ν ἐπὶ πο[ταμόν] Bi 7 τὸ [πρὸς τοὺς] Μασσαλι[ώτας κέρα]ς W (Μασσαλιήτας c. II 5; 20 Μασσαλιῶται c. III 3; 28) 8 . αν τόπων ? W² . αντοτῶν W¹ 9 συνηνάγκασα[ν ἐκ τοῦ γε]νομένου Bi συνηναγκασ[.....]νόμενοι W 11 και: P 15—16 διπλασίως Blass δι: —|[...]σιως P 16 ἠλαττοῦτο W ηλλατ.... P 17 ἴδιον ⟨αὐτῶν⟩ W 'hinter ἴδιον hat P nichts' Bi 22 ἐπιῤῥάττειν Blass 23 οἱ δὲ W¹ οἱ W²

κότες τὴν συμβο|[λή]ν, ἣν ἐπ' Ἀρτεμισίωι | [φα]σὶν Ἡρακλείδην ποι|[ήσ]ασθαι τὸμ Μυλασσέ|[α μ]ὲν τῶι γένει, διαφέ|[ρον]τα δ' ἀγχινοίαι τῶγ | καθ' αὐτὸν ἀνδρῶν; πα|ρήγγειλαν ἀντιτάξαν|τες μετωπηδὸν τὰς | πρώτας ἑτέρα|ς αὐταῖς | ἐφέδρους ἀπολείπειν | ἐν διαστήμασιν εὐμέ|τροις, αἵτινες ἅμα τῶι | παραλλάξαι τὰς προ|τεταγμένας εὐκαίρως | ἐπιθήσονται παραβα[λ]|λούσαις ἔτι ταῖς τῶν | ἐναντίων, αὐταὶ [με]μενη|κυῖαι κατὰ τὴν π[ρο]κει|μένην τάξιν. ὅπερ | ἐποίησε κἀκεῖνο⟨ς⟩ ἐπὶ | τῶν ἔμπροσθεν καιρῶν | καὶ κατέστη τῆς νίκης | αἴτιος. τότε δ', ὥσπερ | εἰρήκαμ[εν], οἱ Μασσα|λιῶται μνήμηι προγε|νεστέρων καὶ κατωρ|θωμένω[ν πράξε]ων | ἐπακολου[θοῦντε]ς | καὶ τῶ[ν Καρχηδον]ί —

(IV) ων] ἐπιπλ[εόντ]ων [κατὰ] | τὸν δεδη[λωμένον τρό]|πον ἐπὶ τᾶ[ς —] | μὲν συνη[γωνίσαντο(?)] | ημερι [—] | οιστ.[—] | κευα[—] | αμε[—]|—|—|γους [—] | δὲ τῶν [—]|νων κα[ι..... οἱ Καρ]|χηδόν[ιοι πρὸς τὸ φεύ]|γειν ὥρ[μησαν ...] | δὲ Ῥω[μαι .....] | κησ[—]|ειλη [—] | αξι[—] | γουμ[εν—] | γὰρ γ[—] | ἀπολ[—] | μετα[—] | κωπα[—] | ωσαμ[εν—] | Καρχ[ηδονι .....] | χε[—] | αφ[—] | τη[—] | τοι[—] | τω[—] | μεμ[—]

Σωσύλου τῶν | περὶ Ἀννίβου | πράξεων δ̄.

## OHNE BUCHZAHL.

2 (III 99, 1) Polyb. III 20: οἱ δὲ Ῥωμαῖοι προσπεπτωκυίας αὐτοῖς ἤδη τῆς a. 2:
τῶν Ζακανθαίων ἁλώσεως οὐ μὰ Δία περὶ τοῦ πολέμου τότε διαβούλιον ἦγον, καθάπερ ἔνιοι τῶν συγγραφέων φασί, προσκατατάττοντες ἔτι καὶ τοὺς εἰς ἑκάτερα ῥηθέντας λόγους, πάντων ἀτοπώτατον πρᾶγμα ποιοῦντες. (2) πῶς γὰρ οἷόν τ' ἦν Ῥωμαίους τοὺς ἐνιαυτῶι πρότερον ἐπηγγελκότας πόλεμον Καρχηδονίοις, ἐὰν ἐπιβαίνωσι τῆς Ζακανθαίων χώρας, τούτους κατὰ κράτος ἁλκωνίας αὐτῆς τῆς πόλεως τότε βουλεύεσθαι συνελθόντας πότερα πολεμητέον ἢ τοὔναντίον. (3) πῶς δὲ καὶ τίνα τρόπον ἅμα μὲν τὴν στυγνότητα τοῦ συνεδρίου παρεισάγουσι θαυμάσιον, ἅμα

13—14 καὶ τῶν Καρχηδον||ίων] ἐπιπλ[εόντων κατὰ] Fuhr (s. W² 510) 15 ἐπὶ τ[ὸν στόλον· οἱ] Fuhr ἐπὶ τᾶ[ς τριήρεις]? Bi συνη zweifelnd W² συμι W¹ 16 κευ. W κευα Bi [στρατη]γοὺς Bi ]γου. W 18 οἱ] δὲ Ῥω[μαῖοι καλῶς νι]κήσ[αντες] W 19 κώπα[ις]? W ὠσάμ[ενοι]? W 20 χέ[ρσος]? W 22 besitzervermerk auf verso, von anderer hand noch ptolemaeischer zeit (Wilcken) 31 θαυμασίαν?

δὲ τοὺς υἱοὺς ἀπὸ δώδεκα ἐτῶν ἄγειν φασὶ τοὺς πατέρας εἰς τὸ συνέδριον, οὓς μετέχοντας τῶν διαβουλίων οὐδὲ τῶν ἀναγκαίων οὐδενὶ προίεσθαι τῶν ἀπορρήτων οὐδέν. (4) ὧν οὔτ' εἰκὸς οὔτε ἀληθές ἐστι τὸ παράπαν οὐδέν, εἰ μὴ νὴ Δία πρὸς τοῖς ἄλλοις ἡ τύχη καὶ τοῦτο προσένειμε Ῥωμαίοις, τὸ φρονεῖν αὐτοὺς εὐθέως ἐκ γενετῆς. (5) ⟨T 3⟩. (6) Ῥωμαῖοι δέ, προσπεσόντος σφίσι τοῦ γεγονότος κατὰ τοὺς Ζακανθαίους ἀτυχήματος, παραχρῆμα πρεσβευτὰς ἑλομένοι κατὰ σπουδὴν ἐξαπέστειλαν εἰς τὴν Καρχηδόνα, δύο προτείνοντες αὐτοῖς ..... (8) ἢ γὰρ τὸν στρατηγὸν Ἀννίβαν καὶ τοὺς μετ' αὐτοῦ συνέδρους ἐκδότους διδόναι Ῥωμαίοις ἐπέταττον ἢ προήγγελλον τὸν πόλεμον.

## 177. CHAIREAS.

T

1 (III 99) POLYB. III 20, 5: s. 176 T 3.

## 178. EUMACHOS VON NEAPEL.

F

ΠΕΡΙ ΑΝΝΙΒΑΝ ΙΣΤΟΡΙΑΙ.

B

1 (III 102, 1) ATHEN. XII 37 p. 577 A: *Εὔμαχος δὲ ὁ Νεαπολίτης ἐν τῇι δευτέραι τῶν Περὶ Ἀννίβαν Ἱστοριῶν Ἱερώνυμόν φησι τὸν τυραννήσαντα Συρακοσίων ἀγαγέσθαι γυναῖκα τῶν ἐπ' οἰκήματος προεστηκυιῶν Πειθὼ ὄνομα καὶ ἀποδεῖξαι βασιλίδα.*

ΠΕΡΙΗΓΗΣΙΣ.

2 (2) PHLEGON Mir. 18 (257 F 36): *Εὔμαχος δέ φησιν ἐν Περιηγήσει Καρχηδονίους περιταφρεύοντας τὴν ἰδίαν ἐπαρχίαν εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς ἐν σοροῖς κειμένους, ὧν τοῦ μὲν εἰκοσιτέσσαρας εἶναι πήχεις τὴν σύνθεσιν, τοῦ δὲ ἑτέρου εἰκοσιτρεῖς.*

## 179. XENOPHON.

T

1 (III 101) DIOG. LAERT. II 59: *γεγόνασι δὲ Ξενοφῶντες ἑπτά· .... τέταρτος ἱστορίαν Ἀννιβαικὴν γεγραφώς.*

F

ΙΣΤΟΡΙΑ ΑΝΝΙΒΑΙΚΗ.

---

2 προίεσθαι Reiske προσ— Pol 6 ἀδικήματος C (aus III 8, 1) 8 συνεργούς Hultsch ἐπέταττον Hultsch ἐπαιτεον A ἐπετέον B ἐπαιτητέον N ἀπήιτουν CDE 19 ⟨μίαν⟩ τῶν Kaibel

## 180. UNBESTIMMBARE HANNIBALHISTORIKER.

F

1 (—) POLYB. III 6, 1: *ἔνιοι δὲ τῶν συγγεγραφότων τὰς κατ'* a. 219/8
*Ἀννίβαν πράξεις, βουλόμενοι τὰς αἰτίας ἡμῖν ὑποδεικνύναι δι' ἃς Ῥωμαίοις καὶ Καρχηδονίοις ὁ προειρημένος ἐνέστη πόλεμος, πρώτην μὲν ἀποφαίνουσι τὴν Ζακάνθης πολιορκίαν ὑπὸ Καρχηδονίων,* (2) *δευτέραν δὲ τὴν διάβασιν αὐτῶν παρὰ τὰς συνθήκας τοῦ προσαγορευομένου παρὰ τοῖς ἐγχωρίοις Ἴβηρος ποταμοῦ.* (3) *ἐγὼ δὲ ταύτας ἀρχὰς μὲν εἶναι τοῦ πολέμου φήσαιμ' ἄν, αἰτίας γε μὴν οὐδαμῶς ἂν συγχωρήσαιμι.* ..... (30, 3) *διόπερ εἰ μέν τις τὴν Ζακάνθης ἀπώλειαν αἰτίαν τίθησι τοῦ πολέμου, συγχωρητέον ἀδίκως ἐξενηνοχέναι τὸν πόλεμον Καρχηδονίους κατά τε τὰς ἐπὶ τοῦ Λυτατίου συνθήκας, καθ' ἃς ἔδει τοῖς ἑκατέρων συμμάχοις τὴν ὑφ' ἑκατέρων ὑπάρχειν ἀσφάλειαν, κατά τε τὰς ἐπ' Ἀσδρούβου, καθ' ἃς οὐκ ἔδει διαβαίνειν τὸν Ἴβηρα ποταμὸν ἐπὶ πολέμωι Καρχηδονίους.* (4) *εἰ δὲ τὴν Σαρδόνος ἀφαίρεσιν καὶ τὰ σὺν ταύτηι χρήματα, πάντως ὁμολογητέον εὐλόγως πεπολεμηκέναι τὸν κατ' Ἀννίβαν πόλεμον τοὺς Καρχηδονίους· καιρῶι γὰρ πιεσθέντες ἠμύναντο σὺν καιρῶι τοὺς βλάψαντας.*

2 (—) — III 47, 6: *ἔνιοι δὲ τῶν γεγραφότων περὶ τῆς ὑπερβολῆς ταύτης* (Hannibals Alpenübergang), *βουλόμενοι τοὺς ἀναγινώσκοντας ἐκπλήττειν τῆι περὶ τῶν προειρημένων τόπων παραδοξολογίαι, λανθάνουσιν ἐμπίπτοντες εἰς δύο τὰ πάσης ἱστορίας ἀλλοτριώτατα· καὶ γὰρ ψευδολογεῖν καὶ μαχόμενα γράφειν αὐτοῖς ἀναγκάζονται.* (7) *ἅμα μὲν γὰρ τὸν Ἀννίβαν ἀμίμητόν τινα παρεισάγοντες στρατηγὸν καὶ τόλμηι καὶ προνοίαι, τοῦτον ὁμολογουμένως ἀποδεικνύουσιν ἡμῖν ἀλογιστότατον·* (8) *ἅμα δὲ καταστροφὴν οὐ δυνάμενοι λαμβάνειν οὐδ' ἔξοδον τοῦ ψεύδους, θεοὺς καὶ θεῶν παῖδας εἰς πραγματικὴν ἱστορίαν παρεισάγουσιν.* (9) *ὑποθέμενοι γὰρ τὰς ἐρυμνότητας καὶ τραχύτητας τῶν Ἀλπεινῶν ὀρῶν τοιαύτας ὥστε μὴ οἷον ἵππους καὶ στρατόπεδα, σὺν δὲ τούτοις ἐλέφαντας, ἀλλὰ μηδὲ πεζοὺς εὐζώνους εὐχερῶς ἂν διελθεῖν, ὁμοίως δὲ καὶ τὴν ἔρημον τοιαύτην τινὰ περὶ τοὺς τόπους ὑπογράψαντες ἡμῖν ὥστ', εἰ μὴ θεὸς ἢ τις ἥρως ἀπαντήσας τοῖς περὶ τὸν Ἀννίβαν ὑπέδειξε τὰς ὁδούς, ἐξαπορήσαντας ἂν καταφθαρῆναι πάντας, ὁμολογουμένως ἐκ τούτων εἰς ἑκάτερον τῶν προειρημένων ἁμαρτημάτων ἐμπίπτουσι.* (48) *πρῶτον μὲν γὰρ ἂν τις φανείη στρατηγὸς ἀλογιστότερος Ἀννίβου καὶ σκαιότερος ἡγεμών,* (2) *ὃς τοσούτων ἡγούμενος δυνάμεων καὶ τὰς μεγίστας ἐλπίδας ἔχων ἐν τούτοις τοῦ κατορθώσειν τοῖς ὅλοις, οὔτε τὰς ὁδοὺς οὔτε τόπους, ὡς οὗτοί φασιν, οὔτε ποῦ πορεύεται τὸ παράπαν οὔτε πρὸς τίνας ἐγίνωσκε.* (3) *τὸ δὲ πέρας, οὐδ' εἰ καθόλου [τοὐναντίον] δυνατοῖς ἐπιβάλλεται πράγμασιν;* (4) *ἀλλ' ὅπερ οἱ τοῖς ὅλοις ἐπταικότες καὶ κατὰ πάντα τρόπον ἐξαποροῦντες οὐχ ὑπομένουσιν, ὥστ' εἰς ἀπρονοήτους καθιέναι τόπους μετὰ δυνάμεως, τοῦτο περιτιθέασιν οἱ συγγραφεῖς Ἀννίβαι τῶι τὰς μεγίστας ἐλπίδας ἀκεραίους*

---

5 *πόλεμος ἐνέστη* C *π. ἀνέστη* DE *ὑπέστη π.* M *συνέστη π.* Wunderer *πρώτην* R$^{a}$ *πρῶτον* AM 10 *ἀπώλειαν* ⟨*καὶ τὴν τοῦ Ἴβηρος ποταμοῦ διάβασιν*⟩ *αἰτίας* Hesselbarth; Faltin 11 *λουτατίου* ARN 12 *ἀφ' ἑκατέρων* Ursinus 13 *ἀσδρούβαν* N 16 *πιεσθέντες* Reiske *πεισθέντες* Pol 25 *καὶ τραχ.* om CDE 27 *τινὰ* Casaubonus *ἃ* Pol 30 *ἂν τις* A(R) *τίς ἂν* Reiske 33 *ποῖ* Naber 34 *οὐδ' εἰ καθόλου* [*τοὐναντίον*] Bekker *οὔτι* ADE *οὐ τοι* BC *οὐ τοῖς κατὰ λόγον τοὐναντίον ὀ ἀδυνάτοις* Anon Reg

ἔχοντι περὶ τῶν καθ' αὐτὸν πραγμάτων. (5) ὁμοίως δὲ καὶ τὰ περὶ τῆς ἐρημίας, ἔτι δ' ἐρυμνότητος καὶ δυσχωρίας τῶν τόπων ἐκόμπαζον ποιεῖ τὸ ψεῦδος αὐτῶν· (6) οὐχ ἱστορήσαντες γὰρ ὅτι συμβαίνει τοὺς Κελτοὺς τοὺς παρὰ τὸν Ῥοδανὸν ποταμὸν οἰκοῦντας οὐχ ἅπαξ οὐδὲ δὶς πρὸ τῆς Ἀννίβου παρουσίας, οὐδὲ μὴν πάλαι προσφάτως δέ, μεγάλοις στρατοπέδοις ὑπερβάντας τὰς Ἄλπεις παρατετάχθαι μὲν Ῥωμαίοις συνηγωνίσθαι δὲ Κελτοῖς τοῖς τὰ περὶ τὸν Πάδον πεδία κατοικοῦσι .... (7) πρὸς δὲ τούτοις οὐκ εἰδότες ὅτι πλεῖστον ἀνθρώπων φῦλον κατ' αὐτὰς οἰκεῖν συμβαίνει τὰς Ἄλπεις ... ἥρῳ τινά φασιν ἐπιφανέντα συνυποδεῖξαι τὰς ὁδοὺς αὐτοῖς. (8) ἐξ ὧν εἰκότως ἐμπίπτουσιν εἰς τὸ παραπλήσιον τοῖς τραγωιδιογράφοις .....

3 (—) POLYB. VII 7: ὅτι τινὲς τῶν λογογράφων τῶν ὑπὲρ τῆς καταστροφῆς τοῦ Ἱερωνύμου γεγραφότων πολύν τινα πεποίηνται λόγον καὶ πολλήν τινα διατέθεινται τερατείαν, ἐξηγούμενοι μὲν τὰ πρὸ τῆς ἀρχῆς αὐτοῖς γενόμενα σημεῖα καὶ τὰς ἀτυχίας τὰς Συρακοσίων, (2) τραγωιδοῦντες δὲ τὴν ὠμότητα τῶν τρόπων καὶ τὴν ἀσέβειαν τῶν πράξεων, ἐπὶ δὲ πᾶσι τὸ παράλογον καὶ τὸ δεινὸν τῶν περὶ τὴν καταστροφὴν αὐτοῦ συμβάντων, ὥστε μήτε Φάλαριν μήτ' Ἀπολλόδωρον μήτ' ἄλλον μηδένα γεγονέναι τύραννον ἐκείνου πικρότερον. (3) καί(τοι) παῖς παραλαβὼν τὴν ἀρχήν, εἶτα μῆνας οὐ πλείω τριῶν καὶ δέκα βιώσας μετήλλαξεν τὸν βίον. (4) κατὰ δὲ τὸν χρόνον τοῦτον ἕνα μέν τινα καὶ δεύτερον ἐστρεβλῶσθαι καί τινας τῶν φίλων καὶ τῶν ἄλλων Συρακοσίων ἀπεκτάνθαι δυνατόν, ὑπερβολὴν δὲ γεγονέναι παρανομίας καὶ παρηλλαγμένην ἀσέβειαν οὐκ εἰκός. (5) καὶ τῶι μὲν τρόπωι διαφερόντως εἰκαῖον αὐτὸν γεγονέναι καὶ παράνομον φατέον, οὐ μὴν εἴς γε σύγκρισιν ἀκτέον οὐδενὶ τῶν προειρημένων τυράννων. (6) ἀλλά μοι δοκοῦσιν οἱ τὰς ἐπὶ μέρους γράφοντες πράξεις, ἐπειδὰν ὑποθέσεις εὐπεριλήπτους ὑποστήσωνται καὶ στενάς, πτωχεύοντες πραγμάτων ἀναγκάζεσθαι τὰ μικρὰ μεγάλα ποιεῖν καὶ περὶ τῶν μηδὲ μνήμης ἀξίων πολλούς τινας διατίθεσθαι λόγους. a. 215,4

4 (—) — IX 24, 8: τούτου δὲ τἀνδρὸς (sc. Ἀννίβα τοῦ Μονομάχου ἐπικαλουμένου) εἶναί φασιν ἔργα καὶ τὰ κατὰ τὴν Ἰταλίαν εἰς Ἀννίβαν ἀναφερόμενα περὶ τῆς ὠμότητος, οὐχ ἧττον δὲ καὶ τῶν περιστάσεων.

5 (—) — X 2: ὅτι μέλλοντες ἱστορεῖν τὰ πραχθέντα Ποπλίωι κατὰ τὴν Ἰβηρίαν, συλλήβδην δὲ πάσας τὰς κατὰ τὸν βίον ἐπιτελεσθείσας αὐτῶι πράξεις, ἀναγκαῖον ἡγούμεθα τὸ προεπιστῆσαι τοὺς ἀκούοντας ἐπὶ τὴν αἵρεσιν καὶ φύσιν τἀνδρός. ..... (5) οἱ μὲν οὖν ἄλλοι πάντες αὐτὸν ἐπιτυχῆ τινα καὶ τὸ πλεῖον αἰεὶ παραλόγως καὶ ταὐτομάτωι κατορθοῦντα τὰς ἐπιβολὰς παρεισάγουσι, (6) νομίζοντες ὡς ἂν εἰ θειοτέρους εἶναι καὶ θαυμαστοτέρους τοὺς τοιούτους ἄνδρας τῶν κατὰ λόγον ἐν ἑκάστοις πραττόντων ..... (8) ἐμοὶ δὲ δοκεῖ Πόπλιος Λυκούργωι ..... παραπλησίαν ἐσχηκέναι φύσιν καὶ προαίρεσιν. (9) οὔτε γὰρ Λυκοῦργον ἡγητέον δεισιδαιμονοῦντα καὶ πάντα προσέχοντα τῆι Πυθίαι συστήσασθαι τὸ Λακεδαιμονίων πολίτευμα, οὔτε Πόπλιον ἐξ ἐνυπνίων ὁρμώμενον καὶ κληδόνων τηλικαύτην περιποιῆσαι τῆι πατρίδι δυναστείαν· ἀλλ' ..... (12) ἐνεργαζόμενος αἰεὶ δόξαν τοῖς πολλοῖς ὡς μετά τινος θείας ἐπιπνοίας ποιού- a. 211

13 αὐτοῖς 'Syracusanis scilicet ... prodit epitomatoris manum' Hultsch αὐτῆς Reiske αὐτῶι Schweighäuser 15 τῶν δεινῶν Suid 17 καίτοι Valesius καὶ Pol 18 καιδέκα P ἢ δώδεκα Suid βιώσας P ζήσας Suid βασιλεύσας Reiske

μενος τὰς ἐπιβολάς, εὐθαρσεστέρους καὶ προθυμοτέρους κατεσκεύαζε τοὺς ὑποταττομένους πρὸς τὰ δεινὰ τῶν ἔργων. ..... (Scipios überlegungen vor dem angriff auf Neukarthago 7, 1—9, 1). τούτοις δὲ τοῖς ἐκλογισμοῖς ὁμολογοῦντες οἱ συγγραφεῖς, ὅταν ἐπὶ τὸ τέλος ἔλθωσι τῆς πράξεως, οὐκ οἶδ' ὅπως οὐκ εἰς τὸν ἄνδρα καὶ τὴν τούτου πρόνοιαν, εἰς δὲ τοὺς θεοὺς καὶ τὴν τύχην ἀναφέρουσι τὸ γεγονὸς κατόρθωμα, καὶ ταῦτα χωρὶς τῶν εἰκότων καὶ τῆς τῶν συμβεβιωκότων μαρτυρίας καὶ διὰ τῆς ἐπιστολῆς τῆς πρὸς Φίλιππον αὐτοῦ τοῦ Πομπείου σαφῶς ἐκτεθεικότος (232) ὅτι τούτοις τοῖς ἐκλογισμοῖς χρησάμενος .... καθόλου τε τοῖς ἐν Ἰβηρίαι πράγμασιν ἐπιβάλοιτο καὶ κατὰ μέρος τῆι τῆς Καρχηδόνος πολιορκίαι. ..... (11, 4) ὁ δὲ περίβολος τῆς πόλεως οὐ πλείω εἴκοσι σταδίων ὑπῆρχε τὸ πρότερον· καίτοι γ' οὐκ ἀγνοῶ διότι πολλοῖς εἴρηται τετταράκοντα· τὸ δ' ἐστὶ ψεῦδος ....

---

## 181. HANNIBAL.

s. 189/8

*⟨ΠΡΟΣ ΡΟΔΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.⟩*

1 Cornel. Nepos Hann. 13, 2: *atque hic tantus vir tantisque bellis districtus nonnihil temporis tribuit litteris. namque aliquot eius libri sunt, Graeco sermone confecti; in iis ad Rhodios de Cn. Manlii Volsonis in Asia rebus gestis* (189—188 a. Chr.).

---

## —. BATON VON SINOPE.

s. 215—214

*ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΙΕΡΩΝΥΜΟΥ ΤΥΡΑΝΝΙΔΟΣ.*

s. III u. Persien.

17 *iis* R *his* rell *C* M *Manlii* om R *Volsonis* u *Volonis* A B P R *Valonis* M

---

# 1) GESCHICHTE DER JAHRHUNDERTE II—I BIS AUF AUGUSTUS.

## 182. IASON VON KYRENE.

a. 167/6 — 161/0?

T

1 (Script. Alex. M. p. 161) II MACCAB. 2, 19: *τὰ δὲ κατὰ τὸν Ἰούδαν τὸν Μακκαβαῖον καὶ τοὺς τούτου ἀδελφοὺς καὶ τὸν τοῦ ἱεροῦ τοῦ μεγίστου καθαρισμὸν* (164) *καὶ τὸν τοῦ βωμοῦ ἐγκαινισμόν,* (20) *ἔτι τε τοὺς πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ* (175—164) *καὶ τὸν τούτου υἱὸν Εὐπάτορα* (164—162) *πολέμους* (21) *καὶ τὰς ἐξ οὐρανοῦ γενομένας ἐπιφανείας τοῖς ὑπὲρ τοῦ Ἰουδαισμοῦ φιλοτίμως ἀνδραγαθήσασιν, ὡς τὴν ὅλην χώραν ὀλίγους ὄντας λεηλατεῖν καὶ τὰ βάρβαρα πλήθη διώκειν* (22) *καὶ τὸ περιβόητον καθ' ὅλην τὴν οἰκουμένην ἱερὸν ἀνακομίσασθαι καὶ τὴν πόλιν ἐλευθερῶσαι καὶ τοὺς μέλλοντας καταλύεσθαι νόμους ἐπανορθῶσαι, τοῦ Κυρίου μετὰ πάσης ἐπιεικείας ἵλεω γενομένου αὐτοῖς,* (23) *ὑπὸ Ἰάσωνος τοῦ Κυρηναίου δεδηλωμένα διὰ πέντε βιβλίων, πειρασόμεθα δι' ἑνὸς συντάγματος ἐπιτιμεῖν.* (24) *συνορῶντες γὰρ τὸ χύμα τῶν ἀριθμῶν καὶ τὴν οὖσαν δυσχέρειαν τοῖς θέλουσιν εἰσκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διηγήμασιν διὰ τὸ πλῆθος τῆς ὕλης,* (25) *ἐφροντίσαμεν τοῖς μὲν βουλομένοις ἀναγινώσκειν ψυχαγωγίαν, τοῖς δὲ φιλοφρονοῦσιν εἰς τὸ διὰ μνήμης ἀναλαβεῖν εὐκοπίαν, πᾶσιν δὲ τοῖς ἐντυγχάνουσιν ὠφέλειαν.* ..... (28) *τὸ μὲν διακριβοῦν περὶ ἑκάστων τῶι συγγραφεῖ παραχωρήσαντες, τὸ δὲ ἐπιπορεύεσθαι τοῖς ὑπογραμμοῖς τῆς ἐπιτομῆς ἀτονοῦντες* .... (30) *τὸ μὲν ἐμβατεύειν καὶ περίπατον ποιεῖσθαι λόγωι καὶ πολυπραγμονεῖν ἐν τοῖς κατὰ μέρος τῶι τῆς ἱστορίας ἀρχιγενέτηι καθήκει·* (31) *τὸ δὲ σύντομον τῆς λέξεως μεταδιώκειν καὶ τὸ ἐξεργαστικὸν τῆς πραγματίας παραιτεῖσθαι τῶι τὴν μετάφρασιν ποιουμένωι συγχωρητέον.*

F

*TA KATA IOYΔAN TON MAKKABAION* (?) *Ā—Ē.*

---

10 ὥστε V  14 ὑπὸ: κατὰ τὰ V

## 183. CAECILIUS VON KALEAKTE.

(s. 140—71)

T

1 SUID. s. Καικίλιος· Σικελιώτης Καλακτῖνος (Καλάκτη δὲ πόλις Σικελίας)· ῥήτωρ, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τοῦ Σεβαστοῦ Καίσαρος † καὶ ἕως Ἀδριανοῦ καὶ † ἀπὸ δούλων, ὥς τινες ἱστορήκασι. καὶ πρότερον μὲν καλούμενος Ἀρχάγαθος, τὴν δὲ δόξαν Ἰουδαῖος. βιβλία δὲ αὐτοῦ πολλά· Κατὰ Φρυγῶν δύο· (ἔστι δὲ κατὰ στοιχεῖον ἀπόδειξις τοῦ εἰρῆσθαι πᾶσαν λέξιν)· Καλλιρρημοσύνης (ἔστι δὲ ἐκλογὴ λέξεων κατὰ στοιχεῖον)· Σύγκρισις Δημοσθένους καὶ Κικέρωνος· Τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ· Περὶ τοῦ χαρακτῆρος τῶν δέκα ῥητόρων· Σύγκρισις Δημοσθένους καὶ Αἰσχίνου· Περὶ Δημοσθένους, ποῖοι αὐτοῦ γνήσιοι λόγοι καὶ ποῖοι νόθοι· Περὶ τῶν καθ' ἱστορίαν ἢ παρ' ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι· καὶ ἄλλα πλεῖστα.

2 a) — s. Ἑρμαγόρας· .... ἐπαίδευσε δὲ οὗτος μετὰ Καικιλίου ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Αὐγούστου. b) — s. Τιμαγένης· ... ἐσοφίστευσεν ἐν Ῥώμῃ || ἐπί τε αὐτοῦ Πομπηίου καὶ μετ' αὐτόν, || ἐπί τε Καίσαρος τοῦ Αὐγούστου καὶ μετέπειτα ἅμα Καικιλίῳ.

3 DION. HAL. πρ. Πομπ. Γεμ. 3, 20: ἐμοὶ μέντοι καὶ τῶι φιλτάτωι Καικιλίωι.

F

*ΠΕΡΙ ΤΩΝ ΔΟΥΛΙΚΩΝ ΠΟΛΕΜΩΝ.*

1 (III 330, 1) ATHEN. VI 104 p. 272 F: *οὗτος δ' ἦν ὁ καιρὸς ὅτε καὶ ἐν Σικελίαι ἡ δευτέρα τῶν δούλων ἐπανάστασις ἐγένετο. πολλαὶ δὲ αἵται ἐγένοντο, καὶ ἀπώλοντο οἰκετῶν ὑπὲρ τὰς ἑκατὸν μυριάδας. (σύγγραμμα δὲ ἐκδέδωκε περὶ τῶν δουλικῶν πολέμων Καικίλιος ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς Ἀκτῆς). καὶ Σπάρτακος δὲ ὁ μονομάχος ἐκ Καπύης πόλεως Ἰταλικῆς ἀποδρὰς κατὰ τὰ Μιθριδατικὰ πολὺ πλῆθος ἀποστήσας οἰκετῶν — ἦν δὲ καὶ αὐτὸς οἰκέτης, θρᾴξ γένος — κατέδραμε πᾶσαν Ἰταλίαν χρόνον οὐκ ὀλίγον, πολλῶν δούλων καθ' ἑκάστην ἡμέραν συρρεόντων ὡς αὐτόν· καὶ εἰ μὴ ἀπέθανεν ἐν τῇι πρὸς Λικίννιον Κράσσον παρατάξει, οὐ τὸν τυχόντα ἂν ἰδρῶτα τοῖς ἡμεδαποῖς παρεσχήκει, ὡς ὁ κατὰ τὴν Σικελίαν Εὔνους.*

*ΠΕΡΙ ΙΣΤΟΡΙΑΣ.*

2 (2) ATHEN. XI 15 p. 466 A: *Καικίλιος δὲ ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς Ἀκτῆς ἐν τῶι Περὶ Ἱστορίας Ἀγαθοκλέα φησὶ τὸν τύραννον ἐκπώματα*

---

3 κεκίλιος A Καλακτῖνος· Καλάκτη Holste (F 1; 2) Καλαντιανός· Κάλαντις Suid (vgl. 175 F 4) 4—5 ⟨ἦν δὲ⟩ καὶ ἀπὸ δ. mit eingedrungener randnotiz ἕως Ἀδριανοῦ? 6—7 κατὰ Φρυγῶν $\overline{β}$· ἀποδείξεις τοῦ εἰρῆσθαι (εὑρέσθαι Nitzsch) π. λ. κ. (ἔστι δὲ κατὰ στοιχεῖον) Eudok [ἔστι — καλλιρημοσύνης] ἔτι δὲ Ἐκλογὴ κτλ. o. [ἔστι — στοιχεῖον] Kuester κατὰ Φρ. $\overline{β}$· ⟨titel des lexikons⟩ ἔστι δὲ — λέξιν ⟨τοῖς ῥήτορσι?⟩· Καλλιρρημοσύνης ⟨buchzahl⟩, ἔστι — στοιχεῖον o. ä. Brzoska Κατὰ Φρυγῶν — Καλλιρρημοσύνης * (buchzahl) Ofenloch 12 κεκιλίου A 14—15 Ποιμπηίου — Καικιλίωι s. 88 T 1 15 κεκιλίωι Suid 22 δὲ Kaibel τε A 24 Μιθριδατικὰ Casaubonus μίθρια ἀττικὰ A 25 τὸ γένος C

χρυσᾶ ἐπιδεικνύντα τοῖς ἑταίροις φάσκειν, ἐξ ὧν ἐκεράμευσε κατεσκευακέναι ταῦτα.

*ΠΕΡΙ ΤΩΝ ΚΑΘ ΙΣΤΟΡΙΑΝ Η ΠΑΡ ΙΣΤΟΡΙΑΝ ΕΙΡΗΜΕΝΩΝ ΤΟΙΣ ΡΗΤΟΡΣΙ.*

## 184. METRODOROS VON SKEPSIS.

a. 97 ff.?

T

1 DIOG. LAERT. V 84: *οὗτος* (sc. *Δημήτριος Σκήψιος*) *καὶ Μητρόδωρον προεβίβασε τὸν πολίτην.*

2 STRABON XIII 1, 55: *ἐκ δὲ τῆς Σκήψεως καὶ ὁ Δημήτριός ἐστιν ... καὶ μετὰ τοῦτον Μητρόδωρος, ἀνὴρ ἐκ τοῦ φιλοσόφου μεταβεβληκὼς ἐπὶ τὸν πολιτικὸν βίον καὶ ῥητορεύων τὸ πλέον ἐν τοῖς συγγράμμασιν. ἐχρήσατο δὲ φράσεώς τινι χαρακτῆρι καινῶι καὶ κατεπλήξατο πολλούς, διὰ δὲ τὴν δόξαν ἐν Χαλκηδόνι γάμου λαμπροῦ πένης ὢν ἔτυχε καὶ ἐχρημάτιζε Χαλκηδόνιος. Μιθριδάτην δὲ θεραπεύσας τὸν Εὐπάτορα συναπῆρεν εἰς τὸν Πόντον ἐκείνωι μετὰ τῆς γυναικὸς καὶ ἐτιμήθη διαφερόντως, ταχθεὶς ἐπὶ τῆς δικαιοδοσίας, ἀφ' ἧς οὐκ ἦν τῶι κριθέντι ἀναβολὴ τῆς δίκης ἐπὶ τὸν βασιλέα. οὐ μέντοι διηυτύχησεν, ἀλλ' ἐμπεσὼν εἰς ἔχθραν ἀδικωτέρων ἀνθρώπων ἀπέστη τοῦ βασιλέως κατὰ τὴν πρὸς Τιγράνην τὸν Ἀρμένιον πρεσβείαν· ὁ δ' ἄκοντα ἀνέπεμψεν αὐτὸν τῶι Εὐπάτορι, φεύγοντι ἤδη τὴν προγονικήν. κατὰ δὲ τὴν ὁδὸν κατέστρεψε τὸν βίον, εἴθ' ὑπὸ τοῦ βασιλέως εἴθ' ὑπὸ νόσου· λέγεται γὰρ ἀμφότερα.*

3 PLUTARCH. Lucull. 22, 1—5: *Τιγράνης δὲ Μιθριδάτην πρότερον μὲν οὐδὲ ἰδεῖν ἠξίωσεν οὐδὲ προσειπεῖν οἰκεῖον ἄνδρα βασιλείας ἐκπεπτωκότα τηλικαύτης, ἀλλ' ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσεροῖς· τότε δὲ* (nach abweisung von Lucullus' auslieferungsforderung a. 71/0) *σὺν τιμῆι καὶ φιλοφροσύνηι μετεπέμψατο αὐτόν. καὶ δὴ λόγων [εἰς τὰ βασίλεια] γενομένων ἀπορρήτων τὰς πρὸς ἀλλήλους ἐθεράπευον ὑποψίας ἐπὶ κακῶι τῶν φίλων εἰς ἐκείνους τὰς αἰτίας τρέποντες. ὧν ἦν καὶ Μητρόδωρος ὁ Σκήψιος, ἀνὴρ εἰπεῖν οὐκ ἀδὴς καὶ πολυμαθής, ἀκμῆι δὲ φιλίας τοσαύτηι χρησάμενος, ὥστε πατὴρ προσαγορεύεσθαι τοῦ βασιλέως. τοῦτον, ὡς ἔοικεν, ὁ Τιγράνης πεμφθέντα πρεσβευτὴν ὑπὸ τοῦ Μιθριδάτου πρὸς αὐτὸν δεομένου βοηθεῖν ἐπὶ Ῥωμαίους ἤρετο· 'σὺ δ' αὐτός, ὦ Μητρόδωρε, τί μοι*

11 [*ἐν τοῖς σ.*] Blass 12 *κατέπληξε* dett *κατέπληξε τοὺς π.* Corais . 16 *καὶ ἐπὶ* F *ἀφ' ἧς* Cas(aubonus) *ἐφ' ἧς* Str *ἀναβολὴ* Cas *βουλὴ* Str 19 *ἄκων*? 19—20 *e paterno regno fugienti* Guar 27 [*αὐτόν*] Lindskog [*εἰς τὰ β.*] *ο. αὐτὸν εἰς τὰ β.· καὶ δὴ λ. γ.* Solanus

*περὶ τούτων παραινεῖς;' κἀκεῖνος, εἴτε πρὸς τὸ Τιγράνου συμφέρον εἴτε Μιθριδάτην σώζεσθαι μὴ βουλόμενος, ὡς μὲν πρεσβευτὴς ἔφη κελεύειν, ὡς δὲ σύμβουλος ἀπαγορεύειν. ταῦτ' ἐξήνεγκεν ὁ Τιγράνης τῶι Μιθριδάτηι καὶ κατεῖπεν ὡς οὐδὲν ἐργασομένωι τὸν Μητρόδωρον ἀνήκεστον· ὁ δ' εὐθὺς ἀνήιρητο. καὶ μετάνοια τὸν Τιγράνην εἶχεν, οὐ παντελῶς ὄντα τῶι Μητροδώρωι τῆς συμφορᾶς αἴτιον, ἀλλὰ ῥοπήν τινα τῶι πρὸς αὐτὸν ἔχθει τοῦ Μιθριδάτου προσθέντα· πάλαι γὰρ ὑπούλως εἶχε πρὸς τὸν ἄνδρα, καὶ τοῦτ' ἐφωράθη τῶν ἀπορρήτων αὐτοῦ γραμμάτων ἁλόντων, ἐν οἷς ἦν καὶ Μητρόδωρον ἀπολέσθαι διατεταγμένον. ἔθαψεν οὖν ὁ Τιγράνης λαμπρῶς τὸ σῶμα μηδεμιᾶς πολυτελείας φεισάμενος εἰς νεκρὸν ὃν ζῶντα προὔδωκεν.*

4 a) Cicero De or. I 45: *audivi enim* (sc. Crassus) *summos homines, cum quaestor ex Macedonia venissem Athenas* (vor 107 a. Chr.), *florente Academia, ut temporibus illis ferebatur, cum eam Charmadas et Clitomachus et Aeschines obtinebant; erat etiam Metrodorus, qui cum illis una ipsum illum Carneadem diligentius audierat, hominem omnium in dicendo, ut ferebant, acerrimum et copiosissimum.* b) — II 365: *sed tamen audivi, ut heri dicebam, et Athenis cum essem, doctissimos viros et in Asia istum ipsum Scepsium Metrodorum* (T 5) .... c) — III 75: *quaestor in Asia cum essem, aequalem fere meum ex Academia rhetorem nactus, Metrodorum illum, de cuius memoria commemoravit Antonius* (T 5); *et inde decedens Athenis* .....

5 a) — — II 360: *vidi enim ego* (sc. Antonius a. 103/2?) *summos homines et divina prope memoria, Athenis Charmadam, in Asia, quem vivere hodie* (a. 91) *aiunt, Scepsium Metrodorum, quorum uterque tamquam litteris in cera, sic se aiebat imaginibus in eis locis, quos haberet, quae meminisse vellet, perscribere.* b) — Tusc. I 59: *quanta* (sc. memoria fuerit) *nuper Charmadas; quanta, qui modo fuit, Scepsius Metrodorus.* c) Plin. NH VII 89: *ars postremo eius rei facta et inventa est a Simonide melico, consummata a Metrodoro Scepsio, ut nihil non iisdem verbis redderetur auditum.* Quintilian. Inst. X 6, 4; XI 2, 22. 26.

6 a) Plin. NH XXXIV 34: *Metrodorus Scepsius, cui cognomen a Romani nominis odio inditum est* (F 12). b) Ovid. ex. P. IV 14, 37—40: *non loca, sed mores scriptis vexavit amaris Scepsius Ausonios, actaque Roma rea est: falsa tamen passa est aequa convicia mente, obfuit auctori nec fera lingua suo.*

7 a) Plin. NH I 3: ... *situus, gentes ... ex .... Theopompo* (§ 57; 98) *Metrodoro Scepsio* (§ 122 = F 8), *Callicrate* (—) ..... *Timagene* (§ 132) b) — I 7: *ex .... Xenagora* (§ 208), *Metrodoro Scepsio* (§ 89 = T 5 c), *Anticlide* (§ 193), *Critodemo* (§ 193). c) — I 28: ... *medicinae ex animalibus ... ex ... Aristotele* (§ 54; 74) *Metrodoro Scepsio* (§ 78 = F 11), *Hicetida medico* (§ 83) ..... d) — I 34: *ex*

14 *ferebatur* m *ferebat* M *ferebant* L 30 *sui* VR 31 *a* om VR *romanis* B

... *externis Democrito* (—), *Metrodoro Scepsio* (§ 34 = F 12), *Menaechmo qui de toreutice scripsit.*

8 **a)** PLIN. NH I 4: *ex .... Metrodoro* (—), *Cleobulo* (—), *Posidonio* (—). **b)** — I 5: *ex ... Alexandro Polyhistore* (—), *Metrodoro* (§ 136 = F 9), *Posidonio qui περίπλουν* (—) ... **c)** — I 6: *ex ... Amometo* (§ 55), *Metrodoro* (—), *Posidonio* (§ 57). **d)** — I 37: *ex ... Zenothemi* (§ 34), *Metrodoro* (F 13—15) *Sotaco* (§ 35) .....

## F

## *ΤΑ ΠΕΡΙ ΤΙΓΡΑΝΗΝ.*

### *Ā*

(F 7; 10? 11? 18?)

1 (III 204, 1) SCHOL. APOLL. RHOD. IV 131: *Μητρόδωρος δὲ ἐν πρώτωι Τῶν περὶ Τιγράνην τὸν Θερμώδοντα Ἀράξην φησὶ λέγεσθαι.* s. F 7.

### *ΠΕΡΙ ΙΣΤΟΡΙΑΣ* (?).

### *Ā*

2 (2) SCHOL. APOLL. RHOD. IV 834: *περὶ τὸν πορθμὸν ἐν τῆι θαλάσσηι πυρὸς ἀναφυσήματα γίνεται, ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι, ὡς φησι καὶ Μητρόδωρος ἐν πρώτωι Περὶ ἱστορίας (?). Θεόφραστος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν* (IV) *φησι τὸν βρόμον τὸν ἀπὸ τῶν Αἰόλου νήσων ἀκούεσθαι ἕως ᾱ σταδίων· περὶ Ταυρομένιον γοῦν ἀκούεσθαι βροντῆι παραπλήσιον ψόφον.*

### *ΠΕΡΙ ΣΥΝΗΘΕΙΑΣ Ā.*

3 (13) ATHEN. IX 45 p. 391 D: *καὶ Μητρόδωρος δ' ἐν τῶι Περὶ συνηθείας ἀντορχουμένους φησὶν ἁλίσκεσθαι τοὺς σκῶπας.*

4 (—) SCHOL. NIKAND. Ther. 613: *καὶ Μητρόδωρος ἐν τῶι Περὶ συνηθείας ἀρχαιότατον εἶναί φησι φυτὸν τὴν μυρίκην καὶ τοὺς Αἰγυπτίους ἐν τῆι τοῦ Διὸς πομπῆι ἐστεφανῶσθαι μυρίκηι καὶ παρὰ Μήδοις τοὺς μάγους.*

5 (12) STRABON XVI 4, 16: *γίγνονται* (sc. am arabischen meerbusen) *δέ, φησί* (sc. Ἀρτεμίδωρος V), *καὶ σφίγγες καὶ κυνοκέφαλοι καὶ κῆβοι, λέοντος μὲν πρόσωπον ἔχοντες τὸ δὲ λοιπὸν σῶμα πάνθηρος, μέγεθος δὲ δορκάδος· καὶ ταῦροι δ' εἰσὶν ἄγριοι καὶ σαρκοφάγοι .... κροκούττας δ' ἐστὶ μῖγμα λύκου καὶ κυνός, ὥς φησιν οὗτος. ἃ δ' ὁ Σκήψιος λέγει Μητρόδωρος ἐν τῶι Περὶ συνηθείας βιβλίωι μύθοις ἔοικε καὶ οὐ φροντιστέον αὐτῶν. καὶ δρακόντων δ' εἰρηκε μεγέθη τριάκοντα πηχῶν ὁ Ἀρτεμίδωρος, ἐλέφαντας καὶ ταύρους χειρουμένων, μετριάσας ταύτηι γε· οἱ γὰρ Ἰνδικοὶ* (Onesikritos 134 F 16; Megasthenes u. F 10) *μυθωδέστεροι καὶ οἱ Λιβυκοί, οἷς γε καὶ πόα ἐπιπεφυκέναι λέγεται* (Hypsikrates 190 F 9).

---

18 *ἱστορίας καὶ Θ. ἐν Ἰ. Υ. καί φησι* L *Περὶ ἱστορίας*: 'titulus vereor ne mancus vel corruptus sit' CMueller *Περιηγήσεως*? Keil *Περὶ ⟨παραδόξου⟩ ο. ⟨Τιγράνου⟩ ἱστορίας*? 20 *ἀκούεσθαι ἕως χίλια στάδια* f p *καίεσθαι ἕως ἑνὸς σταδίου* L 29 *κῆποι* C *κῆτοι* F mg¹ 36 *πόα* Tschucke *ποῖα* Str

*ΠΕΡΙ ΑΛΕΙΠΤΙΚΗΣ.*

*Β*

6 (14) ATHEN. XII 77 p. 552 CD: *Μητρόδωρος δ' ὁ Σκήψιος ἐν δευτέρωι Περὶ Ἀλειπτικῆς Ἱππώνακτα τὸν ποιητὴν οὐ μόνον μικρὸν γενέσθαι τὸ σῶμα, ἀλλὰ καὶ λεπτόν, ἀκρότονον δ' οὕτως ὡς πρὸς τοῖς ἄλλοις καὶ κενὴν λήκυθον βάλλειν μέγιστόν τι διάστημα, τῶν ἐλαφρῶν σωμάτων διὰ τὸ μὴ δύνασθαι τὸν ἀέρα τέμνειν οὐκ ἐχόντων βιαίαν τὴν φοράν.*

**Ohne Buchtitel.**

7 (4) STRABON XI 5, 1: (188 F 4) *ἄλλοι δέ, ὧν καὶ ὁ Σκήψιος Μητρόδωρος καὶ Ὑψικράτης* (190 F 3), *οὐδὲ αὐτοὶ ἄπειροι τῶν τόπων γεγονότες, Γαργαρεῦσιν ὁμόρους αὐτὰς* (sc. *τὰς Ἀμαζόνας*) *οἰκεῖν φασιν ἐν ταῖς ὑπωρείαις ταῖς πρὸς ἄρκτον τῶν Καυκασίων ὀρῶν, ἃ καλεῖται Κεραύνια.*

8 (8) PLIN. NH III 122: *pudet a Graecis Italiae rationem mutuari: Metrodorus tamen Scepsius dicit, quoniam circa fontem* (sc. Padi) *arbor multa sit picea, quales Gallice vocentur padi, hoc nomen accepisse, Ligurum quidem lingua amnem ipsum Bodincum vocari, quod significet fundo carentem. cui argumento adest oppidum iuxta Industria vetusto nomine Bodincomagum, ubi praecipua altitudo incipit.* s. F 13.

9 (7) — — V 136: *Chios libera, quam Aethaliam Ephorus* (70 F 165) *prisco nomine appellat, Metrodorus et Cleobulus* (VI) *Chiam a Chione nympha, aliqui a nive, et Macrim et Pityusam.*

10 (6) — — VIII 36: *Megasthenes* (III) *scribit in India serpentes in tantam magnitudinem adolescere, ut solidos hauriant cervos taurosque; Metrodorus circa Rhyndacum amnem in Ponto supervolantes ut quamvis alte perniciterque alites haustu raptas absorbeant.*

11 (5) — — XXVIII 78: *quocumque autem alio menstruo si nudatae segetem ambiant, urucas et vermiculos scarabaeosque ac noxia alia decidere. Metrodorus Scepsius in Cappadocia inventum prodit ob multitudinem cantharidum: ire ergo per media arva retectis super clunes vestibus.*

12 (9) — — XXXIV 34: *signa quoque Tuscanica per terras dispersa quin in Etruria factitata sint non est dubium. deorum tantum putarem ea fuisse, ni Metrodorus Scepsius, cui cognonem a Romani*

17 *Bodincum* edd *bodicum* A *bodingum* cett 18 *industriā* AFE 19 *bodincomagum* A (CJL V p. 845) *bodingomagum* cett 22 *macrim* A *macrum*, *—in* cett 25 *shyndacum* $F^1$ ‖ *indicum* $R^1$ 26 [*ut*] Sillig *haustu raptas* $F^2$ $E^2$ *haustus rapta* cett *haustu ut abrej tas* ($R^2$) Jan *ut h. r.* Detlefsen 27 *quoque* R 28 *verrucas* $R^1$ 33 *quin* Detlefsen *quae* Pl *quae* ⟨*quin*⟩ Urlichs *sint* B om cett 34 *ni* BO *enim* RV *ut* a *sui* VR *a* om VR *romanis* B

*nominis odio inditum est, propter M M statuarum Volsinios expugnatos obiceret.*

13 (—) PLIN. NH XXXVII 33: *Philemon* (V) *fossile esse* (sc. electrum) *et in Scythia erui duobus locis* . . . . (34) *Demostratus* (IV) *lyncurium id vocat et fieri ex urina lyncum bestiarum* . . . . . *alios id dicere langurium et esse in Italia bestias languros. Zenothemis* (V) *langas vocat easdem et circa Padum iis vitam adsignat. Sudines* (VI) *arborem, quae gignat in Liguria, vocari lynca. in eadem sententia et Metrodoros fuit.* (35) *Sotacus* (VI) *credidit in Britannia petris effluere, quas electridas vocavit. Pytheas* (V) *Guionibus, Germaniae genti, accoli aestuarium oceani Metuonidis nomine spatio stadiorum sex milium; ab hoc diei navigatione abesse insulam Abalum; illo per ver fluctibus advehi et esse concreti maris purgamentum; incolas pro ligno ad ignem uti eo proximisque Teutonis vendere.* (36) *huic et Timaeus* (III) *credidit, sed insulam Basiliam vocavit. Philemon* . . . . .

14 (11) — — XXXVII 61: *Metrodorus Scepsius in eadem Germaniae Balisia insula nasci* (sc. adamantem), *in qua et sucinum, solus, quod equidem legerim, dicit et praefert Arabicis. quod esse falsum quis dubitet?*

15 (—) — — XXXVII 178: *Paneros qualis sit a Metrodoro non dicitur; sed carmen Timaridis reginae in eam dicatum Veneri non inelegans ponit, ex quo intellegitur adiutam fecunditatem. hanc quidam paneraston vocant. Ponticarum plura sunt genera: est stellata nunc sanguineis nunc auratis guttis, quae inter sacras habetur; alia pro stellis eiusdem coloris lineas habet; alia montium convalliumque effigies.*

16 (7 a) SCHOL. LACTANT. STAT. Theb. III 479: *Branchus Thessalus fuit, dilectus Apollini, ut Hyacinthus, quem acriter interfectum dolens sepulcro et templo sacravit. illinc Branchiades Apollo dicitur. † hoc Zoamachon opinione Metrodori Periegetici condidit ab Aethiopia usque in Libyam tria opinata templa.*

---

1 *CXXX* R 4 *demostratus* L d *demon*— cett 5 *lyncurium* Jan *lyncuria cū* La *lyncum* F *luncu* B 6 *languros* B —*rios* a —*rias* L *longoros* F *gutonibus* cett *Inguaeonibus* Riese *Teutonibus* Muellenhoff *accoli* B —*is* L 8 *vocari lynca* B om cett 9 *patris* a *arbores* L 10 *electrinas* La *guionib*, B 11 *oceani* Gelenius —*no* a *ab oceani* (—*no*) cett *metuonidis* F h d (B fehlt) —*des* a *meconomon* L 12 *nabalum* F h om a 15 *balisiam* L *basiliam* B F d h *Baltiam* Caesarius 17 *Germania* (a) Plin *Germania et* Gelenius *Balisia*: *balista* Pl *Basilia* Harduin *in Baltia* Gelenius 21 *veneri* d h *venire, venere,* *inveniri* cett 23 *paneraston* Sillig *pan(ę)ebaston* Pl 28 *illinc* M *illic, ille* cett 29 *hic* L P *zoamacon* L *zomachon* P$^{b}$ *lomachon* P$^{a}$ *per(h)igetici* M L *p(h)i(li)getici* P$^{a b}$

17 (10) a) SCHOL. LYKOPHR. Al. 697: *Ὅσσα ὄρος Ἰταλίας μέγιστον, ὥς φησι Μητρόδωρος.* b) Tzetz. ebd.: *Κύμη καὶ Ὄσσα ὄρη Ἰταλίας μέγιστα, ὥς φησι Μητρόδωρος.*

## Zweifelhaftes.

18 (3) STEPH. BYZ. s. *Ὕπανις· ποταμὸς καὶ πόλις μεταξὺ τοῦ Πόντου καὶ τῆς Μαιώτιδος λίμνης. Ἀλέξανδρος δ' ὁ Πολυίστωρ* (III) *φησὶν ὅτι ὁ Ὕπανις διχῆι σχιζόμενος τὸ μὲν ἓν μέρος εἰς τὴν Μαιῶτιν λίμνην βάλλει, τὸ δ' ἕτερον εἰς τὸν Πόντον. Μητρόδωρος δ' ἐν ᾧ καὶ κρήνην τινὰ πικρὰν εἰς αὐτὸν ἐγχεῖσθαι καὶ ἄποτον ποιεῖν τὸν ποταμόν.*

---

## 185. L. LICINIUS LUCULLUS. a. 91—66

T

1 (III 297) PLUTARCH. Lukull. 1, 4: *ὁ δὲ Λεύκολλος ἤσκητο καὶ λέγειν ἱκανῶς ἑκατέραν γλῶτταν, ὥστε καὶ Σύλλας τὰς αὑτοῦ πράξεις ἀναγράφων ἐκείνωι προσεφώνησεν ὡς συνταξομένωι καὶ διαθήσοντι τὴν ἱστορίαν ἄμεινον.* (5) *ἦν γὰρ οὐκ ἐπὶ τὴν χρείαν μόνην ἐμμελὴς αὐτοῦ καὶ πρόχειρος ὁ λόγος .... ἀλλὰ καὶ τὴν ἐμμελῆ ταύτην καὶ λεγομένην ἐλευθέριον ἐπὶ τῶι καλῶι προσεποιεῖτο παιδείαν ἔτι καὶ μειράκιον ὤν. ..... (7) περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ ... καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὁρτήσιον τὸν δικολόγον καὶ Σισεννᾶν τὸν ἱστορικὸν ἐκ παιδιᾶς τινὸς εἰς σπουδὴν προελθούσης ὁμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαικόν, εἰς ὅ τι ἂν λάχηι τούτων, τὸν Μαρσικὸν ἐντενεῖν πόλεμον.* (8) *καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι· διασώζεται γὰρ Ἑλληνική τις ἱστορία τοῦ Μαρσικοῦ πολέμου.*

2 CIC. ad. Att. I 19, 10: *commentarium consulatus mei Graece compositum misi ad te. in quo si quid erit quod homini Attico minus Graecum eruditumque videatur, non dicam quod tibi, ut opinor, Panhormi Lucullus de suis historiis dixerat, se quo facilius illas probaret Romani hominis esse idcirco barbara quaedam et sólοικα dispersisse.*

*ΜΑΡΣΙΚΟΣ ΠΟΛΕΜΟΣ.*

---

## —. ALEXANDROS VON EPHESOS. a. 91—88
(BELLI MARSICI LIBRI)

s. V.

---

2—3 ὄρος Ἰτ. μέγιστον Joh Tzetz 8 Ῥρόδωρος V Ἡρόδοτος Meineke 21 ἐντενεῖν Bryan ἐντεμεῖν S ἐκτεμεῖν Y Mus. Brit. 26 *Panhormi*: *pari modo* cod. Add. 6793

## 186. (A. LICINIUS) ARCHIAS VON ANTIOCHEIA.

T

1 (—) CICERO Pro Archia poet. or. 19: *ergo illi alienum* (die griechischen städte den Homer), *quia poeta fuit, post mortem etiam expetunt; nos hunc vivum qui et voluntate et legibus noster est repudiamus, praesertim cum omne olim studium atque omne ingenium contulerit Archias ad populi Romani gloriam laudemque celebrandam? nam et Cimbricas res adulescens attigit et ipsi illi C. Mario qui durior ad haec studia videbatur iucundus fuit.* (20) *neque enim quisquam est tam aversus a Musis qui non mandari versibus aeternum suorum laborum praeconium facile patiatur.* ..... (21) *Mithridaticum vero bellum .... totum ab hoc expressum est, qui libri non modo L. Lucullum ..... verum etiam populi Romani nomen inlustrant.* ..... (23) *nam si quis minorem gloriae fructum putat ex Graecis versibus percipi quam ex Latinis, vehementer errat ....*

2 (—) a) — 28: *nam quas res nos in consulatu nostro ... gessimus, attigit hic versibus atque inchoavit* ..... b) — ad. Att. I 16, 15 (a. 61): *epigrammatis tuis quae in Amaltheo posuisti contenti erimus, praesertim cum et Thyillus nos reliquerit et Archias nihil de me scripserit. ac vereor ne, Lucullis quoniam Graecum poema condidit, nunc ad Caecilianam fabulam spectet.*

F

(KIMBRISCHER KRIEG. MITHRIDATISCHER KRIEG.)

## 187. HERAKLEIDES VON MAGNESIA.

a. 88—64?

T

1 (III 167*) DIOG. LAERT. V 94: *τρισκαιδέκατος* (sc. *Ἡρακλείδης*) *Μάγνης, Μιθριδατικὰ γεγραφώς.*

F

*ΜΙΘΡΙΔΑΤΙΚΑ.*

## 187a. AISOPOS.

T

1 (—) SUID. s. *Αἴσωπος· Μιθριδάτου ἀναγνώστης. ἔγραψε περὶ Ἑλένης* (folgt F 1) ..... *ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.*

F

*ΠΕΡΙ ΕΛΕΝΗΣ.*

1 (—) SUID. s. *Αἴσωπος· ... ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησι Πᾶνα ἰχθῦν καλεῖσθαι κητώδη, ⟨ὅμοιον τῶι Πανὶ κατὰ τὴν ὄψιν⟩· ἐν τούτωι δὲ*

29 *Μιθρ. ἀναγν.* Suid *Μιθρ. ἀναγν. σοφιστής* Eudok *οὐχ ὁ μυθοποιός* Hes(ychios) 29—30 *ἔγραψε — ἐγκ.* om Hes 33 — 919, 3 ⟨ ⟩ erg. aus Phot. bibl. 190 p. 153 b 22 (*Πτολεμαίου τοῦ Ἡφαιστίωνος Καινῆς Ἱστορίας τὸ ζ*) 33 *ἐν ᾧ* Suid *ἔνθα* Hes 33—34 *Πᾶνά φασιν* Ptol(emaios) 34 *κητώδη* Suid Ptol *κυτώδη* Eud 34 — 919, 1 *ἐν τούτωι λέγει Ἀριστοτέλης λίθον εὑρίσκεσθαι* E

τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῶι ἡλίωι ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα. ⟨τοῦτον δὴ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα αὐτὸν τὸν ἰχθῦν τὸν Πᾶνα, καὶ ταύτηι ἐκέχρητο τῆι σφραγῖδι.⟩

*ΜΙΘΡΙΔΑΤΟΥ ΕΓΚΩΜΙΟΝ.*

## —. TEUKROS VON KYZIKOS.

*ΜΙΘΡΙΔΑΤΙΚΩΝ ΠΡΑΞΕΩΝ Ᾱ—Ε̄.*

s. III.

## 188. THEOPHANES VON MYTILENE.

s. 66—64

T

1 STRABON XIII 2, 3: ὕστερον δ' ἐγένετο (sc. ἐκ Λέσβου) χρόνοις πολλοῖς Διοφάνης ὁ ῥήτωρ, καθ' ἡμᾶς δὲ Ποτάμων καὶ Λεσβοκλῆς καὶ Κριναγόρας καὶ ὁ συγγραφεὺς Θεοφάνης. οὗτος δὲ καὶ πολιτικὸς ἀνὴρ ὑπῆρξε καὶ Πομπηίωι τῶι Μάγνωι κατέστη φίλος μάλιστα διὰ τὴν ἀρετὴν ⟨τ⟩αύτην καὶ πάσας συγκατώρθωσεν αὐτῶι τὰς πράξεις. ἀφ' ὧν τήν τε πατρίδα ἐκόσμησε τὰ μὲν δι' ἐκείνου (T 4), τὰ δὲ δι' ἑαυτοῦ (T 10), καὶ ἑαυτὸν πάντων Ἑλλήνων ἐπιφανέστατον ἀνέδειξεν· υἱόν τε ἀπέλιπε Μάρκον Πομπήιον, ὃν τῆς Ἀσίας ἐπίτροπον κατέστησέ ποτε Καῖσαρ ὁ Σεβαστός, καὶ νῦν ἐν τοῖς πρώτοις ἐξετάζεται τῶν Τιβερίου φίλων.

2 — XI 5, 1: Θεοφάνης . . . ὁ συστρατεύσας τῶι Πομπηίωι καὶ γενόμενος ἐν τοῖς Ἀλβανοῖς. s. F 4.

3 a) CIC. pro Arch. 24 (a. 62): *quid? noster hic Magnus . . . nonne Theophanem Mytilenaeum, scriptorem rerum suarum, in contione militum civitate donavit, et nostri illi fortes viri, sed rustici ac milites, dulcedine quadam gloriae commoti quasi participes eiusdem laudis magno illud clamore approbaverunt.* b) VALER. MAX. VIII 14, 3: *ne Pompeius quidem Magnus ab hoc affectu gloriae aversus, qui Theophanem Mytilenaeum, scriptorem — donavit, beneficium per se amplum accurata etiam et testata oratione prosecutus. quo effectum est ut ne quis dubitaret quin referret potius gratiam quam inchoaret.* c) SCRIPT. HIST. AUG. XXI 7, 3: *familiae vetustissimae* (sc. Balbinus), *ut ipse dicebat a Balbo Cornelio Theofane originem ducens, qui per Gnaeum Pompeium civitatem meruerat, cum esset suae patriae nobilissimus idemque historiae scriptor.*

4 a) PLUTARCH. Pomp. 42, 8: καὶ γὰρ εἰς Μιτυλήνην ἀφικόμενος (sc. ὁ Πομ-

14 ταύτην Corais αὐτὴν Str 16 πάντων τῶν D ἀπέδειξεν i υἱ⟨ων⟩όν Meineke Μάρκον: IG XII 2, 237 31 ⟨*et a*⟩ *Theofane* Cichorius; doch s. T 6

πήιος a. 62) τήν τε πόλιν ἠλευθέρωσε διὰ Θεοφάνη καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιητῶν, ὑπόθεσιν μίαν ἔχοντα τὰς ἐκείνου πράξεις. b) Vellei. Pat. II 18, 3: *Mytilenaeorum perfidia ... qui M.' Aquilium aliosque Mithridati vinctos tradiderunt, quibus libertas in unius Theophanis gratiam postea a Pompeio restituta est.*

5 a) Cic. ad Att. II 5, 1 (April 59): *cupio equidem .... Alexandream reliquamque Aegyptum visere .... qua re si quid Θεοφάνης tecum forte contulerit ne omnino repudiaris.* b) — II 17, 3 (Mai 59): *velim ex Theophane expiscere quonam in me animo sit Arabarches.* c) Plutarch. Pomp. 49, 13: *Τιμαγένης* (88 F 9) δὲ καὶ ἄλλως τὸν Πτολεμαῖον (sc. τὸν Αὐλητήν a. 58) οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν φησι καὶ καταλιπεῖν Αἴγυπτον ὑπὸ Θεοφάνους πεισθέντα, πράττοντος Πομπηίοι χρηματισμοὺς καὶ στρατηγίας καινῆς ὑπόθεσιν. (14) ἀλλὰ τοῦτο μὲν οὐκ οὕτως ἡ Θεοφάνους μοχθηρία πιθανόν, ὡς ἄπιστον ἡ Πομπηίου ποιεῖ φύσις, οὐκ ἔχουσα κακόηθες οὐδ' ἀνελεύθερον οὕτω τὸ φιλότιμον.

6 a) Cic. pro Balbo 57 (a. 56): *et adoptatio Theophani agitata est, per quam Cornelius nihil est praeterquam propinquorum suorum hereditates adsecutus.* b) — ad Att. VII 7, 6 (Decbr. 51): *placet igitur etiam me expulsum et agrum Campanum perisse et adoptatum patricium a plebeio, Gaditanum a Mytilenaeo, et Labieni divitiae et Mamurrae placent .....*

7 Cic. ad Att. V 11, 3 (Juli 51): *Pompeius mihi quoque videbatur ... in Hispaniam certe iturus. id ego minime probabam; qui quidem Theophani facile persuasi nihil esse melius quam illum nusquam discedere. ergo Graecus incumbet. valet autem auctoritas eius apud illum plurimum.*

8 a) Cic. ad Att. IX 1, 3 (März 49): *cedamus igitur et, ut boni cives simus, bellum Italiae terra marique inferamus et odia improborum rursus in nos quae iam exstincta erant incendamus et Luccei consilia ac Theophani persequamur.* b) Caes. B C III 18, 3—5: *Vibullius sedato tumultu, quem repentinus Caesaris adventus concitaverat, ... adhibito Libone et L. Lucceio et Theophane, quibus⟨cum⟩ communicare de maximis rebus Pompeius consueverat, de mandatis Caesaris agere instituit. quem ingressum in sermonem Pompeius interpellavit et loqui plura prohibuit. .... bello perfecto ab iis Caesar haec facta cognovit, qui sermoni interfuerunt.* c) Plutarch. Cic. 38, 4: ἐπαινούντων δέ τινων Θεοφάνην τὸν Λέσβιον, ὃς ἦν ἐν τῶι στρατοπέδωι τεκτόνων ἔπαρχος, ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας, 'ἥλικον' εἶπεν (sc. Κικέρων) 'ἀγαθὸν ἐστι Γραικὸν ἔχειν ἔπαρχον'. d) — Pomp. 76, 6: ἐπαρχία μὲν οὖν οὐδεμία φύξιμος ἐφαίνετο βουλευομένοις αὐτοῖς, τῶν δὲ βασιλειῶν αὐτὸς (sc. Πομπήιος) μὲν ἀπέφαινε τὴν Πάρθων ἱκανωτάτην οὖσαν ἔν τε τῶι παρόντι δέξασθαι καὶ περιβαλεῖν σφᾶς .....' (7) τῶν δ' ἄλλων οἱ μὲν εἰς Λιβύην καὶ Ἰόβαν ἔτρεπον τὴν γνώμην, Θεοφάνει δὲ τῶι Λεσβίωι μανικὸν ἐδόκει τριῶν ἡμερῶν πλοῦν ἀπέχουσαν Αἴγυπτον ἀπολιπόντας καὶ Πτολεμαῖον, ἡλικίαν μὲν ἀντίπαιδα, φιλίας δὲ καὶ χάριτος ὑπόχρεων πατρώιας, Πάρθοις ὑποβαλεῖν ἑαυτόν, ἀπιστοτάτωι γένει, ... (9) καὶ γυναῖκα νέαν οἶκον τοῦ Σκιπίωνος εἰς βαρβάρους κομίζειν .... τοῦτο μόνον, ὥς φασιν, ἀπέτρεψε τῆς ἐπὶ τὸν Εὐφράτην ὁδοῦ Πομπήιον ....

---

3 *M'*. Ruhnken *M*. Vell 9 *Alabarches* Z 12 *χρηματισμοῦ* N 18 *πεποίηκε πιθανὸν* MVL$^2$ *πεποίηκεν* NP *ποιεῖ* om LV (exp. M) 28—29 *quibuscum* Gronovius 34 *ἐστι τὸ* Y 35 *φυλάξιμος* GLV 39 *ἀπολιπόντα* Schaefer 42 *ἀπέστρεψε* GLZ

9 Cic. ad Att. XV 19, 1 (Juni 44): *Theophanes quid velit nescio. scripserat enim ad me. cui rescripsi ut potui. mihi autem scribit venire ad me se velle, ut et de suis rebus et quaedam quae ad me pertinerent.*

10 a) Tacit. A VI 18 (a. 33 p. Chr.): *etiam in Pompeiam Macrinam exilium statuitur . . . pater quoque inlustris eques Romanus ac frater praetorius, cum damnatio instaret, se ipsi interfecere. datum erat crimini quod Theophanem Mytilenaeum proavum eorum Cn. Magnus inter intimos habuisset quodque defuncto Theophani caelestis honores Graeca adulatio tribuerat.* b) IG XII 2, 163 b: Θ]εῶι Διὶ [Ἐ]λε[υθε]ρίωι φιλοπάτριδι Θεοφάνηι, τῶι σωτῆρι καὶ εὐεργέται καὶ κτίσται δευτέρωι τᾶς πατρίδος. c) EBD. 150: *Γναίωι Πομπηίωι Ἱεροίτα υἱῶι Θεοφάνηι σωτῆρι καὶ εὐεργέται.* d) Münze v. Mytil. (Head H N² 563): Θεὸς Θεοφάνης. Μυτ(ιληναίων).

## F

## (*ΤΑ ΠΕΡΙ ΠΟΜΠΗΙΟΝ*?)

1 (III 314, 1) Plutarch. Pomp. 37, 1: *ἐν δὲ τῶι Καινῶι φρουρίωι* (das Stratonike, eine der *παλλακίδες* des Mithridates, *ἦ μέγιστον εἶχεν ἀξίωμα καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων* — in Kleinarmenien; s. F 7 — *ἐφύλαττεν*, dem Pompeius übergab) *καὶ γράμμασιν ἀπορρήτοις ὁ Πομπήιος ἐνέτυχε τοῦ Μιθριδάτου καὶ διῆλθεν οὐκ ἀηδῶς αὐτά, πολλὴν ἔχοντα τοῦ ἤθους κατανόησιν.* (2) *ὑπομνήματα γὰρ ἦν, ἐξ ὧν ἐφωράθη φαρμάκοις ἄλλους τε πολλοὺς καὶ τὸν υἱὸν Ἀριαράθην ἀνηιρηκὼς καὶ τὸν Σαρδιανὸν Ἄλκαῖον, ὅτι παρευδοκίμησεν αὐτὸν ἵππους ἀγωνιστὰς ἐλαύνων.* (3) *ἦσαν δὲ ἀναγεγραμμέναι* ⟨*καὶ*⟩ *κρίσεις ἐνυπνίων, ὧν τὰ μὲν αὐτὸς ἑωράκει, τὰ δὲ ἔνιαι τῶν γυναικῶν, ἐπιστολαί τε Μονίμης πρὸς αὐτὸν ἀκόλαστοι καὶ πάλιν ἐκείνου πρὸς αὐτήν.* (4) *Θεοφάνης δὲ καὶ Ῥουτιλίου λόγον εὑρεθῆναί φησι παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν Ἀσίαι Ῥωμαίων.* ὃ καλῶς εἰκάζουσιν οἱ πλεῖστοι κακοήθευμα τοῦ Θεοφάνους εἶναι, τάχα μὲν οὐδὲν αὐτῶι τὸν Ῥουτίλιον ἐοικότα μισοῦντος, εἰκὸς δὲ καὶ διὰ Πομπήιον, οὗ τὸν πατέρα παμπόνηρον ἀπέδειξεν ὁ Ῥουτίλιος ἐν ταῖς Ἱστορίαις (III).

2 (—) Schol. Apoll. Rhod. I 1126: *Καλλίστρατος δὲ ἐν τῆι β̄ Τῶν καθ' Ἡράκλειαν* (III) *περὶ Τιτίου φησίν· 'ὁ δὲ Τιτίας ἥρως ἐγχώριος, ὃν οἱ μὲν μυθεύουσι παῖδα Διός, οἱ δὲ πρεσβύτατον τῶν Μαριανδυνοῦ τοῦ Κιμμερίου παίδων, δι' ὃν μάλιστα τὸ ἔθνος ηὔξηται καὶ προάγεται ἔτι εἰς εὐδαιμονίαν'. καὶ Προμαθίδας δὲ ἐν τοῖς Περὶ Ἡρακλείας* (III) *λέγει περὶ Τιτίου ὅστις ἦν καὶ Θεοφάνης. ἀπεθεώθη δὲ ὑπὸ Μαριανδυνῶν.*

3 (2) Strabon XI 2, 2: *φέρεται μὲν οὖν ἀπὸ τῶν ἀρκτικῶν μερῶν* (sc. ὁ *Τάναις*), *οὐ μὴν ὡς ἂν κατὰ διάμετρον ἀντίρρους τῶι Νείλωι καθάπερ νομίζουσιν οἱ πολλοί, ἀλλὰ ἑωθινώτερος ἐκείνου, παραπλησίως ἐκείνωι*

20 ἐφ' ὧν N 23 ⟨καὶ⟩ Corais 24 μονίκης NZG 28 μισοῦντες NZ
32 τῶν f τῆι L τοῦ p 33 τὸν πρεσβύτατον Keil (Schol. II 780) πρεσβύτερον L f p
35 προμαχίδας L f p 36 ὑπὸ Keil ἀπὸ L f

τὰς ἀρχὰς ἀδήλους ἔχων. ἀλλὰ τοῦ μὲν πολὺ τὸ φανερόν . . . τοῦ δὲ Τανάϊδος τὰς μὲν ἐκβολὰς ἴσμεν . . . τοῦ δ' ὑπὲρ τῶν ἐκβολῶν ὀλίγον τὸ γνώριμόν ἐστι ..... ἀπὸ δὲ τῆς αἰτίας ταύτης οἱ μὲν ὑπέλαβον τὰς πηγὰς ἔχειν αὐτὸν ἐν τοῖς Καυκασίοις ὄρεσι, πολὺν δ' ἐνεχθέντα ἐπὶ τὰς ἄρκτους εἶτ' ἀναστρέψαντα ἐκβάλλειν εἰς τὴν Μαιῶτιν (τούτοις δὲ ὁμοδοξεῖ καὶ Θεοφάνης ὁ Μιτυληναῖος)· οἱ δ' ἀπὸ τῶν ἄνω μερῶν τοῦ Ἴστρου φέρεσθαι· σημεῖον δὲ φέρουσιν οὐδὲν τῆς πόρρωθεν οὕτω ῥύσεως καὶ ἀπ' ἄλλων κλιμάτων, ὥσπερ οὐ δυνατὸν ὂν καὶ ἐγγύθεν καὶ ἀπὸ τῶν ἄρκτων.

4 (3) STRABON XI 5, 1: ἐν δὲ τοῖς ὑπὲρ τῆς Ἀλβανίας ὄρεσι καὶ a. 66
τὰς Ἀμαζόνας οἰκεῖν φασι. Θεοφάνης μὲν οὖν ὁ συστρατεύσας τῷι Πομπηίωι καὶ γενόμενος ἐν τοῖς Ἀλβανοῖς μεταξὺ τῶν Ἀμαζόνων καὶ τῶν Ἀλβανῶν φησι Γήλας οἰκεῖν καὶ Λήγας Σκύθας, καὶ ῥεῖν ἐνταῦθα τὸν Μερμάδαλιν ποταμὸν τούτων τε καὶ τῶν Ἀμαζόνων ἀνὰ μέσον. ἄλλοι δέ, ὧν καὶ ὁ Σκήψιος Μητρόδωρος (184 F 7) καὶ Ὑψικράτης (190 F 3), οὐδὲ αὐτοὶ ἄπειροι τῶν τόπων γεγονότες .....

5 (4) — XI 14, 4: (ἐπαρχίαι Armeniens) ἡ δὲ Χορζηνὴ καὶ Καμβυσηνὴ προσβορώταταί εἰσι καὶ νιφόβολοι μάλιστα, συνάπτουσαι τοῖς Καυκασίοις ὄρεσι καὶ τῆι Ἰβηρίαι καὶ τῆι Κολχίδι, ὅπου φασὶ κατὰ τὰς ὑπερβολὰς τῶν ὀρῶν πολλάκις καὶ συνοδίας ὅλας [τῶν ὀρῶν] ἐν τῆι χιόνι καταπίνεσθαι, νιφετῶν γενομένων ἐπὶ πλέον· ἔχειν δὲ καὶ βακτηρίας πρὸς τοὺς τοιούτους κινδύνους, παρεξαίροντας εἰς τὴν ἐπιφάνειαν ἀναπνοῆς τε χάριν καὶ τοῦ διαμηνύειν τοῖς ἐπιοῦσιν, ὥστε βοηθείας τυγχάνειν [ἀνορύττεσθαι καὶ σώζεσθαι]. ἐν δὲ τῆι χιόνι βώλους πήγνυσθαί φασι κοίλας περιεχούσας χρηστὸν ὕδωρ ὡς ἐν χιτῶνι (καὶ ζῶια δὲ ἐν αὐτῆι γεννᾶσθαι — καλεῖ δὲ σκώληκας Ἀπολλωνίδης [V], Θεοφάνης δὲ θρῖπας —) κἂν τούτοις ἀπολαμβάνεσθαι χρηστὸν ὕδωρ, περισχισθέντων δὲ τῶν χιτώνων πίνεσθαι. (τὴν δὲ γένεσιν τῶν ζώιων τοιαύτην εἰκάζουσιν, οἵαν τὴν τῶν κωνώπων ἐκ τῆς ἐν τοῖς μετάλλοις φλογὸς καὶ τοῦ ψεψάλου.)

6 (5) — XI 14, 11: μέγεθος δὲ τῆς χώρας (sc. τῆς Ἀρμενίας) Θεοφάνης ἀποδίδωσιν εὖρος μὲν σχοίνων ἑκατόν,

---

2 τοῦ Corais τὸ Str 4 πολλὴν C πολλῶι o r (?) w 6 ἄνω φασὶ wz Corais 12 *Γῆλαι* Strab. XV 8, 1. *Γέλαι* Strab. XI 7, 1; Plut. Pomp. 35, 6. *Γηλοί, Γῆλοι* Dion. Per. 1019 (? *Γηροί* die meisten hss, *Gerri* und *Gethae* Avien); Euseb. PE VI 10 p. 275 D; Plin. NH VI 48 (A *legis* E D R vgl. Ptolem. VI 2, 5). *Γηλεῖς* Asin. Quadr. 97 F 5. s. RE VII 986. 12—13 μερμαδάλην C 17 καμβισινὴ D 19 ὅλας om E [τῶν ὀρῶν] del g x y κατὰ τὰ ὄρη o z ἐμπόρων Corais 20 γενομένων Epit γιν— cett 22—23 [ἀνορ. καὶ σ.] Jac 24—29 καὶ — θρῖπας und τὴν δὲ γένεσιν — ψεψάλου: zusammengehörige. bei der einordnung zerrissene notiz 26 θρῖπας Xylander ὀριπάς Str 26—27 περισχισθέντων E Epit περισχεθέντων cett 29 ψεψάλου E Epit πετάλ(λ)ου cett

*μῆκος δὲ διπλάσιον, τιθεὶς τὴν σχοῖνον τετταράκοντα σταδίων. πρὸς ὑπερβολὴν δ' εἴρηκεν· ἐγγυτέρω δ' ἐστὶ τῆς ἀληθείας μῆκος μὲν θέσθαι τὸ ὑπ' ἐκείνου λεχθὲν ⟨εὖρος⟩, εὖρος δὲ τὸ ἥμισυ ἢ μικρῷ πλεῖον.*

7 (6) STRABON XII 3, 28: (in den landschaften oberhalb Pharnakia a. 66 und Trapezunt, bei den Tibarenern, Chaldaeern und Kleinarmenien legte Mithridates Eupator 75 kastelle an) *τούτων δ' ἦν ἀξιολογώτατα ταῦτα· Ὕδαρα καὶ Βασγοιδάριζα καὶ Σινορία, ἐπιπεφυκὸς τοῖς ὁρίοις τῆς μεγάλης Ἀρμενίας χωρίον· διόπερ Θεοφάνης Συνορίαν παρωνόμασεν.*

## 189. T. POMPONIUS ATTICUS. a. 68

T

1 (III 297) CIC. ad Att. II 1. 1 (a. 60): *Kal. Juniis eunti mihi Antium ... venit obviam tuus puer. is mihi litteras abs te et commentarium consulatus mei Graece scriptum reddidit. in quo laetatus sum me aliquanto ante de isdem rebus Graece item scriptum librum L. Cossinio ad te perferendum dedisse; nam si ego tuum ante legissem, furatum me abs te esse diceres. quamquam tua illa — legi enim libenter — horridula mihi atque incompta visa sunt, sed tamen erant ornata hoc ipso quod ornamenta neglexerant et, ut mulieres, ideo bene olere quia nihil olebant videbantur. meus autem liber* (235 T 2) .....

2 CORNEL. NEP. Att. 18, 6: *est etiam unus liber Graece confectus de consulatu Ciceronis.*

F

*⟨ΠΕΡΙ ΤΗΣ ΚΙΚΕΡΩΝΟΣ ΥΠΑΤΕΙΑΣ?⟩*

## 190. HYPSIKRATES VON AMISOS.

T

(F 3 p. 925, 2)

1 [LUKIAN.] Macrob. 22: *Ὑψικράτης δὲ ὁ Ἀμισηνὸς συγγραφεὺς διὰ πολλῶν μαθημάτων γενόμενος ἔτη δύο καὶ ἐνενήκοντα* (sc. ἔζησεν).

F

**Aus einem historischen Werk.**

(F 9).

1 (III 493) JOSEPH. AJ XIV 139: *ὁ δ' αὐτὸς οὗτος Στράβων* a. 48/7 (91 F 17) *καὶ ἐν ἑτέροις πάλιν ἐξ Ὑψικράτους ὀνόματος λέγει οὕτως· «τὸν*

8 ⟨εὖρος⟩ Groskurd 7 *Σινορία*: *Σίνωρα* Plut. Pomp. 32, 15 (ὁ ἑώρα, *Ινώρα* hss) *Σινόρηγα* Appian. Mithr. 101. *Σίνηρα* Ptolem. V 7, 2. *Sinhorium* Ammian. Marc. XVI 7, 10 8 *σινορίαν* D 13 *me* Σ om ⊥ 20 *unus* om R

δὲ Μιθριδάτην ἐξελθεῖν μόνον. κληθέντα δ' εἰς Ἀσκάλωνα Ἀντίπατρον ὑπ' αὐτοῦ τὸν τῆς Ἰουδαίας ἐπιμελητὴν τρισχιλίους αὐτῶι στρατιώτας συμπαρασκευάσαι καὶ τοὺς ἄλλους δυνάστας προτρέψαι· κοινωνῆσαι δὲ τῆς στρατείας καὶ Ὑρκανὸν τὸν ἀρχιερέα.»

2 (—) STRABON VII 4, 6: τῆς δὲ Χερρονήσου πλὴν τῆς ὀρεινῆς τῆς a. 47?
ἐπὶ τῆι θαλάττηι μέχρι Θεοδοσίας ἥ γε ἄλλη πεδιὰς καὶ εὔγειός ἐστι πᾶσα, σίτωι δὲ καὶ σφόδρα εὐτυχής· τριακοντάχοιν ἀποδίδωσι διὰ τοῦ τυχόντος ὀρυκτοῦ σχιζομένη. φόρον τε ἐτέλουν ὀκτωκαίδεκα μυριάδας μεδίμνων Μιθριδάτηι, τάλαντα δ' ἀργυρίου διακόσια σὺν τοῖς Ἀσιανοῖς χωρίοις τοῖς περὶ τὴν Σινδικήν· κἀν τοῖς πρόσθεν χρόνοις ἐντεῦθεν ἦν τὰ σιτοπομπεῖα τοῖς Ἕλλησι, καθάπερ ἐκ τῆς λίμνης αἱ ταριχεῖαι· λεύκωνα δέ φασιν ἐκ τῆς Θεοδοσίας Ἀθηναίοις πέμψαι μυριάδας μεδίμνων διακοσίας καὶ δέκα. οἱ δ' αὐτοὶ οὗτοι καὶ Γεωργοὶ ἐκαλοῦντο ἰδίως διὰ τὸ τοὺς ὑπερκειμένους νομάδας εἶναι, τρεφομένους κρέασιν ἄλλοις τε καὶ ἱππείοις, ἱππείοι δὲ καὶ τυρῶι καὶ γάλακτι καὶ ὀξυγάλακτι (τοῦτο δὲ καὶ ὄψημά ἐστιν αὐτοῖς κατασκευασθέν πως)· διόπερ ὁ Ποιητὴς ἅπαντας εἴρηκε τοὺς ταύτηι Γαλακτοφάγους. οἱ μὲν οὖν νομάδες πολεμισταὶ μᾶλλόν εἰσιν ἢ ληιστρικοί, πολεμοῦσι δὲ ὑπὲρ τῶν φόρων. ἐπιτρέψαντες γὰρ ἔχειν τὴν γῆν τοῖς ἐθέλουσι γεωργεῖν ἀντὶ ταύτης ἀγαπῶσι φόρους λαμβάνοντες τοὺς συντεταγμένους μερίους τινὰς οὐκ εἰς περιουσίαν, ἀλλ' εἰς τὰ ἐφήμερα καὶ τὰ ἀναγκαῖα τοῦ βίου· μὴ διδόντων δέ, αὐτοῖς πολεμοῦσιν. οὕτω δὲ καὶ δικαίους ἅμα καὶ ἀβίους ὁ Ποιητὴς εἴρηκε τοὺς αὐτοὺς τούτους ἄνδρας, ἐπεὶ τῶν γε φόρων ἀπευτακτουμένων οὐδ' ἂν καθίσταντο εἰς πόλεμον. οὐκ ἀπευτακτοῦσι δ' οἱ δυνάμει πεποιθότες ὥστε ἢ ἀμύνασθαι ῥαιδίως ἐπιόντας ἢ κωλῦσαι τὴν ἔφοδον, καθάπερ Ἄσανδρον ποιῆσαί φησιν Ὑψικράτης, ἀποτειχίσαντα τὸν ἰσθμὸν τῆς Χερρονήσου τὸν πρὸς τῆι Μαιώτιδι, τριακοσίων ὄντα καὶ ἑξήκοντα σταδίων, ἐπιστήσαντα πύργους καθ' ἕκαστον στάδιον δέκα. οἱ δὲ Γεωργοὶ ταύτηι μὲν ἡμερώτεροί τε ἅμα καὶ πολιτικώτεροι νομίζονται εἶναι, χρηματισταὶ δ' ὄντες καὶ θαλάττης ἁπτόμενοι ληιστηρίων οὐκ ἀπέχονται οὐδὲ τῶν τοιούτων ἀδικιῶν καὶ πλεονεξιῶν.

3 (—) — XI 5, 1: ἐν δὲ τοῖς ὑπὲρ τῆς Ἀλβανίας ὄρεσι καὶ τὰς Ἀμαζόνας οἰκεῖν a. 48,7?
φασι. Θεοφάνης μὲν οὖν (188 F 4) ..... μεταξὺ τῶν Ἀμαζόνων καὶ τῶν Ἀλβανῶν φησὶ Γήλας οἰκεῖν καὶ Λήγας Σκύθας. καὶ ῥεῖν ἐνταῦθα τὸν Μερμάδαλιν ποταμὸν

---

4—5 στρατείας Dindorf στρατιᾶς Jos 8 τριακοντάχουν Kramer τριάκοντα γοῦν Str 13 διακοσίων ABC $\overline{\sigma}$ Epit 19 φόρων Xylander ὅρων B ὁρῶν C 24—25 δ' οἱ no δ' οὐ ABC δ' αὖ Tzschucke 28 τριάκοντα ὄντα καὶ ἑξ Gosselin 29 ἐπιστήσαντα edd —τι ABC —τ⟨α κα⟩ὶ? καθ' ἕκαστα στάδια Corais δέκα: ἕνα Groskurd 35 μερμαδάλην C Μερμώδας p. 925, 17

τούτων τε καὶ τῶν Ἀμαζόνων ἀνὰ μέσον. ἄλλοι δέ, ὧν καὶ ὁ Σκήψιος Μητρόδωρος (184 F 7) καὶ Ὑψικράτης, οὐδὲ αὐτοὶ ἄπειροι τῶν τόπων γεγονότες, Γαργαρεῦσιν ὁμόρους αὐτὰς οἰκεῖν φασιν ἐν ταῖς ὑπωρείαις ταῖς πρὸς ἄρκτον τῶν Καυκασίων ὀρῶν, ἃ καλεῖται Κεραύνια. τὸν μὲν ἄλλον χρόνον καθ' αὑτὰς αὐτουργούσας ἕκαστα, τά τε πρὸς ἄροτον καὶ φυτουργίαν καὶ τὰ πρὸς τὰς νομάς, καὶ μάλιστα τῶν ἵππων, τὰς δ' ἀλκιμωτάτας [τῶν ἵππων] κυνηγεσίαις πλεονάζειν καὶ τὰ πολέμια ἀσκεῖν· ἁπάσας δ' ἐπικεκαῦσθαι τὸν δεξιὸν μαστὸν ἐκ νηπίων, ὥστε εὐπετῶς χρῆσθαι τῶι βραχίονι πρὸς ἑκάστην χρείαν, ἐν δὲ τοῖς πρώτοις πρὸς ἀκοντισμόν. χρῆσθαι δὲ καὶ τόξοι καὶ σαγάρι καὶ πέλτηι, δοράς δὲ θηρίων ποιεῖσθαι περίκρανά τε καὶ σκεπάσματα καὶ διαζώματα, δύο δὲ μῆνας ἑξαιρέτους ἔχειν τοῦ ἔαρος, καθ' οὓς ἀναβαίνουσιν εἰς τὸ πλησίον ὄρος τὸ διορίζον αὐτάς τε καὶ τοὺς Γαργαρέας. ἀναβαίνουσι δὲ κἀκεῖνοι κατὰ ἔθος τι παλαιόν, συνθύσοντές τε καὶ συνεσόμενοι ταῖς γυναιξὶ τεκνοποιίας χάριν ἀφανῶς τε καὶ ἐν σκότει, ὁ τυχὼν τῆι τυχούσηι, ἐγκύμονας δὲ ποιήσαντες ἀποπέμπουσιν. αἱ δ' ὅ τι μὲν ἂν θῆλυ τέκωσι κατέχουσιν αὐταί, τὰ δὲ ἄρρενα κομίζουσιν ἐκείνοις ἐκτρέφειν· ὠικείωται δὲ ἕκαστος πρὸς ἕκαστον, νομίζων υἱὸν διὰ τὴν ἁγνοιαν.

(2) ὁ δὲ Μερμόδας, καταράττων ἀπὸ τῶν ὀρῶν διὰ τῆς τῶν Ἀμαζόνων καὶ τῆς Σιρακηνῆς καὶ ὅση μεταξὺ ἐρημος, εἰς τὴν Μαιῶτιν ἐκδίδωσι.

τοὺς δὲ Γαργαρέας συναναβῆναι μὲν ἐκ Θεμισκύρας φασὶ ταῖς Ἀμαζόσιν εἰς τούσδε τοὺς τόπους, εἶτ' ἀποστάντας αὐτῶν πολεμεῖν μετὰ Θραικῶν καὶ Εὐβοέων τινῶν πλανηθέντων μέχρι δεῦρο πρὸς αὐτάς, ὕστερον δὲ καταλυσαμένους τὸν πρὸς αὐτὰς πόλεμον ἐπὶ τοῖς λεχθεῖσι ποιήσασθαι συμβάσεις, ὥστε τέκνων συγκοινωνεῖν μόνον, ζῆν δὲ καθ' αὑτοὺς ἑκατέρους.

## Aus philologisch-grammatischen Werken.

4 Steph. Byz. s. *Αἰθίοψ*· ὡς Κίλιξ. *Αἰθίοπες, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν*· (Od. α 23). *οὐ γὰρ ἀληθὴς ὁ Ὑψικράτους λόγος ὡς οὐδὲν εἰς ωψ λήγει παρ' Ὁμήρωι εἰ μὴ τὸ καλαύροψ* (Il. Ψ 845). *εἰσὶ δὲ καὶ τὸ ὄψ καὶ τὸ μέροψ.*

5 Vit. Hom. Rom. p. 31, 18 Wil: *Ἡρακλείδης μὲν οὖν αὐτὸν* (sc. Ὅμηρον) *ἀποδείκνυσι πρεσβύτερον Ἡσιόδου,* † *ὕρανδρος* (IV) *δὲ καὶ Ὑψικράτης ὁ Ἀμισηνὸς ἡλικιώτην.*

6 Gellius XVI 12, 5—6: *sed in libro quarto* (sc. Cloati Veri Verborum a Graecis tractorum) *'faenerator' inquit 'appellatus est quasi φαινερήτωρ ἀπὸ τοῦ φαίνεσθαι ἐπὶ τὸ χρηστότερον, quoniam id genus hominum speciem ostentent humanitatis et commodi esse videantur inopibus nummos desiderantibus; idque dixisse ait Hypsicraten quempiam grammaticum, cuius libri sane nobiles sunt super his quae a Graecis accepta sunt.* (ablehnung auf grund von Varro *in libro tertio De sermone Latino*).

7 Varro De LL V 88: *cohors quae in villa, quod circa eum locum pecus coereretur, tametsi cohortem in villa Ipsicrates dicit esse graece χόρτον apud poetas dictam.*

8 Orion Etym. p. 68, 3: *ἦπαρ ..... Ὑψικράτης, ὅτι δι' αὐτοῦ ἡ πάροδος τῆς τροφῆς.*

---

6 [τ. ἱ.] Kramer ἐφ' ἵππων dett Guar 7 μασθὸν D μαζὸν dett 9 σαγάρει E 17 μερμάδαλις p. 924, 35 27 καὶ om RV 29 Πύρανδρος Westermann

### Zweifelhaftes.

9 STRABON XVII 3, 5: *ὑπὲρ ταύτης* (sc. *τῆς Μαυρουσίας*) *δ' ἐστὶν ἐπὶ τῇ ἔξω θαλάττῃ ἡ τῶν Ἑσπερίων καλουμένων Αἰθιόπων χώρα, κακῶς οἰκουμένη τὸ πλέον. ἐνταῦθα δὲ καὶ καμηλοπαρδάλεις φησὶν Ἱππικράτης γεννᾶσθαι καὶ ἐλέφαντας καὶ τοὺς καλουμένους βίζεις, οἱ ταυροειδεῖς μέν εἰσι τὴν μορφήν, κατὰ δὲ τὴν δίαιταν καὶ τὸ μέγεθος καὶ τὴν ἀλκὴν τὴν πρὸς μάχην ἐλέφασιν ἐοίκασι. ὁράκοντάς τε λέγει μεγάλους, ὥστε καὶ πόαν ἐπιπεφυκέναι. τοὺς δὲ λέοντας τοῖς πώλοις τῶν ἐλεφάντων ἐπιτίθεσθαι, αἱμάξαντας δὲ φεύγειν ἐπιουσῶν τῶν μητέρων· τὰς δ', ἐπειδὰν ἴδωσιν ἡμιαγμένους, κτείνειν· ἐπανιόντας δὲ τοὺς λέοντας ἐπὶ τὰ πτώματα νεκροφαγεῖν. Βόγον δὲ τὸν βασιλέα τῶν Μαυρουσίων ἀναβάντα ἐπὶ τοὺς Ἑσπερίους Αἰθίοπας καταπέμψαι τῇ γυναικὶ δῶρα καλάμους τοῖς Ἰνδικοῖς ὁμοίους, ὧν ἕκαστον γόνυ χοίνικας χωρεῖν ὀκτώ, καὶ ἀσπαράγων δ' ἡμερῶν μεγέθη.*

10 FESTUS PAULI p. 8 M: *aurum dictum, quia praecipue custoditur; Graece enim ὠρεῖν custodire dicitur, unde et thesaurum. Hippocrates medicus de nomine inventoris id dictum putat, quem vocitatum ait Aurion.*

11 DIOG. LAERT. VII 188: *οὐδὲ παρὰ τοῖς Περὶ πινάκων γράψασι κατακεχωρισμένην· μήτε γὰρ παρὰ Πολέμωνι μήτε παρ' Ὑγινκράτει, ἀλλὰ μηδὲ παρ' Ἀντιγόνωι εἶναι.*

---

## 191. EMPYLOS VON RHODOS.

s. 44

T

1 (III 327) PLUT. Brut. 2: *ὁ δ' Ἔμπυλος, οὗ καὶ αὐτὸς* (sc. Brutus) *ἐν ταῖς ἐπιστολαῖς καὶ οἱ φίλοι μέμνηνται πολλάκις ὡς συμβιοῦντος αὐτῶι, ῥήτωρ ἦν καὶ καταλέλοιπε μικρὸν μέν, οὐ φαῦλον δὲ σύγγραμμα περὶ τῆς Καίσαρος ἀναιρέσεως, ὃ Βροῦτος ἐπιγέγραπται.*

2 QUINTILIAN. Inst. or. X 6, 4: *Cicero certe Graecorum Metrodorum Scepsium* (184 T 5) *et Empylum Rhodium nostrorumque Hortensium tradidit quae cogitaverant ad verbum in agendo rettulisse.*

F

*ΒΡΟΥΤΟΣ (ΠΕΡΙ ΤΗΣ ΚΑΙΣΑΡΟΣ ΑΝΑΙΡΕΣΕΩΣ).*

---

## —. POTAMON VON MITYLENE.

*ΒΡΟΥΤΟΥ ΕΓΚΩΜΙΟΝ. ΚΑΙΣΑΡΟΣ ΕΓΚΩΜΙΟΝ.*

s. 147 T 1.

---

4 Ὑψικράτης Corais 12 χωρεῖν E χωροῦν cett 14 *Hypsicrates* Scaliger *medicus* om T 17 Ξενοκράτει Koepke 28 ἦν Corais μὲν ἦν Pl

## 192. SOKRATES VON RHODOS.

a. 48—39?

F

*ΕΜΦΥΛΙΟΣ ΠΟΛΕΜΟΣ.*

$\overline{\Gamma}$

1 (III 326) ATHEN. IV 29 p. 147 E—148 B: *Σωκράτης δὲ ὁ Ῥόδιος* a. 41/0 *ἐν τρίτωι Ἐμφυλίου Πολέμου τὸ Κλεοπάτρας ἀναγράφων συμπόσιον τῆς τελευταίας Αἰγύπτου βασιλευσάσης, γημαμένης δ' Ἀντωνίωι τῶι Ῥωμαίων στρατηγῶι [ἐν Κιλικίαι] φησὶν οὕτως· «ἀπαντήσασα τῶι Ἀντωνίωι ἡ Κλεοπάτρα ἐν Κιλικίαι παρεσκεύασεν αὐτῶι βασιλικὸν συμπόσιον, ἐν ὧι πάντα χρύσεα καὶ λιθοκόλλητα περιττῶς ἐξειργασμένα ταῖς τέχναις. ἦσαν δέ» φησί «καὶ οἱ τοῖχοι ἀλουργέσι καὶ διαχρύσοις ἐμπεπετασμένοι ὕφεσι. καὶ δώδεκα τρίκλινα διαστρώσασα ἐκάλεσε τὸν Ἀντώνιον μεθ' ὧν ἐβούλετο ἡ Κλεοπάτρα. τοῦ δὲ τῆι πολυτελείαι τῆς ὄψεως ἐκπλαγέντος ὑπομειδιάσασα ταῦτ' ἔφη πάντα δωρεῖσθαι αὐτῶι, καὶ εἰς αὔριον παρεκάλει συνδειπνῆσαι πάλιν ἥκοντα μετὰ τῶν φίλων καὶ τῶν ἡγεμόνων. ὅτε καὶ πολλῶι κρεῖττον διακοσμήσασα τὸ συμπόσιον ἐποίησε φανῆναι τὰ πρῶτα μικρά· καὶ πάλιν καὶ ταῦτα ἐδωρήσατο. τῶν δ' ἡγεμόνων ἐφ' ἧι ἕκαστος κατέκειτο κλίνηι καὶ τὰ κυλικεῖα καθὼς ταῖς στρώμναις ἐμεμέριστο ἑκάστωι φέρειν ἐπέτρεψε. καὶ κατὰ τὴν ἄφοδον τοῖς μὲν ἐν ἀξιώμασι φορεῖα σὺν τοῖς κομίζουσι, τοῖς πλείοσι δὲ καταργύροις σκευαῖς κεκοσμημένους ἵππους, πᾶσι δὲ λαμπτηροφόρους παῖδας Αἰθίοπας παρέστησε. τῆι δὲ τετάρτηι τῶν ἡμερῶν ταλαντιαίους εἰς ῥόδα μισθοὺς διέδωκε· καὶ κατεστρώθη ἐπὶ πηχυαῖα βάθη τὰ ἐδάφη τῶν ἀνδρώνων ἐμπεπετασμένων δικτύων τοῖς ἔλιξιν.»*

OHNE BUCHZAHL.

2 (III 326) ATHEN. IV 29 p. 148 BC: *ἱστορεῖ δὲ καὶ αὐτὸν τὸν* a. 39/8 *Ἀντώνιον ἐν Ἀθήναις μετὰ ταῦτα διατρίψαντα περίοπτον ὑπὲρ τὸ θέατρον κατασκευάσαντα σχεδίαν χλωρᾶι πεπυκασμένην ὕληι, ὥσπερ ἐπὶ τῶν Βακχικῶν ἄντρων γίνεται, ταύτης τύμπανα καὶ νεβρίδας καὶ παντοδαπὰ ἄλλ'*

---

8 [*ἐν Κιλικίαι*] Wilamowitz 8—11 *ἀπαντήσασα — τέχναις* verkürzt 11 *τέχναις ⟨ἦν⟩?* 21 *κυλικεῖα* Casaubonus *κυλίκια* Ath 23 *φορεῖα* C *φορία* A 25 *τρίτηι?* Kaibel 26 *ταλαντιαίους* ς *—ταίους* A *διέδωκε* Meineke *δέδωκε* A 27 *πηχυαῖα* Toup *πηχυα* A *ἀνδρώνων* Casaubonus *δένδρων* A 28 *ταῖς κάλυξιν* Casaubonus *δικτυωτοῖς ἕλιξιν?* Kaibel 33 *γίνεται, ⟨καὶ⟩?*

ἀθύρματα Διονυσιακὰ ἐξαρτήσαντα μετὰ τῶν φίλων ἐξ ἐωθινοῦ κατακλινόμενον μεθύσκεσθαι, λειτουργούντων αὐτῷ τῶν ἐξ Ἰταλίας μεταπεμφθέντων ἀκροαμάτων, συνηθροισμένων ἐπὶ τὴν θέαν τῶν Πανελλήνων. «μετέβαινε δ' ἐνίοτε» φησίν «καὶ ἐπὶ τὴν ἀκρόπολιν ἀπὸ τῶν στεγῶν λαμπάσι δαιδουχουμένης πάσης τῆς Ἀθηναίων πόλεως. καὶ ἔκτοτε ἐκέλευσεν ἑαυτὸν Διόνυσον ἀνακηρύττεσθαι κατὰ τὰς πόλεις ἁπάσας.»

## 193. ASINIUS POLLIO VON TRALLES.

s. 60—7

T

1 (—) Suid. s. Πωλίων ὁ Ἀσίνιος χρηματίσας· Τραλλιανός· σοφιστὴς [καὶ φιλόσοφος]. σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηίου τοῦ Μεγάλου καὶ διαδεξάμενος τὴν σχολὴν Τιμαγένους (88 T 4). ἔγραψεν Ἐπιτομὴν τῆς Φιλοχόρου Ἀτθίδος (III)· [Ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου· Ἐπιτομὴν τῶν Διοφάνους Γεωργικῶν ἐν βιβλίοις β̄· Πρὸς Ἀριστοτέλην περὶ ζώων βιβλία ī]· Περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήιος.

F

ΠΕΡΙ ΤΟΥ ΕΜΦΥΛΙΟΥ ΤΗΣ ΡΩΜΗΣ ΠΟΛΕΜΟΥ.

## 194. BOETHOS VON TARSOS.

s. 42

T

1 (—) Strabon XIV 5, 14: (Augustus' lehrer Athenodoros ὁ Σάνδωνος) κατιών τε εἰς τὴν πατρίδα ἤδη γηραιὸς κατέλυσε τὴν καθεστῶσαν πολιτείαν, κακῶς φερομένην ὑπό τε ἄλλων καὶ Βοηθοῦ, κακοῦ μὲν ποιητοῦ, κακοῦ δὲ πολίτου, δημοκοπίαις ἰσχύσαντος τὸ πλέον. ἐπῆρε δ' αὐτὸν καὶ Ἀντώνιος, κατ' ἀρχὰς ἀποδεξάμενος τὸ γραφὲν εἰς τὴν ἐν Φιλίπποις νίκην ἔπος, καὶ ἔτι μᾶλλον ἡ εὐχέρεια ἡ ἐπιπολάζουσα παρὰ τοῖς Ταρσεῦσιν, ὥστ' ἀπαύστως σχεδιάζειν παρὰ χρῆμα πρὸς τὴν δεδομένην ὑπόθεσιν· καὶ δὴ καὶ γυμνασιαρχίαν ὑποσχόμενος Ταρσεῦσι τοῦτον ἀντὶ γυμνασιάρχου κατέστησε καὶ τὰ ἀναλώματα ἐπίστευσεν αὐτῷ. ἐφωράθη δὲ νοσφισάμενος τά τε ἄλλα καὶ τοὔλαιον ..... διακρουσάμενος δ' οὖν θεραπείαις τισὶ τὴν ὀργήν, οὐδὲν ἧττον διετέλεσεν ἄγων καὶ φέρων τὴν πόλιν μετὰ τῆς καταστροφῆς τοῦ Ἀντωνίου. τοιαύτην δὲ τὴν πόλιν καταλαβὼν ὁ Ἀθηνόδωρος, τέως μὲν ἐπεχείρει λόγῳ μετάγειν κἀκεῖνον καὶ τοὺς συστασιώτας· ὡς δ' οὐκ ἀπείχοντο ὕβρεως οὐδεμιᾶς ... ἐξέβαλεν αὐτούς, καταγνοὺς φυγήν.

F

ΕΙΣ ΤΗΝ ΕΝ ΦΙΛΙΠΠΟΙΣ ΝΙΚΗΝ.

---

6 Διόνυσον C —σιον A 10 Ἀσσύριος A 10—11 [καὶ φιλόσοφος] Jac (aus dem folg. artikel Πωλίων Ἀλεξανδρεύς, ὁ Οὐαλέριος χρηματίσας, φιλόσοφος· γεγονὼς ἐπὶ Ἀδριανοῦ) 13—14 [Ἀπομνημονεύματα — ī] Jonsius; sicher nur für [Ἀπομν. — φιλοσόφου] 25 ἀπταίστως Casaubonus ἀπαυτοσχεδιάζειν Corais 26 ἀντὶ γυμνασιάρχου Tzschucke ἀντιγυμνασίαρχον Str

## 195. THEODOROS.

T

1 (—) SUID. s. Θεόδωρος· ποιητής, ὃς ἔγραψε διάφορα δι' ἐπῶν· καὶ εἰς Κλεοπάτραν δι' ἐπῶν.

F

ΕΙΣ ΚΛΕΟΠΑΤΡΑΝ.

---

## 196. (C.) JULIUS POLYAINOS VON SARDES. a. 38

T

1 (III 522) SUID. s. Πολύαινος Σαρδιανός· σοφιστής, γεγονὼς ἐπὶ τοῦ πρώτου Καίσαρος Γαΐου. Λόγους δικανικοὺς καὶ δικῶν ἤτοι συνηγοριῶν ὑποτυπώσεις· Θριάμβου Παρθικοῦ βιβλία τρία· καὶ ἄλλα

F

ΘΡΙΑΜΒΟΥ ΠΑΡΘΙΚΟΥ Α—Γ.

---

## 197. Q. DELLIUS. a. 36/5

F

1 (—) STRABON XI 13, 3: βασίλειον δ' αὐτῶν (sc. τῶν Ἀτροπατηνῶν) † ὑερινὸν μὲν ἐν πεδίῳ ἱδρυμένον Γάζακα ἐν φρουρίοις ἐρυμνῷ Οὔερα †, ὅπερ Ἀντώνιος ἐπολιόρκησε κατὰ τὴν ἐπὶ Παρθυαίους στρατείαν. διέχει δὲ τοῦτο τοῦ Ἀράξου ποταμοῦ τοῦ ὁρίζοντος τήν τε Ἀρμενίαν καὶ τὴν Ἀτροπατηνὴν σταδίους διοχιλίους καὶ τετρακοσίους, ὡς φησιν Δέλλιος ὁ τοῦ Ἀντωνίου φίλος, συγγράψας τὴν ἐπὶ Παρθυαίους αὐτοῦ στρατείαν, ἐν ᾗ παρὴν καὶ αὐτὸς ἡγεμονίαν ἔχων.

### Zweifelhaftes.

2 (—) PLUTARCH. Anton. 59, 6—8: πολλοὺς δὲ καὶ τῶν ἄλλων φίλων οἱ Κλεοπάτρας κόλακες ἐξέβαλον τὰς παροινίας καὶ βωμολοχίας οὐχ ὑπομένοντας, ὧν καὶ Μᾶρκος ἦν Σιλανὸς καὶ Δέλλιος ὁ ἱστορικός. οὗτος δὲ καὶ δεῖσαί φησιν ἐπιβουλὴν ἐκ Κλεοπάτρας, Γλαύκου τοῦ ἰατροῦ φράσαντος αὐτῷ. προσέκρουσε δὲ Κλεοπάτραι παρὰ δεῖπνον εἰπών, αὐτοῖς μὲν ὀξίνην ἐγχεῖσθαι, Σάρμεντον δὲ πίνειν ἐν Ῥώμῃ Φαλερῖνον.

---

## 198. OLYMPOS. a. 30

F

1 (III 326) PLUTARCH. Anton. 82, 3—5: ἐκ δὲ λύπης ἅμα τοσαύτης καὶ ὀδύνης — ἀνεφλέγμηνε γὰρ αὐτῆς (sc. Κλεοπάτρας) τὰ στέρνα τυπτομένης

---

3 ποιητικὸς AVE 11 παρθητικοῦ A παρθιτικοῦ BVE —θριάμβους. παρθικά Eudok 17 Γάζακα Groskurd γάζα καὶ Str ⟨χειμερινὸν δὲ⟩ ἐν φρ. ἐ. Groskurd δ' αὐτῶν ⟨χειμερινὸν μὲν * *⟩, ὑερινὸν δὲ ἐν π. ἱ. Γάζακα σὺν φρ. ἐ. Οὐέραι W Fabricius 20 Δέλλιος Casaubonus ἀδελφιος Str

καὶ ἤλκωτο — πυρετῶν ἐπιλαβόντων, ἠγάπησε τὴν πρόφασιν, ὡς ἀφεξομένη τροφῆς διὰ τοῦτο καὶ παραλύσουσα τοῦ ζῆν ἀκωλύτως ἑαυτήν. ἦν δ' ἰατρὸς αὐτῇ συνήθης Ὄλυμπος, ὃν φράσασα τάληθὲς ἐχρῆτο συμβούλῳ καὶ συνεργῷ τῆς καθαιρέσεως, ὡς αὐτὸς ὁ Ὄλυμπος εἴρηκεν, ἱστορίαν τινὰ τῶν πραγμάτων τούτων ἐκδεδωκώς. ὑπονοήσας δὲ Καῖσαρ ἀπειλὰς μέν τινας αὐτῇ καὶ φόβους περὶ τῶν τέκνων προσέβαλλεν, οἷς ἐκείνη καθάπερ μηχανήμασιν ὑπηρείπετο καὶ παρεδίδου τὸ σῶμα θεραπεύειν καὶ τρέφειν τοῖς χρήζουσιν.

## —. NIKOLAOS VON DAMASKOS.

*ΒΙΟΣ ΚΑΙΣΑΡΟΣ.*

s. 90 F 125—130.

## 199. PTOLEMAIOS.

a. 87 (?) – 4 a. Chr.

F

*ΠΕΡΙ ΗΡΩΔΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ.*

*Α*

1 (—) AMMON. De vocab. diff. s. *Ἰδουμαῖοι καὶ Ἰουδαῖοι διαφέρουσιν, ὥς φησι Πτολεμαῖος ἐν πρώτῳ Περὶ Ἡρώδου τοῦ βασιλέως. Ἰουδαῖοι μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς φυσικοί, Ἰδουμαῖοι δὲ τὸ μὲν ἀρχῆθεν οὐκ Ἰουδαῖοι, ἀλλὰ Φοίνικες καὶ Σύροι, κρατηθέντες δὲ ὑπ' αὐτῶν καὶ ἀναγκασθέντες περιτέμνεσθαι καὶ συντελεῖν εἰς τὸ ἔθος καὶ τὰ αὐτὰ νόμιμα ἡγεῖσθαι ἐκλήθησαν Ἰουδαῖοι.*

1 καθειλκωτο G¹ 3 ὁ Ὄλυμπος L 4 ὁ om P 7 ὑπηρείπετο Schaefer ὑπε— Pl 20 ἔθος: ἔθνος? Schürer. s. Lukian. Tim. 4 εἰς ἔθος τι ἀρχαῖον συντελῶν.

## m) KAISERZEIT.

### 200. KRITON.

a. 101—107

T

1 (IV 373) STEPH. BYZ. s. *Γετία*· . . . . *καὶ κτητικῶς λέγεται Γετικός, ἀφ' οὗ 'Κρίτωνος Γετικά'.*

2 JOANN. LYD. De mag. II 28: *Κρίτων παρὼν τῶι πολέμωι* (F 1).

3 GALEN. *Π. συνθ. φαρμ.* I (XII 445 K): *Κρίτωνι . . . κατὰ τὴν αὐτοκρατορικὴν οἰκίαν ἰατρεύσαντι.*

4 SUID. s. *Ῥοῦφος Ἐφέσιος· ἰατρός, γεγονὼς ἐπὶ Τραιανοῦ σὺν Κρίτωνι.*

F

*ΓΕΤΙΚΑ.*

1 (—) JOANN. LYD. De mag. II 28: *⟨ἦν⟩* (sc. *Σκυθίαν*) *πρῶτος ἑλὼν σὺν Δεκεβάλλωι τῶι Γετῶν ἡγησαμένωι, Τραιανὸς ὁ πολὺς πεντακοσίας μυριάδας χρυσίου λιτρῶν, διπλασίας δὲ ἀργύρου, ἐκπωμάτων ἄνευ καὶ σκευῶν τιμῆς ὅρον ἐκβεβηκότων, ἀγελῶν τε καὶ ὅπλων, καὶ ἀνδρῶν μαχιμωτάτων ὑπὲρ πεντήκοντα μυριάδας σὺν τοῖς ὅπλοις Ῥωμαίοις εἰσήγαγεν, ὡς ὁ Κρίτων παρὼν τῶι πολέμωι διισχυρίσατο.*

2 (—) SCHOL. LUKIAN. p. 104, 19 Rabe: *οἱ δὲ Γέται ἔθνος βάρβαρον καὶ ἰσχυρόν, ὃ Ῥωμαίων κατεξαναστὰν καὶ μέχρι φόρου ἀπαγωγῆς ταπεινῶσαν Ῥωμαίους ὑπὸ Τραιανοῦ ὕστερον οὕτως ἐξωλοθρεύθη Δεκεβάλωι χρώμενον βασιλεῖ, ὥστε τὸ πᾶν ἔθνος εἰς τεσσαράκοντα περιστῆναι ἄνδρας. ὡς ἱστορεῖ Κρίτων ἐν τοῖς Γετικοῖς.*

3 (2) SCHOL. COD. A STRAB. VII 3, 3 (POSEIDON. 87 F 105 p. 284, 4—7): *τοὺς πιλοφόρους Γέτας, ὡς ἄλλοι τέ φασι καὶ Κρίτων ἐν τοῖς Γετικοῖς.*

4 (2) SUID. s. *ἄρτι* gl. 2: *«ἔτι περαιουμένοις καὶ ἀρτίως ἀποβαίνουσιν ἐπιτίθεσθαι» Κρίτων ἐν Γετικοῖς.*

---

18 ⟨ἦν⟩ Fuss 14 τῶι Fuss τῶν O 15 διπλασίας Fuss δι[α]πλασίου O 18 ὡς ὁ Κρίτων Fuss ὥσα κρίτον aus ὡς ἀκρίτον O ὅσα κρίτων O² 25 καὶ Kramer ἡ A

5 (2) SUID. s. βοωτίαις (= s. ἐνεμιμένων)· «καί τινων βοωτίαις ἐφεστώτων, τῶν δὲ ἄλλων τῶν περὶ βασιλέα τοῖς ἑρύμασι νενεμημένων» Κρίτων ἐν τοῖς Γετικοῖς.

6 (1) — s. γεσοί· «οἱ Ῥωμαῖοι πήξαντες τοὺς γεσοὺς καὶ τὰς περικεφαλαίας τούτοις ἐπιθέντες, φαντασίας παρέσχοντο τοῖς ἐκ διαστήματος ὡς μένοντες ἐπὶ τοῦ λόφου.'» ἔστι δὲ ὅπλον. ὅτι ὁ γέσος ἐστὶν μακροκέντης [ἡ] κοντός. ὅτι Κρίτων ἔγραψεν ἐν τοῖς Γετικοῖς

7 (2) — s. δεισιδαιμονία· ... καὶ Κρίτων ἐν τοῖς Γετικοῖς φησιν· «οἱ δὲ βασιλεῖς τῶν Γετῶν ἀπάτῃ καὶ γοητείαι δεισιδαιμονίαν καὶ ὁμόνοιαν ἐνεργασάμενοι αὐτοῖς μεγάλων ἤδη ἐφίενται.»

8 (2) — s. καθιστάμενος· πρὸς τὸ βέλτιον μετάγων. 'ὁ δὲ Καῖσαρ εἰς τὴν Ἀσίαν ἦλθε, τὰ τῶν ὑπηκόων καὶ τῶν Πάρθων ἅμα καθιστάμενος.' καὶ αὖθις· «πολεμοῦντί τε αὐτῷ καὶ περὶ τὴν ἀρχὴν καθισταμένῳ συγγενόμενος» φησὶ Κρίτων ἐν Γετικοῖς.

---

## —. PHLEGON VON TRALLES. 117—138

*ΒΙΟΣ ΑΔΡΙΑΝΟΥ.*

s. 257 F 35.

---

## —. PHILON VON BYBLOS.

*ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΑΔΡΙΑΝΟΥ.*

s. III u. Phoenikien.

---

## —. ASPASIOS VON BYBLOS.

*ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΑΔΡΙΑΝΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ.*

s. III u. Phoenikien.

---

## —. ZENOBIOS.

*ΓΕΝΕΘΛΙΑΚΟΝ ΕΙΣ ΑΔΡΙΑΝΟΝ ΚΑΙΣΑΡΑ.*

---

## —. ORION.

*ΕΓΚΩΜΙΟΝ ΑΔΡΙΑΝΟΥ ΤΟΥ ΚΑΙΣΑΡΟΣ.*

---

3 Ἀττικοῖς A 4 γαισοὺς Küster 7—8 ὅτι ὁ — Γετικοῖς add A
7 [ἡ] Jac μακρόγεν κεντοῦν Med 9 κρίττον A 15 ⟨τὰ⟩ περὶ Bernhardy

# 201. ARISTON VON PELLA.

T

1 s. F 2, 5.

F

1 (IV 328) EUSEB. HE IV 6, 1: *καὶ δὴτα τῆς Ἰουδαίων ἀποστασίας αὖθις* s. 134/5
*εἰς μέγα καὶ πολὺ προελθούσης, Ῥοῦφος ἐπάρχων τῆς Ἰουδαίας, στρατιωτικῆς αὐτῶι συμμαχίας ὑπὸ βασιλέως πεμφθείσης, ταῖς ἀπονοίαις αὐτῶν ἀφειδῶς χρώμενος ἐπεξῆιει, μυριάδας ἀθρόως ἀνδρῶν ὁμοῦ καὶ παίδων καὶ γυναικῶν διαφθείρων πολέμου τε νόμωι τὰς χώρας αὐτῶν ἐξανδραποδιζόμενος.* (2) *ἐστρατήγει δὲ τότε Ἰουδαίων Βαρχωχεβας ὄνομα, ὃ δὴ ἀστέρα ὠηλοῖ, τὰ μὲν ἄλλα φονικὸς καὶ ληιστρικός τις ἀνήρ, ἐπὶ δὲ τῆι προσηγορίαι, οἷα ἐπ' ἀνδραπόδων, ὡς δὴ ἐξ οὐρανοῦ φωστὴρ αὐτοῖς κατελήλυθὼς κακουμένοις τε ἐπιλάμψαι τερατευόμενος.* (3) *ἀκμάσαντος δὲ τοῦ πολέμου ἔτους ὀκτωκαιδεκάτου τῆς ἡγεμονίας κατὰ Βηθθηρα — πολίχνη τις ἦν ὀχυρωτάτη, τῶν Ἱεροσολύμων οὐ σφόδρα πόρρω διεστῶσα — τῆς τε ἐξωθεν πολιορκίας χρονίου γενομένης λιμῶι τε καὶ δίψει τῶν νεωτεροποιῶν εἰς ἔσχατον ὀλέθρου περιελαθέντων καὶ τοῦ τῆς ἀπονοίας αὐτοῖς αἰτίου τὴν ἀξίαν ἐκτίσαντος δίκην, τὸ πᾶν ἔθνος ἐξ ἐκείνου καὶ τῆς περὶ τὰ Ἱεροσόλυμα γῆς πάμπαν ἐπιβαίνειν εἴργεται νόμου δόγματι καὶ διατάξεσιν Ἀδριανοῦ, ὡς ἂν μηδ' ἐξ ἀπόπτου θεωροῖεν τὸ πατρῶιον ἴδαφος, ἐγκελευσαμένου· Ἀρίστων ὁ Πελλαῖος ἱστορεῖ.* (4) *οὕτω δὴ τῆς πόλεως εἰς ἐρημίαν τοῦ Ἰουδαίων ἔθνους παντελῆ τε φθορὰν τῶν πάλαι οἰκητόρων ἐλθούσης ἐξ ἀλλοφύλου τε γένους συνοικισθείσης, ἡ μετέπειτα συστᾶσα Ῥωμαικὴ πόλις τὴν ἐπωνυμίαν ἀμείψασα, εἰς τὴν τοῦ κρατοῦντος Αἰλίου Ἀδριανοῦ τιμὴν Αἰλία προσαγορεύεται. καὶ δὴ τῆς αὐτόθι ἐκκλησίας ἐξ ἐθνῶν συγκροτηθείσης πρῶτος μετὰ τοὺς ἐκ περιτομῆς ἐπισκόπους τὴν τῶν ἐκεῖσε λειτουργίαν ἐγχειρίζεται Μάρκος.*

## Zweifelhaftes.

2 (V 2, 392) MOSES V. KHOREN Hist. Arm. II 57 p. 174 Whiston: *Artasis mortem praeclare tradit Aristo Pellaeus.* (2) *siquidem per ea tempora Iudaei ab Adriano rege Romano defecerunt et cum Rufo hipparcho conflixerunt, ductu viri cuiusdam latronis, cui nomen erat Barchochebas, id est Stellae filius. qui quidem re erat facinorosus et homicida, sed nomine suo glorians, afflictis illis et captivis servatorem se de caelo delapsum esse praedicabat.* (3) *is bellum adeo accendit, ut Syriae ac Mesopotamiae incolae Persaeque omnes id respicientes tributa solvere desisterent. namque audiverat etiam leprae morbum in Adrianum invasisse. noster autem Artases super ea re nil movetur.* (4) *accidit autem, ut per id tempus Adrianus in Palaestinam veniret rebellesque in parvo oppido prope Hierosolyma obsessos deleret, qui ideo omnem Iudaeorum gentem a patrio solo iussit pelli, quae ne procul quidem Hierosolyma esset spectatura; atque ipse Hierosolymam a Vespasiano, Tito et ab se devastatam instauravit et ab nomine suo Aeliam appellavit, cum ipse Adrianus Sol esset appellatus, atque ibi ethnicos locavit et Christianos, quorum episcopus erat Marcus.*

8 ⟨$\overline{νη}$⟩ *μυριάδας*? s. komm. 13 *ἡγεμονίας ἀδριανοῦ* A 18 *divinae legis* Rufin vgl. *dei nutu, sicut profetae vaticinati sunt* Euseb. Hier. ol. 228, 2. *προστάξει θεοῦ* Synkell. p. 661, 4. *δόγμασι* TERM 19 *ἐγκελευσαμένω* M *befahl* Syr ⟨*ὡς*⟩ *Ἀρίστων* C Mueller *Aristo Pellaeus historiografus ita persequitur* Rufin [*Ἀρίστων — ἱστορεῖ*]? *Πελλαῖος* ABD$^{r}$ Syr Rufin *παλαιὸς* TERD$^{1}$M

(5) *per ea tempora magnum exercitum in Assyriae partes misit et nostrum Artasem cum suis curatoribus in Persidem proficisci iussit, quorum scriba cum is fuerit qui nobis hanc historiam tradidit, Artasi in Media occurrit, in loco qui vocatur Sohundus.* (6) *Artases vero in morbum incidit, in Marindia ad oppidum Bacuracerta, atque inde Abelum quendam Abeliae familiae principem, virum impigrum ac blandum, in provinciam Ecelensem ad Erizam, ad Dianae fanum dimisit, qui ab simulacris sanitatem et longam vitam peteret, cuius ante reditum Artases de vita discessit.* (7) *caeterum is scribit, quanta caterva cum Artase simul mortem obierit, carae coniuges et concubinae ac ministri fidissimi; quantamque pompam ad exequias cohonestandas non barbaro sed civili ritu appararint. feretra erant aurea, solia ac lecti ex bysso, atque involucrum cadaveris. in capite diadema ex auro textum, atque aurea arma ante posita. circum lectos filii et cognatorum multitudo, ministrorum inde cohortes, principes familiarum ac satrapae, atque adeo universi milites, armis instructi, quasi ad bellum ordinati. a fronte tubis aeneis clanxeruni, a tergo virgines atratae lamentabili voce canebant. uxores saevo planctu vulgi turmam sequebantur. atque eum ita elatum sepelierunt, et circa monumentum voluntariae eae mortes, ut supra diximus, fiebant. is genti nostrae adeo carus regnavit unum et quadraginta annos.*

3 (V 2, 394) THOMAS ARDZROUNI Hist. des Ardzrouni p. 3 ed. Const.: .... *Ninus descend du fils de Cham, selon Ariston de Chaldée, ce qui se verifie d' après Eusèbe de Césarée, Moise de Khorène et Iulien d' Halicarnasse.*

## 202. SCHRIFTSTELLER ÜBER M. AURELIUS ANTONINUS. a. 161—180

T

1 (—) HERODIAN. I 2, 5: *ὅσα μὲν οὖν ἐκείνωι πέπρακται ἀνδρεῖα καὶ σώφρονα, στρατηγικὴν ἢ πολιτικὴν ἀρετὴν ἔχοντα, πρός τε τοὺς τὰ ἀρκτῶια τῆς γῆς [ἔθνη βάρβαρα] κατοικοῦντας πρός τε τοὺς ὑπὸ ταῖς ἀνατολαῖς ποιουμένους τὸν βίον, πολλοῖς καὶ σοφοῖς ἀνδράσι συγγέγραπται.*

## 203. HISTORIKER ÜBER L. VERUS' PARTHERKRIEG. a. 162—165

T

1 LUKIAN. Quom. hist. conscr. 2: *ἀφ' οὗ δὴ τὰ ἐν ποσὶ ταῦτα κεκίνηται, ὁ πόλεμος ὁ πρὸς τοὺς βαρβάρους καὶ τὸ ἐν Ἀρμενίαι τραῦμα καὶ αἱ συνεχεῖς νῖκαι, οὐδεὶς ὅστις οὐχ ἱστορίαν συγγράφει, μᾶλλον δὲ Θουκυδίδαι καὶ Ἡρόδοτοι καὶ Ξενοφῶντες ἡμῖν ἅπαντες, καὶ ὡς ἔοικεν ἀληθὲς ἄρ' ἦν ἐκεῖνο τὸ 'πόλεμος ἁπάντων πατήρ', εἴ γε καὶ συγγραφέας τοσούτους ἀνέφυσεν ὑπὸ μιᾶι τῆι ὁρμῆι.*

2 — — 14: *ἐγὼ δ' οὖν καὶ διηγήσομαι ὁπόσα μέμνημαι ἔναγχος ἐν Ἰωνίαι συγγραφέων τινῶν, καὶ νὴ Δία ἐν Ἀχαίαι πρώιην ἀκούσας τὸν*

27 [ξ. β.] Reiske

αὐτὸν τοῦτον πόλεμον διηγουμένων, καὶ πρὸς Χαρίτων, μηδεὶς ἀπιστήσῃ τοῖς λεχθησομένοις· ὅτι γὰρ ἀληθῆ ἐστι κἂν ἐπωμοσάμην, εἰ ἀσεῖον ἦν ὄρκον ἐντιθέναι συγγράμματι.

F

1 (III 650, 5) LUKIAN. Quom. hist. conscr. 18: (a) καὶ μὴν οὐδ' ἐκείνου ὅσιον ἀμνημονῆσαι, ὃς τοιάνδε ἀρχὴν ἤρξατο «ἔρχομαι ἐρέων περὶ Ῥωμαίων καὶ Περσέων». (b) καὶ μικρὸν ὕστερον «ἔδεε γὰρ Πέρσῃσι γενέσθαι κακῶς». (c) καὶ πάλιν «ἣν Ὀσρόης, τὸν οἱ Ἕλληνες Ὀξυρόην ὀνυμέουσι»· καὶ ἄλλα πολλὰ τοιαῦτα. ὁρᾷς; ὅμοιος οὗτος ἐκείνῳ, παρ' ὅσον ὁ μὲν Θουκυδίδῃ, οὗτος δὲ Ἡροδότῳ εὖ μάλα ἐῴκει.

2 (6—7) — — 19—21: (a) ἄλλος τις ἀοίδιμος ἐπὶ λόγων δυνάμει Θουκυδίδῃ καὶ αὐτὸς ὅμοιος ἢ ὀλίγῳ ἀμείνων αὐτοῦ, πάσας πόλεις καὶ πάντα ὄρη καὶ πεδία καὶ ποταμοὺς ἑρμηνεύσας πρὸς τὸ σαφέστατον καὶ ἰσχυρότατον, ὡς ὤιετο. τὸ δὲ ἐς ἐχθρῶν κεφαλὰς ὁ Ἀλεξίκακος τρέψειε· τοσαύτη ψυχρότης ἐνῆν ὑπὲρ τὴν Κασπίαν χιόνα καὶ τὸν κρύσταλλον τὸν Κελτικόν. ἡ γοῦν ἀσπὶς ἡ τοῦ αὐτοκράτορος ὅλως βιβλίοις μόγις ἐξηρμηνεύθη αὐτῶι, καὶ Γοργὼν ἐπὶ τοῦ ὁμφαλοῦ καὶ οἱ ὀφθαλμοὶ αὐτῆς ἐκ κυανοῦ καὶ λευκοῦ καὶ μέλανος, καὶ ζώνη ἰριοειδὴς καὶ δράκοντες ἑλικηδὸν καὶ βοστρυχηδόν. (b) ἡ μὲν γὰρ Οὐολογέσου ἀναξυρὶς ἢ ὁ χαλινὸς τοῦ ἵππου, Ἡράκλεις, ὅσαι μυριάδες ἐπῶν ἕκαστον τούτων. (c) καὶ οἷα ἦν ἡ Ὀσρόου κόμη διανέοντος τὸν Τίγρητα, καὶ ἐς οἷον ἄντρον κατέφυγε, κιττοῦ καὶ μυρρίνης καὶ δάφνης ἐς ταὐτὸ συμπεφυκότων καὶ σύσκιον ἀκριβῶς ποιούντων αὐτό. ..... (d) οὗτος δ' οὖν ... καὶ τραύματα συνέγραψε πάνυ ἀπίθανα καὶ θανάτους ἀλλοκότους, ὡς εἰς δάκτυλον τοῦ ποδὸς τὸν μέγαν τρωθείς τις αὐτίκα ἐτελεύτησε καὶ ὡς ἐμβοήσαντος μόνον Πρίσκου τοῦ στρατηγοῦ ἑπτὰ καὶ εἴκοσι τῶν πολεμίων ἐξέθανον. (e) ἔτι δὲ καὶ ἐν τῶι τῶν νεκρῶν ἀριθμῶι, τοῦτο μὲν καὶ παρὰ τὰ γεγραμμένα ἐν ταῖς τῶν ἀρχόντων ἐπιστολαῖς ἐψεύσατο· ἐπὶ γὰρ Εὐρώπωι τῶν μὲν πολεμίων ἀποθανεῖν μυριάδας ἑπτὰ καὶ τριάκοντα καὶ ἓξ πρὸς τοῖς διακοσίοις, Ῥωμαίων δὲ μόνους δύο, καὶ τραυματίας γενέσθαι ἐννέα. ..... (f) καὶ μὴν κἀκεῖνο λεκτέον ... ὑπὸ γὰρ τοῦ κομιδῆι Ἀττικὸς εἶναι καὶ ἀποκεκαθάρθαι τὴν φωνὴν ἐς τὸ ἀκριβέστατον ἠξίωσεν οὗτος καὶ τὰ ὀνόματα μεταποιῆσαι τὰ Ῥωμαίων καὶ μετεγγράψαι ἐς τὸ Ἑλληνικόν, ὡς Κρόνιον μὲν ⟨τὸν⟩ Σατουρνῖνον λέγειν, Φρόντιν δὲ τὸν Φρόντωνα, Τιτάνιον δὲ τὸν Τιτιανόν, καὶ ἄλλα

9 ὀνυμαίνουσιν Bekker οὐνομαίνουσι Sommerbrodt ὀνομάζουσι Herod. I 7 10 οὗτος: αὐτὸς Φ 15 ἐχυρώτατον Fritzsche 16 Κασπιακὴν Φ Ω 19 ἡροσιδὴς Φ U 20 οὐολογέσσου Ω 30 [καὶ] ἓξ Fritzsche 32 ὑπὲρ — ἀττικοὺς Φ A ἀποκεκάρθαι Victorius 33 v. l. οὕτως καὶ om Ω ποιῆσαι Ω Φ A 34 μεταγράψαι Ω ⟨τὸν⟩ Hermann 35 Τιτιανὸν: τιτανὸν A τατιανὸν F M

πολλῶι γελοιότερα. (g) ἔτι ὁ αὐτὸς οὗτος περὶ τῆς Σευηριανοῦ τελευτῆς ἔγραψεν, ὡς οἱ μὲν ἄλλοι ἅπαντες ἐξηπάτηνται οἰόμενοι ξίφει τεθνάναι αὐτόν, ἀποθάνοι δὲ ὁ ἀνὴρ σιτίων ἀποσχόμενος· τοῦτον γὰρ αὐτῶι ἀλυπότατον δόξαι τὸν θάνατον — οὐκ εἰδὼς ὅτι τὸ μὲν πάθος ἐκεῖνο πᾶν τριῶν οἶμαι ἡμερῶν ἐγένετο, ἀπόσιτοι δὲ καὶ ἐς ἑβδόμην διαρκοῦσιν οἱ πολλοί· ἐκτὸς εἰ μὴ τοῦθ' ὑπολάβοι τις, ὡς Ὄσρόης [τις] εἱστήκει περιμένων, ἔστ' ἂν Σευηριανὸς λιμῶι ἀπόληται, καὶ διὰ τοῦτο οὐκ ἐπῆγε διὰ τῆς ἑβδόμης.

3 (8) LUKIAN. Quom. hist. conscr. 22: τοὺς δὲ καὶ ποιητικοῖς ὀνόμασιν . . . ἐν ἱστορίαι χρωμένους ποῦ ἄν τις θείη, τοὺς λέγοντας (a) «ἐλέλιξε μὲν ἡ μηχανή, τὸ τεῖχος δὲ πεσὸν μεγάλως ἐδούπησε.» (b) καὶ πάλιν ἐν ἑτέρωι μέρει τῆς καλῆς ἱστορίας· «Ἔδεσσα μὲν δὴ οὕτω τοῖς ὅπλοις περιεσμαραγεῖτο, καὶ ὄτοβος ἦν καὶ κόναβος ἅπαντα ἐκεῖνα.» (c) καὶ «ὁ στρατηγὸς ἐμερμήριζεν ὅι τρόπωι μάλιστα προσαγάγοι πρὸς τὸ τεῖχος.» (d) εἶτα μεταξὺ οὕτως εὐτελῆ ὀνόματα καὶ δημοτικὰ καὶ πτωχικὰ πολλὰ παρενεβέβυστο, τὸ «ἐπέστειλεν ὁ στρατοπεδάρχης τῶι κυρίωι·» (e) καὶ «οἱ στρατιῶται ἠγόραζον τὰ ἐγχρήιζοντα.» (f) καὶ «ἤδη λελουμένοι περὶ αὐτοὺς ἐγίγνοντο,» καὶ τὰ τοιαῦτα. . . . . .

4 (8) — — 23: (a) καὶ μὴν καὶ ἄλλους ἴδοις ἂν τὰ μὲν προοίμια λαμπρὰ καὶ τραγικὰ καὶ εἰς ὑπερβολὴν μακρὰ συγγράφοντας . . . . . , τὸ σῶμα δὲ αὐτὸ τὸ τῆς ἱστορίας μικρόν τε καὶ ἀγεννὲς ἐπαγαγόντας . . . . ἴδοις γὰρ ἂν ἀφθόνους τοιούτους συγγραφέας, τοῦ Ῥοδίου κολοσσοῦ τὴν κεφαλὴν νεννώδει σώματι ἐπιτιθέντας. (b) ἄλλους αὖ ἔμπαλιν ἀκέφαλα τὰ σώματα εἰσάγοντας . . . . οἳ καὶ προσεταιρίζονται τὸν Ξενοφῶντα οὕτως ἀρξάμενον Δαρείου καὶ Παρυσάτιδος παῖδες γίγνονται δύο, καὶ ἄλλους τῶν παλαιῶν, οὐκ εἰδότες, ὡς δυνάμει τινὰ προοίμιά ἐστι λεληθότα τοὺς πολλούς.

5 (9—10) — — 24—26: καίτοι ταῦτα πάντα φορητὰ ἔτι, ὅσα ἢ ἑρμηνείας ἢ τῆς ἄλλης διατάξεως ἁμαρτήματά ἐστι· τὸ δὲ καὶ περὶ τοὺς τόπους αὐτοὺς ψεύδεσθαι, οὐ παρασάγγας μόνον ἀλλὰ καὶ σταθμοὺς ὅλους, τίνι τῶν καλῶν ἔοικεν; (a) εἰς γοῦν οὕτω ῥαιθύμως συνήγαγε τὰ πράγματα . . . ὥστε περὶ Εὐρώπου λέγων οὕτως ἔφη· «ἡ δὲ Εὐρωπος κεῖται μὲν ἐν τῆι Μεσοποταμίαι σταθμοὺς δύο τοῦ Εὐφράτου ἀπέχουσα, ἀπῴκισαν δὲ αὐτὴν Ἐδεσσαῖοι.» (b) καὶ οὐδὲ

1 Σευηριανοῦ E (stets) σευηριανοῦ Ω Φ al 6 [τις] edd τέως Fritzsche 7 ἕως τ. ἑβδ. Fritzsche 9 ὁ' ἂν Φ Ω (?) 10 ἐλέλιξε Φ (?) ἐξελέλιξε Ω 13 ἐκεῖνα: τὰ ἐκεῖ Cobet 16 στρατοπεδάρχος Φ 22 τε A τι vulg 29 καὶ τοιαῦτα Φ ἔτι: ἐστιν Ω 30 τὰ δὲ Φ περὶ vulg παρὰ Φ Ω E al 35 ἀπῴκισαν Ω E

τοῦτο ἀπέχρησεν αὐτῶι, ἀλλὰ καὶ τὴν ἐμὴν πατρίδα τὰ Σαμόσατα ὁ αὐτὸς ἐν τῶι αὐτῶι βιβλίωι ἀράμενος ὁ γενναῖος αὐτῆι ἀκροπόλει καὶ τείχεσι μετέθηκεν ἐς τὴν Μεσοποταμίαν, ὡς περιρρεῖσθαι αὐτὴν ὑπ' ἀμφοτέρων τῶν ποταμῶν, ἑκατέρωθεν ἐν χρῶι παραμειβομένων καὶ μονονουχὶ τοῦ τείχους ψαυόντων .... (c) νὴ Δία κἀκεῖνο κομιδῆι πιθανὸν περὶ τοῦ Σευηριανοῦ ὁ αὐτὸς οὗτος εἶπεν, ἑπομοσάμενος ἢ μὴν ἀκοῦσαί τινος τῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαφυγόντων· οὔτε γὰρ ξίφει ἐθελῆσαι αὐτὸν ἀποθανεῖν οὔτε φαρμάκου πιεῖν οὔτε βρόχου ἅψασθαι, ἀλλά τινα θάνατον ἐπινοῆσαι τραγικὸν καὶ τῆι τόλμηι ξενίζοντα. τυχεῖν μὲν γὰρ αὐτὸν ἔχοντα παμμεγέθη ἐκπώματα ὑάλινα τῆς καλλίστης ὑάλου· ἐπεὶ δὲ πάντως ἀποθανεῖν ἔγνωστο, κατάξαντα τὸν μέγιστον τῶν σκύφων ἐνὶ τῶν θραυμάτων χρήσασθαι εἰς τὴν σφαγήν, ἐντεμόντα τῆι ὑάλωι τὸν λαιμόν. οὕτως οὐ ξιφίδιον, οὐ λογχάριον εὗρεν, ὡς ἀνδρεῖός γε αὐτῶι καὶ ἡρωικὸς ὁ θάνατος γένοιτο. (d) εἶτ' ἐπειδὴ Θουκυδίδης ἐπιτάφιόν τινα εἶπε τοῖς πρώτοις τοῦ πολέμου ἐκείνου νεκροῖς, καὶ αὐτὸς ἡγήσατο χρῆναι ἐπειπεῖν τῶι Σευηριανῶι· ἅπασι γὰρ αὐτοῖς πρὸς τὸν οὐδὲν αἴτιον τῶν ἐν Ἀρμενίαι κακῶν τὸν Θουκυδίδην ἡ ἅμιλλα. θάψας οὖν τὸν Σευηριανὸν μεγαλοπρεπῶς ἀναβιβάζεται ἐπὶ τὸν τάφον Ἀφράνιόν τινα Σίλωνα ἑκατόνταρχον ..., ὃς τοιαῦτα καὶ τοσαῦτα ἐπερρητόρευσεν αὐτῶι, ὥστε με νὴ τὰς Χάριτας πολλὰ πάνυ δακρῦσαι ὑπὸ τοῦ γέλωτος· καὶ μάλιστα ὁπότε ὁ ῥήτωρ ὁ Ἀφράνιος ἐπὶ τέλει τοῦ λόγου δακρύων ἅμα σὺν οἰμωγῆι περιπαθεῖ ἐμέμνητο τῶν πολυτελῶν ἐκείνων δείπνων καὶ προπόσεων, εἶτα ἐπέθηκεν Αἰάντειόν τινα τὴν κορωνίδα. σπασάμενος γὰρ τὸ ξίφος, εὐγενῶς πάνυ καὶ ὡς Ἀφράνιον εἰκὸς ἦν, πάντων ὁρώντων ἀπέσφαξεν ἑαυτὸν ἐπὶ τῶι τάφωι ... καὶ τοῦτο ἔφη ἰδόντας τοὺς παρόντας ἅπαντας θαυμάσαι καὶ ὑπερεπαινέσαι τὸν Ἀφράνιον.

6 (11) LUKIAN. Quom. hist. conscr. 28: ἐγὼ γοῦν ἤκουσά τινος τὴν μὲν ἐπ' Εὐρώπωι μάχην ἐν οὐδ' ὅλοις ἑπτὰ ἔπεσι παραδραμόντος, εἴκοσι δὲ μέτρα ἢ ἔτι πλείω ὕδατος ἀναλωκότος ἐς ψυχρὰν καὶ οὐδὲν ἡμῖν προσήκουσαν διήγησιν, ὡς Μαῦρός τις ἱππεὺς Μαυσάκας τοὔνομα ὑπὸ δίψους πλανώμενος ἀνὰ τὰ ὄρη καταλάβοι Σύρους τινὰς τῶν ἀγροίκων ἄριστον παρατιθεμένους· καὶ ὅτι τὰ μὲν πρῶτα ἐκεῖνοι φοβηθεῖεν αὐτόν, εἶτα μέντοι μαθόντες ὡς τῶν φίλων εἴη κατεδέξαντο καὶ εἱστίασαν· καὶ γάρ τινα τυχεῖν αὐτῶν ἀποδεδημηκότα καὶ αὐτὸν ἐς τὴν τῶν Μαύρων, ἀδελφοῦ αὐτῶι ἐν τῆι γῆι στρατευομένου. μῦθοι τὸ μετὰ τοῦτο μακροὶ καὶ διηγήσεις, ὡς θηράσειεν αὐτὸς ἐν τῆι Μαυρουσίαι καὶ ὡς ἴδοι τοὺς ἐλέφαντας πολλοὺς

1 ὁ αὐτὸς A αὐτὸς Ω Φ vulg 3 περιρρεῖσθαι Φ περιωρίσθαι Ω 8 βρόχον Ω 9 τὴν τόλμην Ω 10 ὑαλᾶ, ὑάλα Ω Φ 11 κατάξοντα Φ E 20 ὁπότε ῥήτωρ Ω Φ E 33 ἡστιάσαντο Φ 34 τὴν τῶν Μαύρων Lehmann τῶν M. Ω E τὴν M. Φ (?) 36 αὐτὸς: οὗτος Fritzsche

ἐν τῶι αὐτῶι συννεμομένους καὶ ὡς ὑπὸ λέοντος ὀλίγου δεῖν καταβρωθείη, καὶ ἡλίκους ἰχθῦς ἐπρίατο ἐν Καισαρείαι. καὶ ὁ θαυμαστὸς συγγραφεὺς ἀφεὶς τὰς ἐν Εὐρώπωι γιγνομένας σφαγὰς τοσαύτας καὶ ἐπελάσεις καὶ σπονδὰς ἀναγκαίας καὶ φυλακὰς καὶ ἀντιφυλακὰς ἄχρι βαθείας ἑσπέρας ἐφειστήκει ὁρῶν Μαλχίωνα τὸν Σύρον ἐν Καισαρείαι σκάρους παμμεγέθεις ἀξίους ὠνούμενον· εἰ δὲ μὴ νὺξ κατέλαβε, τάχ' ἂν καὶ συνεδείπνει μετ' αὐτοῦ ἤδη τῶν σκάρων ἑσκευασμένων. .... καίτοι πόσα ἄλλα μακρῶι ἀναγκαιότερα ἐκὼν ἐγὼ νῦν παρίημι· ὡς καὶ αὐλητρὶς ἦκεν ἐκ τῆς πλησίον κώμης αὐτοῖς καὶ ὡς δῶρα ἀλλήλοις ἀντέδοσαν, ὁ Μαῦρος μὲν τῶι Μαλχίωνι λόγχην, ὁ δὲ τῶι Μαυσάκαι πόρπην, καὶ ἄλλα πολλὰ τοιαῦτα τῆς ἐπ' Εὐρώπωι μάχης αὐτὰ δὴ τὰ κεφάλαια.

7 (14) LUKIAN. Quom. hist. conscr. 31: (a) ἤδη δ' ἐγώ τινος καὶ τὰ μέλλοντα συγγεγραφότος ἤκουσα, καὶ τὴν λῆψιν τὴν Ὀλολογέσου καὶ τὴν Ὀσρόου σφαγήν, ὡς παραβληθήσεται τῶι λέοντι, καὶ ἐπὶ πᾶσι τὸν τριπόθητον ἡμῖν θρίαμβον. οὕτω μαντικῶς ἅμα ἔχων ἔσπευδεν ἤδη πρὸς τὸ τέλος τῆς γραφῆς. ἀλλὰ καὶ πόλιν ἤδη ἐν τῆι Μεσοποταμίαι ᾠκισε μεγέθει τε μεγίστην καὶ κάλλει καλλίστην· εἶτα μέντοι ἐπισκοπεῖ καὶ διαβουλεύεται εἴτε Νίκαιαν αὐτὴν ἀπὸ τῆς νίκης χρὴ ὀνομάζεσθαι εἴτε Ὁμόνοιαν εἴτε Εἰρηνίαν. καὶ τοῦτο μὲν ἔτι ἄκριτον, καὶ ἀνώνυμος ἡμῖν ἡ καλὴ πόλις ἐκείνη, λήρου πολλοῦ καὶ κορύζης συγγραφικῆς γέμουσα. (b) τὰ δ' ἐν Ἰνδοῖς πραχθησόμενα ὑπέσχετο ἤδη συγγράψειν καὶ τὸν περίπλουν τῆς ἔξω θαλάσσης. καὶ οὐχ ὑπόσχεσις ταῦτα μόνον, ἀλλὰ καὶ τὸ προοίμιον τῆς Ἰνδικῆς ἤδη συντέτακται, καὶ τὸ τρίτον τάγμα καὶ οἱ Κελτοὶ καὶ Μαύρων μοῖρα ὀλίγη σὺν Κασσίοι πάντες οὗτοι ἐπεραιώθησαν τὸν Ἰνδὸν ποταμόν· ὅ τι δὲ καὶ πράξουσιν ἢ πῶς δέξονται τὴν τῶν ἐλεφάντων ἐπέλασιν, οὐκ εἰς μακρὰν ἡμῖν ὁ θαυμαστὸς συγγραφεὺς ἀπὸ Μουζίριδος ἢ ἀπ' Ὀξυδρακῶν ἐπιστελεῖ.

8 (15) — — 32: καὶ γὰρ αὖ καὶ αὗται (sc. αἱ ἐπιγραφαί) παγγέλοιοι· «τοῦ δεῖνος Παρθικῶν νικῶν τοσάδε.»

9 (15) — — 32: καὶ αὖ· «Παρθίδος πρῶτον, δεύτερον.»

## 204. ANONYMOS VON KORINTH.

F

1 (12) LUKIAN. Quom. hist. conscr. 29: (a) ἄλλος ... οὐδὲ τὸν ἕτερον πόδα ἐκ Κορίνθου πώποτε προβεβηκὼς οὐδ' ἄχρι Κεγχρεῶν ἀπο-

6 ἀξίου Ω E² τάχ' ἂν Schaefer τάχα Lu 10 πόρκην E U al 13 οὐολογέσσου Ω 14 οὐορόου (= Ὀξυρόου? Fritzsche) Φ 17 εἶτα Jac ἔτι Lu 21 γράψειν Ω (?) 24 ⟨οὐκ⟩ ὀλίγη Fritzsche Ἰνδὸν: ἴδιον Φ 26 μυζίριδος Φ 34 κεγχρειῶν E

δημήσας, οὔτι γε Συρίαν ἢ Ἀρμενίαν ἰδών, ὧδε ἤρξατο — μέμνημαι γάρ — «ὦτα ὀφθαλμῶν ἀπιστότερα· γράφω τοίνυν ἃ εἶδον, οὐχ ἃ ἤκουσα.»

2 (12) LUKIAN. Quom. hist. conscr. 29: καὶ οὕτως ἀκριβῶς ἅπαντα ἑωράκει, ὥστε τοὺς δράκοντας ἔφη τῶν Παρθυαίων — σημεῖον δὲ πλήθους τοῦτο αὐτοῖς· χιλίους γὰρ οἶμαι ὁ δράκων ἄγει — ζῶντας δράκοντας παμμεγέθεις εἶναι γεννωμένους ἐν τῇ Περσίδι μικρὸν ὑπὲρ τὴν Ἰβηρίαν, τούτους δὲ τέως μὲν ἐπὶ κοντῶν μεγάλων ἐκδεδεμένους ὑψηλοὺς αἰωρεῖσθαι καὶ πόρρωθεν ἐπελαυνόντων δέος ἐμποιεῖν, ἐν αὐτῷ δὲ τῷ ἔργῳ ἐπειδὰν ὁμοῦ ἴωσι, λύσαντες αὐτοὺς ἐπαφιᾶσι τοῖς πολεμίοις· ἀμέλει πολλοὺς τῶν ἡμετέρων οὕτω καταποθῆναι καὶ ἄλλους περισπειραθέντων αὐτοῖς ἀποπνιγῆναι καὶ συγκλασθῆναι. ταῦτα δὲ ἐφεστὼς ὁρᾶν αὐτός, ἐν ἀσφαλεῖ μέντοι ἀπὸ δένδρου ὑψηλοῦ ποιούμενος τὴν σκοπήν.

3 (12) — —: καὶ εὖ γε ἐποίησε μὴ ὁμόσε χωρήσας τοῖς θηρίοις, ἐπεὶ οὐκ ἂν ἡμεῖς οὕτω θαυμαστὸν συγγραφέα νῦν εἴχομεν καὶ ἀπὸ χειρὸς αὐτὸν μεγάλα καὶ λαμπρὰ ἐν τῷ πολέμῳ τούτῳ ἐργασάμενον· καὶ γὰρ ἐκινδύνευσε πολλὰ καὶ ἐτρώθη περὶ Σοῦραν, ἀπὸ τοῦ Κρανείου δῆλον ὅτι βαδίζων ἐπὶ τὴν Λέρναν. καὶ ταῦτα Κορινθίων ἀκουόντων ἀνεγίνωσκε τῶν ἀκριβῶς εἰδότων, ὅτι μηδὲ κατὰ τοίχου γεγραμμένον πόλεμον ἑωράκει.

4 (12) — —: ἀλλ' οὐδὲ ὅπλα ἐκεῖνός γε ἤιδει οὐδὲ μηχανήματα οἷά ἐστιν οὐδὲ τάξεων ἢ καταλοχισμῶν ὀνόματα· πάνυ γοῦν ἔμελεν αὐτῷ πλαγίαν μὲν τὴν φάλαγγα, ἐπὶ κέρως δὲ λέγειν τὸ ἐπὶ μετώπου ἄγειν.

## 205. ANONYMOS VON MILET.

F

1 (1) LUKIAN. Quom. hist. conscr. 14: εἷς μέν τις αὐτῶν ἀπὸ Μουσῶν εὐθὺς ἤρξατο παρακαλῶν τὰς θεὰς συνεφάψασθαι τοῦ συγγράμματος .... εἶτα μικρὸν ὑποβὰς Ἀχιλλεῖ μὲν τὸν ἡμέτερον ἄρχοντα εἴκαζε, Θερσίτῃ δὲ τὸν τῶν Περσῶν βασιλέα .... εἶτ' ἐπῆγεν ὑπὲρ αὐτοῦ τι ἐγκώμιον καὶ ὡς ἄξιος εἴη συγγράψαι τὰς πράξεις οὕτω λαμπρὰς οὔσας. ἤδη δὲ κατιὼν ἐπῄνει καὶ τὴν πατρίδα τὴν Μίλητον, προσιθεὶς ὡς ἄμεινον ποιεῖ τοῦτο τοῦ Ὁμήρου μηδὲν μνησθέντος τῆς πατρίδος. εἶτ' ἐπὶ τέλει τοῦ φροιμίου ὑπισχνεῖτο διαρρήδην καὶ σαφῶς ἐπὶ μεῖζον μὲν αἴρειν τὰ ἡμέτερα, τοὺς βαρβάρους δὲ καταπολεμήσειν καὶ αὐτός, ὡς ἂν δύνηται· καὶ ἤρξατό γε τῆς ἱστορίας οὕτως, αἴτια ἅμα τῆς τοῦ πολέμου ἀρχῆς διεξιών· «ὁ γὰρ μιαρώτατος καὶ κάκιστα ἀπολούμενος Οὐολόγεσος ἤρξατο πολεμεῖν δι' αἰτίαν τοιάνδε.»

1 ὧδέ πως Victorius 9 ὧσι Cobet 26 εἴκαζε Φ —σε Ω 30 ποιεῖ Φ ποιοῖ Ω (?) ποιεῖν τοῦτο ἢ τὸ Fritzsche 31 ἄρειν Dindorf 34—35 οὐολόγεσσος Ω

## 206. ANONYMER PHILOSOPH.

F

1 (4) LUKIAN. Quom. hist. conscr. 17: *εἰ δέ με δεῖ καὶ σοφοῦ ἀνδρὸς μνησθῆναι, τὸ μὲν ὄνομα ἐν ἀφανεῖ κείσθω, τὴν γνώμην δὲ ἐρῶ καὶ τὰ πρώιην ἐν Κορίνθωι συγγράμματα κρείττω πάσης ἐλπίδος. ἐν ἀρχῇι μὲν γὰρ εὐθὺς ἐν τῇι πρώτηι τοῦ προοιμίου περιόδωι συνηρώτησε τοὺς ἀναγινώσκοντας λόγον πάνσοφον δεῖξαι σπεύδων, ὡς μόνωι ἂν τῶι σοφῶι πρέποι ἱστορίαν συγγράφειν. εἶτα μετὰ μικρὸν ἄλλος συλλογισμός, εἶτα ἄλλος· καὶ ὅλως ἐν ἅπαντι σχήματι συνηρώτητο αὐτῶι τὸ προοίμιον. τὸ ⟨δὲ⟩ τῆς κολακείας ἐς κόρον, καὶ τὰ ἐγκώμια φορτικὰ καὶ κομιδῆι βωμολοχικά, οὐκ ἀσυλλόγιστα μέντοι, ἀλλὰ συνηρωτημένα κἀκεῖνα. καὶ μὴν κἀκεῖνο φορτικὸν ἔδοξέ μοι καὶ ἥκιστα σοφῶι ἀνδρὶ καὶ πώγωνι πολιῶι καὶ βαθεῖ πρέπον, τὸ ἐν τῶι προοιμίωι εἰπεῖν, ὡς ἐξαίρετον τοῦτο ἕξει ὁ ἡμέτερος ἄρχων, οὗ γε τὰς πράξεις καὶ φιλόσοφοι ἤδη συγγράφειν ἀξιοῦσι.*

---

## 207. ANTIOCHIANOS.

F

1 (13) LUKIAN. Quom. hist. conscr. 30: *εἷς δέ τις βέλτιστος ἅπαντα ἐξ ἀρχῆς ἐς τέλος τὰ πεπραγμένα, ὅσα ἐν Ἀρμενίαι, ὅσα ἐν Συρίαι, ὅσα ἐν Μεσοποταμίαι τὰ ἐπὶ τῶι Τίγρητι, τὰ ἐν Μηδίαι, πεντακοσίοις οὐδ' ὅλοις ἔπεσι περιλαβὼν συνέτριψε καὶ τοῦτο ποιήσας ἱστορίαν συγγεγραφέναι φησί. τὴν μέντοι ἐπιγραφὴν ὀλίγου δεῖν μακροτέραν τοῦ βιβλίου ἐπέγραψεν· «Ἀντιοχιανοῦ τοῦ Ἀπόλλωνος ἱερονίκου» — δόλιχον γάρ που οἶμαι ἐν παισὶ νενίκηκε — «τῶν ἐν Ἀρμενίαι καὶ Μεσοποταμίαι καὶ ἐν Μηδίαι νῦν Ῥωμαίοις πραχθέντων ἀφήγησις.»*

---

## 208. CREPEREIUS CALPURNIANUS VON POMPEIOPOLIS.

F

1 (2) LUKIAN. Quom. hist. conscr. 15: *ἕτερος δὲ Θουκυδίδου ζηλωτὴς ἄκρος . . . καὶ τὴν ἀρχὴν ὡς ἐκεῖνος σὺν τῶι ἑαυτοῦ ὀνόματι ἦρξατο, χαριεστάτην ἀρχῶν ἁπασῶν καὶ θύμου τοῦ Ἀττικοῦ ἀποπνέουσαν. ὅρα γάρ· «Κρεπερήιος Καλπουρνιανὸς Πομπηιουπολίτης*

3 *με δεῖ* Ω *μέ..λει* Φ 6 *προόδωι* Ω 8 *πρέποι* ΦΕ *πρέπει* Ω *πρέπειν* Δ 10 ⟨*δὲ*⟩ Fritzsche 13 *πρέπον τὸ ἐν* Ω (?) *πρέποντι ἐν* Φ 14 *οὔ τε* Φ 22 *ἀντιοχειανοῦ* Φ *ἱεροανίκου* Φ 23 *παισὶ* Ε *παιέαι* Γ *παιέσει* Φ 30 *Κρεπερήιος* Hermann *κρεπέριος* Φ *κρεπέρηος* Ω Ε *καλπουριανὸς* Φ *Πομπηιοπολίτης* Cobet

*συνέγραψε τὸν πόλεμον τῶν Παρθυαίων καὶ Ῥωμαίων ὡς ἐπολέμησαν πρὸς ἀλλήλους ἀρξάμενος εὐθὺς ξυνισταμένου.*»

2 (2) LUKIAN. Quom. hist. conscr. 15: *ὥστε μετά γε τοιαύτην ἀρχὴν τί ἂν σοι τὰ λοιπὰ λέγοιμι, ὁποῖα ἐν Ἀρμενίαι ἐδημηγόρησε τὸν Κερκυραῖον αὐτὸν ῥήτορα παρασησάμενος.*

3 (2) — —: *ἢ οἷον Νισιβηνοῖς λοιμὸν τοῖς μὴ τὰ Ῥωμαίων αἱρουμένοις ἐπήγαγε παρὰ Θουκυδίδου χρησάμενος ὅλον ἄρδην πλὴν μόνου τοῦ Πελασγικοῦ καὶ τῶν τειχῶν τῶν μακρῶν, ἐν οἷς οἱ τότε λοιμώξαντες ὠικησαν. τὰ δ' ἄλλα καὶ ἀπὸ Αἰθιοπίας ἤρξατο, ὥστε καὶ ἐς Αἴγυπτον κατέβη καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν, καὶ ἐν ἐκείνηι γε ἔμεινεν εὖ ποιῶν. ἐγὼ γοῦν θάπτοντα ἔτι αὐτὸν καταλιπὼν τοὺς ἀθλίους Ἀθηναίους ἐν Νισίβι ἀπῆλθον ἀκριβῶς εἰδὼς καὶ ὅσα ἀπελθόντος ἐρεῖν ἔμελλε . . . . . .*

4 (2) — —: *νὴ Δία κἀκεῖνο ὀλίγου δεῖν παρέλιπον· ὁ γὰρ αὐτὸς οὗτος συγγραφεὺς πολλὰ καὶ τῶν ὅπλων καὶ τῶν μηχανημάτων, ὡς Ῥωμαῖοι αὐτὰ ὀνομάζουσιν, οὕτως ἀνέγραψε, καὶ τάφρον ὡς ἐκεῖνοι καὶ γέφυραν καὶ τὰ τοιαῦτα . . . . . .*

---

## 209. DEMETRIOS VON SAGALASSOS.

*ΠΑΡΘΟΝΙΚΙΚΑ.*

1 (15) LUKIAN. Quom. hist. conscr. 32: *ἄλλος ἀστειότερον παρὰ πολύ — ἀνέγνων γάρ — «Δημητρίου Σαγαλασσέως Παρθονικικά»* (sc. *ἐπέγραψεν*).

---

## 210. KALLIMORPHOS.

*ΙΣΤΟΡΙΑΙ ΠΑΡΘΙΚΑΙ.*

1 (3) LUKIAN. Quom. hist. conscr. 16: *ἄλλος δέ τις αὐτῶν ὑπόμνημα τῶν γεγονότων γυμνὸν συναγαγὼν ἐν γραφῆι κομιδῆι πεζὸν καὶ χαμαιπετές, οἷον καὶ στρατιώτης ἄν τις τὰ καθ' ἡμέραν ἀπογραφόμενος συνέθηκεν ἢ τέκτων ἢ κάπηλός τις συμπερινοστῶν τῆι στρατιᾶι. πλὴν ἀλλὰ μετριώτερός γε ὁ ἰδιώτης οὗτος ἦν, αὐτὸς μὲν αὐτίκα δῆλος ὢν οἷος ἦν, ἄλλωι δέ τινι χαρίεντι καὶ δυνησομένωι ἱστορίαν μεταχειρίσασθαι προπεπονηκώς. τοῦτο μόνον ἠτιασάμην αὐτοῦ, ὅτι οὕτως ἐπέγραψε τὰ βιβλία τραγικώτερον ἢ κατὰ τὴν τῶν συγγραμμάτων τύχην· «Καλλιμόρφου*

---

1 ξυνέγραψε Dindorf 5 αὐτοῦ Victorius 8 οἱ τότε Ω ὁπότε ΦΕ 9 ὡς τότε, καὶ Fritzsche εἶτα καὶ Sauppe 10 γῆν Ω Thuk τὴν γὴν ΦΕ 10—11 ἐγὼ που Φ ἐγὼ δ' οὖν Fritzsche 13 νὴ Δία κἀκεῖνο vulg ἥδια (ἢ δία) κἀκεῖνα ΦΕΩ παρέλειπον ΩΕ 20 σαγαλασσέως Φ σαγλασσέως Ω 20—21 Παρθονικικά A vulg παρθενικὰ Ω Παρθυηνικὰ ⟨μελετήματα⟩ Fritzsche 24 αὐτῶ ΩΦ 26 ἀπογραφόμενος Ω (?) vulg ὑπο— Φ 29 τινι: τι Φ 31 τὴν τῶν Ω vulg τῶν Φ

*ἰατροῦ τῆς τῶν κοντοφόρων ἕκτης Ἱστοριῶν Παρθικῶν*, καὶ ὑπεγέγραπτο ἑκάστῃ ὁ ἀριθμός.

2 (3) LUKIAN. Quom. hist. conscr. 16: καὶ νὴ Δία καὶ τὸ προοίμιον ὑπέρψυχρον ἐποίησεν οὕτως συναγαγών· οἰκεῖον εἶναι ἰατρῷ ἱστορίαν συγγράφειν, εἴ γε ὁ Ἀσκληπιὸς μὲν Ἀπόλλωνος υἱός, Ἀπόλλων δὲ Μουσηγέτης καὶ πάσης παιδείας ἄρχων.

3 (3) — —: καὶ ὅτι ἀρξάμενος ἐν τῇ Ἰάδι γράφειν οὐκ οἶδα ὅ τι δόξαν αὐτίκα μάλα ἐπὶ τὴν κοινὴν μετῆλθεν, *ἰητρείην* μὲν λέγων καὶ *πείρην* καὶ *ὁκόσα* καὶ *νοῦσοι*, τὰ δ' ἄλλα ὁμοδίαιτα τοῖς πολλοῖς, καὶ τὰ πλεῖστα οἷα ἐκ τριόδου.

---

## 211. SCHRIFTSTELLER ÜBER SEPTIMIUS SEVERUS. ANTIPATROS VON HIERAPOLIS.

a. 193—211

T

1 (—) HERODIAN. II 15, 5: ἐπεὶ δὲ αὐτῶι (sc. Σεβήρωι) τὰ πρὸς τὸν Ἀλβῖνον διὰ σοφίας ἀσφαλῶς εἶχεν οὐδέ τι δέος ἦν ἀπὸ Βρεττανίας, τό τε Ἰλλυρικὸν στράτευμα σὺν αὐτῶι πᾶν εἶχε, .... ἐπὶ τὸν Νίγρον ἠπείγετο. (6) τῆς μὲν οὖν ὁδοιπορίας τοὺς σταθμοὺς καὶ τὰ καθ' ἑκάστην πόλιν αὐτῶι λεχθέντα καὶ σημεῖα θεῖαι προνοίαι δόξαντα πολλάκις φανῆναι χωρία τε ἕκαστα καὶ παρατάξεις καὶ τὸν τῶν ἑκατέρωθεν πεσόντων ἀριθμὸν στρατιωτῶν ἐν ταῖς μάχαις *ἱστορίας τε πολλοὶ συγγραφεῖς καὶ ποιηταὶ μέτρωι πλατύτερον συνέταξαν, ὑπόθεσιν ποιούμενοι πάσης τῆς πραγματείας τὸν Σεβήρου βίον*. (7) ἐμοὶ δὲ σκοπὸς ὑπάρχει ἐτῶν ἑβδομήκοντα πράξεις πολλῶν βασιλέων συντάξαντι γράψαι ἃς αὐτὸς οἶδα. τὰ κορυφαιότατα τοίνυν καὶ συντέλειαν ἔχοντα τῶν κατὰ μέρος πεπραγμένων Σεβήρωι ἐν τοῖς ἑξῆς διηγήσομαι, οὐδὲν *οὔτε πρὸς χάριν ἐς ὕψος ἐξαίρων, ὥσπερ ἐποίησαν οἱ κατ' ἐκεῖνον γράψαντες, οὔτε παραλείπων εἴ τι λόγου καὶ μνήμης ἄξιον*.

2 (—) CASS. DION LXXIII 23, 1: *βιβλίον τι περὶ τῶν ὀνειράτων καὶ τῶν σημείων δι' ὧν ὁ Σεουῆρος τὴν αὐτοκράτορα ἀρχὴν ἤλπισε*, γράψας ἐδημοσίευσα. (2) καὶ αὐτῶι καὶ ἐκεῖνος πεμφθέντι παρ' ἐμοῦ ἐντυχὼν πολλά μοι καὶ καλὰ ἀντεπέστειλε. ταῦτ' οὖν ἐγὼ τὰ γράμματα πρὸς ἑσπέραν ἤδη λαβὼν κατέδαρθον, καί μοι καθεύδοντι προσέταξε τὸ δαιμόνιον ἱστορίαν γράφειν· καὶ οὕτω δὴ ταῦτα

---

7 συγγράφειν Ω 8 ἰατρείην Ω ἰατρικὴν Φ ἰητρείαν o. ἰητρικὴν Solanus 9 πείρην Dindorf 17 οὖν add a g καὶ τὰ om O 20 τῶν ἐν O 21 μέτρων i 23 συνέξαντι i 26—27 οἱ τὰ ἐκείνου O 27 παραλιπὼν δ τι O 32 ταῦτ' C τοιαῦτ' V 33 γράφειν Reiske γραφῆναι V C

περὶ ὧν νῦν καθίσταμαι ἔγραψα. (3) καὶ ἐπειδή γε τοῖς τε ἄλλοις καὶ αὐτῶι τῶι Σευήρωι μάλιστα ἤρεσε, τότε δὴ καὶ τἆλλα πάντα τὰ τοῖς Ῥωμαίοις προσήκοντα συνθεῖναι ἐπεθύμησα. καὶ διὰ τοῦτο οὐκέτι ἰδίαι ἐκεῖνο ὑπολιπεῖν ἀλλ' ἐς τήνδε τὴν συγγραφὴν ἐμβαλεῖν ἔδοξέ μοι, ἵν' ἐν μιᾶι πραγματείαι ἀπ' ἀρχῆς πάντα, μέχρις ἂν καὶ τῆι Τύχηι δόξηι, γράψας καταλίπω.

3 (—) PHILOSTRAT. Vit. Soph. II 24: Ἀντιπάτρωι δὲ τῶι σοφιστῆι πατρὶς μὲν ἦν Ἱεράπολις .... πατὴρ δὲ Ζευξίδημος τῶν ἐπιφανεστάτων ἐκείνηι, Ἀδριανῶι δὲ καὶ Πολυδεύκει φοιτήσας ἀπὸ τοῦ Πολυδεύκους μᾶλλον ἥρμοσται .... ἀκροασάμενος δὲ καὶ Ζήνωνος τοῦ Ἀθηναίου τὸ περὶ τὴν τέχνην ἀκριβὲς ἐκείνου ἔμαθεν. αὐτοσχέδιος δὲ ὢν οὐδὲ φροντισμάτων ἠμέλει, ἀλλ' Ὀλυμπικούς τε ἡμῖν διήιει καὶ Παναθηναικούς, καὶ ἐς ἱστορίαν ἔλαβε τὰ Σεβήρου τοῦ βασιλέως ἔργα, ὑφ' οὗ μάλιστα ταῖς βασιλείοις ἐπιστολαῖς ἐπιταχθεὶς λαμπρόν τι ἐν αὐταῖς ἤχησεν. ἐμοὶ μὲν γὰρ δὴ ἀποπεφάνθω μελετῆσαι μὲν καὶ ξυγγράψαι τοῦ ἀνδρὸς τούτου πολλοὺς βέλτιον, ἐπιστεῖλαι δὲ μηδένα ἄμειγνον ..... ὑπάτοις δὲ ἐγγραφεὶς ἦρξε μὲν τοῦ τῶν Βιθυνῶν ἔθνους, δόξας δὲ ἑτοιμότερον χρῆσθαι τῶι ξίφει τὴν ἀρχὴν παρελύθη. βίου μὲν δὴ ὀκτὼ καὶ ἑξήκοντα ἔτη τῶι Ἀντιπάτρωι ἐγένετο, καὶ ἐτάφη οἴκοι. λέγεται δὲ ἀποθανεῖν καρτερίαι μᾶλλον ἢ νόσωι. διδάσκαλος μὲν γὰρ τῶν Σεβήρου παίδων ἐνομίσθη καὶ θεῶν διδάσκαλον ἐκαλοῦμεν αὐτὸν ἐν τοῖς ἐπαίνοις τῆς ἀκροάσεως· ἀποθανόντος δὲ τοῦ νεωτέρου σφῶν ἐπ' αἰτίαι ὡς τῶι ἀδελφῶι ἐπιβουλεύοι (a. 212), γράφει πρὸς τὸν πρεσβύτερον ἐπιστολὴν μονωιδίαν ἐπέχουσαν καὶ θρῆνον ..... ὑφ' ὧν παροξυνθῆναι τὸν βασιλέα μὴ ἀπιστῶμεν .....

F

ΑΝΤΙΠΑΤΡΟΥ ΕΡΓΑ (?) ΣΕΒΗΡΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ.

## 212. EPHOROS DER JÜNGERE.

a. 253 (?) — 268

T

1 (III 664) SUID. s. Ἔφορος· Κυμαῖος, ἱστορικός, ὁ νεώτερος. ἔγραψε τὰς Γαλ⟨ι⟩ηνοῦ ἱστορίας ἐν βιβλίοις κζ· Κορινθιακά· Περὶ τῶν Ἀλευαδῶν· καὶ ἄλλα.

F

ΓΑΛΗΝΟΥ ΙΣΤΟΡΙΩΝ Α—ΚΖ.

1 τοῖς τε ἄλλοις Sylburg τοῖς τότε ἄλλοις (ἀλλήλοις C) V C τοῖς τότε ἀνθρώποις? Boissevain 31 Γαλιηνοῦ edd γαληνοῦ A

## 213–215. SCHRIFTSTELLER ÜBER AURELIAN. a. 270–27

### T

1 Script. Hist. Aug. XXVI 1, 3: *cumque ad templum Solis venissemus* (der stadtpräfekt Iunius Tiberianus und der sog. Flavius Vopiscus) *ab Aureliano principe consecratum, ..... quaesivit a me, quis vitam eius in literas rettulisset.* (4) *cui cum ego respondissem neminem a me Latinorum, Graecorum aliquos lectitatos, dolorem gemitus sui vir sanctus per haec verba profundit:* '..... (6) *et tamen, si bene novi, ephemeridas illius viri scriptas habemus, etiam bella charactere historico digesta; quae velim accipias et per ordinem scribas, additis quae ad vitam pertinent.* (7) *quae omnia ex libris linteis, in quibus ipse cotidiana sua scribi praeceperat, pro tua sedulitate condisces. curabo autem, ut tibi ex Ulpia bibliotheca et libri lintei proferantur. .....*' (9) *parui Tiberiani praeceptis, accepi libros Graecos, et omnia mihi necessaria in manum sumpsi, ex quibus ea, quae digna erant memoratu, in unum libellum contuli.* (10) ..... *si hoc contentus non fueris, lectites Graecos, linteos etiam libros requiras, quos Ulpia tibi bibliotheca, cum volueris, ministrabit.*

### F

1 (III 665) Script. Hist. Aug. XXVI 15, 2: *memini me in quodam libro Graeco legisse, quod tacendum esse non credidi, mandatum esse Crinito a Valeriano, ut Aurelianus adoptaretur idcirco praecipue quod pauper esset.*

2 (III 665) — — 16, 2: *hoc loco tanta est diversitas historicorum, et quidem Graecorum, ut alii dicant invito Claudio ab Aureliano Aureolum interfectum, alii mandante ac volente, alii ab imperatore iam Aureliano eundem occisum, alii vero adhuc a privato.*

3 (—) — XXIX 2, 1: .... *cum ille diceret Firmum, qui Aureliani temporibus Aegyptum occupaverat, latrunculum fuisse, non principem, contra ego ..... illum et purpura usum et percussa moneta Augustum esse vocitatum, cum etiam nummos eius Severus Arcontius protulit, de Graecis autem Aegyptiisque libris convicit, illum autocratora in edictis suis esse vocatum.*

4 (—) — — 3, 1: *Firmo patria Seleucia fuit, tametsi plerique Graecorum alteram tradunt, ignari eo tempore ipso tres fuisse Firmos .....*

---

## 213. KALLIKRATES VON TYROS. a. 270–27

### F

1 (III 665) Script. Hist. Aug. XXVI 4, 2: *matrem quidem eius* (sc. Aureliani) *Callicrates Tyrius, Graecorum longe doctissimus scriptor, sacerdotem templi Solis † qui in vico eo in quo habitabant parentes fuisse dicit.* (3) *habuisse quin etiam*

---

7 *dolorem gemitus sui*: *ardorem g. s.* Oberdick *dolorem in gemitus* Baehrens *ingemiscens* o. *gemitu is* Peter 13 *parui Tiberiani* Peter *parui tiberiane* cod. Laurent *parrumipiane* P *parui plane* Petschenig 14 *ea* Peter *et* P M 36 [*qui*] vulg *sui* Mommsen *et quidem* Bitschofsky s. u. p. 945, 23

*nonnihilum divinationis, adeo ut aliquando marito suo iurgans ingesserit, cum eius et stultitiam increparet et vilitatem: 'en imperatoris patrem.' ex quo constat illam mulierem scisse fatalia.*

(4) *idem dicit auspicia imperii Aureliano haec fuisse: primum pueri eius pelvem serpentem plerumque cinxisse neque unquam occidi potuisse, postremo ipsam matrem, quae hoc viderat, serpentem quasi familiarem occidere noluisse.* (5) *his accedit quod ex palliolo purpureo, quod Soli sui temporis imperator optulerat, sacerdos mulier crepundia filio fecisse perhibetur.* (6) *addit etiam illud, quod vinctum fasceola Aurelianum aquila innoxie de cunis levaverit et in aram posuerit, quae iuxta sacellum forte sine ignibus erat.* (7) *idem auctor est vitulum matri eius natum mirae magnitudinis, candidum sed purpurantibus maculis, ita ut haberet in latere uno 'ave imperator', in alio coronam.* (8) *multa superflua in eodem legisse memini, quippe qui adseruerit etiam rosas in eiusdem mulieris horto nato Aureliano exisse purpureas, odoris rosei, floris aurei.*

(9) *fuerunt et postea multa omina iam militanti futuri, ut res monstravit, imperii.* (10) *nam ingrediente eo Antiochiam in vehiculo, quod prae vulnere tunc equo sedere non posset, ita pallium purpureum, quod in honore eius pansum fuerat, decidit, ut umeros eius tegeret.* (11) *et cum in equum transire vellet, quia invidiosum tunc erat vehiculis in civitate uti, equus est ei imperatoris adplicitus, cui per festinationem insedit. sed ubi comperit, semet ad suum transtulit.* (12) *data est ei praeterea, cum legatus ad Persas isset, patera, qualis solet imperatoribus dari a rege Persarum, in qua insculptus erat Sol eo habitu, quo colebatur ab eo templo, in quo mater eius fuerat sacerdos.* (13) *donatus eidem etiam elefantus praecipuus, quem ille imperatori optulit, solusque omnium privatus Aurelianus elefanti dominus fuit.*

(a. 270/75)

## 214. THEOKLIOS (?).

### F

1 (III 665) SCRIPT. HIST. AUG. XXVI 6, 3: *privati huius* (sc. Aureliani) *multa exstant egregia facinora. nam erumpentes Sarmatas in Illyrico cum trecentis praesidiariis solus adtrivit.* (4) *refert Theoclius, Caesareanorum temporum scriptor Aurelianum manu sua bello Sarmatico una die quadraginta et octo interfecisse, plurimis autem et diversis diebus ultra nongentos quinquaginta, adeo ut etiam ballistia pueri et saltatiunculas ⟨componerent in⟩ Aurelianum tales, quibus diebus festis militariter saltitarent:* (5) *'mille mille mille decollavimus. | unus homo mille decollavimus. | mille bibat qui mille occidit. | tantum vini nemo habet, quantum fudit sanguinis.'* (6) *haec video esse perfrivola, sed*

3 *scisse: cesse* P¹ 9 *fasceolum* P¹ 10 *auctores* P¹ *auctores est* P² 12 *ave imperator* Kellerbauer *avetr* P (*ave* post ras.) 13 ⟨*me*⟩ *memini* Lessing *adseruerit* Baehrens *adseuerit* P *adseveret* Petschenig 15 *militanti* vulg —*is* P 21—22 *imperatoris* P 28 *privati* edd *privatim* P 30 *Theo Chius* o. *Theoclytus* o. *Theocles* Casaubonus *Theocles* o. *Theoclus* CMueller 30—31 *Caesariacnus, eorum temporum* Madvig 33 ⟨*in*⟩ edd ⟨*componerent*⟩ nach *tales* Egnatius *tales quibus⟨dam⟩ diebus*? Peter 35 *bibat* Buecheler *vivat* P *mille annos vivat* B²

*quia supra scriptus auctor ita eadem ut sunt Latina suis scriptis inseruit, tacenda esse non credidi.*

(7) *idem apud Mogontiacum tribunus legionis sextae Gallicanae Francos inruentes, cum vagarentur per totam Galliam, sic adflixit, ut trecentos ex his captos septingentis interemptis sub corona vendiderit.* (2) *unde iterum de eo facta est cantilena: 'mille Sarmatas, mille Francos semel et semel occidimus, mille Persas quaerimus.'*

## 215. NIKOMACHOS.

F

1 (III 664) SCRIPT. HIST. AUG. XXVI 26: *post haec Palmiram iter flexit* (sc. Aurelianus) . . . *sed in itinere a latronibus Syris male accepto frequenter exercitu multa perpessus est et in obsidione usque ad ictum sagittae periclitatus est.* (2) *epistula ipsius extat ad Mucaporem missa, in qua de huius belli difficultate ultra pudorem imperialem fatetur.* (3—5 text des briefes. 6) *denique fatigatus ac prope malis fessus litteras ad Zenobiam misit deditionem illius petens, vitam promittens, quarum exemplum indidi:* (7) *'Aurelianus imperator Romani orbis et receptor orientis Zenobiae ceterisque, quos societas tenet bellica.* (8) *sponte facere debuistis id quod meis litteris nunc iubetur. deditionem enim praecipio inpunitate vitae proposita, ita ut illic, Zenobia, cum tuis agas vitam, ubi te ex senatus amplissimi sententia collocavero.* (9) *gemmas aurum argentum sericum equos camelos in Romanum aerarium conferatis. Palmyrenis ius suum servabitur.'* (27) *hac epistula accepta Zenobia superbius insolentiusque rescripsit, quam eius fortuna poscebat, credo ad terrorem. nam eius quoque epistulae exemplum indidi:* (2) *'Zenobia regina orientis Aureliano Augusto. nemo adhuc praeter te hoc quod poscis litteris petit. virtute faciendum est quidquid in rebus bellicis est gerendum.* (3) *deditionem meam petis, quasi nescias Cleopatram reginam perire maluisse quam in qualibet vivere dignitate.* (4) *nobis Persarum auxilia non desunt, quae iam speramus; pro nobis sunt Saraceni, pro nobis Armenii.* (5) *latrones Syri exercitum tuum, Aureliane, vicerunt. quid igitur si illa venerit manus, quae undique speratur? pones profecto supercilium, quo nunc mihi deditionem, quasi omnifariam victor, imperas.'*

(6) *hanc epistulam Nicomachus se transtulisse in Graecum ex lingua Syrorum dicit ab ipsa Zenobia dictatam. nam illa superior Aureliani Graeca missa est.*

## 216. ONASIMOS VON KYPROS (O. SPARTA).

a. 276—282

T

1 (III 728) SUID. s. *Ὀνάσιμος· Κύπριος ἢ Σπαρτιάτης· ἱστορικὸς καὶ σοφιστής, τῶν ἐπὶ Κωνσταντίνου* (323—337) *γενομένων. ἔγραψε Στάσεων διαιρέσεις· Τέχνην δικανικὴν πρὸς Ἀψίνην· Περὶ ἀντιρρητικῆς τέχνης· Προγυμνάσματα· Μελέτας· Ἐγκώμια· καὶ ἄλλα πλείστα.*

---

3 *Mogontiacum* Peter *montiacum* P 5 *de eo*: *deo* P 15 *prope* Peter *pro* P *prae* Casaubonus *proprie* Unger 23 *nam*: *iam* Oberdick 27 *dignitate*: *captivitate* Baehrens 32 *nichomachus* P 38 *κωνσταντίου* B *κωνσταντ'* E

F

*VITA PROBI.*

1 (1) SCRIPT. HIST. AUG. XXIX 13, 1: *hic* (sc. Proculus) *tamen cum etiam post honores militares* [*cum*] *se improbe libidinose tamen fortiter gereret, hortantibus Lugdunensibus, qui et ab Aureliano* (270—275) *graviter contusi videbantur et Probum vehementissime pertimescebant, in imperium vocitatus est, ludo paene ac ioco, ut Onesimus dicit, quod quidem apud nullum alium repperisse me scio.* (2) *nam cum in quodam convivio ad latrunculos luderetur, atque ipse decies imperator exisset, quidam non ignobilis scurra 'ave' inquid 'Auguste', adlataque lana purpurea umeris eius iunxit eumque adoravit. timor inde consciorum atque inde iam exercitus temptatio et imperii.*

2 (2) — — 14, 3: (Bonosus starker trinker) *de hoc Aurelianus saepe dicebat 'non ut vivat, natus est, sed ut bibat'.* (4) *quem quidem diu in honore habuit causa militiae. nam si quando legati barbarorum undecumque gentium venissent, ipsi propinabantur, ut eos inebriaret atque ab his per vinum cuncta cognosceret. ipse quantumlibet bibisset, semper securus et sobrius et, ut Onesimus dicit, scriptor vitae Probi, adhuc in vino prudentior.*

3 (3) — XXX 4, 2: *Onesimus enim, qui diligentissime Vitam Probi scripsit, Romae illum et natum et eruditum sed Illyricianis parentibus fuisse contendit.* (3) *sed Fabius Ceryllianus* (217 F 1) . . . . . .

4 (4—5) a) — — 7, 3: *nam exstant etiam literae Cari, quibus aput praefectum suum de Carini moribus queratur, ut appareat verum esse, quod Onesimus dicit, habuisse in animo Carum, ut Carino Caesareanum abrogaret imperium.* b) — — 16, 1: *Carinus, homo omnium contaminatissimus, adulter, frequens corruptor iuventutis — pudet dicere, quod in literas Onesimus retulit — . . . .* c) — — 17, 6: *statuerat denique* (sc. Carus) *Constantium, qui postea Caesar est factus, tunc autem praesidiatum Dalmatiae administrabat, in locum eius subrogare, quod nemo tunc vir melior videbatur, illum vero, ut Onesimus dicit, occidere.*

ANHANG.

5 (—) SCRIPT. HIST. AUG. XXVIII 3, 3: *multi dicunt Probum Claudi propinquum fuisse, optimi et sanctissimi principis, quod, quia per unum tantum Graecorum relatum est, nos in medio relinquemus.* (4) *unum tamen dico, quod in Ephemeride legisse me memini, a Claudia sorore Probum sepultum.*

## 217. FABIUS CERYLLIANUS.

F

1 (—) SCRIPT. HIST. AUG. XXX 4: *Cari patria sic ambigue a plerisque proditur, ut prae summa varietate dicere nequeam, quae illa vera sit.* (2) *Onesimus* (216 F 3) *enim, qui diligentissime vitam Probi scripsit, Romae illum et natum et eruditum, sed Illyricianis parentibus fuisse contendit.* (3) *sed Fabius Ceryllianus, qui tempora Cari, Carini et Numeriani sollertissime persecutus est, neque Romae sed in Illyrico genitum, neque Pannoniis sed Poenis parentibus adserit natum.*

4 [*cum*] edd *gereret* Baehrens *regeret* P 15 *ipsis propinabat* ed. pr. 32 *graecarum* P¹ 39 *favius* P¹

## 218. CLAUDIUS EUSTHENIUS. 284—311

F

1 (III 729) SCRIPT. HIST. AUG. XXX 18, 3: *post quos Diocletianum et Maximianum principes di dederunt, iungentes talibus viris Galerium atque Constantium* ..... (5) *quorum vitam singulis libris Claudius Eusthenius, qui Diocletiano ab epistulis fuit, scripsit.*

---

## 219. PRAXAGORAS VON ATHEN. a. 306—336?

T

1 (IV 2) PHOT. Bibl. 62: *ἀνεγνώσθη Πραξαγόρου τοῦ Πραξαγόρου* [τοῦ] *Ἀθηναίου τῆς κατὰ τὸν μέγαν Κωνσταντῖνον ἱστορίας βιβλία δύο. ἐν οἷς λόγοις διέξεισιν ὅτι ὁ πατὴρ Κωνσταντίνου Κωνστάντιος Βρετανίας ἐβασίλευσε, Μαξιμῖνος δὲ τῆς Ῥώμης καὶ τῆς ἄλλης Ἰταλίας καὶ Σικελίας, ὁ δὲ ἕτερος Μαξιμῖνος τῆς τε Ἑλλάδος καὶ Μακεδονίας καὶ τῆς κάτω Ἀσίας καὶ Θράικης, Διοκλητιανὸς δὲ ὁ καὶ τῶν ἄλλων πρεσβύτατος τῆς τε Βιθυνίας ἦρχε καὶ τῆς Ἀραβίας καὶ τῆς Λιβύης καὶ τῆς Αἰγύπτου, ὅσην ὁ Νεῖλος ἐπερχόμενος ἄρδει. (2) τὸν οὖν Κωνσταντῖνον ὁ πατὴρ πέμπει παρὰ Διοκλητιανὸν εἰς Νικομήδειαν παιδευθησόμενον. παρὼν δέ, φησί, Μαξιμῖνος ὁ τῆς κάτω Ἀσίας βασιλεύων εἰς ἐπιβουλὰς ὥρμησε τοῦ νέου, καὶ πρὸς μάχην λέοντι ἀγρίωι καθίστησι τὸν νεανίαν· ὁ δὲ τὸ μὲν θηρίον κρατήσας ἀνεῖλε, τῆς δὲ ἐπιβουλῆς αἰσθόμενος φεύγει πρὸς τὸν πατέρα.* (3) *οὗ τὸν βίον λιπόντος ὁ παῖς ἐκδέχεται τὴν βασιλείαν.* a. 306 *ταύτης δὲ ἐπιβὰς Κελτοὺς καὶ Γερμανούς, ἔθνη πρόσοικα καὶ βάρβαρα, κατεστρέψατο.* (4) *ἀσελγῶς δὲ καὶ βαρέως τῶν ὑπηκόων ἄρχειν Μαξέντιον μαθών — οὗτος δ' ἄρ' ἦν μετὰ Μαξιμῖνον τῶν ἐν Ῥώμηι καταστὰς κύριος — ἐστράτευσεν ἐπ' αὐτόν, δίκας τῆς εἰς τοὺς ἀρχομένους παρανομίας πραττόμενος· καὶ μάχηι νικήσας ἐς φυγὴν ἔτρεψε. φεύγων δὲ ἦν* a. 312 *τοῖς πολεμίοις αὐτὸς ἀπωλείας ἐδολορράφει μηχανήν, ταύτην εὕρατο τοῦ βίου κατασιροφήν, τῆι παρ' αὐτοῦ κατασκευασθείσηι διώρυγι περιπεσών. τὴν μέντοι τούτου κεφαλὴν τινες τῶν Ῥωμαίων ἀποτεμόντες καὶ ξύλωι ἀρτήσαντες τὴν πόλιν περιεπόλευον. Κωνσταντίνωι δὲ καὶ ἥδε ἡ βασιλεία προθύμως καὶ χαίρουσα προσεχώρησεν.* (5) *ἐπεὶ δὲ καὶ Λικίνιον ὠμῶς καὶ ἀπανθρώπως τοῖς ὑπηκόοις ἀποκεχρημένον ἐπυνθάνετο — οὗτος δὲ τῆς μοίρας ἐκείνης ἐβασίλευσεν, ἧς Μαξιμῖνος ὁ τὴν ἐπιβουλὴν Κωνσταντίνωι*

---

5 *Eusthenes* C Mueller Martini. *Πραξαγόρου τοῦ Πραξαγόρου* A *τοῦ Πρ.* M 9 die lesarten des Marcianus M verdanke ich 10 [τοῦ] Wilamowitz 13 *καὶ Μακεδονίας* om A 17 *παρὰ* A *πρὸς* M 18 *ὁρμῆσαι* M 27 *αὐτὸς τοῖς π. ἐδ. μηχ. τῆς ἀπωλείας* M

διὰ τοῦ λέοντος προσενεγκὼν ἐπεστάτει, αὐτοῦ τὸν βίον λιπόντος — οὐκ ἐνεγκὼν ὁμοφύλων ὕβριν ἀφόρητον ἐστράτευεν ἐπ' αὐτόν, τῆς τυραννίδος αὐτὸν εἰς τὸ βασιλικῶς ἄρχειν μεταστησόμενος. Λικίνιος δὲ τὴν τοῦ βασιλέως ἐπιστρατείαν ἀκούσας καὶ δείσας ἔκρυπτέ τε τὴν ὠμότητα φιλανθρωπίας προσχήματι καὶ ὅρκους ὑπέτεινεν ἀγαθόν τε ἑαυτὸν τοῖς ὑπὸ χεῖρα παρασχέσθαι καὶ ὃς ἔθετο σπονδὰς συντηρεῖν ἀπαραβάτους. (6) διὸ τότε μὲν ὁ βασιλεὺς ἀπέστη τοῦ πολεμεῖν· ὕστερον δέ, ἐπεὶ κακία ἠρεμεῖν οὐχ οἷά τέ ἐστι, καὶ τῶν ὅρκων ἠφειδηκότα καὶ ἐς πᾶν κακότητος ἐληλακότα καταπολεμήσας μάχαις καρτεραῖς καὶ ἐν τῇ Νικομηδείαι συγκλείσας a. 323 ἐπολιόρκει. κἀκεῖθεν ἐν ἱκέτου πρὸς βασιλέα καταφυγόντα σχήματι κατέλιπεν ἡ βασιλεία, καὶ συνέβη τὸν μέγαν Κωνσταντῖνον, τῆς μεγάλης ἀρχῆς τὸν ἄξιον ἐπιζητούσης, εἰς ἑαυτὸν τὰς εἰρημένας βασιλείας ἐπισπάσασθαι. τῆς τε γὰρ πατρώιας κληρονόμος ἐγένετο, καὶ τῆς Ῥωμαίων καταλύσας Μαξέντιον, Ἑλλάδος τε καὶ Μακεδονίας καὶ τῆς κάτω Ἀσίας παραλύσας τῆς ἀρχῆς τὸν ῥηθέντα Λικίνιον. οὐ μὲν ἀλλὰ καὶ τῆς ἄλλης μοίρας, ἧς ἦρχε Διοκλητιανός, αὐτὸς ἀνεδήσατο τὸ κράτος. ὁ γὰρ Λικίνιος καὶ ταύτην εἶχεν ὑφ' ἑαυτόν, Μαξιμίνου πολέμου νόμωι ἀφελών, ὃς Διοκλητιανοῦ διάδοχος ἐγεγόνει. (7) κρατυνάμενος οὖν καὶ μίαν δείξας τὴν σύμπασαν βασιλείαν κτίζει τὸ Βυζάντιον ἐπώνυμον ἑαυτῶι. (8) φησὶν a. 326 οὖν ὁ Πραξαγόρας, καίτοι τὴν θρησκείαν Ἕλλην ὤν, ὅτι πάσηι ἀρετῆι καὶ καλοκαγαθίαι καὶ παντὶ εὐτυχήματι πάντας τοὺς πρὸ αὐτοῦ βεβασιλευκότας ὁ βασιλεὺς Κωνσταντῖνος ἀπεκρύψατο. ἐν οἷς αὐτοῦ καὶ οἱ δύο συνπεραιοῦνται λόγοι.

(9) ἔτος δὲ τῆς ἡλικίας ἦγε δεύτερον καὶ εἰκοστὸν Πραξαγόρας, ὡς αὐτός φησιν, ὅτε ταῦτα συνέγραφε. (10) συνεγράψατο δὲ ὁ αὐτὸς καὶ ἕτερα βιβλία δύο Περὶ τῶν Ἀθήνησι βασιλευσάντων, ἔτος ἀνύων ἐννεακαιδέκατον. συνέταξε δὲ καὶ ἕτερα βιβλία ἓξ εἰς τὸν τῶν Μακεδόνων βασιλέα Ἀλέξανδρον, τριακοστὸν πρῶτον ἐλαύνων ἐνιαυτόν.

(11) ἔστι δὲ τὴν φράσιν σαφὴς καὶ ἡδύς, ὀλίγον δὲ τοῦ δέοντος ἀτονώτερος. κέχρηται δὲ Ἰωνικῆι διαλέκτωι.

F

## *Η ΚΑΤΑ ΤΟΝ ΜΕΓΑΝ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΙΣΤΟΡΙΑ Ᾱ—Β̄.*

(T 1).

## *ΠΕΡΙ ΤΩΝ ΑΘΗΝΗΣΙ ΒΑΣΙΛΕΥΣΑΝΤΩΝ Ᾱ—Β̄.*

## *ΕΙΣ ΤΟΝ ΤΩΝ ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΑ ΑΛΕΞΑΝΔΡΟΝ Ᾱ—Ϝ̄.*

---

1 τοῦ C Mueller τῶν Ph 3 λικίννιος M 5 αὐτὸν M 9 κρατεραῖς M
14 Μαξέντιον C Mueller Μαξιμῖνον Ph τε: δὲ? 16 αὐτὲς hinter κράτος M
17 Μαξιμῖνον Casaubonus 18 κρατυνόμενος A 30 δὲ καὶ Ἰωνικῆι M

## 220. BEMARCHIOS VON KAISAREIA. a. 306—337

T

1 (IV 3) SUID. s. *Βημάρχιος· Καισαρεὺς ἐκ Καππαδοκίας, σοφιστής. οὗτος ἔγραψε τὰς Κωνσταντίνου τοῦ βασιλέως πράξεις ἐν βιβλίοις δέκα· μελέτας τε καὶ λόγους διαφόρους.*

2 LIBAN. or. I 39 (I 103 Förster): *Βημάρχιος . . . μάλα δὴ τὸν Κωνστάντιον ἡιρηκὼς ἀνὴρ καὶ τῶν περὶ ἐκεῖνον τοὺς ἀμυήτους ψόφωι τε καὶ κτύπωι παρανόμων ῥημάτων δόξαν ἐπὶ λόγοις ῥωμαλέου λαβὼν φίλοις τε τοῖς ἀπ' ἐκείνων ἐτετείχιστο χρόνων, δεινοὶ γὰρ δὴ οἱ κύβοι καὶ τὰ μέχρι μέθης συμπόσια φιλίας ἰσχυρὰς κεράσαι. διέβη μὲν δὴ τὸν ποροθμὸν κυδιόων τε καὶ ὑψοῦ κάρη ἔχων κρότωι τε ἐπηρμένος καὶ οἷς εἰργάσατο χρήμασι, λόγον ἕνα μέχρι Νείλου δεικνύων τόν τε ἐναντία τοῖς θεοῖς τεταγμένον ἐγκωμιάζων, αὐτὸς θύων θεοῖς, διδάσκων τε καὶ διηγούμενος, οἷον αὐτῶι τὸν νεὼν ἐγείραι Κωνστάντιος* (a. 341) *κτλ.*

F

*ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΡΑΞΕΙΣ Ā—Ī.*

---

## —. EUSTOCHIOS VON KAPPADOKIEN. a. 331—360

*ΤΑ ΚΑΤΑ ΚΩΝΣΤΑΝΤΑ ΤΟΝ ΒΑΣΙΛΕΑ.*

s. III u. Kappadokien.

---

## 221. OREIBASIOS VON PERGAMON. 355 (?) — 363

F

1 (—) EUNAPIOS EX. DE SENTENT. p. 76, 29 Boiss: *ὁ δὲ ἐς τὰ μάλιστα γεγονὼς αὐτῶι* (sc. Ἰουλιανῶι) *γνώριμος, ὁ Περγαμηνὸς ἀνὴρ Ὀριβάσιος, ἐκ φυσικῆς φιλοσοφίας ἰατρικὴν ἐπιτάττειν ἄριστος καὶ ὁρᾶν ἔτι θειότερος καὶ ἀσεβήσειν ἑβόα περιφανῶς, εἰ μὴ συγγράφοιμι· καὶ τῶν γε πράξεων — πάσας δὲ ἠπίστατο παρὼν ἁπάσαις — μάλα ἀκριβῶς ὑπόμνημα συνετέλει πρὸς τὴν γραφήν, ὥστε οὐκ ἦν ἀναβολὴ καὶ βουλομένωι ῥαθυμεῖν.*

F

⟨*ΙΟΥΛΙΑΝΟΥ ΠΡΑΞΕΙΣ*⟩

---

## 222. KYLLENIOS. a. 355 ff.?

T

1 (—) EUNAPIOS EXC. DE SENTENT. p. 79, 12 Boiss: *ὅτι περὶ τῆς στρατείας τῆς κατὰ Ναρδινῶν πολυτρόπου γενομένης ἐκτίθησι μὲν αὐτὸς Ἰουλιανός, ἄλλα δὲ*

9 τοῖς ⟨μιαροῖς⟩ o. ⟨ἀθέοις⟩ o. ä. Reiske 26 ἀκριβὲς Herwerden 33 *Ναρδινῶν*: *Ἀλαμανῶν* Bekker *Ναρισκῶν* CMueller *πολυτρόπου γενομένης* Mai —*ον* —*ην* V

ἀλλαχοῦ καὶ πρὸς πολλοὺς ἀναφράζων ἐν ἐπιστολαῖς. πρός τινα γοῦν Κυλλήνιον καὶ ταῦτα ἐξηγούμενον τὰ μὲν ἐπιτιμῶν ὡς διαμαρτάνοντα τῆς ἀληθείας φαίνεται, καὶ παρεκτίθησί γε τὰ πραχθέντα ὅπως γέγονε. φάσκων δὲ μὴ δεῖσθαι τοῦ τὰ ἔργα λέγοντος — οὐδὲ γὰρ Παλαμήδην Ὁμήρου προσδεηθῆναί φησιν εἰς δόξαν — καὶ τὰς ἀλλοτρίας συγγραφὰς τῶν ἰδίων ἔργων ὑπὸ μεγαλοψυχίας παραιτούμενος κτλ.

## 223. KALLISTION.

a. 363

T

1 Liban. epp. 1233 Fö (a. 364): *Καλλιστίωνι ..... ἀλλὰ πρὸς Ἀπόλλωνος καὶ Μουσῶν, παρ' ὧν σοι τὰ ἔπη ....*

2 Sokrat. Hist. eccl. III 21: s. F 1.

F

1 (—) Sokrat. Hist. eccl. III 21 (Nikeph. Hist. eccl. X 34): *Κάλλιστος δέ, ὁ ἐν τοῖς οἰκείοις τοῦ βασιλέως* (sc. Ἰουλιανοῦ) *στρατευόμενος, ἱστορήσας τὰ κατ' αὐτὸν ἐν ἡρωικῷ μέτρῳ, τὸν τότε πόλεμον* (den Perserkrieg) *διηγούμενος ὑπὸ δαίμονος βληθέντα τελευτῆσαί φησιν. ὅπερ τυχὸν μὲν ὡς ποιητὴς ἔπλασε .....*

## 224. KHOR 'OHBUT — ELEAZAR.

a. 363

T

1 (V 394) Moses von Chorene Hist. Arm. II 67 ed. Whiston: *hicce Chorobutus Saporis Persarum regis scriba fuerat atque in Graecorum manus incidit, quo tempore Iulianus ... cum exercitu Ctesiphontem profectus est. post eius autem et Ioviani etiam mortem in Graeciam cum ministris regiis venit nostramque fidem professus Eliazar appellabatur. et cum Graecam linguam didicisset, de Saporis et Iuliani actis historiam conscripsit. atque etiam antiquae historiae volumen unum interpretatus est, quod Barsumas quidam, captivitatis socius, contexuerat, quem Persae Rost-Sohunum vocant.*

## 225. MAGNUS VON KARRHAI.

a. 363

T

1 Malal. p. 329, 2 Bonn: *ὁ σοφώτατος Μάγνος ὁ χρονογράφος ὁ Καρηνός, ὁ συνὼν αὐτῷ Ἰουλιανῷ βασιλεῖ.* s. F 1.

2 a) Zosim. III 22, 4: (eroberung von Maiozamalcha) *τῶν ἀπὸ τοῦ φρουρίου τοίνυν ἁπάντων εἰς τὸ τὴν μηχανὴν ἀποκρούσασθαι συστραφέντων, διορύξαντες τὸν ὑπόνομον οἱ ταύτῃ ταχθέντες, εἶτα τὴν ἐπικειμένην ἄχρι τῆς ἐπιφανείας γῆν διατρήσαντες, ἐφάνησαν οἰκίας ἐν μέσοι καθ' ἣν ἔτυχέ τις ἀλετρὶς γυνὴ νυκτὸς οὔσης ἔτι βαθείας σῖτον ἄλευρα εἶναι ἐργαζομένη. ταύτην μὲν οὖν ὁ πρώτως ἀναβὰς ἐκβοᾶν μέλλουσαν παίσας ἀνεῖλεν. ἦν δὲ Σουπεράντιος, ἐν τῶι λόχωι τῶν βικτόρων οὐκ ἄσημος, ἐπὶ τούτωι δὲ Μάγνος, καὶ τρίτος ὁ Ἰοβιανός, τοῦ τάγματος τῶν ὑπογραφέων προτεταγμένος, ἔπειτα δὲ πλείους.* b) Ammian. Marcell.

84 πρῶτος Mend(elssohn) 86 Ἰοβιανὸς ὁ Mend

XXIV 4, 23: *quibus ita ut convenerat ordinatis et occupatis prohibitoribus patefactisque latebris evolat Exsuperius, de Victorum numero miles, post quem Magnus tribunus et Iovianus notarius, quos audax multitudo secuta, his prius confossis, quos in aede per quam in lucem prodierant invenerunt.*

F

1 (IV 4) MALAL. p. 328, 20 Bonn: καὶ κατιὼν ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς κατὰ Σαββουραρσάκου βασιλέως Περσῶν κατέφθασεν ἐν Ἱεραπόλει· καὶ πέμψας κατεσκεύασε πλοῖα ἐν Σαμοσάτοις πόλει τῆς Εὐφρατησίας, τὰ μὲν διὰ ξύλων τὰ δὲ διὰ βυρσῶν, ὡς ὁ σοφώτατος Μάγνος ὁ χρονογράφος ὁ Καρηνὸς ὁ συνὼν αὐτῶι Ἰουλιανῶι βασιλεῖ συνεγράψατο. (2) ἀπὸ δὲ Ἱεραπόλεως ἐξελθὼν ἦλθεν ἐν Κάραις τῆι πόλει· κἀκεῖθεν εὗρε δύο ὁδούς, μίαν ἀπάγουσαν εἰς τὴν Νίσιβιν πόλιν, οὖσάν ποτε Ῥωμαίων, καὶ ἄλλην ἐπὶ τὸ Ῥωμαικὸν κάστρον τὸ λεγόμενον Κιρκήσιον, κείμενον εἰς τὸ μέσον τῶν δύο ποταμῶν τοῦ Εὐφράτου καὶ τοῦ Ἄββορᾶ, ὅπερ ἔκτισε Διοκλητιανὸς βασιλεὺς Ῥωμαίων. καὶ μερίσας τὸν στρατὸν ὁ αὐτὸς βασιλεὺς πέμπει ἐπὶ τὴν Νίσιβιν ὁπλίτας ἄνδρας μυρίους ἑξακισχιλίους μετὰ δύο ἐξάρχων Σεβαστιανοῦ καὶ Προκοπίου. (3) καὶ κατέφθασεν ὁ αὐτὸς Ἰουλιανὸς τὸ Κιρκήσιον κάστρον· καὶ ἐάσας καὶ ἐν τῶι Κιρκησίωι κάστρωι ὅσους εὗρεν ἐγκαθέτους στρατιώτας ἑξακισχιλίους, προσθεὶς αὐτοῖς καὶ ἄλλους ὁπλίτας ἄνδρας τετρακισχιλίους μετὰ ἐξάρχων δύο ⟨Μ⟩ακκαμαίου καὶ Μαύρου. (4) καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ παρῆλθε τὸν Ἄββορὰν ποταμὸν διὰ τῆς γεφύρας, τῶν πλοίων φθασάντων εἰς τὸν Εὐφράτην ποταμόν· ὄντινων πλοίων ὑπῆρχεν ὁ ἀριθμὸς χιλίων διακοσίων πεντήκοντα. (5) καὶ συναθροίσας τὸν ἴδιον αὐτοῦ στρατόν, ἔχων μεθ' ἑαυτοῦ Ἀνατόλιον μάγιστρον καὶ Σαλούστιον ἔπαρχον πραιτωρίων καὶ τοὺς στρατηλάτας αὐτοῦ, ἀνελθὼν ἐν ὑψηλῶι βήματι δι' ἑαυτοῦ προσεφώνησε τῶι στρατῶι, ἐπαινῶν αὐτοὺς καὶ προτρεπόμενος προθύμως καὶ σωφρόνως ἀγωνίσασθαι κατὰ Περσῶν. καὶ εὐθέως ἐμβαίνειν εἰς τὰ πλοῖα ἐπέτρεψεν, εἰσελθὼν καὶ αὐτὸς ὁ βασιλεὺς εἰς τὸ εὐτρεπισθὲν αὐτῶι πλοῖον. (6) καὶ προηγεῖσθαι αὐτῶν προσκυλικάτορας προσέταξεν ἄνδρας γενναίους ἐκ τοῦ ἀριθμοῦ τῶν λαγκιαρίων καὶ ματτιαρίων χιλίους πεντακοσίους, κελεύσας βασάζεσθαι καὶ τὰ σίγνα αὐτοῦ καὶ τὸν κόμητα Λουκιανόν (?), ἄνδρα πολεμικώτατον, εἶναι σὺν

3 *notarius* edd *votarius* Amm 18 (u. v. 18) κιρκίσιον Mal Κιρκήσιον Zosim. III 12, 3 (κιρκίσιον V); 18, 1; *Cercusium* Ammian. XXIII 5, 1; 4; s. Weissbach RE XI 505. 16 ὀκτακισχιλίους καὶ μυρίους ὁπλίτας Zosim. III 12, 5; *triginta milia* Ammian. XXIII 3, 5; μυριάδες ὁπλιτῶν δύο Liban. or. XVIII 214 20 ἀκκαμέου Mal Μακαμαῖος Zosim. III 26, 5 *Machameus* Ammian. XXV 1, 2 22 γεφύρας Chilmeadus —ρης Mal 32 Λουκιανόν: *Lucillianus comes* Ammian. XXIV 1, 6; Zosim. III 14, 1 χιλίους ἔγνω καὶ πεντακοσίους προπέμψαι . . . Λουκιλλιανὸν αὐτοῖς ἐπιστήσας; 18, 3 κατέστησαν δὲ ναύαρχοι Λουκιανὸς καὶ Κωνστάντιος ~ Ammian. XXIII 3, 9 *tribuno Const⟨ant⟩iano cum comite Lucilliano ductante*

αὐτῶι. ὅστις καὶ πολλὰ κάστρα Περσικὰ παρὰ τὸν Εὐφράτην κείμενα καὶ ἐν μέσωι τῶν ὑδάτων ἐν νήσοις ὄντα ἐπόρθησε καὶ τοὺς ἐν αὐτοῖς ὄντας Πέρσας ἀνεῖλε. Βίκτορα δὲ καὶ Δαγαλάιφον κατέταξεν ὄπισθεν τῶν λοιπῶν πεζῶν εἶναι καὶ φυλάττειν τὰ πλήθη. (7) καὶ κατῆλθεν ὁ βασιλεὺς μετὰ τοῦ στρατοῦ παντὸς διὰ τῆς μεγάλης διώρυγος τοῦ Εὐφράτου τῆς μισγούσης τῶι Τίγρητι ποταμῶι· καὶ εἰσῆλθεν εἰς τὸν αὐτὸν Τίγρητα ποταμόν, ὅπου μίγνυνται οἱ δύο ποταμοὶ καὶ ἀποτελοῦσι λίμνην μεγάλην. καὶ παρέβαλεν εἰς τὰ Περσικὰ ἐν τῆι χώραι τῶν λεγομένων Μαυζανιτῶν, πλησίον Κτησιφῶντος πόλεως, ἔνθα ὑπῆρχε τὸ Περσικὸν βασίλειον. (8) καὶ ἐπικρατὴς γενόμενος Ἰουλιανὸς ὁ βασιλεὺς ἐσκήνωσεν ἐν τῆι πεδιάδι τῆς αὐτῆς πόλεως Κτησιφῶντος, βουλόμενος μετὰ τῆς ἰδίας συγκλήτου καὶ ἕως Βαβυλῶνος εἰσελθεῖν καὶ παραλαβεῖν τὰ ἐκεῖσε.

(9) ὁ δὲ βασιλεὺς Σαββουραρσάκιος ὑπονοήσας ὅτι διὰ τῆς Νισίβεως ἤρχετο ὁ βασιλεὺς Ῥωμαίων Ἰουλιανός, ὥρμησε κατ' αὐτοῦ μετὰ τοῦ πλήθους αὐτοῦ παντός. ἀπαγγελθέντος δὲ αὐτῶι ὅτι ὄπισθεν αὐτοῦ ἐστιν ὁ βασιλεὺς Ῥωμαίων Ἰουλιανὸς παραλαβὼν τὰ Περσικὰ μέρη, καὶ ὅτι ἔμπροσθεν αὐτῶι ἀπαντῶσιν οἱ στρατηγοὶ τῶν Ῥωμαίων καὶ πλήθη πολλά, καὶ γνοὺς ὅτι ἐμεσάσθη, φεύγει ἐπὶ τὴν Περσαρμενίαν, δόλωι πέμψας δύο συγκλητικοὺς αὐτοῦ καὶ αὐτοὺς κατὰ ἰδίαν βούλησιν ῥινοτομήσας πρὸς Ἰουλιανὸν τὸν βασιλέα Ῥωμαίων, ἵνα πλανήσωσιν αὐτόν, πρὸς τὸ μὴ καταδιωχθέντα αὐτὸν φθασθῆναι. (10) οἱ δὲ ῥινοτομηθέντες Πέρσαι ἦλθον πρὸς τὸν βασιλέα Ῥωμαίων προδοῦναι, φησίν, θέλοντες τὸν βασιλέα Περσῶν, ὡς τιμωρησάμενον αὐτούς. ἀπατηθεὶς δὲ παρ' αὐτῶν ἐπομνυμένων ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς ἠκολούθησεν αὐτοῖς μετὰ τοῦ ἰδίου στρατεύματος. καὶ ἀπήγαγον αὐτὸν εἰς τὴν ἔρημον καὶ ἄνυδρον ἐπὶ μίλια $\overline{ρν}$, πλανήσαντες αὐτούς, τῆι εἰκάδι πέμπτηι τοῦ Δαισίου τοῦ καὶ Ἰουνίου μηνός. (11) καὶ εὑρὼν ἐκεῖ τείχη παλαιὰ πεπτωκότα πόλεως λεγομένης Βουβίων, καὶ ἄλλο δὲ χωρίον, ἑστώτων μὲν τῶν οἰκημάτων, ἔρημον δὲ ἦν, ὅπερ ἐλέγετο Ἀσία· ἔνθα ἐλθὼν ὁ βασιλεὺς Ἰουλιανὸς καὶ ὁ πᾶς στρατὸς τῶν Ῥωμαίων ἐκεῖ ἐσκήνωσεν. ἐν αὐτοῖς δὲ τοῖς τόποις γενόμενοι ἐλίποντο τροφῶν, καὶ οὐδὲ τοῖς ἀλόγοις ὑπῆρχε βοτάνη· ἦν γὰρ ἐρημία. καὶ γνοὺς ὁ πᾶς στρατὸς Ῥωμαίων ὅτι ἀπατηθεὶς ὁ βασιλεὺς ἐπλάνησεν αὐτοὺς καὶ εἰς ἐρήμους ἤγαγε τόπους, εἰς πολλὴν ἀταξίαν ἐτράπησαν. (12) τῆι δὲ ἑξῆς ἡμέραι μηνὶ Ἰουνίωι $\overline{κς}$ ἀγαγὼν τοὺς πλανήσαντας αὐτὸν Πέρσας ἐξήτασεν αὐτούς· καὶ ὁμολόγησαν λέγοντες ὅτι ὑπὲρ πατρίδος καὶ τοῦ βασιλέως ἡμῶν, ἵνα σωθῆι, ἐδώκαμεν ἡμᾶς ἑαυτοὺς εἰς θάνατον καὶ ἐπλανήσαμεν ὑμᾶς· ἰδοὺ οἱ δοῦλοι

4 πεζῶν Mendelssohn πλοίων Mal vgl. Zosim. III 13, 3 τοῦ μὲν πεζοῦ Βίκτορα στρατηγὸν καταστησάμενος; Ammian. XXIV 1, 2 *agmina vero postrema Dagalaifus cogebat et Victor* 21 Πέρσαι Chilmeadus Πέρσες Mal 22 φασίν C Mueller 27 εὑρών? C Mueller

*σου ἀπεθάνομεν.' καὶ ἀπεδέξατο αὐτούς, μὴ φονεύσας αὐτούς, ἀλλὰ δοὺς λόγον αὐτοῖς, ἵνα ἐκβάλωσι τὸν στρατὸν ἐκ τῆς ἐρήμου χώρας.* (13) *καὶ περὶ ὥραν δευτέραν τῆς αὐτῆς ἡμέρας ὁ βασιλεὺς Ἰουλιανὸς παριὼν τὸ στράτευμα καὶ δυσωπῶν αὐτοὺς μὴ ἀτάκτως φέρεσθαι ἐτρώθη ἀδήλως καὶ εἰσελθὼν εἰς τὸν ἴδιον παπυλεῶνα διὰ τῆς νυκτὸς τελευτᾷ, ὡς ὁ προγεγραμμένος Μάγνος ἐξέθετο* (folgt Eutychianos 226 F 1).

## Anhang.

2 (—) Zosimos III 12—34 (~ Ammian. Marc. XXIII 2—XXV 10).

---

## 226. EUTYCHIANOS VON KAPPADOKIEN.

s. 361

F

1 (IV 6) Malal. p. 332, 9 Bonn: (Magnus 225 F 1) *Εὐτυχιανὸς δὲ ὁ χρονογράφος ὁ Καππάδοξ, στρατιώτης ὢν καὶ βικάριος τοῦ ἰδίου ἀριθμοῦ τῶν Πριμοαρμενιακῶν, παρὼν καὶ αὐτὸς ἐν τῷι πολέμωι, συνεγράψατο ὅτι κατελθὼν ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς μονὰς $\overline{\iota\varepsilon}$ ἐπὶ τὰ Περσικὰ μέρη διὰ τοῦ Εὐφράτου εἰσῆλθε, καὶ ἐπικρατὴς γενόμενος καὶ νικήσας πάντας παρέλαβεν ἕως πόλεως λεγομένης Κτησιφῶντος, ἔνθα ὁ βασιλεὺς Περσῶν ἐκάθητο, ἐκείνου φυγόντος ἐπὶ τὰ μέρη τῶν Περσαρμενίων, καὶ βουλομένου μετὰ τῆς ἰδίας συγκλήτου καὶ τοῦ στρατοῦ αὐτοῦ ἄχρι τῆς Βαβυλῶνος τῆι ἑξῆς ὁρμῆσαι καὶ ταύτην παραλαβεῖν διὰ τῆς νυκτός.* (2) *καὶ ὡς καθεύδει εἶδεν ἐν ὁράματί τινα τέλειον ἄνδρα ἐνδεδυμένον ζάβαν καὶ εἰσελθόντα πρὸς αὐτὸν εἰς τὸν παπυλεῶνα αὐτοῦ πλησίον τῆς πόλεως Κτησιφῶντος ἐν πόλει λεγομένηι Ἀσίαι καὶ κρούσαντα αὐτὸν λόγχηι. καὶ πτοηθεὶς ἐξυπνίσθη κράξας· καὶ ἐξανέστησαν οἱ κουβικουλάριοι εὐνοῦχοι καὶ σπαθάριοι καὶ ὁ στρατὸς ὁ φυλάττων τὸν παπυλεῶνα. καὶ εἰσελθόντες πρὸς αὐτὸν μετὰ λαμπάδων βασιλικῶν, καὶ προσεσχηκὼς Ἰουλιανὸς ὁ βασιλεὺς ἑαυτὸν σφαγέντα κατὰ τῆς μασχάλης ἐπηρώτησεν αὐτούς 'πῶς λέγεται ἡ κώμη ὅπου ἐστὶν ὁ παπυλεών μου;' καὶ εἶπον αὐτῶι ὅτι 'Ἀσία λέγεται. καὶ εὐθέως ἔκραξεν 'Ὦ Ἥλιε, ἀπώλεσας Ἰουλιανόν'. καὶ ἐκχυθεὶς τὸ αἷμα παρέδωκε τὴν ψυχὴν ὥραν νυκτερινὴν πέμπτην, ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγάλην χρηματίζοντος $\overline{\upsilon\iota\alpha}$.*

---

21 *ἐνδεδυμένον ὑπάτου σχῆμα* Chron Pasch 551, 1 22 *πεπηγμένον πλησίον* Chron Pasch *ἐν κώμηι λεγομένηι Ῥασίαι* Chron Pasch 28 *Ἀσία*: *Ῥασ(σ)ία* Chron Pasch 29 *τὸ αἷμα* om Chron Pasch *ὥρηι νυκτερινῆι ε̄ μηνὶ Δαισίωι πρὸ ζ̄ καλανδῶν Ἰουλίων* Chron Pasch

# C. AUTOBOGRAPHIEEN, MEMOIREN UND MEMOIRENHAFTES.

(*ΥΠΟΜΝΗΜΑΤΑ*)

## —. ION VON CHIOS.

*ΕΠΙΔΗΜΙΑΙ.*

s. III u. Chios.

---

## 227. DEMADES VON ATHEN.

### T

1 SUIDAS s. *Δημάδης* gl. 1: *Ἀθηναῖος· ῥήτωρ καὶ δημαγωγός, πανοῦργος καὶ εὐτυχής, πρότερον ναύτης ὤν. ἔγραψεν Ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας· Ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσως τῶν Λητοῦς παίδων. οὗτος κατέλυσε τὰ δικαστήρια καὶ τοὺς ῥητορικοὺς ἀγῶνας. τελευτᾶι δὲ ἐπὶ Ἀντιπάτρου* (a. 319).

### F

### Zweifelhaftes.

*ΙΣΤΟΡΙΑ ΠΕΡΙ ΔΗΛΟΥ.*

---

OHNE BUCHTITEL.

1 (IV 377) SCHOL. HESIOD. Th. 914: *ἠρπάσθαι δὲ τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης* (F 47 Bl-S) *δὲ ἐκ Κρήτης, Ὀρφεὺς* (F 43 K) *δὲ ἐκ τῶν περὶ τὸν Ὠκεανὸν τόπων, Φανόδημος* (III) *δὲ ἀπὸ τῆς Ἀττικῆς, Δημάδης δὲ ἐν Νάπαις.*

### Unechtes.

*ΑΠΟΛΟΓΙΣΜΟΣ ΠΡΟΣ ΟΛΥΜΠΙΑΔΑ ΤΗΣ ΕΑΥΤΟΥ ΔΩΔΕΚΑΕΤΙΑΣ.*

---

20 v. l. *Δημέας, Δημαίας*; s. III u. Paros 21 *ἐκ Νάπης*? Ebert d' *Ἐκάτης ἐκ νήσου* C Mueller

## 228. DEMETRIOS VON PHALERON.

T

(s. F 17; 28; 73 F 4; 75 F 4; 76 F 10; 157 F 1).

1 DIOG. LAERT. V 75—85 (SUID. s. *Δημήτριος Φανοστράτου*): *Δημήτριος Φανοστράτου Φαληρεύς. οὗτος ἤκουσε μὲν Θεοφράστου, δημαγωγῶν δὲ παρ' Ἀθηναίοις τῆς πόλεως ἐξηγήσατο ἔτη δέκα* (317/6—308/7; T 3—4), *καὶ εἰκόνων ἠξιώθη χαλκῶν ἑξήκοντα πρὸς ταῖς τριακοσίαις ..... ἀρξασθαι δὲ αὐτὸν τῆς πολιτείας φησὶ Δημήριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις* (IV), *ὁπότε φυγὼν Ἀλέξανδρον εἰς Ἀθήνας ἦκεν Ἅρπαλος* (324). *πολλὰ δὲ καὶ κάλλιστα τῇι πατρίδι ἐπολιτεύσατο· καὶ γὰρ προσόδοις καὶ κατασκευαῖς ηὔξησε τὴν πόλιν, καίπερ οὐκ εὐγενὴς ὤν.* (76) *ἦν γὰρ ἐκ τῆς Κόνωνος οἰκίας, ὡς Φαβωρῖνος ἐν α τῶν Ἀπομνημονευμάτων* (IV) *φησίν. ἀλλ' ἀστῆι καὶ εὐγενεῖ συνῴκει Λαμίαι τῇι ἑρωμένηι, καθάπερ ὁ αὐτὸς ἐν τῶι α φησίν, ἀλλὰ καὶ ὑπὸ Κλέωνος πεπονθέναι ἐν τῶι δευτέρωι ἱστορεῖ. Δίδυμος δ' ἐν Συμποσιακοῖς* (p. 374 Schm) *καὶ Χαριτοβλέφαρον καὶ Λαμπετὼ καλεῖσθαι αὐτόν φησιν ἀπό τινος ἑταίρας.* (es folgt T 6d). *σφόδρα δὲ λαμπρὸς ὢν παρὰ τοῖς Ἀθηναίοις, ὅμως ἐπεσκοτήθη καὶ αὐτὸς ὑπὸ τοῦ τὰ πάντα διεσθίοντος φθόνου.* (77) *ἐπιβουλευθεὶς γὰρ ὑπό τινων δίκηι θανάτου οὐ παρὼν ὤφλεν* (T 4). *οὐ μὴν ἐκυρίευσαν τοῦ σώματος αὐτοῦ, ἀλλὰ τὸν ἰὸν ἀπήρυγον εἰς τὸν χαλκόν, κατασπάσαντες αὐτοῦ τὰς εἰκόνας ..... μία δὲ μόνη σώζεται ἐν ἀκροπόλει. Φαβωρῖνος δέ φησι ἐν Παντοδαπῆι ἱστορίαι τοῦτο ποιῆσαι τοὺς Ἀθηναίους Δημητρίου κελεύσαντος τοῦ βασιλέως. ἀλλὰ καὶ τῶι ἔτει τῆς ἀρχῆς αὐτοῦ* (309/8) *ἐπέγραψαν 'ἀνομίας', ὡς Φαβωρῖνος.* (78) *φησὶ δ' αὐτὸν Ἕρμιππος* (IV) *μετὰ τὸν Κασάνδρου θάνατον* (298/7?) *φοβηθέντα Ἀντίγονον παρὰ Πτολεμαῖον ἐλθεῖν τὸν Σωτῆρα· κἀκεῖ χρόνον ἱκανὸν διατρίβοντα* (T 6) *συμβουλεύειν τῶι Πτολεμαίωι πρὸς τοῖς ἄλλοις καὶ τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης περιθεῖναι παισί. τοῦ δὲ οὐ πεισθέντος ἀλλὰ παραδόντος τὸ διάδημα τῶι ἐκ Βερενίκης, μετὰ τὴν ἐκείνου τελευτὴν* (283/2) *ἀξιωθῆναι πρὸς τούτου παραφυλάττεσθαι ἐν τῆι χώραι μέχρι τι δόξει περὶ αὐτοῦ. ἐνταῦθα ἀθυμότερον διῆγε, καί πως ὑπνώττων ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μεθῆκε. καὶ τέθαπται ἐν τῶι Βουσιρίτηι νομῶι πλησίον Διοσπόλεως.* (79) epigramm des Diogenes. *Ἡρακλείδης δ' ἐν τῆι Ἐπιτομῆι τῶν Σωτίωνος διαδοχῶν* (IV) *τῶι Φιλαδέλφωι τὴν βασιλείαν θέλειν ἐκχωρῆσαι τὸν Πτολεμαῖον· τὸν δ' ἀποτρέπειν φάσκοντα 'ἂν ἄλλωι δῶις, σὺ οὐχ ἕξεις'. ὀπηνίκα δὲ ἐσυκοφαντεῖτο ἐν ταῖς Ἀθήναις — μανθάνω γὰρ καὶ τοῦτο — Μένανδρος .....*

---

5 *Φαληρεύς· Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς· ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο* Suid 5—6 *δημαγωγῶν* Jac *δημηγορῶν* Di *καὶ δημαγωγὸς Ἀθήνησι γέγονε* Suid 13—15 *ἀλλὰ καὶ — ἑταίρας: οὕτω δὲ ἦν σφόδρα εὐπρεπής, ὡς καὶ διαβολὴν λαβεῖν, ὅτι γέγονεν ἐρώμενος Νέωνος· καὶ προσαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον* 14 *Δίδυμος*: s. 73 F 4 15 *Λαμπιτώ* Athen. XIII 593 F 18 *Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσι* Suid

(80) *πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν περιπατητικούς, εὐπαίδευτος ὢν καὶ πολύπειρος παρ' ὀντινοῦν. ὧν ἐστι τὰ μὲν ἱστορικά, τὰ δὲ πολιτικά, τὰ δὲ περὶ ποιητῶν, τὰ δὲ ῥητορικά (δημηγοριῶν τε καὶ πρεσβειῶν), ἀλλὰ μὴν καὶ λόγων Αἰσωπείων συναγωγαὶ καὶ ἄλλα πλείω.*

*ἔστι δὲ* (T 11) *Τὰ περὶ τῆς Ἀθήνησι νομοθεσίας* $\bar{\alpha}$ $\bar{\beta}$ $\bar{\gamma}$ $\bar{\delta}$ $\bar{\varepsilon}$ (F 4—7)· *Περὶ τῶν Ἀθήνησι πολιτειῶν* $\bar{\alpha}$ $\bar{\beta}$ (p. 960, 17)· *Περὶ δημαγωγίας* $\bar{\alpha}$ $\bar{\beta}$· *Περὶ πολιτικῶν* $\bar{\alpha}$ $\bar{\beta}$· *Περὶ νόμων* $\bar{\alpha}$. *Περὶ ῥητορικῆς* $\bar{\alpha}$ $\bar{\beta}$ (F 46—48). *Στρατηγικῶν* $\bar{\alpha}$ $\bar{\beta}$ (F 27?).

(81) *Περὶ Ἰλιάδος* $\bar{\alpha}$ $\bar{\beta}$ (F 49?)· *Περὶ Ὀδυσσείας* $\bar{\alpha}$ $\bar{\beta}$ $\bar{\gamma}$ $\bar{\delta}$ (F 32?). *Πτολεμαῖος* $\bar{\alpha}$· *Ἐρωτικὸς* $\bar{\alpha}$· *Φαιδώνδας* $\bar{\alpha}$. † *Μαίδων* $\bar{\alpha}$· *Κλέων* $\bar{\alpha}$· *Σωκράτης* $\bar{\alpha}$ (F 40—45)· *Ἀρταξέρξης* $\bar{\alpha}$· *Ὁμηρικός* $\bar{\alpha}$· *Ἀριστείδης* $\bar{\alpha}$· *Ἀριστόμαχος* $\bar{\alpha}$. *Προτρεπτικός* $\bar{\alpha}$· *Ὑπὲρ τῆς πολιτείας* $\bar{\alpha}$· *Περὶ τῆς δεκαετίας* $\bar{\alpha}$. *Περὶ τῶν Ἰώνων* $\bar{\alpha}$. *Πρεσβευτικὸς* $\bar{\alpha}$. *Περὶ πίστεως* $\bar{\alpha}$· *Περὶ χάριτος* $\bar{\alpha}$· *Περὶ τύχης* $\bar{\alpha}$ (F 39)· *Περὶ μεγαλοψυχίας* $\bar{\alpha}$· *Περὶ γάμου* $\bar{\alpha}$· *Περὶ τοῦ δόκου* $\bar{\alpha}$· *Περὶ εἰρήνης* $\bar{\alpha}$· *Περὶ νόμων* $\bar{\alpha}$· *Περὶ ἐπιτηδευμάτων* $\bar{\alpha}$· *Περὶ καιροῦ* $\bar{\alpha}$. *Διονύσιος* $\bar{\alpha}$· *Χαλκιδικὸς* $\bar{\alpha}$· *Ἀθηναίων καταδρομὴ* $\bar{\alpha}$· *Περὶ Ἀντιφάνους* $\bar{\alpha}$. *Προοίμιον ἱστορικὸν* $\bar{\alpha}$. *Ἐπιστολαὶ* $\bar{\alpha}$· *Ἐκκλησία ἔνορκος* $\bar{\alpha}$· *Περὶ γήρως* $\bar{\alpha}$ (F 37—38)· *Δίκαια* $\bar{\alpha}$ (F 29?)· *Αἰσωπείων* $\bar{\alpha}$· *Χρειῶν* $\bar{\alpha}$.

(82) *χαρακτὴρ δὲ φιλόσοφος, εὐτονίαι ῥητορικῇ καὶ δυνάμει κεκραμένος .....*

2 a) ATHEN. XII 60 p. 542 E: *Καρύστιος δὲ ὁ Περγαμηνὸς* (IV) *ἐν τρίτωι Ὑπομνημάτων Δημήτριός φησιν, ὁ Φαληρεύς, Ἰμεραίου τοῦ ἀδελφοῦ ἀναιρεθέντος ὑπ' Ἀντιπάτρου* (322), *αὐτὸς μετὰ Νικάνορος διέτριβεν αἰτίαν ἔχων ὡς τὰ ἐπιφάνεια τοῦ ἀδελφοῦ θύων. Κασάνδρωι δὲ γενόμενος φίλος μέγα ἴσχυσεν.* (schilderung seines schwelgerischen lebens). b) PLUT. Phokion 35: (verurteilung des Phokion a. 319) *Δημητρίου δὲ τοῦ Φαληρέως καὶ Καλλιμέδοντος καὶ Χαρικλέους καί τινων ἄλλων ἀπόντων κατεψηφίσθη θάνατος.*

---

3—5 γέγραφε φιλόσοφά τε καὶ ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν Suid 4 πρεσβευτικῶν Martini 12 Φαιδώνδας ἢ περὶ ο — — T 11 Μίδων Hirzel Μέδων Herwig 14 Ἀριστόμαχος: Ἀρίσταιχμος T 11 19 δόκου = δοκήσεως Menagius πολέμου vScala τόκου Holste 20 δνόμων Ostermann

3 a) DIOD. XVIII 74, 3 (318/7): . . . *συνέθεντο τὴν εἰρήνην ὥστε τοὺς Ἀθηναίους ἔχειν πόλιν τε καὶ χώραν καὶ προσόδους καὶ ναῦς καὶ τἄλλα πάντα φίλους ὄντας καὶ συμμάχους Κασάνδρου .... καταστῆσαι δ' ἐπιμελητὴν τῆς πόλεως ἕνα ἄνδρα Ἀθηναῖον ὃν ἂν δόξῃι Κασάνδρωι· καὶ ἡιρέθη Δημήτριος ὁ Φαληρεύς. οὗτος δὲ παραλαβὼν τὴν ἐπιμέλειαν τῆς πόλεως ἦρχεν εἰρηνικῶς καὶ πρὸς τοὺς πολίτας φιλανθρώπως.* b) STRABON IX 1, 20: *ἔνιοι δέ φασι, καὶ βέλτιστα τότε αὐτοὺς πολιτεύσασθαι δεκαετῆ χρόνον, ὃν ἦρχε Μακεδόνων Κάσανδρος. οὗτος γὰρ ὁ ἀνὴρ πρὸς μὲν τὰ ἄλλα δοκεῖ τυραννικώτερος γενέσθαι, πρὸς Ἀθηναίους δὲ εὐγνωμόνησε, λαβὼν ὑπήκοον τὴν πόλιν· ἐπέστησε γὰρ τῶν πολιτῶν Δημήτριον τὸν Φαληρέα, τῶν Θεοφράστου τοῦ φιλοσόφου γνωρίμων, ὃς οὐ μόνον οὐ κατέλυσε τὴν δημοκρατίαν, ἀλλὰ καὶ ἐπηνώρθωσε (δηλοῖ δὲ τὰ ὑπομνήματα, ἃ συνέγραψε περὶ τῆς πολιτείας ταύτης ἐκεῖνος). ἀλλ' οὕτως ὁ φθόνος ἴσχυσε καὶ ἡ πρὸς ὀλίγους ἀπέχθεια, ὥστε μετὰ τὴν Κασάνδρου τελευτὴν ἠναγκάσθη φυγεῖν εἰς Αἴγυπτον· τὰς δ' εἰκόνας αὐτοῦ πλείους ἢ τριακοσίας κατέσπασαν οἱ ἐπαναστάντες καὶ κατεχώνευσαν (ἔνιοι δὲ καὶ προστιθέασιν, ὅτι καὶ εἰς ἀμίδας).* c) PAUS I 25, 6: *Κάσσανδρος δὲ βασιλεύσας . . . Πάνακτον τεῖχος ἐν τῇι Ἀττικῇι καὶ Σαλαμῖνα εἶλε τύραννόν τε Ἀθηναίοις ἔπραξε γενέσθαι Δημήτριον τὸν Φανοστράτου, [τὰ πρὸς] δόξαν εἰληφότα ἐπὶ σοφίαι. τοῦτον μὲν δὴ τυραννίδος ἔπαυσε Δημήτριος ὁ Ἀντιγόνου .....* d) MARM. PAR. B ep. 13: ..... *ὅτε Δημήτριος νόμους ἔθηκεν Ἀθήνησιν .... ἄρχοντος Ἀθήνησι Δημογένους* (317/6). vgl. (EUSEB-) SYNKELL. p. 521, 12. e) CIC. De rep. II 2: *Atheniensium* (sc. *rempublicam legibus et institutis constituerunt*) *... tum Theseus tum Draco tum Solo tum Clisthenes tum multi alii, postremo exsanguem iam et iacentem doctus vir Phalereus sustentasset Demetrius.* f) PHAEDR. fab. V 1: *Demetrius, qui dictus est Phalereus, Athenas occupavit imperio improbo* ..... (v. 15 *tyrannus*).

4 a) DIOD. XX 45, 3 (307/6): Demetrios Poliorketes nimmt den Peiraieus; *τῶν δ' ἔνδον Διονύσιος μὲν ὁ φρούραρχος εἰς τὴν Μουνυχίαν συνέφυγε, Δημήτριος δ' ὁ Φαληρεὺς ἀπεχώρησεν εἰς ἄστυ, τῆι δ' ὑστεραίαι πεμφθεὶς μετ' ἑτέρων πρεσβευτὴς ὑπὸ τοῦ δήμου πρὸς Δημήτριον καὶ περὶ τῆς αὐτονομίας διαλεχθεὶς καὶ τῆς ἰδίας ἀσφαλείας ἔτυχε παραπομπῆς, καὶ τὰ κατὰ τὰς Ἀθήνας ἀπογινώσκων ἔφυγεν εἰς τὰς Θήβας, ὕστερον δὲ πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον.* b) DION. HAL. De Din. 3: *Φιλόχορος δὲ ἐν ταῖς Ἀττικαῖς ἱστορίαις ... οὕτως λέγει· 'τοῦ γὰρ Ἀναξικράτους ἄρχοντος* (307/6) *εὐθὺ μὲν ἡ τῶν Μεγαρέων πόλις ἑάλω· ὁ δὲ*

20 [τὰ πρὸς] Hitzig τὰ πρὸς πατρὸς $y^1$

*Δημήτριος [ὁ] κατελθὼν ἐκ τῶν Μεγάρων κατεσκευάζετο τὰ πρὸς τὴν Μουνυχίαν καὶ τὰ τείχη κατασκάψας ἀπέδωκε τῶι δήμωι. ὕστερον δὲ εἰσηγγέλθησαν πολλοὶ ⟨τῶν⟩ πολιτῶν, ἐν οἷς καὶ Δημήτριος ὁ Φαληρεύς. τῶν δ' εἰσαγγελθέντων οὓς μὲν οὐχ ὑπομείναντας τὴν κρίσιν ἐθανάτωσαν τῆι ψήφωι, οὓς δ' ὑπακούσαντας ἀπέλυσαν'.* PLUT. Demetr. 8—9; MARM. P. 239 B ep. 20 a. 308/7; POLYAEN. IV 7, 6.

5 PLUT. Quomod. adul. 29 p. 69 C: *λέγεται δὲ καὶ Δημήτριος ὁ Φαληρεὺς ὅτε τῆς πατρίδος ἐξέπεσε καὶ περὶ Θήβας ἀδοξῶν καὶ ταπεινὰ πράττων διῆγεν, οὐχ ἡδέως ἰδεῖν προσιόντα Κράτητα ....*

6 **a)** PLUT. De exil. 7 p. 601 F: *Δημήτριος ὁ Φαληρεύς. οὗτος μὲν γὰρ ἐν Ἀλεξανδρείαι μετὰ τὴν φυγὴν πρῶτος ὢν τῶν Πτολεμαίου φίλων, οὐ μόνον αὐτὸς ἐν ἀφθόνοις διῆγεν ἀλλὰ καὶ τοὺς Ἀθηναίους δωρεὰς ἔπεμπε.* **b)** PLUT. Reg. apophth. p. 189 D: *Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίωι τῶι βασιλεῖ παρήινει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· 'ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται'.* **c)** AELIAN. VH III 17: *Δημήτριος δὲ ὁ Φαληρεὺς καὶ Ἀθήνησιν ἐπιφανέστατα ἐπολιτεύσατο, ἴστ' αὐτὸν ὁ συνήθης Ἀθηναίοις φθόνος ἐξέωσε, καὶ ἐν Αἰγύπτωι δὲ συνὼν τῶι Πτολεμαίωι νομοθεσίας ἦρξε.* **d)** DIOG. LAERT. V 76: *λέγεται δ' ἀποβαλόντα αὐτὸν τὰς ὄψεις ἐν Ἀλεξανδρείαι, κομίσασθαι αὐθις παρὰ τοῦ Σαράπιδος· ὅθεν καὶ τοὺς παιᾶνας ποιῆσαι τοὺς μέχρι νῦν ἀιδομένους.* **e)** ARISTEAE ad Philocr. ep. 9—10: *κατασταθεὶς ἐπὶ τῆς τοῦ βασιλέως βιβλιοθήκης Δημήτριος ὁ Φαληρεὺς ἐχρηματίσθη πολλὰ διάφορα πρὸς τὸ συναγαγεῖν, εἰ δυνατόν, ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην βιβλία ..... παρόντων οὖν ἡμῶν ἐρωτηθείς, πόσαι τινὲς μυριάδες τυγχάνουσι βιβλίων, εἶπεν· 'ὑπὲρ τὰς εἴκοσι, βασιλεῦ. σπουδάσω δ' ἐν ὀλίγωι χρόνωι πρὸς τὸ πληρωθῆναι πεντήκοντα μυριάδας τὰ λοιπά. προσήγγελται δέ μοι καὶ τὰ τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια .....'* ebd. 29 ff.; JOSEPH. c. Ap. II 46; AJ XII 12 ff.; 101 ff.; TZETZ. π. κωμ. p. 19, 4 Kaib; TERTULLIAN. Apol. 18, 5.

7 CIC. De fin. V 54: *Phalereus Demetrius, cum patria pulsus esset iniuria, ad Ptolomaeum se regem Alexandream contulit. qui cum in hac ipsa philosophia ... excelleret Theophrastique esset auditor, multa praeclara in illo calamitoso otio scripsit, non ad usum aliquem suum, quo erat orbatus, sed animi cultus ille erat ei quasi quidam humanitatis cibus.*

8 — De legg. III 14: (aufzählung der älteren Griechen, die *de re publica disserebant*) *post a Theophrasto Phalereus ille Demetrius .... mirabiliter doctrinam ex umbraculis eruditorum otioque non modo in solem atque in pulverem, sed in ipsum discrimen aciemque produxit: nam et mediocriter doctos magnos in re publica viros et doctissimos homines non nimis in re publica versatos multos commemorare possumus; qui vero utraque re excelleret, ut et doctrinae studiis et regenda civitate princeps esset, quis facile praeter hunc inveniri potest?*

9 **a)** — De off. I 3: *et id quidem nemini video Graecorum adhuc contigisse, ut idem utroque in genere laboraret sequereturque et illud forense dicendi et hoc quietum disputandi genus* (sc. der philosophischen schriftstellerei), *nisi forte Demetrius Phalereus in hoc numero haberi potest, disputator subtilis, orator parum vehemens, dulcis tamen, ut Theophrasti discipulum possis agnoscere.*

1 [ὁ] Jac ὁ ⟨βασιλεὺς⟩ Us-Rad παρεσκευάζετο Krueger [τὰ]? Us-Rad 3 ⟨τῶν⟩ Krueger 4 ἐθανάτωσαν Krueger ἑνεῦ — Di

b) — Brut 37: *Phalereus enim successit eis senibus adulescens, eruditissimus ille quidem horum omnium, sed non tam armis institutus quam palaestra. itaque delectabat magis Athenienses quam inflammabat. processerat enim in solem et pulverem, non ut e militari tabernaculo, sed ut e Theophrasti doctissimi hominis umbraculis.* (38) *hic primus inflexit orationem et eam mollem teneramque reddidit et suavis, sicut fuit, videri maluit quam gravis e. q. s.* ebd. 285; De or. II 95; QUINTILIAN.. Inst. X 1, 33; 80. c) QUINTILIAN. Inst. II 4, 41—42: *fictas ad imitationem fori consiliorumque materias apud Graecos dicere circa Demetrium Phalerea institutum fere constat. an ab ipso id genus exercitationis sit inventum, ut alio quoque libro sum confessus, parum comperi: sed ne ii quidem, qui hoc fortissime adfirmant, ullo satis idoneo auctore nituntur.*

10 TERTULLIAN. Apol. 18, 5: *Demetrii Phalerii, grammaticorum tunc probatissimi.*

11 BUECHERLISTE VON RHODOS ca. 100 a. Chr. (Maiuri Nuova Silloge epigr. Florenz 1925, nr. 11 col. I 1): [*Δημητρίου*] *Β*[*ο*]*ιωτιακός*· | *Ἀρίσταιχμος*, [*ἕν*]· | *Κλέων*, *ξ*[*ν*]· | *Φαιδώνδας ἢ περὶ ο — — [ἕν]*· | *Περὶ τῆς Ἀθήνησι* | *νομοθεσίας πέ*[*ντε*]· | *Περὶ τῶν Ἀθήνησι πολι*[*τειῶν δύο*].

## F

### *ΠΕΡΙ ΤΗΣ ΔΕΚΑΕΤΙΑΣ Α̅. ΥΠΕΡ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ Α̅.*

s. T 1; 3 b; F 8—9? 23? 25? 28; 34; 35? vgl. F 45.

---

### *ΑΡΧΟΝΤΩΝ ΑΝΑΓΡΑΦΗ.*

(F 10; 44?)

1 (II 362, 1) DIOG. LAERT. I 22: *καὶ πρῶτος σοφὸς ὠνομάσθη* (sc. *Θαλῆς*) *ἄρχοντος Ἀθήνησι Δαμασίου* (582/1), *καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησιν Δημήτριος ὁ Φαληρεὺς ἐν τῇι τῶν Ἀρχόντων ἀναγραφῇι.*

2 (2) — II 7: *λέγεται* (sc. *Ἀναξαγόρας*) *δὲ κατὰ τὴν Ξέρξου διάβασιν* (480) *εἴκοσιν ἐτῶν εἶναι, βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς* (244 F 31) *γεγενῆσθαι αὐτὸν τῇι ἑβδομηκοστῇι ὀλυμπιάδι* (500/497), *τεθνηκέναι δὲ τῶι πρώτωι ἔτει τῆς ὀγδοηκοστῆς ὀγδόης* (428/7). *ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου* (480/79), *ἐτῶν εἴκοσιν ὤν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇι τῶν Ἀρχόντων ἀναγραφῇι, ἔνθα καὶ φασιν αὐτὸν ἐτῶν διατρῖψαι τριάκοντα.*

3 (3) MARCELLIN. Vit. Thuk. 32: *Δίδυμος δ' ἐν Ἀθήναις ἀπὸ τῆς φυγῆς ἐλθόντα βιαίωι θανάτωι* (sc. *ἀποθανεῖν φησι Θουκυδίδην*) ....

---

2 *palaestrae* Lambin 15 *Δημ. Βοιωτ.* Wilamowitz (nachprüfung des steines notwendig) 16 *περὶ δ*[*μονοίας?*] Hiller von Gaertringen *π. δ*[*ιαγραφίας?*] De Sanctis 30—31 *ὀγδοηκοστῆς* Scaliger *ἑβδομηκοστῆς* Di 31—33 *ἤρξατο — τριάκοντα*: *Ἀθήνησιν* und *ἔνθα — τριάκοντα* einschub in D.s citat?

τοὺς γὰρ Ἀθηναίους κάθοδον δεδωκέναι τοῖς φυγάσι πλὴν τῶν Πεισιστρατιδῶν μετὰ τὴν ἥτταν τὴν ἐν Σικελίαι· ἥκοντα οὖν αὐτὸν ἀποθανεῖν βίαι, καὶ τεθῆναι ἐν τοῖς Κιμωνίοις μνήμασι. καὶ καταγινώσκειν εὐήθειαν ἔφη τῶν νομιζόντων αὐτὸν ἐκτὸς μὲν τετελευτηκέναι, ἐπὶ γῆς δὲ τῆς Ἀττικῆς τετάφθαι· ἢ γὰρ οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρώοις μνήμασιν ἢ κλέβδην τεθεὶς οὐκ ἂν ἔτυχεν οὔτε στήλης οὔτ' ἐπιγράμματος, ἢ τῶι τάφωι προσκειμένη μηνύει τοῦ συγγραφέως τοὔνομα. ἀλλὰ δῆλον ὅτι κάθοδος ἐδόθη τοῖς φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει (III) καὶ Δημήτριος ἐν τοῖς Ἄρχουσιν.

## ΠΕΡΙ ΤΗΣ ΑΘΗΝΗΣΙ ΝΟΜΟΘΕΣΙΑΣ Ā—Ē.

(s. T 3b; 8; 11; F 9? 12—13; 22? 26? 31?)

### B̄

4 (4) LEX. CANTABR. p. 672, 3: κυρία ἡ ἐκκλησία· Δημήτριος ὁ Φαληρεὺς ἐν τῶι δευτέρωι Περὶ τῆς Ἀθηναίων νομοθεσίας . . . . . πλεῖστα ἐχρημάτιζεν καὶ μέγιστα τῶν κοινῶν † ἀλλ' ἐνῆν τὸν δεδεμένον φησίν. εἰκότως δ' ἂν τις αὐτῶι ἐπιτιμήσειεν· εἰ γὰρ ἂν ποτε κυρίας ἐκκλησίας τοὺς Ἀθηναίους νομίσαι ἐν . . . . . ἐμίσθουν . . . . . ἄμεινον οὖν Ἀριστοτέλης (Ἀθπ. 43, 4)· τὰς γὰρ ἀρχὰς ἐν ταῖς κυρίαις ἐκκλησίαις ἔφησε χειροτονεῖσθαι, καὶ τὰς εἰσαγγελίας καὶ τὰ ἄλλα τῶν ἀναγκαίων χρηματίζειν, καὶ περὶ σίτου ⟨καὶ περὶ⟩ φυλακῆς τῆς χώρας, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκειν καὶ τὰς λήξεις τῶν κλήρων. ἐπὶ δὲ τῆς ἕκτης πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρακοφορίας προχειροτονίαν δίδοσθαι, εἰ δοκεῖ ἢ μή.

### Γ̄

5 (5) HARPOKR. SUID. s. σκαφηφόροι· Δείναρχος ἐν τῶι κατὰ Ἀγασικλέους φησίν· 'οἱ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐκ ὢν ἐχόντες χάριν τῆς πολιτείας, ἀλλὰ τῶι τούτου ἀργυρίωι'. ἀντὶ τοῦ μέτοικοι· οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν γ̄ Νομοθεσίας φησὶν

---

2 [τὴν ἐν Σικελίαι] Krueger 5—6 μνήμασιν, ἢ κλέβδην Bekker μνήμασι συλλήβδην G 14—15 νομοθεσίας ⟨φησίν· ὁ μὲν γὰρ ὄμως⟩ πλεῖστα MHE Meier ⟨κυρία ἐκκλησία, οὐκ ἐν ἡι⟩ πλεῖστα — κοινῶν, ἀλλ' ἐν ἧι τῶν δημευομένων ⟨ἀπογραφὰς ἀνεγίνωσκον καὶ τὰ μισθώσιμα ἐμίσθουν⟩ [φησιν] C Mueller 15 καὶ Meier ἢ Lex τῶν δεδημευμένων Dobree τόν τε δῆμον Meier 16 τί γὰρ Meier τίς γὰρ C Mueller 17 νομίσειεν Meier ⟨καλέσαι⟩ τ. Ἀθ. νομίσειεν, ⟨ἐν αἷς τὰ μισθώσιμα⟩ ἐμίσθουν ⟨καὶ *⟩ C Mueller Ἀριστοτέλης Nauck Ἀριστοτέλει Lex Ἀριστοτέλει ⟨πείθεσθαι⟩ Meier 18 φησὶν ἐπιχειροτονεῖσθαι Meier 19 εἰσαγγελίας ⟨τὸν βουλόμενον εἰσαγγέλλειν⟩ Meier καὶ τὰς εἰσαγγελίας ἐν ταύτηι τῆι ἡμέραι τοὺς βουλομένους ποιεῖσθαι Ar τὰ ἄλλα Meier τὰς ἄλλας Lex ⟨καὶ περὶ⟩ Ar ⟨καὶ⟩ Rose ⟨καὶ περὶ τῆς⟩ Meier 21 λήξεις Dobree (Ar) δείξεις Lex τῶν κλήρων καὶ τῶν ἐπικλήρων, ὅπως μηδένα λάθηι μηδὲν ἔρημον γενόμενον Ar 22 προχειροτονίαν Meier ἐπιχ— Lex Ar δοκεῖ ποιεῖν Ar 25 ἡμῖν BCG τούτου om Epit Suid ἀντὶ τοῦ μετ. om Epit Suid

*ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδια. διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν τ̄ Νόμων.*

## OHNE BUCHZAHL.

6 (6) HARPOKR. s. *Ἕρκειος Ζεύς· .... ὦι βωμὸς ἐντὸς ἕρκους* Ā? *ἐν τῆι αὐλῆι ἵδρυται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. ὅτι δὲ τούτοις μετῆν τῆς πολιτείας οἷς εἷη Ζεὺς Ἕρκειος, δεδήλωκε καὶ Ὑπερείδης ἐν τῶι Ὑπὲρ δημοποιήτου* (F 94 Bl-J), *εἰ γνήσιος, καὶ Δημήτριος ἐν τοῖς Περὶ τῆς Ἀθήνησι νομοθεσίας.*

7 (7) HARPOKR. SUID. s. *παράστασις· Ἰσαῖος ἐν τῶι Περὶ τοῦ Πύρρου κλήρου* (III 47). *τοὔνομα παρὰ πολλοῖς ἐστιν Ἀττικοῖς, ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας· Μένανδρος Μισογύνηι* (III 95, 327 K) *Ἕλκει δὲ γραμματείδιον | ἐκεῖσε δίθυρον καὶ παράστασις, μία | δραχμή'. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων Πολιτείαι* (59, 3) *περὶ τῶν θεσμοθετῶν λέγων φησὶν οὕτως· 'εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἂν τις δῶρα δοὺς ἀποφύγηι τὴν ξενίαν, καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητ(ε)ίας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας'. Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς Περὶ νομοθεσίας τοὺς διαιτητὰς φησι λαμβάνειν τὰς δραχμάς, μίαν μὲν ἀπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν, ἑτέραν δὲ καθ' ὑπωμοσίαν ἑκάστην.* s. F 13; 31. *Δ-Ē?*

*ΠΕΡΙ ΤΩΝ ΑΘΗΝΗΣΙ ΠΟΛΙΤΕΙΩΝ ΑΒ*
(T 1; 11; F 30?)

*ΠΕΡΙ ΤΩΝ ΙΩΝΩΝ Α*

*ΠΡΟΟΙΜΙΟΝ ΙΣΤΟΡΙΚΟΝ Ā*

## Fragmente ohne Buchtitel.

8 (—) CIC. De off. II 60: *theatra, porticus, nova templa verecundius reprehendo propter Pompeium; sed doctissimi non probant, ut et hic ipse Panaetius .... et Phalereus Demetrius, qui Periclem principem Graeciae vituperat, quod tantam pecuniam in praeclara illa propylaea coniecerit. sed de hoc genere toto in iis libris, quos de re publica scripsi, diligenter est disputatum.* *ΔΕΚ?*

---

1 νόμος: δῆμος C 2 ὑδρίας B σκιάδεια AB 6 αὐλῆι Epit βουλῆι Harp 7 ὁ Ζεὺς BC 9 τὴν Ἀθ. νομοθεσίαν A 14 εἰσὶ δὲ καὶ Ar 16 καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς Ar 17 ἀγραφίου Ar ἀργυρίου (...φίου Epit γραφίου Suid) Harp 18 λαμβάνειν Harp λαχεῖν Suid ὁύο δραχμὰς Portus ἀπὸ Harp ὑπὸ Suid ἐπὶ Hemsterhuys

9 (—) CIC. De legg. II 63: *nec haec* (beschränkung des grab- ΔΕΚ?
luxus) *a sapientissimis legum scriptoribus neglecta sunt. nam et Athenis* NOM?
*iam ab illo primo rege Cecrope, ut aiunt, permansit hoc ius terra humandi; †quam quom proxumi fecerant obductaque terra erat, frugibus obserebatur, ut sinus et gremium quasi matris mortuo tribueretur, solum autem frugibus expiatum ut vivis redderetur. sequebantur epulae quas inibant propinqui coronati, apud quos de mortui laude quom si quid veri erat praedicatum (nam mentiri nefas habebatur) †ad iusta confecta erant.* (64) *posteaquam, ut scribit Phalereus, sumptuosa fieri funera et lamentabilia coepissent, Solonis lege sublata sunt. quam legem eisdem prope verbis nostri decemviri in decimam tabulam coniecerunt; nam de tribus reciniis et pleraque illa Solonis sunt; de lamentis vero expressa verbis sunt 'mulieres genas ne radunto neve lessum funeris ergo habento'. de sepulchris autem nihil est apud Solonem amplius, quam ne quis ea deleat neve alienum inferat, poenaque est, si quis bustum (nam id puto appellari τύμβον) aut monimentum, inquit, aut columnam violarit iacerit (?) fregerit. sed post aliquanto propter has amplitudines sepulchrorum, quas in Ceramico videmus, lege sanctum est, ne quis sepulchrum faceret operosius, quam quod decem homines effecerint triduo.* (65) *neque id opere tectorio exornari nec hermas quos vocant licebat imponi; nec de mortui laude nisi in publicis sepulturis nec ab alio, nisi qui publice ad eam rem constitutus esset, dici licebat. sublata etiam erat celebritas virorum ac mulierum, quo lamentatio minueretur; auget enim luctum concursus hominum.* (66) *quocirca Pittacus omnino accedere quemquam vetat in funus aliorum. sed ait rursus idem Demetrius increbruisse eam funerum sepulchrorumque magnificentiam, quae nunc fere Romae est; quam consuetudinem lege minuit ipse. fuit enim hic vir, ut scitis, non solum eruditissimus, sed etiam civis e republica maxime tuendaeque civitatis peritissimus. is igitur sumptum minuit non*

---

3 *ab illo primo rege* dub. CFW Mueller *illo mores a* B¹H *ille mos a* AB° *nostis iam illos mores, a Cecrope* Vahlen 4 *quam*: sc. humationem Scheffer *nostis iam illos mores, a Cecrope* Vahlen 4 *quam*: sc. humationem Scheffer *quod* Turnebus Madvig 7 *inibant* Camerarius *inirant* B¹H *inirent* AB² Vahlen *quod* Turnebus Madvig 7 *inibant* Camerarius *inirant* B¹H *inirent* AB² *quos* Madvig *quas* AB *quaqu*; H 7—8 *quom, si quid veri, erat* Turnebus *quomni* A *cum omni* B *cumni* H *quom, si quid veri poterat* Madvig 8 [*ad*] vulg *ac ita iusta* Turnebus ⟨*sepultura* o. *discedebant*⟩ *ac iusta* Vahlen 9 *postea quam* A (*poste quam* BH) *postea cum* Turnebus 12 *verba* Davis 16 *inquit*: *inscriptum* Huschke 17 *iacerit, acerit* Cic *laeserit* Feldhuegel *deiecerit* edd *vitiaverit* Vahlen 18 *vidimus* A² 20 *hermas hos quos* R Stephanus Vahlen 24 *auget* 'e codice' Ursinus *hunc* A *huic* B *huc* H *augent*? Vahlen 25 *aliorum* (ἑτέρων Plut. Sol. 21, 6): *ali*⟨*en*⟩*orum* Bake 29 *peritissimus* R Stephanus *par*— Cic *is* Madvig *isti* (*iste* A°) AB

*solum poena, sed etiam tempore; ante lucem enim iussit efferri. sepulchris autem novis finivit modum; nam super terrae tumulum noluit quod statui nisi columellam tribus cubitis ne altiorem aut mensam aut labellum, et huic procurationi certum magistratum praefecerat.* (67) *haec igitur Athenienses tui.* (es folgen Platons vorschriften).

10 (—) DIOG. LAERT. II 44: *ἐγεννήθη δέ* (Sokrates), *καθά φησιν* APX.
*Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς* (244 F 34), *ἐπὶ Ἀφεψίωνος ἐν τῶι τετάρτωι ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης ὀλυμπιάδος* (469/8), ..... *ἐτελεύτησε δὲ τῶι πρώτωι ἔτει τῆς ἐνενηκοστῆς πέμπτης ὀλυμπιάδος* (400/399), *γεγονὼς ἐτῶν ἑβδομήκοντα. ταὐτά φησι καὶ Δημήτριος ὁ Φαληρεύς. ἔνιοι δὲ ἑξήκοντα ἐτῶν τελευτῆσαι αὐτόν φασιν.*

11 (—) a) DION. HAL. *Πρ. Πομπ.* 1, 16 (II 226 UR): *καὶ γὰρ τὰ δόγματα* PHT.?
*διέβαλον αὐτοῦ* (sc. *Πλάτωνος*) *τινες καὶ τοὺς λόγους ἐμέμψαντο πρῶτον μὲν .... Ἀριστοτέλης, ἔπειτα οἱ περὶ Κηφισόδωρόν τε καὶ Θεόπομπον* (115 F 259) *καὶ Ζωίλον* (71) *καὶ Ἱπποδάμαντα καὶ Δημήτριον καὶ ἄλλοι συχνοί.* b) — 2, 6 (II 228 UR = De Demosth. 5): *μάλιστα δὲ χειμάζεται* (sc. *Πλάτων*) *περὶ τὴν τροπικὴν φράσιν. πολλὴ μὲν γὰρ ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς μετωνυμίαις, σκληρὰ δὲ καὶ οὐ σώιζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς γίγνεται, ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολλὰς οὔτε μέτρον ἐχούσας οὔτε καιρόν, σχήμασί τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα τοῖς Γοργιείοις ἀκαίρως καὶ μειρακιωδῶς ἐναβρύνεται· καὶ «*π ο λ ὺ ς ὁ †τελέτης ἐστὶν ἐν τοῖς τοιούτοις παρ' αὐτῶι*», ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἰρηκέ που καὶ ἄλλοι συχνοί· 'οὐ γὰρ ἐμὸς ὁ μῦθος'.*

12 (10) a) LEX. CANTABR. s. *εἰσαγγελία* p. 667, 13: ... *Θεόφραστος* NOM.
*δὲ ἐν τῶι τετάρτωι Περὶ νόμων φησὶ γενέσθαι, ἐάν τις καταλύηι τὸν δῆμον ῥήτωρ ἢ μὴ τὰ ἄριστα συμβουλεύηι, χρήματα λαμβάνων· ἢ ἐάν τις προδιδῶι χωρίον ἢ ναῦς ἢ πεζὴν στρατιάν· ἢ ἐάν τις εἰς τοὺς πολεμίους ἀφικνῆται ἢ †νικοίη παρ' αὐτοῖς ἢ στρατεύηται μετ' αὐτῶν ἢ ὅπλα λαμβάνηι ... ἔνιοι δὲ τῶν ῥητόρων εἰώθεσαν καλεῖν καὶ τὰ μὴ μεγάλα ἀδικήματα εἰσαγγελίαν. ἔστι δὲ ὅτε ἐμβάλλοντες τοὺς συκοφαντουμένους εἰσήγγελλον, ὡς μὲν Φιλόχορος* (III), *χιλίων καθεζομένων, ὡς δὲ Δημήτριος ὁ Φαληρεύς, χιλίων πεντακοσίων.* b) POLLUX VIII 53: ..... *χίλιοι δὲ κατὰ μὲν τὸν Σόλωνα τὰς εἰσαγγελίας ἔκρινον, κατὰ δὲ τὸν Φαληρέα καὶ πρὸς πεντακόσιοι.*

---

2 *novis* edd *nobis* ABH 3 *quod*: *quid* edd vet *quicquam* Lambin 15 *Ἀλκιδάμαντα* Krueger 21 *πολυτέλειά τις* De Dem. 5 22 *συχνοὶ πρότερον* De Dem. 5 24 *γενέσθαι* ⟨*αὐτήν*⟩ Meier 25 *συμβουλεύηι* ⟨*τῶι δήμωι*⟩ Meier —*σηι* Lex *λεγόντων τῶι δήμωι* Pollux Hyperid. III 8 *προδιδῶι* Meier —*δοὺς* Lex *χωρίον*: *φρούριον* Pollux Aristoph. Frösch. 362 *πόλιν* Hyp. 25—26 *ἢ ναῦς ἢ πεζὴν ἢ ναυτικὴν στρατιάν* Hyp. 26 *πολεμίους ἀφικνῆται* Meier *πολέμους ἀφικνεῖται* Lex *πρὸς τοὺς πολεμίους ἄνευ τοῦ πεμφθῆναι ἀπελθόντων* Pollux *νικοίη*: *οἰκοίη* Dobree *μισθοφορῆι* Meier *μετοικεῖ* Lugebil 27 *λαμβάνηι* ⟨*ἐπὶ βλάβηι τοῦ δήμου*⟩ Meier 28—29 *τοὺς ἐμβάλλοντας συκοφαντίαις* Meier 29 *εἰσήγγελλον* Nauck *εἰσήγγειλον* Lex ⟨*ἔκρινον δὲ τὰς εἰσαγγελίας*⟩, *ὡς* — Meier *Φιλόχορος* Dobree *φιλόχανος* Lex

13 (11) LEX. CANTABR. s. μὴ οὖσα δίκη p. 673, 3: Δημήτριος ὁ Φαληρεὺς ἐνίους λέγει τῶν κρινομένων κακοτεχνεῖν τοῖς διώκουσιν ἀντιλαγχάνοντας τὴν μὴ οὖσαν. ἔδει γὰρ τοὺς ὑπὲρ δέκα δραχμῶν ἀμφισβητοῦντας †διαιτητεῖς δέκα ἔτη † λαμβάνειν· διὸ καὶ ἔκειτο νόμος μὴ εἰσάγεσθαι δίκην, εἰ μὴ πρότερον ἐξετασθείη παρ' αὐτοῖς τὸ πρᾶγμα. ἐνίους δὲ ἀσθενὲς τὸ δίκαιον ἔχοντας καὶ δεδοικότας τὴν καταδίαιταν χρόνους ἐμβάλλειν καὶ σκήψεις οἵας δοκεῖν εἶναι εὐλόγους, καὶ τὸ μὲν πρῶτον παραγράφεσθαι, εἶτα ὑπόμνυσθαι νόσον ἢ ἀποδημίαν, καὶ τελευτῶντας ἐπὶ τὴν κυρίαν τῆς διαίτης ἡμέραν οὐκ ἀπαντῶντας ὅπηι ἂν δύνωνται ἀντιλαγχάνειν τὴν μὴ οὖσαν τῶι ἑλόντι, ὥστε ἐξ ὑπαρχῆς ἀκέραιον αὐτοῖς καθίστασθαι τὸν ἀγῶνα. κατ' ἐνίους δὲ ἡ ἀντίληξις. ..... s. F 7; 31. NOM.

14 (—) PHILODEM. Rhet. I 198, 9 Sudh.: πονηρ[ὸ]ν γὰρ εἰς ὑπόκρισιν αἱ [μα]κραὶ περίοδοι, καθάπερ καὶ παρὰ [Δη]μη[τρί]ωι κεῖται περὶ τῶν Ἰσοκράτους. s. F 35. PHT.

15 (—) — — I 222, 6: καὶ μὴν ὁ Δ[ημ]ήτριος μετὰ τοῦ σοφισ[τικοῦ] γένους τῶν λόγων [προστ]μ[θεὶ]ς τῶι δημηγορικῶι καὶ δικανικῶι τὸν ἐντευκτικὸν ἅπασιν, εἰ μὲν λαμβάνει τὸν τοῖς πλήθεσιν ἐντε[υκτικὸν κ]α[ὶ] τὸν κατὰ πρεσβείαν τοῖς δυνάσταις, ἐχέτω μὲν ἐπὶ τοῦ παρόντος· ὃ γὰρ ἐκ τούτων ἀγαθὸν γίνεται, μετὰ ταῦτα ἀποψόμεθα· διότι δὲ [τ]αὐτοῦ καὶ ταῦτα καὶ τὸ σοφιστικὸν εἶδος ἐποίησεν, λεγέσθω διαμαρτάνειν. εἰ δὲ τὸν περὶ τῆς ἀληθείας λόγον ἴδιον ἡμῶν ὄντα καὶ ποικίλως ἐπιδεικνύμενον τῶν φιλοσόφων ἀφαιρούμενος τοῖς ῥητορικοῖς ἀνατίθησι, τὴν ἐν τοῖς πολιτικοῖς ἑαυτοῦ ποτε γενομένην ἐξουσίαν καὶ ἐπὶ τὰς σκέψεις μετάγει τὰς πίστεως δεομένας. PHT.

16 (16) PLUT. Demosth. 9, 3: ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ (sc. Δημοσθένους) λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει καὶ Δημητρίωι τῶι Φαληρεῖ καὶ τοῖς κωμικοῖς. ὧν Ἐρατοσθένης (241 F 32) μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον, ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὁμόσαι ποτὲ πρὸς τὸν δῆμον ὥσπερ ἐνθουσιῶντα· 'μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα'. τῶν δὲ κωμικῶν ..... PHT.

17 (17) a) — — 11, 1: τοὺς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν (sc. Δημοσθένης), ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκοῦσαι πρεσβύτου γεγονότος· τὴν μὲν γὰρ ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα καὶ ῥήσεις ἅμα λέγοντα, τὴν δὲ φωνὴν γυμνάζειν ἐν τοῖς δρόμοις καὶ ταῖς πρὸς τὰ σιμὰ ἀναβάσεσι διαλεγόμενον καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῶι πνεύματι πυκνουμένωι προσφερόμενον· εἶναι δ' αὐτῶι μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας PHT.

---

2—3 ἀντιλαγχάνοντας Dobree —νουσι Lex 3—5 ἔδει — πρᾶγμα 'nicht D' Lipsius 3 ἔδει Meier δεῖ Lex 4 διαιτητὰς δ ἐπιλαμβάνειν C Fr Hermann 6 σκήψεις διαιτητὰς εἰς δίκην ἑκάστην (ο. ὡς δικαστὰς) λαμβάνειν C Mueller 8 τῆς Dobree σκέψεις Lex 7 εἶτα Dobree τὸ Lex τὸ ⟨δὲ δεύτερον⟩ Meier 8 διαίτης Dobree αὐτῆς δ. Lex 9 οὐκ — δύνωνται Dobree οὐκ ἀπάντων τὰς ὅπη δύνοντας Lex οὐκ ἀπαντῶντας, ⟨ἀπαντῶντας δὲ⟩ ἡ⟨λίου⟩ δύοντος Meier 10 ἐξ ὑπαρχῆς Dobree ἐξ' ὑπ' ἀρχῶν Lex 30 ἐπήγαγεν N 32 ἀκούειν Y 34—35 πρὸς τὰ σιμὰ προβάσεσι Y γὰρ om Y 34 ἐν τ. ὀρ. γυμνάζεσθαι Y πρὸς στάσιν (πρὸς τάσιν U) ἀναβάσεσι N

ἱστάμενον ἐξ ἐναντίας περαίνειν. b) DION. HAL. De Demosth. 53 (I 244, 16 UR): περὶ ἄμφω τὰ μέρη (sc. τῆς ὑποκρίσεως) σφόδρα ἐσπούδασε. καὶ γὰρ τὰ πάθη τὰ τῆς φωνῆς καὶ τὰ σχήματα ⟨τὰ⟩ τοῦ σώματος, ὡς κράτιστα ἕξειν ἐμελλεν, οὐ μικρῶι πόνωι κατειργάσατο, καίτοι φύσει πρὸς ταῦτα οὐ πάνυ εὐτυχεῖ χρησάμενος, ὡς Δημήτριός τε ὁ Φαληρεύς φησι καὶ οἱ ἄλλοι πάντες οἱ τὸν βίον αὐτοῦ συγγράψαντες.

18 (17) a) PLUT. Demosth. 11, 3: τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαστῶς (sc. Δημοσθένης), οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακόν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν. b) PHILODEM. Rhet. I 197, 24: παρὰ δὲ τῶι Φαληρεῖ λέγεται τὸ ποικίλον μὲν αὐτὸν ὑποκριτὴν γεγονέναι καὶ περιττόν, οὐχ ἁπλοῦν δὲ οὐδὲ κατὰ τὸν γενναῖον τρόπον, ἀλλ' εἰς τὸ μαλακώτερον καὶ ταπεινότερον ἀποκλε[ίνον]τα. *PHT.*

19 (—) PLUT. Demosth. 14, 2: Δημοσθένης δ' οὐκ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὡς φησιν ὁ Δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῶι μὲν παρὰ Φιλίππου καὶ ἐκ Μακεδονίας ἀνάλωτος ὤν, τῶι δ' ἄνωθεν ἐκ Σούσων καὶ Ἀκβατάνων ἐπιβατὸς χρυσίωι γεγονὼς καὶ κατακεκλυσμένος, ἐπαινέσαι μὲν ἦν ἱκανώτατος τὰ τῶν προγόνων καλά, μιμήσασθαι δὲ οὐχ ὁμοίως. *PHT.*

20 (18) — — 28, 3: Ἕρμιππος (IV) δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθηταῖς ἀναγράφει, Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. *PHT.*

21 (13) PLUT. Lykurg. 23, 1: αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς (6 F 7) πολεμικώτατον φησι γενέσθαι καὶ πολλῶν ἐμπειρον στρατειῶν, Φιλοστέφανος (III) δὲ καὶ τὴν κατ' οὐλαμοὺς τῶν ἱππέων διανομὴν Λυκούργωι προστίθησιν ..... (2) ὁ δὲ Φαληρεὺς Δημήτριος οὐδεμιᾶς ἀψάμενον πολεμικῆς πράξεως ἐν εἰρήνηι καταστήσασθαι τὴν πολιτείαν. ἔοικε δὲ καὶ τῆς Ὀλυμπιακῆς ἐκεχειρίας ἡ ἐπίνοια πράου καὶ πρὸς εἰρήνην οἰκείως ἔχοντος ἀνδρὸς εἶναι. καίτοι φασί τινες, ὡς Ἕρμιππος (IV) μνημονεύει, .....

22 (8) — Solon 23, 3: τῶι δ' Ἰσθμια νικήσαντι δραχμὰς ἑκατὸν ἔταξε δίδοσθαι (sc. Solon), τῶι δ' Ὀλυμπιονίκηι πεντακοσίας, λύκον δὲ τῶι κομίσαντι πέντε δραχμάς, λυκιδέα δὲ μίαν, ὧν φησιν ὁ Φαληρεὺς Δημήτριος τὸ μὲν βοὸς εἶναι, τὸ δὲ προβάτου τιμήν. *NOM.?*

23 (—) — Thes. 23, 1: τὸ δὲ πλοῖον ἐν ὧι μετὰ τῶν ἠιθέων ἔπλευσε καὶ πάλιν ἐσώθη (sc. Theseus), τὴν τριακόντορον, ἄχρι τῶν Δημητρίου τοῦ Φαληρέως χρόνων διεφύλαττον οἱ Ἀθηναῖοι τὰ μὲν παλαιὰ τῶν ξύλων ὑφαιροῦντες, ἄλλα δ' ἐμβάλλοντες ἰσχυρὰ καὶ συμπηγνύντες οὕτως ὥστε καὶ τοῖς φιλοσόφοις εἰς τὸν αὐξόμενον λόγον ἀμφισβητούμενον παράδειγμα τὸ πλοῖον εἶναι, τῶν μὲν ὡς τὸ αὐτό, τῶν δ' ὡς οὐ τὸ αὐτὸ διαμένοι λεγόντων. *ΔΕΚ.?*

24 (—) — Consol. 6 p. 104 AB: ὅθεν ὀρθῶς ὁ Φαληρεὺς Δημήτριος, εἰπόντος Εὐριπίδου (Phoen. 558) 'ὁ δ' ὄλβος οὐ βέβαιος ἀλλ' ἐφήμερος' καὶ ὅτι (F 420 N²) *Π. ΤΥΧΗΣ?*

---

1 ἐξ ἐν. ἱστάμενον Y 3 ⟨τὰ⟩ Us·Rad ὡς Anon οἷς Dl 14 ἐκ om Y τῶν: τῶν N 15 ἀκβατάνων N ἐκβ— UY 16 ἱκαν. ἦν Y ὁμοίως Reiske ὁμοιος Pl 18 μαθητὴν Y 19 αὐτός N 21 στρατειῶν S στρατιῶν L στρατηγιῶν Reiske 22 διανομὴν $S^{m}L^{m}$ διαμονὴν $S^{t}$ νομὴν $L^{t}$ 24 καὶ om L 28 ὀλυμπιονίκηι $S^{r}$ ὀλύμπια $S^{m}$ Y 29 δραχμὰς ἔδωκε Y λυκιδέα $S^{ar}$(?) λυκίδα $S^{pr}$ Y ὧν Stephanus ὡς Pl (supr. lin. S) [ὡς] φησὶ δ' ὁ? Lindskog

'μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα τὰ μὲν καθεῖλεν ὑφόθεν, τὰ δ' ἠρ' ἄνω', τὰ μὲν ἄλλα καλῶς ἔφη λέγειν αὐτόν, βέλτιον δ' ἂν ἔχειν εἰ μὴ μίαν ἡμέραν ἀλλὰ στιγμὴν εἶπε χρόνου.

25 (—) PLUT. De glor. Ath. 6 p. 349 AB: *ἂν γὰρ ἐκλογισθῇ τῶν* ΔΕΚ.? δραμάτων ἕκαστον ὅσου κατέστη, πλέον ἀνηλωκὼς φανεῖται ὁ δῆμος εἰς Βάκχας καὶ Φοινίσσας καὶ Οἰδίποδας καὶ 'Αντιγόνην καὶ τὰ Μηδείας κακὰ καὶ 'Ηλέκτρας, ὧν ὑπὲρ τῆς ἡγεμονίας καὶ τῆς ἐλευθερίας πολεμῶν τοὺς βαρβάρους ἀνάλωσεν. οἱ μὲν γὰρ στρατηγοὶ πολλάκις παραγγείλαντες ἄπυρα σιτία κομίζειν ἐξῆγον ἐπὶ τὰς μάχας τοὺς ἄνδρας, καὶ νὴ Δί' οἱ τριήραρχοι τοῖς ἐλαύνουσιν ἅλφιτα παρασκευάσαντες, ὄψον δὲ κρόμμυα καὶ τυρόν, ἐνεβίβαζον εἰς τὰς τριήρεις· οἱ δὲ χορηγοὶ τοῖς χορευταῖς ἐγχέλεια καὶ θριδάκια καὶ σκελίδας καὶ μυελὸν παρατιθέντες εὐώχουν ἐπὶ πολὺν χρόνον φωνασκουμένους καὶ τρυφῶντας. καὶ τούτων τοῖς μὲν ἡττηθεῖσι περιῆν προσυβρίσθαι καὶ γεγονέναι καταγελάστους, τοῖς δὲ νικήσασιν ὁ τρίπους ὑπῆρχεν, «*οὐχ ἀνάθημα τῆς νίκης*», ὡς Δημήτριός φησιν, «*ἀλλ' ἐπίσπεισμα τῶν ἐκκεχυμένων βίων καὶ τῶν ἐκλελοιπότων κενοτάφιον οἴκων.*» τοιαῦτα γὰρ τὰ ποιητικῆς τέλη καὶ λαμπρότερον οὐδὲν ἐξ αὐτῶν.

26 (12) POLLUX VIII 102: *οἱ ἔνδεκα εἰς ἀφ' ἑκάστης φυλῆς ἐγίνετο, καὶ* NOM.? γραμματεὺς αὐτοῖς συνηριθμεῖτο — νομοφύλακες δὲ κατὰ τὸν Φαληρέα μετωνομάσθησαν.

27 (—) POLYB. X 24, 7 BW: *Δημήτριος ὁ Φαληρεὺς ἕως λόγου τὸ τοιοῦτον* ΣΤΡΑΤΗΓ.? ὑπέδειξε, φήσας ὅτι καθάπερ ἐν οἰκοδομίαις ἐὰν κατὰ μίαν πλίνθον θῆις καὶ καθ' ἕνα δόμον ἐπιμελείας τύχηι τὸ παρατεθέν, οὕτως ἐν στρατοπέδωι τὸ κατ' ἄνδρα καὶ κατὰ λόχον ἀκριβωθὲν δλην ποιεῖ τὴν δύναμιν ἰσχυράν.

28 (—) — XII 13, 8—12 BW: ... *Δημήτριος ὁ Φαληρεύς.* *οὗ* ΔΕΚ. 'κεῖνος (Democh. 75 F 4) *οὐ τὴν τυχοῦσαν πεποίηται κατηγορίαν ἐν ταῖς 'Ιστορίαις, φάσκων αὐτὸν .... ἐπὶ τούτοις σεμνύνεσθαι κατὰ τὴν πολιτείαν, ἐφ' οἷς ἂν καὶ τελώνης σεμνυνθείη βάναυσος. ἐπὶ γὰρ τῶι πολλὰ καὶ λυσιτελῶς πωλεῖσθαι κατὰ τὴν πόλιν καὶ δαψιλῆ τὰ πρὸς τὸν βίον ὑπάρχειν πᾶσιν, ἐπὶ τούτοις φησὶν μεγαλαυχεῖν αὐτόν· καὶ διότι κοχλίας αὐτομάτως βαδίζων προηγεῖτο τῆς πομπῆς αὐτῶι, σίαλον ἀνακτύων, σὺν δὲ τούτοις ἄνθρωποι διεπέμποντο διὰ τοῦ θεάτρου * * διότι δὲ πάντων τῶν τῆς Ἑλλάδος καλῶν ἡ πατρὶς παρακεχωρηκυῖα τοῖς ἄλλοις ἐποίει Κασάνδρωι τὸ προστατούμενον, ἐπὶ τούτοις αὐτὸν οὐκ αἰσχύνεσθαί φησιν. ἀλλ' ὅμως οὔτε Δημήτριος οὐδ' ἄλλος οὐδεὶς εἰρήκει περὶ Δημοχάρους τοιοῦτον οὐδέν.*

---

1 ὡς μικρὰ τὰ Stob μικρότατα Pl μίκρ' ἄττα Bernardakis σφάλλοντα Stob —ται Pl 2 ἔχειν Wyttenbach εἶχεν δν Pl ἔχον ἦν Hercher 3 εἶπε: εἶχε Φ 12 σκελίδας Reiske σκελλίδας Pl 15 ὁ Emperius οὐ Plut 16 ἐπίσπεισμα — βίων Reiske ἐπὶ πεισμάτων ἐκκεχυμένον βίον Plut 17 οἴκων Reiske οἶκον Plut 33 ἄνθρωποι (ἄνοι P): ὄνοι Toup * * Jac διότι δὴ Valesius

29 (—) Polyb. XXXVI 2, 3 BW: ἔνστασις γὰρ πολέμου κατὰ τὸν Δημήτριον δικαία μὲν εἶναι δοκοῦσα καὶ τὰ νικήματα ποιεῖ μείζω καὶ τὰς ἀποτεύξεις ἀσφαλεστέρας, ἀσχήμων δὲ καὶ φαύλη τἀναντία ἀπεργάζεται.

30 (18) Schol. Aischin. II 1: ὅτι μαθητὴς ἐγένετο (Aischines), ὡς μὲν Δη- PHT.?
μήτριος ὁ Φαληρεύς φησι, Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον τοῦ Πλάτωνος· ὡς δὲ Κεκίλιος (F 126a Ofenloch) καὶ Ἰδομενεὺς (IV) καὶ Ἕρμιππος (IV) ἱστοροῦσιν, οὐκ ἤκουσε τούτων τῶν ἀνδρῶν μαθήσεως χάριν. φασὶ γὰρ ὡς ὅτι οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σώιζει .....

31 (9) Schol. Aristoph. Nub. 37: Ἀριστοτέλης (Ἀθπ. 21, 5) δὲ NOM? ΠΟΛ.?
περὶ Κλεισθένους φησί· 'κατέστησε καὶ δημάρχους, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρώτερον ναυκράροις· καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησεν'. ..... Δημήτριος δὲ ὁ Φαληρεὺς οὕτω φησί· «καὶ δημάρχους οἱ περὶ Σόλωνα καθίσταντο ἐν πολλῇ σπουδῇ, ἵνα οἱ κατὰ δῆμον [ἄρχοντες] διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ' ἀλλήλων.»

32 (—) a) Schol. Hom. Od. γ 267: πὰρ γὰρ ἓην καὶ ἀοιδός] οὕτω Δημήτριος ὁ Φαληρεύς· Μενέλαος ἅμα τῶι Ὀδυσσεῖ ἐλθὼν εἰς Δελφοὺς τὸν θεὸν ἤρετο περὶ τῆς μελλούσης ἔσεσθαι εἰς Ἴλιον στρατείας. τότε δὴ καὶ τὸν ἐνεστηρικὸν τῶν Πυθίων ἀγῶνα ἀγωνοθετεῖ Κρέων, ἐνίκα δὲ Δημόδοκος Λάκων, μαθητὴς Αὐτομήδους τοῦ Μυκηναίου, ὃς ἦν πρῶτος δι' ἐπῶν γράψας τὴν Ἀμφιτρύωνος πρὸς Τηλεβόας μάχην καὶ τὴν ἔριν Κυθαιρῶνός τε καὶ Ἐλικῶνος, ἀφ' ὧν δὴ καὶ τὰ ἐν Βοιωτίαι δρη προσαγορεύεται. ἦν δὲ καὶ αὐτὸς μαθητὴς Περιμήδους Ἀργείου, ὃς ἐδίδαξεν αὐτόν τε τὸν Μυκηναῖον Αὐτομήδην καὶ Λικύμνιον τὸν Βουπράσιον καὶ †Σίνιν καὶ τὸν Δωριέα καὶ Φαρίδαν τὸν Λάκωνα καὶ Πρόβολον τὸν Σπαρτιάτην. τότε δὴ Μενέλαος τῆι Προνοίαι τὸν τῆς Ἑλένης ἀνέθηκεν δρμον [Ἀθηνᾶι]. τὸν δὲ Δημόδοκον εἰς Μυκήνας λαβὼν Ἀγαμέμνων ἔταξε τὴν Κλυταιμνήστραν τηρεῖν. ἐτίμων δὲ λίαν τοὺς ἀοιδοὺς ὡς διδασκάλους τῶν τε θείων καὶ παλαιῶν ἀνδραγαθημάτων, καὶ τῶν ἄλλων ὀργάνων πλέον τὴν λύραν ἠγάπων. ὀηλοῖ δὲ καὶ Κλυταιμνήστρα τὴν εἰς αὐτὸν τιμήν· οὐ γὰρ φονεύειν, ἀλλ' ἀφορίζειν αὐτὸν ἐκέλευσε. Τιμόλαος (VI) δὲ ἀδελφὸν αὐτόν φησιν εἶναι Φημίου, ὃν ἀκολουθῆσαι τῆι Πενελόπηι εἰς Ἰθάκην ....

b) Tzetz. Lyk. p. 4, 6 οἱοίπερ ἦσαν ποιηταί, ὡς ὁ Φαληρεὺς Δημήτριος γράφει, Αὐτομήδης καὶ Δημόδοκος καὶ Λαΐρις οἱ Κερκυραῖοι καὶ ὁ Ἰθακήσιος Φήμιος καὶ οἱ λοιποί, [οὓς ὁ Φαληρεὺς γράφει].

33 (—) Stob. III 5, 43: Ἐκ τῆς Ἑρμίππου Συναγωγῆς τῶν καλῶς ἀναφωνηθέντων ἐξ Ὁμήρου. Δημήτριος ὁ Φαληρεὺς εἰς σωφροσύνην ἔλεγεν ταῦτα ποιεῖν (Od. ψ 296) 'ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο'.

---

2 εἶναι δοκοῦσα Benseler δ. εἶ. Pol 3 τοὐναντίον Büttner-Wobst 11 δὲ καὶ Arist 14 [ἄρχοντες] Hermann 16—17 ὁ δὲ Φ. Δ. ἱστορεῖ ὅτι Μενέλαος Eust 17 ἤρετο Eust εἴρετο Schol 22 ἦν δέ φησι Eust 23 αὐτόν τε τὸν M αὐτόν τε καὶ τὸν cett αὐτόν τε καὶ τὸν ῥηθέντα Eust βουπράσιον M βουπρασιόην cett *Βουπρασιέα* Eust καὶ *Σίνιν* (M σίπια cett) τὸν Δωριέα om Eust; in *Σίνιν* καὶ steckt eigenname 24 Φαρίδαν R Eust φαρίδα EHQ φαλάριδα M 25 Μενέλαος μὲν Eust τὸν om Schol [Ἀθηνᾶι] Jac τῆι ἀθηνᾶι EQ τῆι προνοίαι Ἀθηνᾶι Eust 26—27 ἐτίμα γὰρ λίαν, φησί, τοὺς ἀοιδοὺς Eust 27—28 καὶ παλαιῶν — ἠγάπων Schol καὶ ἀνθρωπίνων Eust (vgl. Horat. AP 391 ff.) 28 ὀηλοῖ δέ φησι Eust 31 ὡς: οὓς?

ΔΕΚ.

34 (—) STRAB. IX 1, 20: s. T 3 b.

35 (—) a) — III 2, 9: *τὴν δ' ἐπιμέλειαν φράζων* (Poseidonios 87 F 47) *τὴν τῶν μεταλλευόντων* (in Turdetanien) *παρατίθησι τὸ τοῦ Φαληρέως, ὅτι φησὶν ἐκεῖνος ἐπὶ τῶν Ἀττικῶν ἀργυρείων οὕτω συντόνως ὀρύττειν τοὺς ἀνθρώπους, ὡς ἂν προσδοκώντων αὐτὸν ἀνάξειν τὸν Πλούτωνα· καὶ τούτων οὖν ἐμφανίζει παραπλησίαν τὴν σπουδὴν καὶ τὴν φιλεργίαν, σκολιὰς τεμνόντων καὶ βαθείας τὰς σύριγγας .... τὸν δὲ λόγον οὐ ταύτὸν εἶναι τούτοις που καὶ τοῖς Ἀττικοῖς, ἀλλ' ἐκείνοις μὲν αἰνίγματι ἐοικέναι τὴν μεταλλείαν — ὅσα μὲν γὰρ ἀνέλαβον, φησίν, οὐκ ἔλαβον, ὅσα δὲ εἶχον, ἀπέβαλον.* b) ATHEN. VI 23 p. 233 E: *τὸ μέντοι γε πολὺ τούτου βαθείαις καὶ κακοπαθέσι μεταλλείαις εὑρίσκεται κατὰ τὸν Φαληρέα Δημήτριον, ἐλπιζούσης τῆς πλεονεξίας ἀνάξειν ἐκ τῶν μυχῶν τῆς γῆς αὐτὸν τὸν Πλούτωνα. χαριεντιζόμενος γοῦν φησιν ὅτι «πολλάκις καταναλώσαντες τὰ φανερὰ τῶν ἀδήλων ἕνεκα ἃ μὲν ἔμελλον οὐκ ἔλαβον, ἃ δ' εἶχον ἀπέβαλον, ὥσπερ αἰνίγματος τρόπον ἀτυχοῦντες».* DIOD. V 37, 1.

36 (—) VIT. ISOKRAT. p. 258, 142 West: *ἀπέθανε* (Isokrates) *δ' ἐπὶ Χαιρώνδου ἄρχοντος* (338/7) *μετὰ τὴν ἐν Χαιρωνείαι μάχην, λυπηθεὶς διὰ τὴν ἧτταν ..... ἀποκαρτερήσας δ' ἐτελεύτησεν, ὡς μὲν Δημήτριός φησιν, $\overline{\delta}$ ἡμέρας, ὡς δ' Ἀφαρεὺς [ι]δ.* PHT.?

## Anhang.

### *ΠΕΡΙ ΓΗΡΩΣ.*

37 (—) DIOG. LAERT. IX 20: *φησὶ δὲ Δημήτριος ὁ Φαληρεὺς ἐν τῶι Περὶ γήρως καὶ Παναίτιος ὁ Στωικὸς ἐν τῶι Περὶ εὐθυμίας ταῖς ἰδίαις χερσὶ θάψαι τοὺς υἱεῖς αὐτόν* (sc. *Ξενοφάνη*), *καθάπερ καὶ Ἀναξαγόραν.*

38 (—) — — II 13: *ὅτε καὶ ἀμφοτέρων αὐτῶι* (sc. *Ἀναξαγόραι*) *προσαγγελόντων, τῆς τε καταδίκης καὶ τῆς τῶν παίδων τελευτῆς, εἰπεῖν περὶ μὲν τῆς καταδίκης, ὅτι ἄρα 'κἀκείνων κάμοῦ πάλαι ἡ φύσις κατεψηφίσατο', περὶ δὲ τῶν παίδων ὅτι 'ἤιδειν αὐτοὺς ὑητοὺς γεννήσας'. (οἱ δ' εἰς Σόλωνα τοῦτο ἀναφέρουσιν, ἄλλοι εἰς Ξενοφῶντα). τοῦτον δὲ καὶ θάψαι ταῖς ἰδίαις χερσὶν αὐτοὺς Δημήτριός φησιν ὁ Φαληρεὺς ἐν τῶι Περὶ γήρως.*

### *ΠΕΡΙ ΤΥΧΗΣ.*

(F 24?)

39 (19) POLYB. XXIX 21, 1—6 BW (EXC. DE SENT. 194, 27 Boiss = DIOD. XXXI 10; EXC. DE SENT. p. 378, 1): *ὥστε πολλάκις ... μνημονεύειν τῆς Δημητρίου τοῦ Φαληρέως φωνῆς. ἐκεῖνος γὰρ ἐν τῶι Περὶ τῆς τύχης ὑπομνήματι βουλόμενος ἐναργῶς ὑποδεικνύναι τοῖς ἀνθρώποις τὸ ταύτης εὐμετάβολον, ἐπιστὰς ἐπὶ τοὺς κατ' Ἀλέξανδρον καιρούς, ὅτε κατέλυσε τὴν Περσῶν ἀρχήν, λέγει ταῦτα· «εἰ γὰρ λάβοι τις μὴ χρόνον ἄπειρον μηδὲ γενεὰς πολλὰς ἀλλὰ πεντήκοντα μόνον ἔτη ταυτὶ ⟨τὰ⟩ πρὸ ἡμῶν, γνοίητ' ἂν ὡς τὸ τῆς Τύχης χαλεπὸν*

---

4—5 *προσδοκώντων* ABC —τας vulg 13 *ἔμελλον*: *ἔλαβον* Kramer *ἤλπισαν ἐνίοτε λαβεῖν* Diod 18 [ι]δ Blass (Vit. X or. 838 B *οἱ δὲ τεταρταῖον ἅμα ταῖς ταφαῖς τῶν ἐν Χαιρωνείαι πεσόντων*) 24—25 *προσαγγελθέντων* Φ 36 *λάβοι τις* Pol *λάβοις πρὸ τῆς ἐννοίας* Di *λάβοιτε* Spengel *λάβοιτ' ἐν νῶι* Büttner-Wobst 38 *ταυτὶ τὰ* Di *ταύτη* Pol *γνοίης ἂν* Di

ἐνταῦθα. πεντηκοστὸν γὰρ ἔτος οἶεσθ' ἂν ἢ Πέρσας ἢ βασιλέας τῶν Περσῶν ἢ Μακεδόνας ἢ βασιλέας τῶν Μακεδόνων, εἴ τις θεῶν αὐτοῖς προὔλεγε τὸ μέλλον, πιστεῦσαί ποτ' ἂν ὡς εἰς τοῦτον τὸν καιρὸν Περσῶν οὐδ' ὄνομα λειφθήσεται τὸ παράπαν, οἳ πάσης τῆς οἰκουμένης ἐδέσποζον, Μακεδόνες δὲ πάσης κρατοῦσιν, ὧν οὐδ' ὄνομα πρότερον ἦν. ἀλλά πως ἡ πρὸς τὸν βίον ἡμῶν ἀσύνθετος Τύχη καὶ πάντα παρὰ λογισμὸν τὸν ἡμέτερον καινοποιοῦσα καὶ τὴν αὑτῆς δύναμιν ἐν τοῖς παραδόξοις ἐνδεικνυμένη καὶ νῦν, ὡς ἐμοὶ δοκεῖ, ὀείκνυσι πᾶσιν ἀνθρώποις, Μακεδόνας εἰς τὴν Περσῶν εὐδαιμονίαν εἰσοικίσασα, διότι καὶ τούτοις ταῦτα τἀγαθὰ κέχρηκεν, ἕως ἄλλο τι βουλεύσηται περὶ αὐτῶν.»

## ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑ. ΣΩΚΡΑΤΗΣ.

(T 1; F 43, 9).

40 (—) Diog. Laert. IX 15: *μέμνηται αὐτοῦ* (sc. *Ἡρακλείτου*) *καὶ ὁ Φαληρεὺς Δημήτριος ἐν τῇι Σωκράτους Ἀπολογίαι.*

41 (—) — — IX 37: *Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τῇι Σωκράτους Ἀπολογίαι μηδὲ ἐλθεῖν φησιν αὐτὸν* (sc. *Δημόκριτον*) *εἰς Ἀθήνας.*

42 (—) — — IX 57: *Διογένης ... Ἀπολλωνιάτης .... ἦν δὲ τοῖς χρόνοις κατ' Ἀναξαγόραν. τοῦτόν φησιν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇι Σωκράτους Ἀπολογίαι διὰ μέγαν φθόνον μικροῦ κινδυνεῦσαι Ἀθήνησιν.*

43 (14) Plut. Aristid. 1, 1: *περὶ δ' οὐσίας αὐτοῦ* (sc. *Ἀριστείδου*) *λόγοι διάφοροι γεγόνασιν, οἱ μὲν ὡς ἐν πενίαι συντόνωι καταβιώσαντος καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους δι' ἀπορίαν γενέσθαι Φαληρεὺς Δημήτριος ἐν τῶι Σωκράτει χωρίον Φαληροῖ φησι γινώσκειν Ἀριστείδου γενόμενον, ἐν ὧι τέθαπται, καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας ἓν μὲν ἡγεῖται τὴν ἐπώνυμον ἀρχήν* (F 44), *ἣν ἦρξε τῶι κυάμωι λάχων ἐκ τῶν γενῶν τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς πεντακοσιομεδίμνους προσηγόρευον· ἕτερον δὲ τὸν ἐξοστρακισμόν — οὐδενὶ γὰρ τῶν πενήτων ἀλλὰ τοῖς ἐξ οἴκων τε μεγάλων καὶ διὰ γένους ὄγκον ἐπιφθόνοις ὀστρακον ἐπιφέρεσθαι —· (3) τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικῆς τρίποδας ἐν Διονύσου καταλέλοιπεν, οἳ καὶ καθ' ἡμᾶς ἐδείκνυντο, τοιαύτην ἐπιγραφὴν διασώζοντες· 'Ἀντιοχὶς ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε'. [[4—5: eigene polemik Plutarchs gegen das dritte argument. (6) *Παναίτιος μέντοι περὶ τοῦ τριποδος ἀποφαίνει τὸν Δημήτριον ὁμωνυμίαι διεψευσμένον ..... (7) τῶι δ' ὀστράκωι πᾶς ὁ διὰ δόξαν ἢ γένος*

---

1 *πεντηκοστῶι γὰρ ἔτει πρότερον* Di *οἶεσθ' ἂν ἢ: οἶσθα μὴ* Di 1—2 *βασιλέα — βασιλέα* Di 4 *Περσῶν μὲν* Di 5 *οἳ πάσης σχεδὸν* Di 5—6 *δὲ καὶ πάσης κρατήσουσιν* Di 6 *ἦν γνώριμον* Di *ἀλλ' ὅμως* Di 7 *ἀσύνθετος Τύχη: ἀναλογία (ἀλογία* Mai) *τῆς τύχης* Di *παρὰ τὸν* Di 8—9 *ἐνδόξοις* Di 9—10 *ὡς — ἀνθρώποις: ὡς ὁμοίως ἐνδείκνυται* Di 11 *τούτους* Di *ταῦτα: ἡ τύχη* Di *ἕως ἄν* Di 16 *δημόκριτος* BP 20 *τοῦτον: 'natürlich Anaxagoras'* 27 *γενόμενον* S *λεγόμενον* Y 28 *ἦρχεν ὁ* Sintenis 30 *τε* om Y 31 *γένους κατέλιπεν* Y

ἢ λόγου δύναμιν ὑπὲρ τοὺς πολλοὺς νομιζόμενος ὑπέπιπτεν· ὅπου καὶ Δάμων ὁ Περικλέους διδάσκαλος, ὅτι τὸ φρονεῖν ἐδόκει τις εἶναι περιττός, ἐξωστρακίσθη. (8) καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς (IV) οὐ κναμευτὸν ἀλλ' ἑλομένων Ἀθηναίων φησίν. εἰ δὲ καὶ μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ἦρξεν, ὡς αὐτὸς ὁ Δημήτριος γέγραφε (F 44), καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασι τηλικούτοις ἀξιωθῆναι δι' ἀρετὴν ⟨ἀρχῆς⟩ ἧς διὰ πλοῦτον ἐτύγχανον οἱ λαγχάνοντες.]]

(9) ἀλλὰ γὰρ ὁ μὲν Δημήτριος οὐ μόνον Ἀριστείδην ἀλλὰ καὶ Σωκράτη δῆλός ἐστι τῆς πενίας ἐξελέσθαι φιλοτιμούμενος ὡς μεγάλου κακοῦ· καὶ γὰρ ἐκείνωι φησὶν οὐ μόνον τὴν οἰκίαν ὑπάρχειν ἀλλὰ καὶ μνᾶς ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος.

**44** (14) PLUT. Aristid. 5, 9: Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε (nach Marathon 489/8). καίτοι φησὶν ὁ Φαληρεὺς Δημήτριος (F 43) ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. (10) ἐν δὲ ταῖς ἀναγραφαῖς μετὰ μὲν Ξανθιππίδην (479/8), ἐφ' οὗ Μαρδόνιος ἡττήθη Πλαταιᾶσιν, οὐδ' ὁμώνυμον Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἐστι, μετὰ δὲ Φαίνιππον (490/89), ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων, εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται.

**45** (15) a) — — 27, 1: καὶ μέντοι καὶ τάφος ἐστὶν αὐτοῦ Φαληροῖ (o. p. 970, 26) δεικνύμενος, ὃν φασι κατασκευάσαι τὴν πόλιν αὐτῶι μηδ' ἐντάφια καταλιπόντι. (2) καὶ τὰς μὲν οὖν θυγατέρας ἱστοροῦσιν ἐκ τοῦ πρυτανείου τοῖς νυμφίοις ἐκδοθῆναι δημοσίαι τῆς πόλεως τὸν γάμον ἐγγυώσης καὶ προῖκα τρισχιλίας δραχμὰς ἑκατέραι ψηφισαμένης, Λυσιμάχωι δὲ τῶι υἱῶι μνᾶς μὲν ἑκατὸν ἀργυρίου καὶ γῆς τοσαῦτα πλέθρα πεφυτευμένης ἔδωκεν ὁ δῆμος, καὶ ἄλλας δραχμὰς τέσσαρας εἰς ἡμέραν ἑκάστην ἀπέταξεν, Ἀλκιβιάδου τὸ ψήφισμα γράψαντος. (3) ἔτι δὲ Λυσιμάχου θυγατέρα Πολυκρίτην ἀπολιπόντος, ὡς Καλλισθένης φησί (124 F 48), καὶ ταύτηι σίτησιν δοῦναι καὶ τοῖς Ὀλυμπιονίκαις ὁ δῆμος ἐψηφίσατο. Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς (IV) καὶ Ἀριστοτέλης (F 93 R) — εἰ δὴ τό γε Περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον — ἱστοροῦσι γυναῖκα μὲν ἑτέραν Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῶι σοφῶι συνοικῆσαι, ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. (4) πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς Περὶ Σωκράτους ἀντείρηκεν, ὁ δὲ Φαληρεὺς ἐν τῶι Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Λυσίμαχον, ὃς ἑαυτὸν μὲν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ τάχος καθεζόμενος ἔβοσκε, (5) τῆι δὲ μητρὶ καὶ τῆι ταύτης ἀδελφῆι ψήφισμα γράψας ἔπεισε τὸν δῆμον τροφὴν διδόναι τριώβολον ἑκάστης ἡμέρας. αὐτὸς μέντοι φησὶν ὁ Δημήτριος νομοθετῶν ἀντὶ τριωβόλου δραχμὴν ἑκατέραι τάξαι τῶν γυναικῶν. b) ATHEN. XIII 2 p. 555 D—556 B: ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτώ — οὐ τοῦ

---

1 λόγου Y πλούτου S δαίμων S 2 ὅτι καὶ S 6 ⟨ἀρχῆς⟩ Reiske 6—7 οἱ λανθάνοντες Y 15 πλαταιεῦσιν Y 16 ⟨ἔτεσιν⟩ ἔστιν Blass φάνιππον Y 20 οὖν om Y ἱστοροῦσιν: γρ λέγουσιν $S^m$ (m. 1) 23 ⟨καὶ ψιλῆς καὶ⟩ πεφυτευμένης Sauppe (Demosth. XX 115) καὶ ἄλλας S ἄλλας δὲ Y 25—26 δοῦναι καὶ Y δοῦναι S 28 γε om Y 33 μὲν om Y 34 ἱάκχιον λεγόμενον Y 36 γράψας δωρεὰν Y γράψας ⟨ὁ δεῖνα⟩? τροφὴν om Y 37 αὐτὸς μέντοι ὁ Δ. νομοθετῶν ἐψηφίσατο δραχμὴν Y

δικαίου καλουμένου (οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν) ἀλλὰ τοῦ τρίτου ἀπ' ἐκείνου εἰσὶ δὲ Καλλισθένης (124 F 43), Δημήτριος ὁ Φαληρεύς, Σάτυρος ὁ Περιπατητικός (IV), Ἀριστόξενος (IV), οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν ἱστορῶν τοῦτο ἐν τῶι Περὶ εὐγενείας (F 93 R). εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων, ὥστ' ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον. ὅθεν καὶ τοὺς τῆς κωμωιδίας ποιητὰς ἀποσιωπῆσαι τοῦτο, πολλάκις τοῦ Σωκράτους μνημονεύοντας. παρέθετο δὲ περὶ τῶν γυναικῶν ψήφισμα Ἱερώνυμος ὁ Ῥόδιος ... ἀντεῖπε δὲ τοῖς λέγουσι περὶ τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος.

## ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ.

(s. F 11; 14—20; 30; 36).

**46** (—) Philodem. Rhet. I 272, 3 Sudh.: ὁ δὲ Λύσιν [γεγρα]φέναι Δη[μή]τ[ριος ὁ Φαλη]ρε[ὺ]ς ἐν τοῖς Πε[ρὶ τῆς ῥη]τορικῆς σ[υ]ν[γράμμασίν φη]σιν (?) εἰ καὶ κα .....

**47.** (—) — — I 346: εἶναι Φίλωνος ὁ [Δημή]τριος ὁ Φαληρεὺς ἐν τῶι Περὶ τῆς ῥητορικῆς ἔταξεν ἴσως τὰ πράγματ' ἄλλα. κατ' αὐτοῦ δὲ καὶ τὰ περὶ θάτ[ερο]ν Φίλωνος. εἴτε γὰρ ὁ μᾶλλον εἰδὼ[ς τῶν] εἰδότων μὲν ..... αὐ', ἢ[τ]τον δ' ε[ἰδό]των ἀφειλ[ε]το τὴν ἐργολαβ[ίαν τῶι] ἀνασκε[υάσ]αι . κοι ... σει τὸν [ὅλω]ς ἄπει[ρον] σοφὸν τῶν πολιτικῶν ὁ τὴν ἄκραν ἐσχηκὼς ῥήτωρ ἐμπ[ειρί]αν ἀ[πὸ] τῶν [.]εω[.... καὶ] ὀν[ν]άμε[ος .....

**48** (—) **a)** — I 350: [τὸ δὲ τοὺς] ἀρξα[μ]έ[νους] ἀ[πὸ τοῦ] δύνασθ[αι σιω]πᾶν, ὡς παρὰ Ξενοκράτει μονωτάτους καὶ λέγειν εἰδέναι — ταὐτοῦ γὰρ ἑκάτερον εἶναι — τίνι προσέχοντες, ὦ πρὸς θεῶν, πιστεύσομεν, εἰ μὴ τῶι Ξενοκράτην οὕτως ἐπ' Ἀντιπάτρου καὶ τῶν συνέδρων διαλεχθῆνα[ι, καθά]π[ερ ὁ] Φαληρεὺς ἱσ[τόρηκεν ἐν τ]ῶι περ[ὶ τῆς ῥητορικῆς]. **b)** — P. ined. 453 fr. IV 9 (Croenert Kolot u. Mened. 67): Ξενοκράτης δ', εἴπερ ἀληθεύει Δημήτριος, καὶ διὰ τὸ μὴ ῥήτωρ εἶναι καὶ Θεοφράστου γνώριμος .. λπε .. ψεύδετ' αὐτοῦ φ[ανερ]όν, ἐπί τε τοῦ παρ' Ἀντιπά[τρωι συνε]δρίου κατη[γο * *

**49** (—) Schol. Tzetz. Chil. V 209 (Cram. A O III 365, 26): τὸ Ἄραψ γράφε μεθ' ἑνός, μὴ δὲ διπλοῦ τοῦ ῥῶ μοι .... καὶ Φαληρεὺς Δημήτριος Ῥητορικῆς φῆ γράφειν.

## Zweifelhaftes und Unechtes.

**50** (—) Schol. A D Hom. Il. Z 35: Ἀχιλλεὺς ὑπὸ τὸν Τρωικὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἴλιου πόλεις ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηνίαν, νῦν δὲ Πήδασον καλουμένην, καὶ αὐτὴν σὺν ταῖς ἄλλαις ⟨ἐπειρᾶτο⟩ ἑλεῖν. ἀπογνόντος δὲ αὐτοῦ τὴν εἰς τὸ τέλος πολιορκίαν διὰ τὴν ὀχυρότητα τοῦ τόπου καὶ μέλλοντος ἀναχωρεῖν, φασὶν εἶσω τῶν τειχῶν οὖσάν τινα παρθένον ἐρασθῆναι τοῦ Ἀχιλλέως καὶ λαβοῦσαν

---

7 ⟨τὸ⟩ περὶ Meineke 15 ἄλλα v Arnim Stoic. F. III 237, 100 ἄλλ[ως] Sudh 16 [πράγμ]αθ' Sudh 17 ἀφείλετο — ἀνασκευάσαι v Arnim 18—19 καὶ δύνασθαι v Arnim 20 τὸ — τοῦ v Arnim a. o. 238, 103 22 ὦ v Arnim τ[ι] P 23 [ἱστόρηκεν] Sudh φο ..... P σο[φιστής] (Δημήτριος unmöglich) Croenert 24 [περὶ τῆς ῥητορικῆς] Sudh Πο[λιτικῶι] ('es ließe sich aber auch anders ergänzen') Croenert 25—26 ῥήτωρ εἶναι ⟨δημηγορῶν οὐ κατώρθωσεν⟩ [⟨ὅτι ὁ⟩ Θεοφ. γν. — φανερόν (randnotiz)] ἐπί τε κτλ. Croenert 33 Μονηίαν D 34 ⟨ἐπειρᾶτο⟩ Jac ἀπογνόντος D ταπεινοῦντος A 35 καὶ om A

μῆλον εἰς τοῦτο ἐπιγράψαι καὶ ῥῖψαι εἰς μέσον τῶν Ἀχαιῶν. ἦν δὲ ἐν αὐτῶι γεγραμμένον· 'μὴ σπεῦδ', Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἑλεῖν· ὕδωρ γὰρ οὐκ ἔνεστι· διψῶσιν κακῶς'. τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα οὕτω λαβεῖν τὴν πόλιν τῆι τοῦ ὕδατος σπάνει. ἡ ἱστορία παρὰ Δημητρίωι καὶ Ἡσιόδωι (F 85 R³).

51 (—) JOSEPH. c. Ap. I 218 (EUSEB. PE IX 42): ὁ μέντοι Φληρεὺς Δημήτριος καὶ Φίλων ὁ πρεσβύτερος (III) καὶ Εὐπόλεμος (III) οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. οἷς συγγιγνώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν. s. T 6e.

52 (—) TERTULLIAN. Apol. 19, 5—6: *reseranda antiquissimarum etiam gentium archiva, Aegyptiorum Chaldaeorum Phoenicum; advocandi municipes eorum, per quos notitia subministrata est, aliqui Manethon Aegyptius* (III) *et Berosus Chaldaeus* (III), *sed et Hieromus Phoenix, Tyri rex; sectatores quoque ipsorum Mendesius Ptolemaeus* (III) *et Menander Ephesius* (III) *et Demetrius Phalereus et rex Iuba* (III) *et Apion* (III) *et Thallus* (256 T 3) *et qui istos aut probat aut revincit, Iudaeus Iosephus* . . . . . .

---

## 229. PYRRHOS VON EPEIROS?

### F

### *ΥΠΟΜΝΗΜΑΤΑ.*

1 (II 461, 3) DION. HAL. AR XX 10 (EXC. DE VIRT. II 83, 20): Pyrrhos plündert den tempel der Persephone in Lokroi; ein sturm vernichtet die flotte mit dem geraubten gut. διὰ τοῦτο καὶ ὑπὸ Ῥωμαίων ἠττήθη ὁ Πύρρος κατὰ κράτος. οὐ γὰρ στρατιά τις φαύλη καὶ ἀνάσκητος ἦν αὐτῶι . . . οὐδὲ πλῆθος ἀνδρῶν τῶν τότε παραταξαμένων ὀλίγον . . . οὐδὲ στρατηγὸς τῶν ἐπιτυχόντων τις . . . . . οὐδὲ τόπου φύσις ἄνισος οὔτ' ἐπικουρία⟨ς⟩ τοῖς ἑτέροις [ἦ] ἄφιξις αἰφνίδιος οὔτε ἄλλη τις συμφορὰ καὶ πρόφασις ἀπροσδόκητος ἐπιπεσοῦσα συνέτριψεν τὰ Πύρρου πράγματα, ἀλλ' ὁ τῆς ἀσεβηθείσης θεᾶς χολός, ὃν οὐδ' αὐτὸς ἠγνόει Πύρρος, ὡς Πρόξενος ὁ συγγραφεὺς (III) ἱστορεῖ, καὶ αὐτὸς ὁ Πύρρος ἐν τοῖς ἰδίοις ὑπομνήμασι γράφει. ἐν γὰρ τῆι νυκτί, ἐν ἧι τὴν στρατιὰν ἔμελλεν ἀπάξειν ἐπὶ τὸ ὄρος τῶι Ῥωμαίων ἐπιθησόμενος χάρακι λάθρα, ἔδοξε κατὰ τοὺς ὕπνους ἐκπεσεῖν αὐτοῦ τοὺς πλείονας ὀδόντας καὶ πλῆθος αἵματος ἐκ τοῦ στόματος φέρεσθαι. ταραχθεὶς δὲ διὰ τὴν ὄψιν καὶ μεγάλην ἔσεσθαι συμφορὰν μαντευόμενος — ἤδη γὰρ αὐτῶι καὶ πρότερον τοιαύτην ὄψιν ἐνυπνίου θεασαμένωι δεινή τις συνέβη δυσποτμία — ἐβούλετο ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην, οὐκ ἰσχυσε δὲ νικῆσαι τὴν πεπρωμένην, ἐναντιουμένων τῶν φίλων πρὸς τὴν ἀναβολὴν καὶ μὴ μεθεῖναι τὸν καιρὸν ἐκ τῶν χειρῶν ἀξιούντων.

### Anhang.

2 (2) PLUT. Pyrrh. 21, 12: (schlacht bei Asculum) τῆς δὲ φυγῆς οὐ μακρᾶς εἰς τὸ στρατόπεδον γενομένης, ἑξακισχιλίους ἀποθανεῖν φησι τῶν Ῥωμαίων Ἱερώνυμος (154 F 12), τῶν δὲ περὶ Πύρρον ἐν τοῖς βασιλικοῖς ὑπομνήμασιν ἀνενεχθῆναι τρισχιλίους πεντακοσίους καὶ πέντε τεθνηκότας.

---

2 ἔλπις Eust 7 ἐξῆν? 24 ἐπικουρία⟨ς⟩ — [ἦ] Reiske ἑτέροις: ἐχθροῖς Valesius 28—29 τῶι — λάθρα (Ambr) om E 31—32 ἤδη — δυσποτμία (Ambr) om E 36 μακρὰν Ziegler

## 230. THEODOROS (VON RHODOS?)?

F

*ΥΠΟΜΝΗΜΑΤΑ.*

1 (IV 512) Suid. s. *Πανικῶι δείματι· .... τοῦτο γίνεται περὶ τοὺς πολέμους· Θεοδώρου τοῦ Ῥοδίων στρατηγοῦ ἐν Ὑπομνήμασι λέγοντος, ὅτι κράτιστόν ἐστιν ἐν τοῖς τοιούτοις καιροῖς μένειν ἐπὶ τῶν ὅπλων καὶ τὴν ἡσυχίαν ἔχειν· αὐτός τε περιθέων ἐβόα καὶ διὰ τῶν ὑπηρετῶν παρήγγειλε μένειν ἐν ταῖς σκηναῖς καθωπλισμένους ἅπαντας.*

---

## 231. ARATOS VON SIKYON.

T

1 Vita Arat. p. 79, 12 M: *καὶ ἄλλοι δὲ πολλοὶ γεγόνασιν Ἄρατοι ἄνδρες ἐλλόγιμοι, ἱστοριογράφοι, ὥσπερ ὁ Κνίδιος, οὗ φέρονται Αἰγυπτιακὰ ἱστορικὰ συγγράμματα (III), καὶ τρίτος ἐπισημότατος Σικυώνιος, οὗ ἐστιν ἡ πολύβιβλος ἱστορία ὑπὲρ τὰ λ̄ βιβλία ἔχουσα.*

2 a) Polyb. I 3, 1: *ἄρξει δὲ τῆς πραγματείας ἡμῖν τῶν μὲν χρόνων ὀλυμπιὰς ἑκατοστή τε καὶ τετταρακοστή (220/17), τῶν δὲ πράξεων παρὰ μὲν τοῖς Ἕλλησιν ὁ προσαγορευθεὶς συμμαχικὸς πόλεμος, ὃν πρῶτον ἐξήνεγκε μετ' Ἀχαιῶν πρὸς Αἰτωλοὺς Φίλιππος Δημητρίου μὲν υἱὸς πατὴρ δὲ Περσέως, παρὰ δὲ τοῖς τὴν Ἀσίαν κατοικοῦσιν ὁ περὶ Κοίλης Συρίας, ὃν Ἀντίοχος καὶ Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐπολέμησαν πρὸς ἀλλήλους, (2) ἐν δὲ τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Λιβύην τόποις ὁ συστὰς Ῥωμαίοις καὶ Καρχηδονίοις, ὃν οἱ πλεῖστοι προσαγορεύουσιν Ἀννιβιακόν. ταῦτα δ' ἐστὶ συνεχῆ τοῖς τελευταίοις τῆς Ἀράτου Σικυωνίου συντάξεως.* b) — IV 1, 9: *συγκεφαλαιωσάμενοι δὲ τὰς ἐκ τῆς προκατασκευῆς πράξεις ἕως τῆς Ἀντιγόνου (221) καὶ Σελεύκου (223) καὶ Πτολεμαίου (221) τελευτῆς ... λοιπὸν ἐπηγγειλάμεθα τῆς αὐτῶν πραγματείας ἀρχὴν ποιήσασθαι τὰς ἑξῆς τοῖς προειρημένοις πράξεις, (2, 1) καλλίστην ὑπόστασιν ὑπολαμβάνοντες εἶναι ταύτην διὰ τὸ πρῶτον μὲν τὴν Ἀράτου σύνταξιν ἐπὶ τούτους καταστρέφειν τοὺς καιρούς, οἷς συνάπτοντες τὴν διήγησιν τὸν ἀκόλουθον ὑπὲρ τῶν Ἑλλήνων ἀποδιδόναι προηιρήμεθα λόγον ....*

3 — II 40, 4: *τῶν μέντοι γ' Ἀράτωι διωικημένων* (in der entwicklung des achaeischen bundes) *καὶ νῦν καὶ μετὰ ταῦτα πάλιν ἐπικεφαλαιούμενοι μνησθησόμεθα διὰ τὸ καὶ λίαν ἀληθινοὺς καὶ σαφεῖς ἐκεῖνον περὶ τῶν ἰδίων συντεταχέναι πράξεων ὑπομνηματισμούς.*

---

4 παρὰ A 5 Θεοδάτα? C Mueller 23 Ἀράτου Hultsch παρὰ τοῦ Pol Ἀράτου τοῦ Reiske παρ' Ἀράτου Buettner-Wobst 29 οἷς Ursinus ὡς Pol

4 POLYB. II 56, 1—2: *ἐπεὶ δὲ τῶν κατὰ τοὺς αὐτοὺς καιροὺς Ἀράτωι γεγραφότων παρ' ἐνίοις ἀποδοχῆς ἀξιοῦται Φύλαρχος, ἐν πολλοῖς ἀντιδοξῶν καὶ τἀναντία γράφων αὐτῶι, χρήσιμον ἂν εἴη, μᾶλλον δ' ἀναγκαῖον ἡμῖν Ἀράτωι προηιρημένοις κατακολουθεῖν περὶ τῶν Κλεομενικῶν, μὴ παραλιπεῖν ἄσκεπτον τοῦτο τὸ μέρος, ἵνα μὴ τὸ ψεῦδος ἐν τοῖς συγγράμμασιν ἰσοδυναμοῦν ἀπολείπωμεν πρὸς τὴν ἀλήθειαν* (folgt kritik des Phylarchos 81 F 53—56).

5 — II 47, 9—11: (F 4 c) *διόπερ ἔχων τοιαύτην πρόθεσιν* (sc. *Ἄρατος*) *ἀδήλως αὐτὰ διενοεῖτο χειρίζειν· ἐξ οὗ πολλὰ παρὰ τὴν ἑαυτοῦ γνώμην ἠναγκάζετο καὶ λέγειν καὶ ποιεῖν πρὸς τοὺς ἐκτός, δι' ὧν ἤμελλε τὴν ἐναντίαν ἔμφασιν ὑποδεικνύων ταύτην ἐπικρύψεσθαι τὴν οἰκονομίαν. ὧν χάριν ἔνια τούτων οὐδ' ἐν τοῖς Ὑπομνήμασι κατέταξεν.*

6 PLUTARCH. Arat. 3, 3: *ὅθεν ἐνδεέστερον ἴσως ἢ πολιτικῶι προσῆκον ἦν ἀνδρὶ περὶ τὸν λόγον ἐσπούδασε* (sc. *Ἄρατος*)· *καίτοι γεγονέναι κομψότερον εἰπεῖν ἢ δοκεῖ τισιν ἐκ τῶν Ὑπομνημάτων κρίνουσιν, ἃ παρέργως καὶ ὑπὸ χεῖρα διὰ τῶν ἐπιτυχόντων ὀνομάτων ἀμιλλησάμενος κατέλιπε.*

*ΥΠΟΜΝΗΜΑΤΑ.*

1 (III 22, 1) PLUTARCH. Agis u. Kleom. 13, 5: ..... *μεταπεμπομένων τῶν Ἀχαιῶν συμμάχων ὄντων βοήθειαν ἐκ Λακεδαίμονος·* (6) *Αἰτωλοὶ γὰρ ἦσαν ἐπίοξοι διὰ τῆς Μεγαρικῆς ἐμβαλοῦντες εἰς Πελοπόννησον καὶ τοῦτο κωλύσων Ἄρατος ὁ τῶν Ἀχαιῶν στρατηγὸς ἤθροιζε δύναμιν καὶ τοῖς ἐφόροις ἔγραφεν.* (14) *οἱ δὲ τὸν Ἄγιν εὐθὺς ἐξέπεμπον .....* (15) *συμμείξας δὲ τῶι Ἀράτωι περὶ Κόρινθον ὁ Ἄγις ἔτι βουλευομένωι περὶ μάχης καὶ παρατάξεως πρὸς τοὺς πολεμίους, ἐπεδείξατο καὶ προθυμίαν πολλὴν καὶ τόλμαν οὐ μανικὴν οὐδ' ἀλόγιστον.* (2) *ἔφη γὰρ αὐτῶι μὲν δοκεῖν διαμάχεσθαι καὶ μὴ παριέναι τὸν πόλεμον εἴσω, τὰς πύλας τῆς Πελοποννήσου προεμένους, ποιήσειν δὲ τὸ δοκοῦν Ἀράτωι·* (3) *καὶ γὰρ πρεσβύτερόν τ' εἶναι καὶ στρατηγεῖν Ἀχαιῶν, οἷς οὐχὶ προστάξων οὐδ' ἡγησόμενος, ἀλλὰ συστρατευσόμενος ἥκοι καὶ βοηθήσων.* (4) *ὁ δὲ Σινωπεὺς Βάτων* (III) *αὐτὸν οὐκ ἐθέλειν μάχεσθαι φησι τὸν Ἄγιν Ἀράτου κελεύοντος, οὐκ ἐντετυχηκὼς οἷς Ἄρατος γέγραφε περὶ τούτων, ἀπολογιζόμενος ὅτι βέλτιον ἡγεῖτο, τοὺς καρποὺς σχεδὸν ἅπαντας συγκεκομισμένων ἤδη τῶν γεωργῶν, παρελθεῖν τοὺς πολεμίους ἢ μάχηι διακινδυνεῦσαι περὶ τῶν ὅλων.* (5) *ἐπεὶ δ' οὖν Ἄρατος ἀπέγνω μάχεσθαι καὶ τοὺς συμμάχους ἐπαινέσας διαφῆκε, θαυμασθεὶς ὁ Ἄγις ἀνεζεύγνυεν, ἤδη τῶν ἐνδον ἐν Σπάρτηι θόρυβον πολὺν ἐχόντων καὶ μεταβολήν.* a. 241/0

2 (2) — Arat. 31: *ὁ δ' Ἄρατος εὐδοκίμησε καὶ περὶ τὰς Αἰτωλικὰς πράξεις, ὅτε συμβαλεῖν μὲν αὐτοῖς πρὸ τῆς Μεγαρικῆς ὡρμημένων τῶν* a. 241/0

---

5—6 συγγράμμασιν AB γράμμασιν CDE 14 ἦν om P τῶν λόγων P γέγονε Madvig καίτοι ⟨φασί⟩ ο. ⟨δοκεῖ⟩ γεγονέναι κομψότερος (Reiske) Ziegler 15 δοκεῖ G δοκεῖν ΠL 21 ὁ Ἄρατος PL 24 μανικὴν: νεανικὴν Sintenis 28 καὶ om L 31 παρελθεῖν ⟨ἐᾶν⟩ Madvig

Ἀχαιῶν καὶ τοῦ βασιλέως τῶν Λακεδαιμονίων Ἄγιδος ἀφικνουμένου μετὰ δυνάμεως καὶ συνεξορμῶντος ἐπὶ τὴν μάχην τοὺς Ἀχαιούς, (2) ἐναντιωθεὶς καὶ πολλὰ μὲν ὀνείδη πολλὰ δ' εἰς μαλακίαν καὶ ἀτολμίαν [καὶ] σκώμματα καὶ χλευασμὸν ὑπομείνας οὐ προήκατο τὸν τοῦ συμφέροντος λογισμὸν διὰ τὸ φαινόμενον αἰσχρόν, ἀλλὰ παρεχώρησε τοῖς πολεμίοις ὑπερβαλοῦσι τὴν Γεράνειαν ἀμαχεὶ παρελθεῖν εἰς Πελοπόννησον. (3) ὡς μέντοι παρελθόντες ἐξαίφνης Πελλήνην κατέλαβον, οὐκέτ' ἦν ὁ αὐτός οὐδ' ἔμελλε διατρίβων καὶ περιμένων ἀθροισθῆναι καὶ συνελθεῖν εἰς ταὐτὸ πανταχόθεν τὴν δύναμιν, ἀλλ' εὐθὺς ὥρμησε μετὰ τῶν παρόντων ἐπὶ τοὺς πολεμίους, ἐν τῶι κρατεῖν ἀσθενεστάτους δι' ἀταξίαν καὶ ὕβριν ὄντας. (4) ἅμα γὰρ τῶι παρελθεῖν εἰς τὴν πόλιν οἱ μὲν στρατιῶται διασπαρέντες ἐν ταῖς οἰκίαις ἦσαν, ἐξωθοῦντες ἀλλήλους καὶ διαμαχόμενοι περὶ τῶν χρημάτων, ἡγεμόνες δὲ καὶ λοχαγοὶ τὰς γυναῖκας καὶ τὰς θυγατέρας τῶν Πελληνέων περιόντες ἥρπαζον καὶ τὰ κράνη τὰ αὐτῶν ἀφαιροῦντες ἐκείναις περιετίθεσαν τοῦ μηδένα λαβεῖν ἄλλον, ἀλλὰ τῶι κράνει δῆλον εἶναι τὸν δεσπότην ἑκάστης. (5) οὕτω δὲ διακειμένοις αὐτοῖς καὶ ταῦτα πράττουσιν ἐξαίφνης ὁ Ἄρατος ἐπιπεσὼν προσηγγέλθη, καὶ γενομένης ἐκπλήξεως, οἵαν εἰκὸς ἐν ἀταξίαι τοιαύτηι πρὶν ἢ πάντας πυθέσθαι τὸν κίνδυνον, οἱ πρῶτοι περὶ τὰς πύλας τοῖς Ἀχαιοῖς καὶ τὰ προάστεια συμπεσόντες ἔφευγον ἤδη νενικημένοι καὶ κατεπίμπλασαν ἑλαυνόμενοι προτροπάδην ἀπορίας τοὺς συνισταμένους καὶ προσβοηθοῦντας. (32) ἐν τούτωι δὲ τῶι ταράχωι μία τῶν αἰχμαλώτων, Ἐπιγήθους ἀνδρὸς ἐνδόξου θυγάτηρ, αὐτὴ δὲ κάλλει καὶ μεγέθει σώματος εὐπρεπής, ἔτυχε μὲν ἐν τῶι ἱερῶι καθεζομένη τῆς Ἀρτέμιδος, οὐ κατέστησεν αὐτὴν ὁ ἐπιλεκτάρχης, [ἑλὼν ἑαυτῶι καὶ περιθεὶς τὴν τριλοφίαν, ἄφνω δ' ἐκόραμοῦσα πρὸς τὸν θόρυβον, (2) ὡς ἔστη πρὸ τῶν θυρῶν τοῦ ἱεροῦ καὶ κατέβλεψεν εἰς τοὺς μαχομένους ἄνωθεν ἔχουσα τὴν τριλοφίαν, αὐτοῖς τε τοῖς πολίταις θέαμα σεμνότερον ἢ κατ' ἄνθρωπον ἐφάνη, καὶ τοῖς πολεμίοις φάσμα θεῖον ὁρᾶν δοκοῦσι φρίκην ἐνέβαλε καὶ θάμβος, ὥστε μηδένα τρέπεσθαι πρὸς ἀλκήν. (3) αὐτοὶ δὲ Πελληνεῖς λέγουσι τὸ βρέτας τῆς θεοῦ τὸν μὲν ἄλλον ἀποκεῖσθαι χρόνον ἄφαυστον, ὅταν δὲ κινηθὲν ὑπὸ τῆς ἱερείας ἐκφέρηται, μηδένα προσβλέπειν ἐναντίον ἀλλ' ἀποτρέπεσθαι πάντας· οὐ γὰρ ἀνθρώπους μόνον δραμα φρικτὸν εἶναι καὶ χαλεπόν, ἀλλὰ ⟨καὶ⟩ δένδρα ποιεῖν ἄφορα καὶ καρποὺς ἀπαμβλίσκειν ὅι' ὧν ἂν κομίζηται. (4) τοῦτο δὴ τότε τὴν ἱέρειαν ἐξενεγκαμένην καὶ τρέπουσαν ἀεὶ κατὰ τοὺς Αἰτωλοὺς ἀντιπρόσωπον, ἔκφρονας καταστῆσαι καὶ παρελέσθαι τὸν λογισμόν. (5) ὁ δ' Ἄρατος οὐδὲν ἐν τοῖς Ὑπομνήμασιν εἴρηκε τοιοῦτον, ἀλλά φησι τρεψάμενος τοὺς Αἰτωλοὺς καὶ φεύγουσι συνεισπεσὼν εἰς τὴν πόλιν ἐξελάσαι κατὰ κράτος, ἑπτακοσίους δ' ἀποκτεῖναι.

3 (3) PLUTARCH. Arat. 33, 2: τοὺς δ' Ἀθηναίους σπουδάζων ἐλευθερῶσαι, διεβλήθη καὶ κακῶς ἤκουσεν ὑπὸ τῶν Ἀχαιῶν, ὅτι σπονδὰς πεποιημένων αὐτῶν πρὸς τοὺς Μακεδόνας καὶ ἀνοχὰς ἀγόντων, ἐπεχείρησε 241/0 o. 239/8

1 ἀφικομένου Paris. 1673 3 [καὶ] Reiske 6 γερανίαν G¹Π 12 ἦσαν om G 13 πελληναίων LR¹ 16 ἐπιπεσών: ἐπιὼν Pflugk 19 ἔφυγον G¹ 31 ⟨καὶ⟩ add Paris. 1673 34 εἰρήκει PR 39 ἐχόντων LG²

τὸν Πειραιᾶ καταλαβεῖν. (3) αὐτὸς δὲ ἀρνούμενος ἐν τοῖς Ὑπομνήμασιν οἷς ἀπολέλοιπεν Ἐργῖνον αἰτιᾶται, μεθ' οὗ τὰ περὶ τὸν Ἀκροκόρινθον ἔπραξεν. ἐκεῖνον γὰρ ἰδίαι τῶι Πειραιεῖ προσβαλόντα καὶ τῆς κλίμακος συντριβείσης διωκόμενον ὀνομάζειν καὶ καλεῖν συνεχῶς Ἄρατον ὥσπερ παρόντα καὶ διαφυγεῖν οὕτως ἐξαπατήσαντα τοὺς πολεμίους. (4) οὐ μὴν δοκεῖ πιθανῶς ἀπολογεῖσθαι .....

4 (4) a) PLUTARCH. Arat. 38, 5: Kleomenes verlangt die hegemonie über den achäischen bund; Aratos lehnt die wahl zum strategen für 225/4 ab. a. 225/4

διὸ καὶ μέμφονται τὸν Ἄρατον, ἐν σάλωι μεγάλωι καὶ χειμῶνι τῶν πραγμάτων φερομένων, ὥσπερ κυβερνήτην ἀφέντα καὶ προέμενον ἑτέρωι τοὺς σάκας, ὅτε καλῶς εἶχε καὶ ἀκόντων ἐπιστάντα σώιζειν τὸ κοινόν· (6) ⟨εἰ δ'⟩ ἀπεγνώκει τὰ πράγματα καὶ τὴν δύναμιν τῶν Ἀχαιῶν, εἶξαι τῶι Κλεομένει καὶ μὴ πάλιν τὴν Πελοπόννησον ἐκβαρβαρῶσαι φρουραῖς Μακεδόνων, μηδὲ πλησιῶσαι τὸν Ἀκροκόρινθον Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν, μηδ' οὓς αὐτὸς ἐν ταῖς πράξεσι καταστρατηγῶν καὶ καταπολιτευόμενος, ἐν δὲ τοῖς Ὑπομνήμασι λοιδορῶν διετέλει, τούτους ἐπάγεσθαι δεσπότας ταῖς πόλεσι συμμάχους ὑποκοριζόμενον. (7) εἰ δὲ Κλεομένης ἦν — λεγέσθω γὰρ οὕτως — παράνομος καὶ τυραννικός, ἀλλ' Ἡρακλεῖδαι πατέρες αὐτῶι καὶ Σπάρτη πατρίς ..... (11) καίτοι πᾶσαν δ' Ἄρατος ἀφίησι φωνὴν ἀπολογιζόμενος τὴν ἀνάγκην. ὁ Πολύβιος (II 45 ff.) δ' αὐτὸν ἐκ πολλοῦ φησι καὶ πρὸ τῆς ἀνάγκης, ὑφορώμενον τὸ θράσος τὸ τοῦ Κλεομένους, κρύφα τῶι Ἀντιγόνωι διαλέγεσθαι, καὶ τοὺς Μεγαλοπολίτας προκαθιέναι δεομένους Ἀχαιῶν ἐπικαλεῖσθαι τὸν Ἀντίγονον ..... (12) ὁμοίως δὲ καὶ Φύλαρχος ἱστόρηκε περὶ τούτων (81 F 52) .....

b) — Agis u. Kleom. 37 (16): die Achäer sind bereit, den vertrag mit Kleomenes abzuschließen, die ratifizierung wird durch Kleomenes' erkrankung verzögert; Aratos ruft die Makedonen, (4) οὓς αὐτὸς ἐκ Πελοποννήσου μειράκιον ὢν ἐξήλασεν, ἐλευθερώσας τὸν Ἀκροκόρινθον, καὶ πᾶσι μὲν τοῖς βασιλεῦσιν ὕποπτος καὶ διάφορος γενόμενος, τοῦτον δ' αὐτὸν Ἀντίγονον εἰρηκὼς κακὰ μυρία δ' ὧν ἀπολέλοιπεν Ὑπομνημάτων. (5) καίτοι πολλὰ παθεῖν καὶ παραβαλέσθαι φησὶν αὐτὸς ὑπὲρ Ἀθηναίων, ὅπως ἡ πόλις ἀπαλλαγείη φρουρᾶς καὶ Μακεδόνων, εἶτα τούτους ἐπὶ τὴν πατρίδα καὶ τὴν ἑστίαν τὴν ἑαυτοῦ μεθ' ὅπλων εἰσήγαγεν ἄχρι τῆς γυναικωνίτιδος· (6) τὸν δ' ἀφ' Ἡρακλέους γεγονότα καὶ βασιλεύοντα Σπαρτιατῶν καὶ τὴν πάτριον πολιτείαν ... ἀνακρουόμενον αὖθις ... οὐκ ἠξίου Σικυωνίων ἡγεμόνα καὶ Τριταιέων γράφεσθαι. (7) φεύγων δὲ τὴν μάζαν καὶ τὸν τρίβωνα, καὶ τὸ δεινότατον ὢν κατηγόρει Κλεομένους, ἀναίρεσιν πλούτου καὶ πενίας ἐπανόρθωσιν, διαδήματι καὶ πορφύραι καὶ Μακεδονικοῖς ... προστάγμασιν ὑπέρριψε μετὰ τῆς Ἀχαΐας αὐτόν, ἵνα μὴ Κλεομένει ποιῆι δοκῆι τὸ προστατούμενον ..... c) POLYB. II 47: οἱ δ' Ἀχαιοὶ τὸ μὲν πρῶτον διὰ τῆς ἰδίας δυνάμεως ὥρμησαν ἀντοφθαλμεῖν τοῖς Λακεδαιμονίοις ..... (3) ἤδη δ' ἐπὶ ποσὸν τοῦ πολέμου προβαίνοντος καὶ τοῦ Κλεομένους τό τε πάτριον πολίτευμα

3 προσβαλόντα Corais προσβάλλοντα Plut 4 διωκομένωι PR¹ 11 ⟨εἰ δ'⟩ Anon 13 μηδὲ Corais μήτε Plut 16 ὑποκοριζόμενος R^ac P —νους G¹ 18 ὁ om L 26 ὧν: ὃν R 33 Τριταιέων Solanus τρικκαίων (τρικκάλων P²) Plut 39 τοῦ μὲν Κλεομένους CDE

καταλύσαντος καὶ τὴν ἔννομον βασιλείαν εἰς τυραννίδα μεταστήσαντος, χρωμένου δὲ καὶ τῶι πολέμωι πρακτικῶς καὶ παραβόλως, (4) προορώμενος Ἄρατος τὸ μέλλον καὶ δεδιὼς τήν τε τῶν Αἰτωλῶν ἀπόνοιαν καὶ τόλμαν, ἔκρινε πρὸ πολλοῦ λυμαίνεσθαι τὴν ἐπιβολὴν αὐτῶν. (5) κατανοῶν δὲ τὸν Ἀντίγονον καὶ πρᾶξιν ἔχοντα καὶ σύνεσιν καὶ πίστεως ἀντιποιούμενον, τοὺς δὲ βασιλεῖς σαφῶς εἰδὼς φύσει μὲν οὐδένα νομίζοντας οὔτ' ἐχθρὸν οὔτε † πολέμιον, ταῖς δὲ τοῦ συμφέροντος ψήφοις αἰεὶ μετροῦντας τὰς ἔχθρας καὶ τὰς φιλίας, (6) ἐπεβάλετο λαλεῖν πρὸς τὸν εἰρημένον βασιλέα καὶ συμπλέκειν τὰς χεῖρας, ὑποδεικνύων αὐτῶι τὸ συμβησόμενον ἐκ τῶν πραγμάτων. (7) προὐήλως μὲν οὖν αὐτὸ πράττειν ἀσύμφορον ἡγεῖτο διὰ πλείους αἰτίας· τόν τε γὰρ Κλεομένη καὶ τοὺς Αἰτωλοὺς ἀνταγωνιστὰς παρασκευάζειν ἤμελλε πρὸς τὴν ἐπιβολήν, (8) τούς τε πολλοὺς τῶν Ἀχαιῶν διατρέψειν καταφεύγων ἐπὶ τοὺς ἐχθροὺς καὶ δοκῶν ὁλοσχερῶς ἀπεγνωκέναι τὰς ἐν αὐτοῖς ἐλπίδας, ὅπερ ἥκιστα φαίνεσθαι πράττειν ἐβούλετο. (9—11: T 5) εἰδὼς δὲ τοὺς Μεγαλοπολίτας κτλ.

5 (5) PLUTARCH. Agis u. Kleom. 38 (17): erneute bundesversammlung der Achäer in Argos; es gelingt Aratos, der den vertrag mit Antigonos in der tasche hat, bedingungen für die verhandlung mit Kleomenes durchzusetzen, die dieser als bruch der ihm früher wegen der hegemonie gemachten versprechungen ansieht. (4) γράψας δὲ περὶ τούτων ἐπιστολὴν πρὸς τοὺς Ἀχαιούς, ἧς ἦν τὸ πλεῖστον Ἀράτου κατηγορία, πολλὰ δὲ καὶ τοῦ Ἀράτου λοιδορήσαντος αὐτὸν πρὸς τὸ πλῆθος ἀνέζευξε διὰ ταχέων καὶ κήρυκα πόλεμον προεροῦντα τοῖς Ἀχαιοῖς ἔπεμψεν οὐκ εἰς Ἄργος ἀλλ' εἰς Αἴγιον, ὥς φησιν Ἄρατος, ὅπως φθάσηι τὴν παρασκευὴν αὐτῶν. beginn des krieges; große erfolge des Kleomenes, der Pellene, Pheneos, Penteleion und Argos nimmt.

6 (6) — — 40 (19): ἐαλωκότος δ' Ἄργους καὶ κατόπιν εὐθὺς 224/3 προσθεμένων τῶι Κλεομένει Κλεωνῶν καὶ Φλιοῦντος, ἐτύγχανε μὲν ὁ Ἄρατος ἐν Κορίνθωι ποιούμενός τινα τῶν λεγομένων λακωνίζειν ἐξέτασιν. (2) ἀγγελίας δὲ περὶ τούτων προσπεσούσης, διαταραχθεὶς καὶ τὴν πόλιν ἀποκλίνουσαν αἰσθόμενος πρὸς τὸν Κλεομένη καὶ τῶν Ἀχαιῶν ἀπαλλαγῆναι βουλομένην, ἐκάλει μὲν εἰς τὸ βουλευτήριον τοὺς πολίτας, ἔλαθε δὲ διολισθὼν ἄχρι τῆς πύλης. (3) ἐκεῖ δὲ τοῦ ἵππου προσαχθέντος ἀναβὰς ἔφυγεν εἰς Σικυῶνα. (4) τῶν δὲ Κορινθίων ἀμιλλωμένων εἰς Ἄργος πρὸς τὸν Κλεομένη φησὶν ὁ Ἄρατος τοὺς ἵππους πάντας φαγῆναι, τὸν δὲ Κλεομένη μέμφεσθαι τοὺς Κορινθίους, μὴ συλλαβόντας αὐτὸν ἀλλ' ἐάσαντας διαφυγεῖν. (5) οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτὸν ἐλθεῖν Μεγιστόνουν παρὰ τοῦ Κλεομένους, δεομένου παραλαβεῖν τὸν Ἀκροκόρινθον — εἶχε γὰρ φρουρὰν Ἀχαιῶν — καὶ πολλὰ χρήματα διδόντος· ἀποκρίνασθαι δ' αὐτόν, ὡς οὐκ ἔχει τὰ πράγματα, μᾶλλον δ' ὑπὸ τῶν πραγμάτων αὐτὸς ἔχεται.

---

2—3 τὸ μέλλον καὶ δεδιὼς Reiske καὶ τὸ μ. δ. Pol 3 ἀπόνοιαν Casaubonus ἐπίνοιαν Pol 4 καὶ vor πρᾶξιν om Suid 6 οὔτ' ἐχθρὸν οὔτε φίλον C edd vulg οὔτε σύμμαχον οὔτε πολέμιον Hultsch 22 φασιν $L^1$ 27 ἐξέτασιν $G^1\Pi^1L^2$ ἐπίστασιν $G^2\Pi^mL^1$ 29 βουλομένην Anon —νων Pl 35 παρὰ τοῦ L παρ' αὐτοῦ $G\Pi$

## 232. P. CORNELIUS SCIPIO AFRICANUS MAIOR.

F

### *ΠΡΟΣ ΦΙΛΙΠΠΟΝ ΕΠΙΣΤΟΛΗ.*

1 (—) Polyb. X 2, 1: *ὅτι μέλλοντες ἱστορεῖν τὰ πραχθέντα Ποπλίωι κατὰ* a. 210/9 *τὴν Ἰβηρίαν, συλλήβδην δὲ πάσας τὰς κατὰ τὸν βίον ἐπιτελεσθείσας αὐτῶι πράξεις, ἀναγκαῖον ἡγούμεθα τὸ προεπιστήσαι τοὺς ἀκούοντας ἐπὶ τὴν αἵρεσιν καὶ φύσιν τἀνδρός* ..... (5, 9) *ταῦτα μὲν οὖν εἰρήσθω μοι χάριν τῶν ἀκουόντων, ἵνα μὴ συγκαταφερόμενοι ψευδῶς τῆι καθωμιλημένηι δόξηι περὶ αὐτοῦ παραπέμπωσι τὰ σεμνότατα καὶ κάλλιστα τἀνδρός, λέγω δὲ τὴν ἐπιδεξιότητα καὶ φιλοπονίαν.* (10) *ἔτι δὲ μᾶλλον ἔσται τοῦτο συμφανὲς ἐπ' αὐτῶν τῶν πράξεων.*

(6) *οὐ μὴν ἀλλὰ τότε συνηθροισμένων τῶν δυνάμεων παρεκάλει μὴ καταπεπλῆχθαι τὴν προγεγενημένην περιπέτειαν.* (2) *οὐ γὰρ ταῖς ἀρεταῖς ἡττῆσθαι Ῥωμαίους ὑπὸ Καρχηδονίων οὐδέποτε, τῆι δὲ προδοσίαι τῆι Κελτιβήρων καὶ τῆι προπετείαι, διακλεισθέντων τῶν στρατηγῶν ἀπ' ἀλλήλων διὰ τὸ πιστεῦσαι τῆι συμμαχίαι τῶν εἰρημένων.* (3) *ὧν ἑκάτερα νῦν ἴφη περὶ τοὺς πολεμίους ὑπάρχειν· χωρὶς γὰρ ἀπ' ἀλλήλων πολὺ διεσπασμένους στρατοπεδεύειν τοῖς τε συμμάχοις ὑβριστικῶς χρωμένους ἅπαντας ἀπηλλοτριωκέναι καὶ πολεμίους αὑτοῖς παρεσκευακέναι.* (4) *διὸ καὶ τοὺς μὲν ἤδη διαπέμπεσθαι πρὸς σφᾶς, τοὺς δὲ λοιποὺς, ὡς ἂν τάχιστα θαρρήσωσι καὶ διαβάντας ἰδωσι τὸν ποταμόν, ἀσμένως ἥξειν, οὐχ οὕτως εὐνοοῦντας σφίσι, τὸ δὲ πλεῖον ἀμύνεσθαι σπουδάζοντας τὴν Καρχηδονίων εἰς αὐτοὺς ἀσέλγειαν·* (5) *τὸ δὲ μέγιστον, στασιάζοντας πρὸς ἀλλήλους τοὺς τῶν ὑπεναντίων ἡγεμόνας ἄθρους διαμάχεσθαι πρὸς αὐτοὺς οὐ θελήσειν, κατὰ μέρος δὲ κινδυνεύοντας εὐχειρώτους ὑπάρχειν.* (6) *διὸ βλέποντας εἰς ταῦτα παρεκάλει περαιοῦσθαι τὸν ποταμὸν εὐθαρσῶς· περὶ δὲ τῶν ἐξῆς ἀνεδέχετο μελήσειν αὐτῶι καὶ τοῖς ἄλλοις ἡγεμόσι.*

(7) *ταῦτα δ' εἰπὼν τριοχιλίους μὲν ἔχοντα πεζοὺς καὶ πεντακοσίους ἱππεῖς Μάρκον ἀπέλειπεν τὸν συνάρχοντα περὶ τὴν διάβασιν ἐφεδρεύσοντα τοῖς ἐντὸς τοῦ ποταμοῦ συμμάχοις· αὐτὸς δὲ τὴν ἄλλην ἐπεραίου δύναμιν, ἄδηλον πᾶσι ποιῶν τὴν αὐτοῦ πρόθεσιν.* (8) *ἦν γὰρ αὐτῶι κεκριμένον πράττειν ὧν μὲν εἶπε πρὸς τοὺς πολλοὺς μηδέν, προῦχειτο δὲ πολιορκεῖν ἐξ ἐφόδου τὴν ἐν Ἰβηρίαι Καρχηδόνα προσαγορευομένην.* (9) *ὃ δὴ καὶ πρῶτον ἂν τις λάβοι καὶ μέγιστον σημεῖον τῆς ὑφ' ἡμῶν ἄρτι ῥηθείσης διαλήψεως.* (10) *ἔτος γὰρ ἕβδομον ἔχων πρὸς τοῖς εἴκοσι πρῶτον μὲν ἐπὶ πράξεις αὐτὸν ἐδωκε τελέως παρὰ τοῖς πολλοῖς ἀπηλπισμένας διὰ τὸ μέγεθος τῶν προγεγονότων ἐλαττωμάτων,* (11) *δεύτερον δοὺς αὐτὸν τὰ μὲν κοινὰ καὶ προφαινόμενα πᾶσι παρέλειπε, τὰ δὲ μήτε παρὰ τοῖς πολεμίοις * *, ταῦτ' ἐπενόει καὶ προεμήνυε πρᾶττειν·* (12) *ὧν οὐδὲν ἦν χωρὶς ἐκλογισμῶν τῶν ἀκριβεστάτων.*

(7) *ἔτι μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς ἱστορῶν ἐν τῆι Ῥώμηι καὶ πυνθανόμενος ἐπιμελῶς τήν τε προδοσίαν τῶν Κελτιβήρων καὶ τὸν διαζευγμὸν τῶν ἰδίων στρατοπέδων, καὶ συλλογιζόμενος ὅτι παρὰ τοῦτο συμβαίνει τοῖς περὶ τὸν πατέρα γενέσθαι τὴν περιπέτειαν,* (2) *οὐ κατεπέπληκτο τοὺς Καρχηδονίους οὐδ' ἥττητο τῆι ψυχῆι, καθάπερ οἱ πολλοί.* (3) *μετὰ δὲ ταῦτα τοὺς ἐντὸς Ἴβηρος ποταμοῦ συμμάχους ἀκούων μένειν ἐν τῆι πρὸς αὐτοὺς φιλίαι, τοὺς δὲ τῶν Καρχηδονίων ἡγεμόνας στασιάζειν μὲν πρὸς σφᾶς, ὑβρίζειν δὲ τοὺς ὑποτεττομένους, εὐθαρσῶς διέκειτο πρὸς τὴν ἔξοδον, οὐ τῆι τύχηι πιστεύων, ἀλλὰ τοῖς συλλογισμοῖς.* (4) *παραγενόμενός γε μὴν εἰς τὴν Ἰβηρίαν, πάντας ἀνακινῶν καὶ παρ' ἑκάστου πυνθανόμενος τὰ περὶ τοὺς*

22 ἄθρους FS 26 ἀπέλειπεν F (Hultsch) ἀπέλιπε S$^{a}$ 34 ⟨μήτε παρὰ τοῖς φίλοις προσδοκηθέντα⟩ Reiske 44 ἀνακρίνων Casaubonus

ἐναντίους, ἠθρισκε τὰς μὲν δυνάμεις τῶν Καρχηδονίων εἰς τρία μέρη διηρημένας. (5) ὧν Μάγωνα μὲν ἐπυνθάνετο διατρίβειν ἐντὸς Ἡρακλείων στηλῶν ἐν τοῖς Κονίοις προσαγορευομένοις, Ἀσδρούβαν δὲ τὸν Γέσκωνος περὶ Τάγου ποταμοῦ στόμα κατὰ τὴν Λυσιτανήν, τὸν δ' ἕτερον Ἀσδρούβαν πολιορκεῖν τινα πόλιν ἐν τοῖς Καρπητανοῖς, οὐδένα ⟨δὲ⟩ τῶν προειρημένων ἐλάττω δέχ' ἡμερῶν ὁδὸν ἀπέχειν τῆς Καινῆς πόλεως. (6) νομίζειν οὖν, ἐὰν μὲν εἰς μάχην συνιέναι κρίνηι τοῖς πολεμίοις, τὸ μὲν πρὸς πάντας ἅμα κινδυνεύειν ⟨ἐπισφαλὲς εἶναι⟩ τελέως καὶ διὰ τὸ προηττῆσθαι τοὺς πρὸ αὐτοῦ καὶ διὰ τὸ πολλαπλασίους εἶναι τοὺς ὑπεναντίους· (7) ἐὰν δὲ πρὸς ἕνα συμβαλεῖν σπεύδων, κἄπειτα τούτου φυγομαχήσαντος, ἐπιγενομένων δὲ τῶν ἄλλων δυνάμεων, συγκλεισθῆι που, κατάφοβος ἦν μὴ ταῖς αὑταῖς γναίωι τῶι θείωι καὶ Ποπλίωι τῶι πατρὶ περιπέσηι συμφοραῖς. (8) διὸ τοῦτο μὲν τὸ μέρος ἀπεδοκίμασε, πυνθανόμενος δὲ τὴν προειρημένην Καρχηδόνα μεγίστας μὲν χρείας παρέχεσθαι τοῖς ὑπεναντίοις, μέγιστα δὲ βλάπτειν καὶ κατὰ τὸν ἐνεστῶτα πόλεμον αὐτόν, ἐξητάκει τὰ κατὰ μέρος ὑπὲρ αὐτῆς ἐν τῆι παραχειμασίαι ⟨διὰ⟩ τῶν εἰδότων. (9) ἀκούων δὲ πρῶτον μὲν ὅτι λιμένας ἔχει στόλωι καὶ ναυτικαῖς δυνάμεσι μόνη σχεδὸν τῶν κατὰ τὴν Ἰβηρίαν, ἅμα δὲ καὶ διότι πρὸς τὸν ἀπὸ τῆς Λιβύης πλοῦν καὶ πελάγιον δίαρμα λίαν εὐφυῶς κεῖται τοῖς Καρχηδονίοις, (8) μετὰ δὲ ταῦτα διότι καὶ τὸ τῶν χρημάτων πλῆθος καὶ τὰς ἀποσκευὰς τῶν στρατοπέδων ἁπάσας ἐν ταύτηι τῆι πόλει συνέβαινε τοῖς Καρχηδονίοις ὑπάρχειν, ἔτι δὲ τοὺς ὁμήρους τοὺς ἐξ ὅλης τῆς Ἰβηρίας, (4) τὸ δὲ μέγιστον, ὅτι μάχιμοι μὲν ἀνδρες εἶησαν εἰς χιλίους οἱ τὴν ἄκραν τηροῦντες διὰ τὸ μηδέποτ' ἂν ὑπολαμβάνειν ὅτι κρατούντων Καρχηδονίων σχεδὸν ἁπάσης Ἰβηρίας ἐπινοήσει τις τὸ παράπαν πολιορκῆσαι ταύτην τὴν πόλιν, (5) τὸ δ' ἄλλο πλῆθος ὅτι πολὺ μὲν εἴη διαφερόντως ἐν αὐτῆι, πᾶν δὲ δημιουργικὸν καὶ βάναυσον καὶ θαλαττουργὸν καὶ πλεῖστον ἀπέχον πολεμικῆς ἐμπειρίας, ὃ κατὰ τῆς πόλεως ὑπελάμβανεν εἶναι, παραδόξου γενομένης ἐπιφανείας. (6) καὶ μὴν οὐδὲ τὴν θέσιν τῆς Καρχηδόνος οὐδὲ τὴν κατασκευὴν οὐδὲ τὴν τῆς περιεχούσης αὐτὴν λίμνης διάθεσιν ἠγνόει, (7) διὰ δέ τινων ἁλιέων τῶν ἐνεργασμένων τοῖς τόποις ἐξητάκει διότι καθόλου μέν ἐστι ἰσναγώδης ἡ λίμνη καὶ βατὴ κατὰ τὸ πλεῖστον, ὡς δ' ἐπὶ τὸ πολὺ καὶ γίνεταί τις αὐτῆς ἀποχώρησις καθ' ἡμέραν ἐπὶ δείλην ὀψίαν. (8) ἐξ ὧν συλλογισάμενος ὅτι καθικόμενος μὲν τῆς ἐπιβολῆς οὐ μόνον βλάψει τοὺς ὑπεναντίους, ἀλλὰ καὶ τοῖς οἰκείοις πράγμασι μεγάλην ἐπίδοσιν παρασκευάσει, (9) διαπεσὼν δὲ τῆς προθέσεως ὅτι δύναται σώιζειν τοὺς ὑποτατταμένους διὰ τὸ θαλαττοκρατεῖν, ἐὰν ἅπαξ ἀσφαλίσηται τὴν στρατοπεδείαν — τοῦτο δ' ἦν εὐχερὲς διὰ τὸ μακρὰν ἀπεσπάσθαι τὰς τῶν ὑπεναντίων δυνάμεις —, (10) οὕτως ἀφέμενος τῶν ἄλλων περὶ ταύτην ἐγίνετο τὴν παρασκευὴν ἐν τῆι παραχειμασίαι. (9) καὶ ταύτην ἔχων τὴν ἐπιβολὴν καὶ τὴν ἡλικίαν, ἣν ἀρτίως εἶπα, πάντας ἀπεκρύψατο χωρὶς Γαΐου Λαιλίου, μέχρι πάλιν αὐτὸς ἔκρινε φανερὸν ποιεῖν.

(2) τούτοις δὲ τοῖς ἐκλογισμοῖς ὁμολογοῦντες οἱ συνεραφεῖς, ὅταν ἐπὶ τὸ τέλος ἔλθωσι τῆς πράξεως, οὐκ οἰδ' ὅπως οὐκ εἰς τὸν ἄνδρα καὶ τὴν τούτου πρόνοιαν, εἰς δὲ τοὺς θεοὺς καὶ τὴν τύχην ἀναφέρουσι τὸ γεγονὸς κατόρθωμα· (3) καὶ ταῦτα χωρὶς τῶν εἰκότων καὶ τῆς τῶν συμβεβιωκότων μαρτυρίας, καὶ διὰ τῆς ἐπιστολῆς τῆς πρὸς Φίλιππον αὐτοῦ τοῦ Ποπλίου σαφῶς ἐκτεθεικότος ὅτι τούτοις τοῖς ἐκλογισμοῖς χρησάμενος, οἷς ἡμεῖς ἀνώτερον ἐξελογισάμεθα, καθόλου τε τοῖς ἐν Ἰβηρίαι πράγμασιν ἐπιβάλοιτο καὶ κατὰ μέρος τῆι τῆς Καρχηδόνος πολιορκίαι. (es folgt die darstellung der expedition).

---

2 *Κονίοις*: Κοῦνοι Appian. Iber. 58 Schweighäuser 5 ⟨δὲ⟩ edd 7 ⟨ἐπισφαλὲς εἶναι⟩ 14 ⟨διά⟩ Gronovius 29 τις αὐτῆς Benseler τοσαύτη FS

## 233. P. CORNELIUS SCIPIO NASICA CORCULUM.

F

1 (—) PLUTARCH. Aemil. Paul. 15: *ὁ δ' Αἰμίλιος ἡμέρας μέν τινας* a. 168
*ἠρέμει, καί φασι μήποτε τηλικούτων στρατοπέδων ἐγγὺς οὕτω συνελθόντων*
*ἡσυχίαν γενέσθαι τοσαύτην* (wie vor der schlacht bei Pydna). (2) *ἐπεὶ*
*δὲ κινῶν ἅπαντα καὶ πειρώμενος ἐπυνθάνετο μίαν εἰσβολὴν ἔτι μόνον*
*ἄφρουρον ἀπολείπεσθαι τὴν διὰ Περραιβίας παρὰ τὸ Πύθιον καὶ τὴν*
*Πέτραν, τῶι μὴ φυλάττεσθαι τὸν τόπον ἐλπίσας μᾶλλον ἢ δι' ἣν οὐκ*
*ἐφυλάττετο δυσχωρίαν καὶ τραχύτητα δείσας ἐβουλεύετο.* (3) *πρῶτος δὲ τῶν*
*παρόντων ὁ Νασικᾶς ἐπικαλούμενος Σκηπίων, γαμβρὸς Ἀφρικανοῦ Σκη-*
*πίωνος, ὕστερον δὲ μέγιστον ἐν τῆι συγκλήτωι δυνηθείς, ὑπεδέξατο τῆς*
*κυκλώσεως ἡγεμὼν γενέσθαι· δεύτερος δὲ Φάβιος Μάξιμος, ὁ πρεσβύτατος*
*τῶν Αἰμιλίου παίδων, ἔτι μειράκιον ὤν, ἀνέστη προθυμούμενος.* (4) *ἡσθεὶς*
*οὖν ὁ Αἰμίλιος δίδωσιν αὐτοῖς οὐχ ὅσους Πολύβιος εἴρηκεν* (XXIV 14 BW)
*ἀλλ' ὅσους αὐτὸς ὁ Νασικᾶς λαβεῖν φησι, γεγραφὼς περὶ*
*τῶν πράξεων τούτων ἐπιστόλιον πρός τινα τῶν βασι-*
*λέων· οἱ μὲν ἐκτὸς τάξεως Ἰταλικοὶ τρισχίλιοι τὸ πλῆθος ἦσαν, τὸ δ'*
*εὐώνυμον κέρας εἰς πεντακισχιλίους.* (5) *τούτοις προσλαβὼν ὁ Νασικᾶς ἱππεῖς*
*ἑκατὸν εἴκοσι καὶ τῶν παρ' Ἁρπάλωι θρακικῶν καὶ Κρητῶν ἀναμεμιγμένων*
*διακοσίους, ἐξώρμησε τῆι πρὸς θάλασσαν ὁδῶι καὶ κατεστρατοπέδευσε*
*παρὰ τὸ Ἡράκλειον, ὡς δὴ ταῖς ναυσὶ μέλλων ἐκπεριπλεῖν καὶ κυκλοῦ-*
*σθαι τὸ στρατόπεδον τῶν πολεμίων.* (6) *ἐπεὶ δ' ἐδείπνησαν οἱ στρατιῶται*
*καὶ σκότος ἐγένετο, τοῖς ἡγεμόσι φράσας τὸ ἀληθὲς ἦγε διὰ νυκτὸς τὴν*
*ἐναντίαν ἀπὸ θαλάττης καὶ καταλύσας ἀνέπαυε τὴν στρατιὰν ὑπὸ τὸ*
*Πύθιον.* ..... (16) *ὁ μὲν οὖν Νασικᾶς ἐνταῦθα διενυκτέρευσε. τῶι δὲ*
*Περσεῖ τὸν Αἰμίλιον ἀτρεμοῦντα κατὰ χώραν ὁρῶντι καὶ μὴ λογιζομένωι*
*τὸ γινόμενον ἀποδρὰς ἐκ τῆς ὁδοῦ Κρὴς αὐτόμολος ἦκε μηνύων τὴν περί-*
*οδον τῶν Ῥωμαίων.* (2) *ὁ δὲ συνταραχθεὶς τὸ μὲν στρατόπεδον οὐκ ἐκίνησε,*
*μυρίους δὲ μισθοφόρους ξένους καὶ δισχιλίους Μακεδόνας Μίλωνι παρα-*
*δοὺς ἐξαπέστειλε παρακελευσάμενος ταχῦναι καὶ καταλαβεῖν τὰς ὑπερ-*
*βολάς.* (3) *τούτοις ὁ μὲν Πολύβιός φησιν* (XXIX 15 BW) *ἔτι κοιμωμένοις*
*ἐπιπεσεῖν τοὺς Ῥωμαίους· ὁ δὲ Νασικᾶς ὀξὺν ἀγῶνα περὶ τοῖς ἄκροις*
*γενέσθαι καὶ κίνδυνον, αὐτὸς δὲ θρᾷκα μισθοφόρον εἰς χεῖρας συνδρα-*
*μόντα τῶι ξυστῶι διὰ τοῦ στήθους πατάξας καταβαλεῖν· ἐκβιασθέντων*
*δὲ τῶν πολεμίων καὶ τοῦ Μίλωνος αἴσχιστα φεύγοντος ἄνευ τῶν ὅπλων*
*μονοχίτωνος ἀσφαλῶς ἀκολουθεῖν ἅμα καταβιβάζων εἰς τὴν χώραν τὸ*

---

23 v. l. *ἐγίνετο* 30 *παρακελευσάμενος* Bryan παρασκευασάμενος Pl
30—31 *ὑπερβολάς* Stephanus ὅλας Pl πύλας Xylander

στράτευμα. τούτων δὲ τῶι Περσεῖ προσπεσόντων κατὰ τάχος ἀναζεύξας ἦγεν ὀπίσω, περίφοβος γεγονὼς καὶ συγκεχυμένος ταῖς ἐλπίσιν.

2 (—) PLUTARCH. Aemil. Paul. 17, 8: ἅμα δὲ ἡμέραι τῶι Ἡρακλεῖ βουθυτῶν (sc. ὁ Αἰμίλιος) οὐκ ἐκαλλιέρει μέχρις εἴκοσι· τῶι δὲ πρώτωι καὶ εἰκοστῶι παρῆν τὰ σημεῖα καὶ νίκην ἀμυνομένοις ἔφραζεν. (9) εὐξάμενος οὖν κατὰ βοῶν ἑκατὸν καὶ ἀγῶνος ἱεροῦ τῶι θεῶι προσέταξε διακοσμεῖν τοῖς ἡγεμόσι τὸν στρατὸν εἰς μάχην· αὐτὸς δὲ τὴν ἀπόκλισιν καὶ περιφορὰν ἀναμένων τοῦ φωτός, ὅπως μὴ κατὰ προσώπου μαχομένοις αὐτοῖς ἔωθεν ὁ ἥλιος ἀντιλάμποι, παρῆγε τὸν χρόνον ἐν τῆι σκηνῆι καθεζόμενος ἀναπεπταμένηι πρὸς τὸ πεδίον καὶ τὴν στρατοπεδείαν τῶν πολεμίων. (18) περὶ δὲ δείλην οἱ μὲν αὐτοῦ φασι τοῦ Αἰμιλίου τεχνάζοντος ἐκ τῶν πολεμίων γενέσθαι τὴν ἐπιχείρησιν ἀχάλινον ἵππον ἐξελάσαντας ἐμβαλεῖν αὐτοῖς τοὺς Ῥωμαίους, καὶ τοῦτον ἀρχὴν μάχης διωκόμενον παρασχεῖν· οἱ δὲ Ῥωμαικῶν ὑποζυγίων χορτάσματα παρακομιζόντων ἅπτεσθαι Θρᾳικας, ὧν Ἀλέξανδρος ἡγεῖτο, πρὸς δὲ τούτους ἐκδρομὴν ὀξεῖαν ἑπτακοσίων Λιγύων γενέσθαι, παραβοηθούντων δὲ πλειόνων ἑκατέρους οὕτω συνάπτεσθαι τὴν μάχην ἀμφοτέρων. (2) ὁ μὲν οὖν Αἰμίλιος ὥσπερ κυβερνήτης τῶι παρόντι σάλωι καὶ κινήματι τῶν στρατοπέδων τεκμαιρόμενος τὸ μέγεθος τοῦ μέλλοντος ἀγῶνος ἐκ τῆς σκηνῆς προῆλθε καὶ τὰ τάγματα τῶν ὁπλιτῶν ἐπιὼν παρεθάρρυνεν· ὁ δὲ Νασικᾶς ἐξιππασάμενος πρὸς τοὺς ἀκροβολιζομένους ὁρᾶι πάντας δσον οὔπω τοὺς πολεμίους ἐν χερσὶν ὄντας. (3) πρῶτοι δ' οἱ Θρᾳικες ἐχώρουν, ὧν μάλιστά φησιν ἐκπλαγῆναι τὴν ὄψιν, ἄνδρες ὑψηλοὶ τὰ σώματα, λευκῶι καὶ περιλάμποντι θυρεῶν καὶ περικνημίδων ὁπλισμῶι μέλανας ὑπενδεδυμένοι χιτῶνας, ὀρθὰς δὲ ῥομφαίας βαρυσιδήρους ἀπὸ τῶν δεξιῶν ὤμων ἐπισείοντες. (4) παρὰ δὲ τοὺς Θρᾳικας οἱ μισθοφόροι παρενέβαλλον, ὧν σκευαί τε παντοδαπαί, καὶ μεμιγμένοι Παίονες ἦσαν· ἐπὶ δὲ τούτοις ἄγημα τρίτον οἱ λογάδες, αὐτῶν Μακεδόνων ἀρετῆι καὶ ἡλικίαι τὸ καθαρώτατον, ἀστράπτοντες ἐπιχρύσοις ὅπλοις καὶ νεουργοῖς φοινικίσιν. (5) οἷς καθισταμένοις εἰς τάξιν αἱ τῶν χαλκασπίδων ἐπανατέλλουσαι φάλαγγες ἐκ τοῦ χάρακος ἐνέπλησαν αὐγῆς σιδήρου καὶ λαμπηδόνος χαλκοῦ τὸ πεδίον, κραυγῆς δὲ καὶ θορύβου παρακελευομένων τὴν ὀρεινήν. οὕτω δὲ θρασέως καὶ μετὰ τάχους ἐπήισαν, ὥστε τοὺς πρώτους νεκροὺς ἀπὸ δυεῖν σταδίων τοῦ Ῥωμαικοῦ χάρακος καταπεσεῖν.

3 (—) — — 21, 3: τῶν δὲ Ῥωμαίων ἔπεσον, ὡς μὲν Ποσειδώνιός φησιν (169 F 3), ἑκατόν, ὡς δὲ Νασικᾶς, ὀγδοήκοντα.

---

## —. HELIODOROS VON ANTIOCHEIA.

s. III u. Athen (H. von Athen).

13 v. l. ἐξελάσαντος ἐκ Pl 23 θυρεῶν Bryan θυρεῶι Pl 29 al Stephanus 32 v. l. ἐπῆσαν

## 234. PTOLEMAIOS VIII EUERGETES II.

### T

1 ATHEN. II 84 p. 71 B: *Πτολεμαῖος δ' ὁ Εὐεργέτης βασιλεὺς Αἰγύπτου, εἷς ὢν τῶν Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν* ..... (F 1).

2 — XIV 69 p. 654 D: *ταῖς πολυθρυλήτοις ἱστορίαις τῶν Ὑπομνημάτων τούτων τῶν εἰκοσιτεσσάρων* ... (F 2).

### F

*ΥΠΟΜΝΗΜΑΤΩΝ* $\overline{A}$—$\overline{KΔ}$.

$\overline{B}$

1 (III 186, 2) ATHEN. II 84 p. 71 BC. *Πτολεμαῖος δ' ὁ Εὐεργέτης βασιλεὺς Αἰγύπτου, εἷς ὢν τῶν Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, ἐν δευτέρωι Ὑπομνημάτων γράφει οὕτως· «περὶ Βερενίκην τῆς Λιβύης λήθων ποταμός, ἐν ὧι γίνεται ἰχθὺς λάβραξ καὶ χρύσοφρυς καὶ ἐγχέλεων πλῆθος [καὶ] τῶν καλουμένων βασιλικῶν, αἳ τῶν τε ἐκ Μακεδονίας καὶ τῆς Κωπαΐδος λίμνης τὸ μέγεθός εἰσιν ἡμιόλιαι· πᾶν τε τὸ ῥεῖθρον αὐτοῦ ἰχθύων ποικίλων ἐστὶ πλῆρες. πολλῆς δ' ἐν τοῖς τόποις κινάρας φυομένης οἵ τε συναπολουθοῦντες ἡμῖν στρατιῶται πάντες δρεπόμενοι συνεχρῶντο καὶ ἡμῖν προσέφερον ψιλοῦντες τῶν ἀκανθῶν.»*

2 (3; 10) a) — XIV 69 p. 654 B—D: *Πτολεμαῖος ὁ βασιλεὺς ἐν τῶι [ι]ϛ τῶν Ὑπομνημάτων περὶ τῶν ἐν Ἀλεξανδρείαι βασιλείων λέγων καὶ περὶ τῶν ἐν αὐτοῖς ζώιων τρεφομένων φησίν· «τά τε τῶν φασιανῶν, οὓς τετάρους ὀνομάζουσιν, [οὓς] οὐ μόνον ἐκ Μηδίας μετεπέμπετο, ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλὼν ἐποίησε πλῆθος, ὥστε καὶ σιτεῖσθαι· τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν.» αὕτη ⟨ἡ⟩ τοῦ λαμπροτάτου βασιλέως φωνή, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθός ποτε γεύσασθαι ὡμολόγησεν, ἀλλ' ὥσπερ τι κειμήλιον ἀνακείμενον εἶχε τούσδε τοὺς ὄρνιθας. εἰ δὲ ἐωράκει ὡς ἡμῶν ἑκάστωι εἷς ἐστι παρακείμενος .... προσαναπεπληρώκει ἂν ταῖς πολυθρυλήτοις ἱστορίαις τῶν Ὑπομνημάτων τούτων τῶν εἰκοσιτεσσάρων καὶ ἄλλην μίαν.*

---

12 δευτέρωι: ὀγδόωι? s. komm. 13 *Λήθων*: η 'cum mendi nota' C *Λάθων* Strab. XVII 3, 20; Ptolem. Geogr. IV 4, 3; *Let(h)on* Lucan. IX 855; Plin. NH V 31; *Ληθαῖος* Strab. XIV 1, 39 ποταμός E (Strab) ποταμίων C ποτάμιον Kai(bel) 14 [καὶ] Wilamowitz ⟨ἄλλων τε⟩ καὶ Kai 18 τόποις ⟨τούτοις⟩? 22 [ι]β Jac (p. 984, 3) δωδεκάτωι Ath 24 [οὓς] Kai 24—25 μετεπέμπετο Casaubonus —οντο A 27 ⟨ἡ⟩ Kai 31 ταῖς εἰκοσιτέσσαρσι Kai

b) — IX 38 p. 387 E: .... Ἐπαίνετον .... λέγοντα ἐν τῶι Ὀψαρτυτικῶι ὅτι ὁ φασιανὸς ὄρνις ταύρας καλεῖται. Πτολεμαῖος δ' ὁ Εὐεργέτης ἐν δευτέρωι Ὑπομνημάτων τέταρόν φησιν ὀνομάζεσθαι τὸν φασιανὸν ὄρνιν.

Γ

3 (1) ATHEN. X 52 p. 438 D—F: πολυπότης δ' ἦν καὶ Ἀντίοχος ὁ βασιλεὺς ὁ κληθεὶς Ἐπιφανής (175—164), ὁ ὁμηρεύσας παρὰ Ῥωμαίοις, ὃν ἱστορεῖ Πτολεμαῖος ὁ Εὐεργέτης ἐν τῶι τρίτωι τῶν Ὑπομνημάτων κἀν τῶι πέμπτωι (F 5) φάσκων αὐτὸν εἰς τοὺς Ἰταλικοὺς κώμους καὶ μέθας τραπέντα πολλὰ ἀναλίσκειν. «καὶ τὰ περιλειπόμενα δὲ τῶν χρημάτων μεθ' ἡμέραν κωμάζων ὁτὲ μὲν ἐξέχει, ἄλλοτε δὲ ἐν ταῖς δημοσίαις ὁδοῖς ἱστάμενος ἔλεγε 'τίνι ἡ τύχη δίδωσι, λαβέτω', καὶ ῥίψας τὸ ἀργύριον ὤιχετο. πολλάκις δὲ καὶ πλεκτὸν στέφανον ῥόδων ἔχων ἐπὶ τῆς κεφαλῆς καὶ χρυσουφῆ τήβενναν φορῶν μόνος ἐρέμβετο λίθους ὑπὸ μάλης ἔχων, οἷς ἔβαλλε τῶν ἰδι⟨ωτ⟩ῶν τοὺς ἀκολουθοῦντας αὐτῶι. ἐλούετό τε καὶ εἰς τοὺς κοινοὺς λουτρῶνας μύροις ἀλειφόμενος, ὅτε καί ποτε συνιδών τις αὐτὸν ἰδιώτης ἔφη 'μακάριος εἶ, ὦ βασιλεῦ, ⟨ὡς⟩ πολυτελὲς ὄζεις'. καὶ ὃς ἡσθεὶς 'ἐγώ σε' φησίν 'ὑπέρχορον τούτου ποιήσω'· καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ ὑδρίσκην ὑπὲρ δύο χοὰς ἔχουσαν παχέος μύρου καταχυθῆναι ἐκέλευσεν, ὡς καὶ τὸ πλῆθος τῶν ἀγοραιοτέρων εἰς τὸ ἐκχυθὲν συγκυλισθῆναι. ὀλισθου τε γενομένου αὐτός τε ὁ Ἀντίοχος ἔπεσε καγχάζων, καὶ οἱ πλεῖστοι τῶν λουομένων τὸ αὐτὸ ἔπασχον.»

4 (4) — XIII 37 p. 576 EF: (137 F 11) αὕτη δὲ ἡ Θαὶς [καὶ] μετὰ τὸν Ἀλεξάνδρου θάνατον καὶ Πτολεμαίωι ἐγαμήθη τῶι πρώτωι βασιλεύσαντι Αἰγύπτου καὶ ἐγέννησεν αὐτῶι [τέκνον] Λεοντίσκον καὶ Λάγον, θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος ὁ Σόλων τῶν ἐν Κύπρωι βασιλέων. καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεύς, Φιλάδελφος δ' ἐπίκλην, ὡς ἱστορεῖ ὁ Εὐεργέτης Πτολεμαῖος ἐν τῶι τρίτωι τῶν Ὑπομνημάτων, πλείστας ἔσχεν ἐρωμένας, Διδύμην μὲν μίαν τῶν ἐπιχωρίων γυναικῶν μάλ' εὐπρεπεστάτην τὴν ὄψιν καὶ Βιλιστί-

---

3 δευτέρωι: ιβ C Mueller (p. 983, 22) τέταρον p. 983, 24 τέταρτον A 8 Ἰταλικοὺς Jac Ἰνδικοὺς Ath 11 ἱστάμενος ἔλεγε C —ον —ειν A 15 ἰδιωτῶν Meineke ἰδίων AC 16 ἐλούετο δὲ Kai ἐλούετο δὲ κἀν τοῖς δημοσίοις βαλανείοις (Polyb-) Athen. V 194 A 18 ⟨ὡς⟩ Kai 20 τούτου Musurus τοῦτο A 22 ἀγο- ⟨*⟩ ραίων C 23 αὐτός τε C αὐτός γε A 26 [καὶ] om E 28 [τέκνον] om E

χην, ἔτι δὲ Ἀγαθόκλειαν καὶ Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇι πρὸς Ἐλευσῖνι θαλάσσηι, καὶ Μύρτιον καὶ ἄλλας δὲ πλείστας, ἐπιρρεπέστερος ὢν πρὸς ἀφροδίσια.

Ε

5 (1) ATHEN. X 52 p. 438 D-F: s. F 3.

Ζ

6 (5) ATHEN. II 19 p. 43 E: *Πτολεμαῖος δὲ ὁ βασιλεὺς ἐν ἑβδόμωι Ὑπομνημάτων «ἐπὶ Κορίνθου προάγουσι» φησὶν «ἡμῖν διὰ τῆς Κοντοπορείας καλουμένης κατὰ τὴν ἀκρώρειαν προσβαίνουσιν» εἶναι κρήνην νᾶμα ἀνιεῖσαν χιόνος ψυχρότερον· ἐξ ἧς πολλοὺς μὴ πίνειν ἀποπαγήσεσθαι προσδοκῶντας, αὐτὸς δὲ λέγει πεπωκέναι.*

Η

(F 1?)

7 (7) ATHEN. VI 16 p. 229 D: *Πτολεμαῖος δ' ὁ βασιλεὺς ἐν ὀγδόωι Ὑπομνημάτων περὶ Μασσανάσσου τὸν λόγον ποιούμενος τοῦ Λιβύων βασιλέως φησὶ τάδε· «δεῖπνα Ῥωμαικῶς ἦν κατεσκευασμένα, κεράμωι παντὶ χορηγούμενα ἀργυρῶι· τὰς δὲ τῶν δευτέρων τραπέζας ἐκόσμει τοῖς Ἰταλικοῖς ἐθισμοῖς. τὰ δὲ κανίσκια ἦν ἅπαντα χρυσᾶ, γεγονότα πρὸς τὰ πλεκόμενα ταῖς σχοίνοις· μουσικοῖς δὲ ἐχρῆτο Ἑλληνικοῖς.»*

8 (8) — XII 16 p. 518 E—519 A: *ἐπιχωριάζειν δὲ παρ' αὐτοῖς* (sc. τοῖς Συβαρίταις) *διὰ τὴν τρυφὴν ἀνθρωπάρια μικρά, καὶ τοὺς †σκωπαίους, ὥς φησιν ὁ Τίμαιος* (III), *τοὺς καλουμένους παρά τισιν στίλπωνας καὶ κυνάρια Μελιταῖα, ἅπερ αὐτοῖς καὶ ἕπεσθαι εἰς τὰ γυμνάσια. πρὸς οὓς καὶ τοὺς ὁμοίους τούτοις Μασσανάσσης ὁ τῶν Μαυρουσίων βασιλεὺς ἀπεκρίνατο, ὥς φησι Πτολεμαῖος ἐν ὀγδόωι Ὑπομνημάτων, ζητοῦσιν συνωνεῖσθαι πιθήκους 'παρ' ὑμῖν, ὦ οὗτοι, αἱ γυναῖκες οὐ τίκτουσιν παιδία;' παιδίοις γὰρ ἔχαιρεν ὁ Μασσανάσσης, καὶ εἶχεν παρ' αὐτῶι τρεφόμενα τῶν υἱῶν (πολλοὶ δὲ ἦσαν) τὰ τέκνα καὶ τῶν θυγατέρων ὁμοίως. καὶ πάντα ταῦτα αὐτὸς ἔτρεφεν μέχρι τριῶν ἐτῶν· μεθ' ἃ ἀπέπεμπε πρὸς τοὺς γεγεννηκότας, παραγινομένων ἄλλων.*

9 (6) — XII 73 p. 549 E—550 A: *ὅτι δὲ τρυφῆς οὐκ ἦν ἀλλότριος ὁ βασιλεὺς οὗτος, αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ, ἐν τῶι ὀγδόωι τῶν*

17—18 τὰ δὲ τ. ὁ. τραπεζῶν ἐκεκόσμητο Ιτ. Kai 20 δὲ Wilamowitz τε A 22 σκωπαίους E (Eustath. Od. 1523, 64 *οἱ παρὰ τῶι Τίμωνι σκωπαῖοι, παρὰ Λάκωσιν ἐπιχωριάζοντες, ἀνθρωπάρια ἐκεῖνοι μικρά*) σκοπαίους A ταοὺς ἐκτοπίους Diels κολπιαίους? Jac 23 Τίμαιος Schweighaeuser τίμων AE Eust

Ὑπομνημάτων διηγούμενος ὅπως τε ἱερεὺς ἐγένετο τοῦ ἐν Κυρήνῃ Ἀπόλλωνος καὶ ὅπως δεῖπνον παρεσκεύασε τοῖς πρὸ αὐτοῦ γενομένοις ἱερεῦσι, γράφων οὕτως· «Ἀρτεμίτια μεγίστη ἑορτὴ [ἐν Κυρήνῃ ἑορτή], ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος (ἐνιαύσιος δ' ἐστί) δειπνίζει τοὺς πρὸ αὐτοῦ ἱερευσαμένους καὶ παρατίθησι ἑκάστωι τρυβλίον. τοῦτο δ' ἐστὶ κεραμεοῦν ἄγγος ἐπιδεχόμενον ὡς εἴκοσι ἀρτάβας, ἐν ὠι πολλὰ μὲν τῶν ἀγριμαίων ἔγκειται πεπονημένα, πολλὰ δ' ἐστὶ καὶ τῶν ἡμέρων ὀρνίθων, ἔτι δὲ θαλαττίων ἰχθύων παρίχου τε ξενικοῦ πλείονα γένη· πολλάκις δέ τινες καὶ κιθάριον † ἀκολουθίσκον προσδιδόασιν. ἡμεῖς δὲ περιειλόμεθα τὰ τοιαῦτα· φιάλας δ' ὁλαργύρους κατασκευάσαντες, τὸ τίμημα ἔχουσαν ἑκάστην ἧς προειρήκαμεν δαπάνης, ἵππον τε κατεσκευασμένον σὺν ἱπποκόμωι καὶ φαλάροις διαχρύσοις ἐδώκαμεν καὶ παρεκαλέσαμεν ἕκαστον ἐπὶ αὐτοῦ καθεσθέντα οἴκαδ' ἀπιέναι.»

$\overline{\theta}$

**10** (9) ATHEN. IX 17 p. 375 D: *Πτολεμαῖος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐν τῶι ἐνάτωι τῶν Ἀπομνημονευμάτων* (?) «*εἰς Ἄσσον*» *φησίν «ἐπιδημήσαντί μοι οἱ Ἄσσιοι παρέστησαν χοῖρον † ὑιον ἔχοντα τὸ μὲν ὕψος δύο καὶ ἡμίσους πήχεων, ὅλον δ' ἄρτιον πρὸς τὸ μῆκος, τῆι χροιᾶι χιόνινον· ἔφασάν τε τὸν βασιλέα Εὐμένη τὰ τοιαῦτα ἐπιμελῶς ὠνεῖσθαι παρ' αὐτῶν, διδόντα τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας*».

$\overline{IB}$

— ATHEN. XIV 69 p. 654 B—D: s. F 2 a.

OHNE BUCHZAHL.

**11** (12) ATHEN. II 58 p. 61 C: *σία· Σπεύσιππος ἐν β' Ὁμοίων φησὶ ἐν ὕδατι γίνεσθαι, σελίνωι ἐλείοι τὸ φύλλον ἐοικός. διὸ καὶ Πτολε-*

---

3 [*ἐν K. ἑορτή*] Jac *μεγίστη* [*ἑορτὴ*] Musurus. aber Pt schrieb *ἣν δὲ ἡμῶν παρεπιδημούντων* (F 10) *Ἀ. μ. ἑ. o. ἦ.*; der epitomator notierte am rande *ἐν Κυρήνῃ* mit *ἑορτή* als kustoden 6 *τρυβλίον* Meineke *τρυβλία* A 7—8 *ἀγριμέων* A 8 *δ' ἐστὶ* Kai *δέ στα* AE 10—11 *καθάριον ἀκ.* Casaubonus *κιθάριον* ('piscis est Niloticus Apollini sacer') *ἢ κορδυλίσκον* Kai 11—12 *περιειλόμεθα τὰ τοιαῦτα* E *περιειλόμενα τοιαῦτα* A *περιείλομεν τὰ τοι.* Kai 19 l. *Ὑπομνημάτων* (irrtum des Ath?) 20 *υἱον* om C edd; rest einer alters- oder rassenangabe (*⟨δελφά⟩κιον, υἱειον o. ä.*)? Jac

μαῖος ὁ δεύτερος Εὐεργέτης Αἰγύπτου βασιλεύσας παρ' Ὁμήρωι (Od. *e* 72) ἀξιοῖ γράφειν 'ἀμφὶ δὲ λειμῶνες μαλακοὶ σίου ἠδὲ σελίνου'· σία γὰρ μετὰ σελίνου φύεσθαι, ἀλλὰ μὴ ἴα.

ZWEIFELHAFTES.

12 (11) STEPH. BYZ. s. Ἀγχιάλη· πόλις Κιλικίας ..... ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρός, ὡς Ἀθηνόδωρος περὶ τῆς αὐτοῦ πατρίδος γράφων (III) καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίωι βασιλεῖ· γίνεται δ' Ἰαπετοῦ θυγάτηρ Ἀγχιάλη, καὶ κτίζει πόλιν Ἀγχιάλην, † Ἀγχιαλέα τε τὸν παρακείμενον ποταμόν. γεννᾶι δ' υἱὸν Κύδνον, ἀφ' οὗ ποταμὸς Κύδνος ἐν Ταρσῶι· ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη Παρθενία· μεταπεσόντος δὲ τοῦ ὀνόματος Ταρσὸς ἐκλήθη'.

## 235. M. TULLIUS CICERO. a. 63

T

1 a) CICERO. ad Att. I 19, 10 (märz 60): *commentarium consulatus mei Graece compositum misi ad te. in quo si quid erit quod homini Attico minus Graecum eruditumque videatur* ..... (185 T 2) *me imprudente erit et invito. Latinum si perfecero, ad te mittam. tertium poema exspectato, ne quod genus a me ipso laudis meae praetermittatur* ..... *quamquam non ἐγκωμιαστικὰ sunt haec sed ἱστορικὰ quae scribimus.* b) — I 20, 6 (mai 60): *de meis scriptis misi ad te Graece perfectum consulatum meum. eum librum L. Cossinio dedi. puto te Latinis meis delectari, huic autem Graeco Graecum invidere.*

2 — — II 1, 1 (juni 60): (Atticus 189 T 1) *meus autem liber totum Isocrati myrothecium atque omnes eius discipulorum arculas ac non nihil etiam Aristotelia pigmenta consumpsit* ..... *quem tibi ego non essem ausus mittere nisi eum lente ac fastidiose probavissem.* (2) *quamquam ad me rescripsit iam Rhodo Posidonius se, nostrum illud ὑπόμνημα cum legeret, quod ego ad eum ut ornatius de isdem rebus scriberet miseram, non modo non excitatum esse ad scribendum sed etiam plane deterritum.*

F

ΠΕΡΙ ΤΗΣ ΥΠΑΤΕΙΑΣ (ΥΠΟΜΝΗΜΑ).

1 (—) PLUT. Crass. 13, 3: ἐν δὲ τοῖς περὶ Κατιλίναν πράγμασι ... ἥψατο μέν τις ὑπόνοια τοῦ Κράσσου καὶ προσῆλθεν ἄνθρωπος ὀνο-

8 φύσεως E 5 Κιλικίας Xylander σικελία(ς) Steph 8 τε PV τὰ R Ἀγχιαλέα τε τ. π. π. ⟨ἀφ' ἑαυτῆς ὀνομάζει⟩ Meineke ⟨καὶ ὀνομάζει ἀφ' ἑαυτῆς τὴν πόλιν καὶ⟩ Ἀγχιαλέα? 27 *rescripsit* M *scripsit* C 28 *cum* add vulg 33 ἐν δὲ τοῖς SY ἐπεὶ δ' ἐν N

μάζων ἀπὸ τῆς συνωμοσίας, οὐδεὶς δὲ ἐπίστευσεν. (4) ὅμως δ' ὁ Κικέρων ἔν τινι λόγωι (F 1 Pet) φανερὸς ἦν Κράσσωι καὶ Καίσαρι τὴν αἰτίαν προστριβόμενος. ἀλλ' οὗτος μὲν ὁ λόγος ἐξεδόθη μετὰ τὴν ἀμφοῖν τελευτήν· ἐν δὲ τῶι Περὶ τῆς ὑπατείας ὁ Κικέρων νύκτωρ φησὶ τὸν Κράσσον ἀφικέσθαι πρὸς αὐτὸν ἐπιστολὴν κομίζοντα ⟨τὰ⟩ περὶ τὸν Κατιλίναν ἐξηγουμένην, ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν. (5) ὁ δ' οὖν Κράσσος ἀεὶ μὲν ἐμίσει τὸν Κικέρωνα διὰ τοῦτο .....

2 (III 297) PLUT. Caes. 8: ... οἱ μὲν ἄνδρες ἀποθανούμενοι παρεδόθησαν, Καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. ἀλλὰ Κουρίων τε λέγειται τῆι τηβέννωι περιβαλὼν ὑπεξαγαγεῖν, αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθές, ἐν τῶι Περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν· αἰτίαν δὲ εἶχεν ὕστερον ὡς ἄριστα τῶι καιρῶι τότε παρασχόντι κατὰ τοῦ Καίσαρος μὴ χρησάμενος, ἀλλ' ἀποδειλιάσας τὸν δῆμον ὑπερφυῶς περιεχόμενον τοῦ Καίσαρος .....

3 (—) DIO CASS. XLVI 21, 3 (rede des Fufius Calenus): καὶ οὕτω γε ἀναίσχυντος εἶ ὥστε καὶ συγγράψαι ταῦτα τοιαῦτα ὄντα ἐπεχείρησας· ὃν ἐχρῆν εὔχεσθαι μηδὲ τῶν ἄλλων τινὰ αὐτὰ συνθεῖναι .... καὶ ὅπως γε καὶ γελάσητε, ἀκούσατε τὴν σοφίαν αὐτοῦ. (4) προθέμενος γὰρ πάντα τὰ τῆι πόλει πεπραγμένα συγγράψαι — καὶ γὰρ σοφιστὴς καὶ ποιητὴς καὶ φιλόσοφος καὶ ῥήτωρ καὶ συγγραφεὺς εἶναι πλάττεται — εἶτ' οὐκ ἀπὸ τῆς κτίσεως αὐτῆς, ὥσπερ οἱ ἄλλοι οἱ τοῦτο ποιοῦντες, ἀλλὰ ἀπὸ τῆς ὑπατείας τῆς ἑαυτοῦ ἤρξατο, ἵνα ἀνάπαλιν προχωρῶν ἀρχὴν μὲν τοῦ λόγου ἐκείνην, τελευτὴν δὲ τὴν τοῦ Ῥωμύλου βασιλείαν ποιήσηται.

---

## 236. HERODES I VON JUDAEA.

F

### ΥΠΟΜΝΗΜΑΤΑ.

1 (—) JOSEPH. AJ XV 164: (161—163 prekäre lage des Herodes nach der schlacht bei Aktium; stimmung seiner freunde und feinde) αὐτός τε Ἡρώδης τὸν Ὑρκανὸν ὁρῶν μόνον ἐπ' ἀξιώματος βασιλικοῦ συμφέρειν ὤιετο μηκέτ' ἐμποδὼν ἔσεσθαι, εἰ μὲν περισωθείη καὶ διαφύγοι τὸν κίνδυνον, ἀσφαλὲς ἡγούμενος πρὸς τὸ μὴ τοῖς τοιούτοις αὐτοῦ καιροῖς ἐφορμεῖν ἄνδρα τυχεῖν τῆς βασιλείας ἀξιώτερον, εἰ δὲ καὶ πάσχοι τι διὰ Καίσαρος, φθόνωι τὸν μόνον ἐπὶ τῆς βασιλείας γενησόμενον ἐπιθυμῶν ἐξελεῖν. (165) ταῦτα δ' αὐτοῦ δι' ἐννοίας ἔχοντος ἐνεδόθη τι καὶ παρ' ἐκείνων.

ὁ μὲν γὰρ Ὑρκανὸς ἐπιεικείαι τρόπου καὶ τότε καὶ τὸν ἄλλον χρόνον οὐκ ἠξίου πολυπραγμονεῖν οὐδὲ νεωτέρων ἅπτεσθαι, συγχωρῶν τῆι τύχηι

a. 30 a. Chr.

---

1 ἐπίστευεν N 2 φανερὸς ἦν SY φανερός ἐστι καὶ N 4 τῆς om SY 5—6 ⟨τὰ⟩ — ἐξηγουμένην Sintenis περὶ τοῦ Κατιλίνα καὶ ζητουμένην Pl 7 τοῦτο SY ταῦτα N

πᾶν τὸ δι' ἐκείνης γινόμενον ἠγαπηκέναι. (166) φιλόνεικος δ' ἦν Ἀλεξάνδρα καὶ τὴν ἐλπίδα τῆς μεταβολῆς ἀκρατῶς φέρουσα λόγους ἐποιεῖτο πρὸς τὸν πατέρα, μὴ μέχρι παντὸς ἀναμεῖναι τὴν Ἡρώδου παρανομίαν εἰς τὸν αὐτῶν οἶκον, ἀλλὰ προλαβεῖν ἀσφαλείαι τὰς αὖθις ἐλπίδας. (167) καὶ γράφειν ἠξίου περὶ τούτων Μάλχωι τῶι τὴν ἀραβαρχίαν ἔχοντι δέξασθαί τε αὐτὸν καὶ δι' ἀσφαλείας ἔχειν· ὑπεξελθόντων γάρ, εἰ τὰ περὶ τὸν Ἡρώδην οὕτως χωρήσειεν, ὡς εἰκὸς ἦν ἔχθραι Καίσαρος, αὐτοὺς ἔσεσθαι τοὺς τὴν ἀρχὴν ἀπολαμβάνοντας μόνους καὶ διὰ τὸ γένος καὶ διὰ τὴν εὔνοιαν τῶν ὄχλων. (168) ταῦτα πειθούσης ὁ μὲν Ὑρκανὸς διωθεῖτο τοὺς λόγους, φιλόνεικον δέ τι καὶ γυναικεῖον αὐτῆς πεπονθυίας καὶ μήτε νύκτα μήθ' ἡμέραν ἀπολειπομένης, ἀλλ' ἀεὶ περὶ τούτων καὶ τῆς Ἡρώδου πρὸς αὐτοὺς ἐπιβουλῆς διαλεγομένης, ἀνεπείσθη τέλος ἐπιστολὴν δοῦναι Δοσιθέωι τινὶ τῶι περὶ αὐτὸν φίλων, ἐν ἧι συντέτακτο πέμπειν αὐτῶι τὸν Ἄραβα τοὺς ἀναληψομένους καὶ παραπέμψοντας ἱππέας ἐπὶ τὴν Ἀσφαλτῖτιν λίμνην· αὕτη δ' ἀπέχει τῶν Ἱεροσολυμιτῶν ὅρων σταδίους τριακοσίους. (169) ἐπίστευεν δὲ τῶι Δοσιθέωι θεραπεύοντος αὐτοῦ καὶ αὐτὸν καὶ τὴν Ἀλεξάνδραν καὶ τῆς πρὸς Ἡρώδην δυσνοίας οὐ μικρὰς αἰτίας ἔχοντος· Ἰωσήπου τε γάρ, ὃν ἐκεῖνος ἀνηιρήκει, συγγενὴς ἦν καὶ τῶν ** ἐν Τύρωι φονευθέντων ὑπ' Ἀντωνίου πρότερον ἀδελφός. (170) οὐ μὴν ἐνήγαγεν ταῦτα τὸν Δοσίθεον Ὑρκανῶι πιστὸν εἰς τὴν ὑπηρεσίαν γενέσθαι, προτιμήσας δὲ τῶν ἐκείνου τὰς ἐκ τοῦ βασιλεύοντος ἐλπίδας ἐπιδίδωσιν Ἡρώδηι τὴν ἐπιστολήν. (171) ὁ δὲ τῆς εὐνοίας ἀποδεξάμενος ἔτι καὶ τοῦτο προσυπουργῆσαι παρεκελεύετο, πτύξαντα τὴν ἐπιστολὴν καὶ κατασημηνάμενον ἀποδοῦναι τῶι Μάλχωι καὶ τὰ παρ' ἐκείνου γράμματα λαβεῖν· οὐ γὰρ μικρὸν τὸ διάφορον καὶ τὴν ἐκείνου γνώμην αὐτὸν εἰδέναι. (172) ταῦτα δὲ τοῦ Δοσιθέου προθύμως ὑπουργήσαντος ὁ μὲν Ἄραψ ἀντεπέστελλεν αὐτόν τε Ὑρκανὸν δέχεσθαι καὶ τοὺς σὺν αὐτῶι πάντας καὶ Ἰουδαίων ὅσοι τὰ ἐκείνου φρονοῦσιν, δύναμίν τε πέμψειν τὴν μετ' ἀσφαλείας αὐτοὺς κομιοῦσαν, καὶ πρὸς μηδὲν ἐνδεήσειν ὧν ἠξίου. (173) ὡς δὲ καὶ ταύτην Ἡρώδης ἐδέξατο τὴν ἐπιστολήν, εὐθύς τε μεταπέμπεται τὸν Ὑρκανὸν καὶ περὶ τῶν γενομένων αὐτῶι συνθηκῶν πρὸς τὸν Μάλχον ἀνέκρινεν. ἀρνησαμένου δὲ τὰς ἐπιστολάς, δείξας τῶι συνεδρίωι διεχειράσατο τὸν ἄνδρα.

7 P. Ox. X 1241 col. II: (folge der alexandrinischen bibliotheksvorsteher) Ἀπολλώ]||νιος Σιλλέως Ἀλεξανδρεύς, ὁ καλούμενος Ῥόδιος, Καλλιμάχου γνώριμος· οὗτος ἐγένετο καὶ διδάσκαλος τοῦ τρίτου βασιλέως. τοῦτον διεδέξατο Ἐρατοσθένης· μεθ' ὃν Ἀριστοφάνης [καὶ Ἀρίσταρχος]· εἶτ' Ἀπολλώνιος ὁ Ἀλεξανδρεὺς ὁ ⟨ε⟩ἰδογράφος καλούμενος· μεθ' ὃν Ἀρίσταρχος ..... οὗτος καὶ διδάσκαλος ἐγένετο τῶν τοῦ Φιλοπάτορος τέκνων. SUID. s. Ἀπολλώνιος Ἀλεξανδρεύς. TZETZES π. κωμ. p. 19, 11; 25, 7; 31, 15 Kaib.

---

2 *ἐγγίσαντα Βῆτα* Meursius *ἐγγίσασι τὰ βήματα* Suid 4 *ἐτέχθη — καὶ:* οὗτος V $\overline{PKF}$: $\overline{PKA}$ (296/3)? 8 *Ἀστροθεσίαν* Maass *Καταστερισμοὺς* Portus *καταστηριγμοὺς* Suid *καταστηρισμοὺς* Eudok 12 *τετιμημένοι* om E 18 ol. 141, 3 OM Arm ol. 141, 1—4 cett. ol. 138 Chron. Pasch. p. 332, 2 26 *μαῖά σε πατρώιων* Brunck *μαινὰς ἐπ' ἀτρύτων* AP *πατρώιωι νεκρὸν ἐ. τάφωι* Reiske 31 *τρίτου* Gr-H *πρώτου* P 32 [*καὶ Ἀ.*] Gr-H 34 *Φιλοπάτορος*: *Φιλομήτορος* o. *Ἐπιφανοῦς* Gr-H

8 CLEM. AL. Strom. I 79, 3: *Ἀπολλόδωρος δὲ ὁ Κυμαῖος πρῶτος τοῦ κριτικοῦ εἰσηγήσατο τοὔνομα καὶ γραμματικὸς προσηγορεύθη· ἔνιοι δὲ Ἐρατοσθένη τὸν Κυρηναῖόν φασιν, ἐπειδὴ ἐξέδωκεν οὗτος βιβλία δύο, Γραμματικὰ ἐπιγράψας. ὠνομάσθη δὲ γραμματικός, ὡς νῦν ὀνομάζομεν, πρῶτος Πραξιφάνης Διονυσοφάνους Μιτυληναῖος.*

9 SUETON. De gr. 10: *philologi appellationem assumpsisse videtur, quia sic ut Eratosthenes, qui primus hoc cognomen sibi vindicavit, multiplici variaque doctrina censebatur.*

10 STRABON I 2, 2: *ἔστι δ' ὁ Ἐρατοσθένης οὐχ οὕτως εὐκατατρόχαστος, ὥστε μηδ' Ἀθήνας αὐτὸν ἰδεῖν φάσκειν, ὅπερ Πολέμων (IV) ἐπιχειρεῖ δεικνύναι, οὔτ' ἐπὶ τοσοῦτον πιστός, ἐφ' ὅσον παρεδέξαντό τινες, καίπερ πλείστοις ἐντυχών, ὡς εἴρηκεν αὐτός, ἀγαθοῖς ἀνδράσιν. «ἐγένοντο γάρ» φησίν «ὡς οὐδέποτε κατὰ τοῦτον τὸν καιρὸν ὑφ' ἕνα περίβολον καὶ μίαν πόλιν οἱ [καὶ] κατ' Ἀρίστωνα* (F 17) *καὶ Ἀρκεσίλαον ἀνθήσαντες φιλόσοφοι.» οὐχ ἱκανὸν δ' οἶμαι τοῦτο, ἀλλὰ τὸ κρίνειν καλῶς, οἷς μᾶλλον προσιτέον. ὁ δὲ Ἀρκεσίλαον καὶ Ἀρίστωνα τῶν καθ' αὐτὸν ἀνθησάντων κορυφαίους τίθησιν, Ἀπελλῆς τε αὐτῶι πολύς ἐστι καὶ Βίων, ὃν φησι πρῶτον ἀνθινὰ περιβαλεῖν φιλοσοφίαν· ἀλλ' ὅμως πολλάκις εἰπεῖν ἄν τινα ἐπ' αὐτοῦ τοῦτο* (Od. σ 74) *'οἵην ἐκ ῥακέων ὁ Βίων'. ἐν αὐταῖς γὰρ ταῖς ἀποφάσεσι ταύταις ἱκανὴν ἀσθένειαν ἐμφαίνει τῆς ἑαυτοῦ γνώμης, ἣν τοῦ Ζήνωνος τοῦ Κιτιέως γνώριμος γενόμενος Ἀθήνησι τῶν μὲν ἐκεῖνον διαδεξαμένων οὐδενὸς μέμνηται, τοὺς δ' ἐκείνου διενεχθέντας καὶ ὧν διαδοχὴ οὐδεμία σώζεται, τούτους ἀνθῆσαί φησι κατὰ τὸν καιρὸν ἐκεῖνον. δηλοῖ δὲ καὶ ἡ Περὶ τῶν ἀγαθῶν ἐκδοθεῖσα ὑπ' αὐτοῦ πραγματεία καὶ μελέται καὶ εἴ τι ἄλλο τοιοῦτο τὴν ἀγωγὴν αὐτοῦ, διότι μέσος ἦν τοῦ τε βουλομένου φιλοσοφεῖν καὶ τοῦ μὴ θαρροῦντος ἐγχειρίζειν ἑαυτὸν εἰς τὴν ὑπόσχεσιν ταύτην, ἀλλὰ μόνον μέχρι τοῦ δοκεῖν προιόντος ἢ καὶ παράβασίν τινα ταύτην ἀπὸ τῶν ἄλλων τῶν ἐγκυκλίων πεπορισμένου πρὸς διαγωγὴν ἢ καὶ παιδιάν. τρόπον δέ τινα καὶ ἐν τοῖς ἄλλοις ἐστὶ τοιοῦτος.*

11 SUID. s. *Φιλόχορος*· ... *κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτηι νέον ὄντα Ἐρατοσθένη.*

## F

### *ΧΡΟΝΟΓΡΑΦΙΑΙ.*

(F 9—13; 19?; 26?; 31—34? vgl. 38—40; 43; 45).

1 (2; 3; 6—7) a) CLEM. AL. Strom. I 138, 1—3: *Ἐρατοσθένης δὲ τοὺς χρόνους ὧδε ἀναγράφει·*

*ἀπὸ μὲν Τροίας ἁλώσεως* (1184/3) *ἐπὶ Ἡρακλειδῶν κάθοδον ἔτη ὀγδοήκοντα·*

1104/3

---

1 Ἀντίδωρος, Ἀντόδωρος Schol. Dion. Thrac. p. 3, 24; 448, 6 Hilg *πρῶτος* ⟨*τοῦ γραμματικοῦ ἀντὶ*⟩ MHE Meier 8 *οὐχ*: *οὐδ'* Corais 12 [*καὶ*] Xylander 13 (u. v. 14/5) *ἀρκεσίλαν* BC. 14 *πιστέον προσιτέον* A 16 *ἀνθινὰ* Casaubonus (Diog. L. IV 52) *ἂν τινα* BCA (s. l. *θινα* A) *περιβάλλειν* ABC 17 *αὐτοῦ* Cramer *αὐτὸ* Str 19 *ἣν*: *ὃς* $B^1$ *ἡ* $A^1$ 23 *μελέτη* C ⟨*αἱ*⟩ *μελέται*? 24 *ὑπόθεσιν* Casaubonus 29 *Ἐρατοσθένη* Siebelis *—νει* Suid 35 *Ἡρακλειδῶν* Sylburg *ἡρακλειτῶν* L

ἐντεῦθεν δὲ ἐπὶ τὴν Ἰωνίας κτίσιν ἔτη ἑξήκοντα· 1044/3
τὰ δὲ τούτοις ἑξῆς ἐπὶ μὲν τὴν ἐπιτροπίαν τὴν Λυκούργου ἔτη ἑκατὸν πεντήκοντα ἐννέα· 885/4
ἐπὶ δὲ ⟨τὸ⟩ προηγούμενον ἔτος τῶν πρώτων ὀλυμπίων ἔτη ἑκατὸν ὀκτώ· 777/6
ἀφ' ἧς ὀλυμπιάδος ἐπὶ τὴν Ξέρξου διάβασιν ἔτη διακόσια ἐνενήκοντα ἑπτά· 480/79
ἀφ' ἧς ἐπὶ τὴν ἀρχὴν τοῦ Πελοποννησιακοῦ πολέμου ἔτη τεσσαράκοντα ὀκτώ· 432/1
καὶ ἐπὶ τὴν κατάλυσιν καὶ Ἀθηναίων ἦτταν ἔτη εἴκοσι ἑπτά· 405/4
καὶ ἐπὶ τὴν ἐν Λεύκτροις μάχην ἔτη τριάκοντα τέσσαρα· 371/0
μεθ' ἣν ἐπὶ τὴν Φιλίππου τελευτὴν ἔτη τριάκοντα πέντε· 336/5
μετὰ δὲ ταῦτα ἐπὶ τὴν Ἀλεξάνδρου μεταλλαγὴν ἔτη δώδεκα. 324/3

b) DION. HAL. AR I 74, 2 (EUSEB. ARM. p. 135, 19 K): *Κάτων δὲ Πόρκιος Ἑλληνικὸν μὲν οὐχ ὁρίζει χρόνον ..... ἔτεσιν ἀποφαίνει δυσὶ καὶ τριάκοντα καὶ τετρακοσίοις ὑστεροῦσαν τῶν Ἰλιακῶν. ὁ δὲ χρόνος οὗτος ἀναμετρηθεὶς ταῖς Ἐρατοσθένους χρονογραφίαις κατὰ τὸ πρῶτον ἔτος πίπτει τῆς ἑβδόμης ὀλυμπιάδος* (752/1). *ὅτι δέ εἰσιν οἱ κανόνες ὑγιεῖς, οἷς Ἐρατοσθένης κέχρηται, καὶ πῶς ἄν τις ἀπευθύνοι τοὺς Ῥωμαίων χρόνους πρὸς τοὺς Ἑλληνικούς, ἐν ἑτέρωι δεδήλωταί μοι λόγωι* (251 F 2). c) CENSORIN. De d. n. 21, 3: (von Troias fall bis ol. 1) *Sosibius* (III) *scripsit esse CCCXCV, Eratosthenes autem septem et quadringentos, Timaeus* (III) *CCCCXVII, Eretes* (242) *DXIIII, et praeterea multi diverse, quorum etiam ipsa dissensio incertum esse declarat.* d) CLEM. AL. Strom. I 139, 4: *ἀπὸ τούτου* (sc. Heraklidenrückkehr) *ἐπὶ Εὐαίνετον ἄρχοντα* (335/4), *ἐφ' οὗ φασιν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι ... ὡς δὲ Ἐρατοσθένης ἑπτακόσια ἑβδομήκοντα [τέσσαρα].*

2 (3) PLUT. Lyk. 1, 3: *οἱ δὲ ταῖς διαδοχαῖς τῶν ἐν Σπάρτηι βεβασι-* a. 885/4
*λευκότων ἀναλεγόμενοι τὸν χρόνον, ὥσπερ Ἐρατοσθένης καὶ Ἀπολλόδωρος* (244 F 64) *οὐκ ὀλίγοις ἔτεσι πρεσβύτερον ἀποφαίνουσι τῆς πρώτης ὀλυμπιάδος* (sc. *τὸν Λυκοῦργον*).

3 (11) HARPOKR. s. *Εὔηνος*· ... *δύο ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς ὁμωνύμους ἀλλήλοις, καθάπερ Ἐρατοσθένης ἐν τῶι Περὶ χρονογραφιῶν, ἀμφοτέρους λέγων Παρίους εἶναι· γνωρίζεσθαι δέ φησι τὸν νεώτερον μόνον. μέμνηται δὲ θατέρου αὐτῶν καὶ Πλάτων* (Phaidon 60 D; Apol. 20 AB; Phaidr. 267 A).

4 ⟨τὸ⟩ Wachsmuth 18 *ἐπὶ* Sylburg *μετὰ* L 23 *Eretes*: *Crates* Jahn *Aretes* Hultsch 28 [*τέσσαρα*] C Mueller

*ΟΛΥΜΠΙΟΝΙΚΑΙ* $\overline{A}$—⟨$\overline{B}$?⟩.

(F 14; 11? 15? 44?)

$\overline{A}$

4 (22) ATHEN. IV 39 p. 154 A: *Ἐρατοσθένης δ' ἐν πρώτωι Ὀλυμπιονικῶν τοὺς Τυρρηνούς φησι πρὸς αὐλὸν πυκτεύειν.*

OHNE BUCHZAHL.

5 (21) SCHOL. HOM. OD. $\Psi$ 190 (CRAM. AP III 455, 11): *βόμβησεν δὲ λίθος] ὁ δίσκος λίθος ἦν. καὶ Ἐρατοσθένης ἐν Ὀλυμπιονίκαις ἱστορεῖ, τὸν μὲν σόλον λέγων σιδηροῦν ἢ ξύλινον ἢ χαλκοῦν τετρημένον κατὰ τὸ μέσον καὶ ἔχοντα καλώδιον ἐξημμένον, οὗ ἐχόμενοι βάλλουσιν οἱ ἀγωνιζόμενοι. οὕτω καὶ ἐπὶ Πατρόκλωι κέχρηται· διό φησιν* (Il. $\Psi$ 826) *'αὐτὰρ Πηλείδης θῆκεν σόλον* ⟨*αὐτοχόωνον*⟩, *ὃν πρὶν μὲν ῥίπτασκε'. ὅθεν κατωμάδιον αὐτὸν λέγεσθαι* (Il. $\Psi$ 431) *'ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται'. διὰ τοῦτο καὶ νῦν ἔφη 'τόν ῥα περιστρέψας'.*

6 (—) SCHOL. THEOKR. II 121 a: *λεύκαν Ἡρακλέος*] ⟨*Ἐρατοσθένης ἐν*⟩ *Ὀλυμπιονίκαις φησὶ τὸν Ἡρακλέα κατελθόντα εἰς Ἅιδου εὑρεῖν παρὰ τῶι Ἀχέροντι φυομένην τὴν λεύκην καὶ αὐτῆι ἀναστέψασθαι, ἣν Ὅμηρος* (Il. $N$ 389 = $\Pi$ 482) *ἀχερωΐδα καλεῖ.*

7 (23) DIOG. LAERT. VIII 51: *Ἐμπεδοκλῆς, ὥς φησιν Ἱππόβοτος* s. 446 (IV), *Μέτωνος ἦν υἱὸς τοῦ Ἐμπεδοκλέους Ἀκραγαντῖνος. τὸ δ' αὐτὸ καὶ Τίμαιος* (III) ..... *ἐπίσημον ἄνδρα γεγονέναι τὸν Ἐμπεδοκλέα τὸν πάππον τοῦ ποιητοῦ. ἀλλὰ καὶ Ἕρμιππος* (IV) *τὰ αὐτὰ τούτωι φησίν. ὁμοίως Ἡρακλείδης ἐν τῶι Περὶ νόσων* (F 74 Voss), *ὅτι λαμπρᾶς ἦν οἰκίας ἱπποτροφηκότος τοῦ πάππου. λέγει δὲ καὶ Ἐρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις, τὴν πρώτην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα* (496) *νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα, μάρτυρι χρώμενος Ἀριστοτέλει* (III). *Ἀπολλόδωρος δὲ* (244 F 32).....

8 (—) SCHOL. MENAND. P. OX. III 409: *Ἀστυάνακτος*] *τοῦ Μιλη-* s. 316 *σίου Ἀστυάνακτος πολλοὶ σφόδρα τῶν κωμω⟨ι⟩διογράφων μέμνηνται· ἐγένετο γὰρ παγκρατιαστὴς κρά[τ(ιστος) τῶ]ν καθ' αὑτόν, ἠγωνίσατο δὲ καὶ πυγμῆι. Ἐρατοσθένης δ' ἐ[ν τῶι .]τῶν Ὀλυμπιονικῶν προθεὶς* $\overline{\text{ρις}}$ *ὀλυμπιάδα* (316) *φησίν· «Ἀστυάναξ ὁ Μιλήσιος ϛ τὴν περίοδον ἀκονιτί».*

*ΓΕΩΓΡΑΦΙΚΩΝ* $\overline{A}$—$\overline{\Gamma}$. *ΠΕΡΙ ΤΗΣ ΑΝΑΜΕΤΡΗΣΕΩΣ ΤΗΣ ΓΗΣ.*

S. V.

---

4 *ἐν τῶι περὶ Ὀλ.* Bernhardy 8 *Ὀλυμπιονίκαις* Buttmann *ὀλυμπιακοῖς* Schol 9 *λέγει* BQ 11 *ἐπὶ τοῦ ἐπὶ τῶι Πατρόκλωι ἀγῶνος* Apollon. Lex. Hom. s. *σόλος* 12 *αὐτοχόωνον* om Schol * * *ὅθεν* Bernhardy 15—16 ⟨*Ἐρατοσθ. ἐν*⟩ *Ὀλυμπιονίκαις* Jac *ὀλυμπιόνικος* Schol ⟨*Ἐρ. ἐν πρώτωι*⟩ *Ὀλυμπιονικῶν* Duebner 16 *εὑρεῖν* Kallierges *ἑλίσσειν* Schol 17 *αὐτῆι ἀναστέψασθαι* Ahrens *αὐτὸν ἀναστρέψασθαι* Schol 21 *ὁμοίως καὶ* FP$^{2}$ 30 $\overline{F}$: $\overline{\Gamma}$? s. komm.

AUS *ΧΡΟΝΟΓΡΑΦΙΑΙ* UND *ΟΛΥΜΠΙΟΝΙΚΑΙ*.

**9** (4) **a)** TATIAN. ad Graec. 31: *οἱ δὲ περὶ Ἐρατοσθένη μετὰ* a. 1084/3
*ἑκατοστὸν ἔτος τῆς Ἰλίου ἁλώσεως* (sc. *Ὁμηρόν φασιν ἠκμακέναι*). CLEM. AL. Strom. I 117, 7; EUSEB. PE X 11 p. 492 AB; EUSEB. HIER. a. Abr. 913.
**b)** VITA Hom. Rom. p. 31, 19 Wil: *Κράτης δ' ὁ Μαλλώτης μεθ' ἑξήκοντα ⟨ἔτη⟩ τοῦ Ἰλιακοῦ πολέμου φησὶν ἀκμάσαι* (sc. *Ὅμηρον*), *Ἐρατοσθένης δὲ μεθ' ἑκατόν* [*τῆς Ἰώνων ἀποικίας*], *Ἀπολλόδωρος* (244 F 63) *δὲ μεθ' ὀγδοήκοντα.*

**10** (10) DIOG. LAERT. I 119: *Ἄνδρων δ' ὁ Ἐφέσιός* (IV) *φησι δύο γεγονέναι Φερεκύδας Συρίους, τὸν μὲν ἀστρολόγον, τὸν δὲ θεολόγον υἱὸν Βάβυος, ὧι καὶ Πυθαγόραν σχολάσαι· Ἐρατοσθένης δ' ἕνα μόνον, καὶ ἕτερον Ἀθηναῖον γενεαλόγον.*

**11** (8) **a)** DIOG. LAERT. VIII 47: *Ἐρατοσθένης δέ φησι, καθὸ καὶ* a. 588
*Φαβωρῖνος ἐν τῆι ὀγδόηι Παντοδαπῆς ἱστορίας* (IV) *παρατίθεται, τοῦτον εἶναι τὸν πρῶτον ἐντέχνως πυκτεύσαντα ἐπὶ τῆς ὀγδόης καὶ τετταρακοστῆς ὀλυμπιάδος* (588), *κομήτην καὶ ἀλουργίδα φοροῦντα· ἐκκριθέντα τ' ἐκ τῶν παίδων καὶ χλευασθέντα αὐτίκα προσβῆναι τοὺς ἄνδρας καὶ νικῆσαι. ὠνομοῦν δὲ τοῦτο καὶ τοὐπίγραμμα ὅπερ ἐποίησε Θεαίτητος·*

*Πυθαγόρην τινά, Πυθαγόρην, ὦ ξεῖνε, κομήτην,*
*ἀιδόμενον πύκτην εἰ κατέχεις Σάμιον,*
*Πυθαγόρης ἐγώ εἰμι· τὰ δ' ἔργα μου εἴ τιν' ἔροιο*
*Ἠλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.*

**b)** PROVERB. COD. PARIS. suppl. gr. 676 [Cohn Bresl. phil. Abh. II 2, 80]: *τὸν (ἐν Σάμωι) κομήτην· Σάμιόν φασιν πύκτην κομῶντα εἰς Ὀλυμπίαν ἀφικόμενον (καὶ νική)σαντα ἐπὶ τῶι θηλυπρεπεῖ πρὸς τῶν ἀνταγωνιστῶν χλευαζόμενον εἰς παροιμ(ίαν ἐλθεῖν). Ἐρατοσθένης δὲ κατὰ τὴν $\overline{μη}$ ὀλυμπιάδα Πυθαγόραν Σάμιον τὸν κο(μήτην) νικῆσαι. Δοῦρις* (76 F 62) .....
**12** (12) VITA EURIP. 2 p. 3, 3 Schw: *ἐτελεύτησε δέ* (sc. *Εὐριπίδης*), a. 406/5
*ὥς φησι Φιλόχορος* (III), *ὑπὲρ τὰ $\overline{ο}$ ἔτη γεγονώς, ὡς δὲ Ἐρατοσθένης, $\overline{οε}$.*

**13** (13) SORAN. Vita Hippokrat. p. 175, 3 Ilb.: *Ἱπποκράτης τῶι γένει μὲν ἦν Κῶος, υἱὸς Ἡρακλείδα καὶ Φαιναρέτης, εἰς Ἡρακλέα καὶ Ἀσκληπιὸν τὸ γένος ἀναφέρων, ἀφ' οὗ μὲν εἰκοστός, ἀφ' οὗ δ' ἐννεακαιδέκατος. μνημονεύει δὲ τῆς γενεαλογίας αὐτοῦ Ἐρατοσθένης καὶ Φερεκύδης* (3 F 59) *καὶ Ἀπολλόδωρος* (244 F 73) *καὶ Ἄρειος ὁ Ταρσεύς.*

**14** (20) SCHOL. EURIP. Hekab. 573: *φύλλοις ἔβαλλον*] *τοῦτο παρὰ τοὺς χρόνους. Ἐρατοσθένης γὰρ περὶ τῆς φυλλοβολίας φησὶν ὡς πάλαι*

---

7 [*τῆς Ἰ. ἀπ.*] Jac Ἀπολλόδ. — ὀγδ.: irrtum 23 Ὀλυμπίαν: ὀλυμπιάδα Par 31—32 ἑπταικαιδέκατος Tzetz. Chil. VII 946 35 πάλαι * * Schw(arts); vgl. Phot. Suid. s. περιαγειρόμενοι· *λέγεται γὰρ ὅτι τὸ μὲν ἐξ ἀρχῆς ἄθλα προὐ-*

χωρὶς ἄθλων ἀγωνιζομένων τῶν ἀνθρώπων τῶι νικήσαντι καθάπερ ἔρανον εἰσφέροντες ἔρριπτον τῶν θεατῶν ἕκαστος ὅπως ηὐπόρει. οἱ μὲν οὖν ἐμπορευόμενοι (?) διάφορα δῶρα * * τῶν δὲ λοιπῶν οἱ μὲν ἐγγὺς καθήμενοι στεφάνους ἐπετίθεσαν, οἱ δὲ ἀπωτέρω τοῦτο ὅπερ ἦν λοιπὸν ἔβαλλον τοῖς ἄνθεσι καὶ φύλλοις, ⟨ὡς⟩ καὶ νῦν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις προβάλλουσι ζώνας, πετάσους, χιτωνίσκους, κρηπῖδας. διὸ σύνηθες ἦν κύκλωι περινοστοῦντας ἀγείρειν τὰ διδόμενα. ἕως μὲν οὖν ἐν ἀγώνισμα κατὰ τὴν Ὀλυμπίαν ἦν, δαψιλὴς ἐγίνετο ἡ τῶν δώρων δόσις, πολυπλασιαζομένων δὲ τούτων ταῦτα ἐμειοῦτο εἰς πολλοὺς καταμεριζόμενα, καὶ τέλος ἡ φυλλοβολία κατελείφθη. ταῦτα οὖν παρὰ τοὺς χρόνους Εὐριπίδης· ὀψὲ γάρ ποτε ὁ ἀγερμὸς ⟨ἀντὶ⟩ τῆς φυλλοβολίας ἀπελείφθη.

**15 (24)** a) HESYCH. s. Ἐφωδίων. Ἐρατοσθένης διὰ τοῦ τ Ἐφωτίωνα ἀναγράφει, Μαινάλιον περιοδονίκην παγκρατιαστήν. ὁ δὲ Πολέμων (IV) διὰ τοῦ δ. b) SCHOL. ARISTOPH. Vesp. 1191: Ἀσκώνδαι καλῶς· τὸ ξ, ὅτι περὶ τοῦ Ἐφουδίωνος (ὡς) ἀληθῶς ἱστορεῖ. ἄλλως· ὅτι κατεψευσμένοι φαίνονται οὗτοι παγκρατιασταὶ ἐπὶ παιδιᾶι. ὁ δὲ Ἀσκώνδας καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος. εἰ μὴ ἄρα ὁ Ἐφουδίων ἐστὶ ὁ ἐν ταῖς Ὀλυμπιάσι φερόμενος Ἐφουδίων Μαινάλιος οὗ (464). a. 464

## ANHANG AUS VERSCHIEDENEN SCHRIFTEN.

**16 (—)** ATHEN. VII 2 p. 276 A—C: καὶ ἐν Ἀλεξανδρείαι .... Λαγυνοφόρια ἑορτή τις ἦγετο. περὶ ἧς ἱστορεῖ Ἐρατοσθένης ἐν τῶι ἐπιγραφομένωι συγγράμματι Ἀρσινόη. λέγει δὲ οὕτως· ἐτοῦ Πτολεμαίου κτίζοντος ἑορτῶν καὶ θυσιῶν παντοδαπῶν γένη καὶ μάλιστα περὶ τὸν Διόνυσον, ἠρώτησεν Ἀρσινόη τὸν φέροντα τοὺς θαλλούς,

---

τιθεσαν τοῖς ἀγωνιζομένοις ὃν τρόπον καὶ Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἱστοροῦσιν. ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν· τῶν δ' ἄλλων οἱ μὲν σύνεγγυς καθήμενοι καὶ περι⟨ου⟩σιάζοντες (?) πλέονος ἄξια ἐπετίθεσαν, οἱ δὲ ῥοῥώτερον ἄνθεσι καὶ φύλλοις ἔβαλλον περιερχομένους· ὡς καὶ νῦν κτλ.

1 δὲ καθάπερ MB 2 ηὐπόρει. διὸ δὴ σύνηθες ἐγένετο κύκλωι περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον AB (M zu v. 587) 3 δῶρα ⟨εἰσέφερον, οἱ δὲ κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν⟩ Schw δὲ om AB 4 [στεφάνους] ⟨πλέονος ἄξια⟩ Schw ἀπωτέρω Jac ἀνωτέρω ABM 5 ⟨ὡς⟩ Schw 6 ζώνας — κρηπῖδας Schw τοὺς ἐπ. ἀγωνιζομένους προβάλλουσι ζώνοις πετάλοις χιτωνίσκοις κρηπίδαισιν M τοῖς ἐπ. ἀγωνιζομένοις προβ. ζώνοις (ζώνας B) πέταλα χιτωνίσκους πετάσους κρηπίδας AB τοῖς ἐπ. ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ δὲ χιτῶνας Phot 7 περινοστοῦντας ⟨τοὺς ἀθλητὰς⟩ Schw περιπορευομένους τοὺς ἀθλητὰς Phot 8 δωρεῶν AB 9 πολλοὺς Bernhardy πολλὰ ABM 11 ⟨ἀντὶ⟩ Schw ἀπελείφθη Schw ἐπεδείχθη ABM 12 Ἐφωδίων edd —ιον Hes s. Bechtel Personennamen 1917, 535 12—13 Ἐφωτίωνα Schmidt ἐφώτιον Hes 13 Μαινάλιον περιοδονίκην edd μέναλον περιοδικόν Hes 15 περὶ ἑτέρου δίωνος V ὡς om RV ἱστορεῖται? κατεψευσμένοι Bernhardy κατεψυγμένοι (—νως V) Schol 22 ἑορτῶν Kaibel ἑορτὴν A 23 θαλλούς: φαλλούς Stiehle

τίνα νῦν ἡμέραν ἄγει καὶ τίς ἐστιν ἑορτή· τοῦ δ' εἰπόντος καλεῖται μὲν Λαγυνοφόρια, καὶ τὰ κομισθέντα αὐτοῖς δειπνοῦσι κατακλιθέντες ἐπὶ στιβάδων, καὶ ἐξ ἰδίας ἕκαστος λαγύνου παρ' αὐτῶν φέροντες πίνουσιν' — ὡς δ' οὗτος ἀπεχώρησεν, ἐμβλέψασα πρὸς ἡμᾶς 'συνοίκιά γ'' ἔφη 'ταῦτα ῥυπαρά· ἀνάγκη γὰρ τὴν σύνοδον γίνεσθαι παμμιγοῦς ὄχλου, θοίνην ἕωλον καὶ οὐδαμῶς εὐπρεπῆ παρατιθεμένων'. εἰ δὲ τὸ γένος τῆς ἑορτῆς ἤρεσκεν, οὐκ ἂν ἐκοπίασε δήπου τὰ αὐτὰ ταῦτα παρασκευάζουσα ἡ βασίλεια καθάπερ ἐν τοῖς Χουσίν· εὐωχοῦνται μὲν γὰρ κατ' ἰδίαν, παρέχει δὲ ταῦτα ὁ καλέσας ἐπὶ τὴν ἑστίασιν.»

17 (—) ATHEN. VII 14 p. 281 C: καὶ τῶν Στωικῶν δέ τινες συνεφήψαντο ταύτης τῆς ἡδονῆς. Ἐρατοσθένης γοῦν ὁ Κυρηναῖος, μαθητὴς γενόμενος Ἀρίστωνος τοῦ Χίου, ὃς ἦν εἷς τῶν ἀπὸ τῆς Στοᾶς, ἐν τῷ ἐπιγραφομένῳ Ἀρίστωνι παρεμφαίνει τὸν διδάσκαλον ὡς ὕστερον ὁρμήσαντα ἐπὶ τρυφήν, λέγων ὧδε· «ἤδη δέ ποτε καὶ τοῦτον πεφώρακα τὸν τῆς ἡδονῆς καὶ ἀρετῆς μεσότοιχον διορύττοντα καὶ ἀναφαινόμενον παρὰ τῇι ἡδονῇι.»

18 (—) — X 11 p. 418 A: ἐκ τούτων εἰκός ἐστι καὶ Ἐρατοσθένη ἐν ταῖς Ἐπιστολαῖς Πρεπέλαον φῆσαι ἐρωτηθέντα τί αὐτῶι δοκοῦσιν εἶναι Βοιωτοὶ εἰπεῖν· 'τί γὰρ ἄλλο ἢ τοιαῦτα ἐλάλουν, οἷα ἂν καὶ τὰ ἀγγεῖα φωνὴν λαβόντα, ὁπόσον ἕκαστος χωρεῖ'.

19 (48 Str) CIC. ad Attic. VI 1, 18: *quis enim non dixit Eŭpolin τὸν τῆς ἀρχαίας ab Alcibiade navigante in Siciliam deiectum esse in mare? redarguit Eratosthenes; adfert enim quas ille post id tempus fabulas docuerit. num idcirco Duris Samius* (76 F 73) . . ., *quod cum multis erravit, inridetur?*

20 (—) CLEM. AL. Strom. IV 56, 1 (CRAM. AO IV 251, 23): ἐπεὶ οὐ μόνον † Αἰσώπιοι καὶ Μακεδόνες καὶ Λάκωνες στρεβλούμενοι ἐκαρτέρουν, ὥς φησιν Ἐρατοσθένης ἐν τοῖς Περὶ ἀγαθῶν καὶ κακῶν, ἀλλὰ καὶ Ζήνων ὁ Ἐλεάτης ἀναγκαζόμενος κατειπεῖν τι τῶν ἀπορρήτων ἀντέσχεν πρὸς τὰς βασάνους οὐδὲν ἐξομολογούμενος, ὃς γε καὶ τελευτῶν τὴν γλῶσσαν ἐκτρώγων προσέπτυσε τῶι τυράννωι, ὃν οἱ μὲν Νέαρχον, οἱ δὲ Δημύλον προσαγορεύουσιν.

21 (—) DIOG. LAERT. VI 88: Ἐρατοσθένης δέ φησιν, ἐξ Ἱππαρχίας . . . . γενομένου παιδὸς αὐτῶι (sc. Κράτητι τῶι Θηβαίωι) ὄνομα Πασικλέους, ὅτ' ἐξ ἐφήβων ἐγένετο, ἀγαγεῖν αὐτὸν ἐπ' οἴκημα παιδίσκης καὶ φάναι τοῦτον αὐτῶι πατρῶιον εἶναι τὸν γάμον.

22 (—) — VIII 89: φησὶ δ' αὐτὸν (sc. Εὔδοξον) Ἐρατοσθένης ἐν τοῖς Πρὸς Βάτωνα καὶ κυνῶν διαλόγους συνθεῖναι.

23 (—) — IX 66: εὐσεβῶς δὲ καὶ τῆι ἀδελφῆι συνεβίω (sc. Πύρρων) μαίαι οὔσηι, καθά φησιν Ἐρατοσθένης ἐν τῶι Περὶ πλούτου καὶ πενίας, ὅτε καὶ αὐτὸς φέρων εἰς τὴν ἀγορὰν ἐπίπρασκεν ὀρνίθια, εἰ τύχοι, καὶ χοιρίδια, καὶ τὰ ἐπὶ τῆς οἰκίας ἐκάθαιρεν ἀδιαφόρως.

---

17—18 ἀναφαινόμενον Casaubonus ἀφάνης δὲ A 20 Πρεπέλαον Kaibel πρέπελλον A πέμπελον C 28 Αἰσώπιοι: Ἀζώτιοι (Herod. II 157) Schweighäuser Αἰγύπτιοι Cobet

24 (—) HARPOKR. s. ἀριοσταί· οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι, ὡς Ἐρατοσθένης ἐν τοῖς Περὶ ἀγαθῶν καὶ κακῶν φησι.

25 (119 Str) HESYCH. SUID. s. Ῥοίκου κριθοπομπία· Ἐρατοσθένης ἐν τῷι ἐννάτωι τῶν Ἀμαθουσίων βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψοντα πρὸς ἑαυτόν, τῆι πόλει Ἀθηναίων κριθὰς ἐκπέμψαι φησίν.

26 (—) a) VARRO-LACTANT. Inst. div. I 6, 9: *sextam* (sc. Sibyllam) *Samiam, de qua scribat Eratosthenes in antiquis annalibus Samiorum repperisse se scriptum.* b) SUID. s. Σίβυλλαι: ἕκτη Σαμία, ἡ κυρίως ὀνόματι καλουμένη Φοιτώ, περὶ ἧς ἔγραψεν Ἐρατοσθένης. SCHOL. PLAT. Phaidr. 244 B; IOA. LYD. De mens. IV 47 p. 103, 7 W.

27 (—) PLUT. Them. 27, 2: ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνωι τῶι χιλιάρχωι λέγων ..... (8) οὕτω μὲν ὁ Φανίας (III) φησίν. ὁ δ' Ἐρατοσθένης ἐν τοῖς Περὶ πλούτου προστόρησε διὰ γυναικὸς Ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε τῶι Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.

28 (16) — Alex. 3: ἡ δὲ Ὀλυμπιάς, ὡς Ἐρατοσθένης φησί, προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν στρατείαν καὶ φράσασα μόνωι τῶι περὶ τὴν τέκνωσιν ἀπόρρητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως.

29 (17) — Alex. 31: Ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῶι ποιησάμενος ἤλαυνεν ἐπὶ Δαρεῖον ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα. καί τις αὐτῶι φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας εἰς δύο μέρη διηρῆκέναι σφᾶς αὐτούς, ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν Ἀλέξανδρον, τὸν δὲ Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον· ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαΐζ, τέλος ἐκκεκαῦσθαι τῆι φιλονεικίαι καὶ μέχρι λίθων καὶ ξύλων, πολλοὺς καὶ δυσκατάπαυστους γεγονότας. ταῦτα ἀκούσας ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας, καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισε, τὸν δὲ Δαρεῖον Φιλώτας. ἐθεᾶτο δὲ ὁ στρατὸς ἐν οἰωνῶι τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος, καὶ δωρεὰν ἔλαβε δώδεκα κώμας καὶ στολὴν Περσικῆι χρῆσθαι. ταῦτα μὲν οὖν Ἐρατοσθένης ἱστόρηκε.

30 (19) — De Alex. fort. I 8 p. 329 F—330 A: πρὸς τοῦτον ἀποβλέπων τὸν κόσμον Ἀλέξανδρος οὐ τὴν ἐσθῆτα προσήκατο τὴν Μηδικήν, ἀλλὰ τὴν Περσικὴν πολλῶι τῆς Μηδικῆς εὐτελεστέραν οὖσαν. τὰ γὰρ ἔξαλλα καὶ τραγικὰ τοῦ βαρβαρικοῦ κόσμου παραιτησάμενος, οἷον τιάραν καὶ κάνδυν καὶ ἀναξυρίδας, ἐκ τοῦ Περσικοῦ καὶ Μακεδονικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει, καθάπερ Ἐρατοσθένης ἱστόρηκεν, ὡς μὲν φιλόσοφος τοῖς ἀδιαφόροις χρώμενος, ὡς δ' ἡγεμὼν κοινὸς καὶ βασιλεὺς φιλάνθρωπος τῆι περὶ τὴν ἐσθῆτα τιμῆι τὴν τῶν κεκρατημένων ἀνακτώμενος εὔνοιαν, ἵνα βεβαίως παραμένωσιν ἀγαπῶντες ὡς ἄρχοντας Μακεδόνας, μὴ μισοῦντες ὡς πολεμίους.

31 (15) — Demosth. 30, 1 (VIT. X OR. 847 B): τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησιν αὐτόν .... Πάππος δέ τις, οὐ τὴν ἱστορίαν Ἕρμιππος (IV) ἀνείληφε, φησί ... (2) θαυμαζομένης .. τῆς περὶ τὸν θάνατον ὀξύτητος διηγήσασθαι τοὺς παρὰ ταῖς θύραις Θρᾷικας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα προσθοῖτο

---

4 ῥόκου Suid 5 τῶν Ἀμαθ. om Suid 6 εἰς ἑαυτόν Suid εἰς τὴν ἑαυτοῦ? κριθὴν Suid 10 Φοιτώ Sib-Theos. (Tibull. II 5, 68) Φυτώ Suid Schol Lyd περὶ — Ἑρ. fälschlich zu τετάρτη Ἰταλική Schol. Plat.

τῶι στόματι καὶ καταπίοι τὸ φάρμακον. .... (3) Ἐρατοσθένης δέ φησι καὶ αὐτὸς ἐν κρίκωι κοίλωι τὸ φάρμακον φυλάττειν, τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῶι φόρημα περιβραχιόνιον. es folgt Demochares 75 F 3.

32 (14) PLUT. Demosth. 9, 3: ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει καὶ Δημητρίωι τῶι Φαληρεῖ (228 F 16) καὶ τοῖς κωμικοῖς. ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον, ὁ δὲ Φαληρεὺς .....

33 (113 Str.) — An seni 3 p. 785 B: Πῶλον δὲ τὸν τραγωιδὸν Ἐρατοσθένης καὶ Φιλόχορος (III) ἱστοροῦσιν ἑβδομήκοντ' ἔτη γεγενημένον ὀκτὼ τραγωιδίας ἐν τέτταρσιν ἡμέραις διαγωνίσασθαι μικρὸν ἔμπροσθεν τῆς τελευτῆς.

34 (124 Str.) QUINTILIAN. Inst. or. XI 2, 14: *est autem magna inter auctores dissensio, Glaucone Carystio an Leocrati an Agatharcho an Scopae scriptum sit id carmen, et Pharsali fuerit haec domus, ut ipse quodam loco significare Simonides videtur utique Apollodorus* (244 F 67) *et Eratosthenes et Euphorion* (F 55 Scheidw) *et Larissaeus Eurypylus* (VI) *tradiderunt, an Cranone, ut Apollas* (III) *Callimachus*⟨*que*⟩ (F 71 Schn), *quem secutus Cicero* (De or. II 352) *hanc famam latius fudit.*

35 (—) SCHOL. APOLL. RHOD. I 482: Ἀλωιάδας] τὴν περὶ τούτων ἱστορίαν καὶ Ὅμηρος οἶδεν (Il. *E* 385; Od. *λ* 305). Ἐρατοσθένης δὲ γηγενεῖς αὐτούς φησι, διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ ⟨Ἰφιμεδείας⟩ τῆς Ἀλωέως γυναικὸς μυθευθῆναι ὡς Ἀλωέως εἶεν υἱοί. Ἡσίοδος (F 9 R³) δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας ἔφη· καὶ Ἄλον πόλιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι, ἧς Ὅμηρος (Il. *B* 682) μνημονεύει 'οἵ τ' Ἄλον εἶχον'.

36 (12 Hi) — II 43: λέγεται δὲ καὶ θηρίον ἶουλος πολύπουν, καὶ εἶδος ὠιδῆς, ὥς φησιν Ἐρατοσθένης.

37 (80 Str) a) — IV 280: κύρβεις λέγουσιν, ὡς Ἐρατοσθένης φησί, καὶ τοὺς ἄξονας καλουμένους Ἀθήνησιν, ἐν οἷς οἱ νόμοι περιέχονται. οἱ δὲ ἀκριβέστεροι ἄξονας μὲν τετραγώνους λίθους, κύρβεις δὲ τριγώνους· ἐν ἀμφοτέροις δὲ νόμοι ἦσαν γεγραμμένοι Ἀθήνησι. b) EPIMERISM. HOM. Il. *K* (Cram. AO I 221, 8; Et. M. p. 547, 50): Ἀριστοφάνης δὲ ὁμοίως Ἐρατοσθένης τριγώνους αὐτάς φησιν εἶναι, οὐ τετραγώνους. αὐτὰς εἶναι τοῖς ἄξοσι, πλὴν ὅτι οἱ μὲν ἄξονες νόμους, αἱ δὲ κύρβεις θυσίας ἔχουσιν. ἀμφοτέρων δὲ τὸ κατασκεύασμα τοιοῦτο· πλινθίον τι μέγα ἀνδρόμηκες ἠρμοσμένα ἔχον τετράγωνα ξύλα τὰς πλευρὰς πλατείας ἔχοντα, καὶ γραμμάτων πλήρεις ἑκατέρωθεν δὲ κνώδακας, ὥστε κινεῖσθαι καὶ περιστρέφεσθαι ὑπὸ τῶν ἀναγινωσκόντων. c) HARPOKR. s. ἄξονι· οἱ Σόλωνος νόμοι ἐν ξυλίνοις ἦσαν ἄξοσι γεγραμμένοι .... ἦσαν δέ, ὥς φησι Πολέμων ἐν τοῖς Πρὸς Ἐρατοσθένην (IV), τετράγωνοι τὸ σχῆμα, διασώζονται δὲ ἐν τῶι Πρυτανείωι, γεγραμμένοι κατὰ πάντα τὰ μέρη. ποιοῦσι δὲ ἐνίοτε φαντασίαν τρίγωνον, ὅταν ἐπὶ τὸ στενὸν κλιθῶσι τῆς γωνίας. s. Apollod. 244 F 107.

38 (59 Str) SCHOL. ARISTOPH. Vögel 556: Ἱερὸν πόλεμον] ἐν ἐνίοις τῶν ὑπομνημάτων ταῦτα λέγεται· ἱερὸν πόλεμον λέγει, καθὸ πρὸς θεοὺς ἔσοιτο. ἅμα δὲ τοῦ ἱεροῦ πολέμου μνημονεύει τοῦ γενομένου Ἀθηναίοις πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. ἐσχεδίασται δὲ ὑπ' αὐτῶν. οὐ γὰρ πρὸς Φωκέας ὑπὲρ τούτου ἐπο-

---

3 περὶ τὸν βραχίονα N 15 *Eurypylus*: RE VI 1351, 16 16 *Callimachusque* Schneidewin *Callimachius* Preller 20 ⟨Ἰφιμεδείας⟩ p 26 φησί, καὶ om L 27—29 οἱ δὲ — Ἀθήνησι (andere fassung) om L 30—31 ὁμοίας εἶναι Et 31 θυσίας: οὐσίας Et 33—34 οὐκατέρωθεν Ep

λέμησαν, ἀλλ' ὑπὲρ Φωκέων διὰ τὸ πρὸς Λακεδαιμονίους ἔχθος. γεγόνασι δὲ δύο πόλεμοι ἱεροί. πρότερος μὲν Λακεδαιμονίοις πρὸς Φωκεῖς ὑπὲρ Δελφῶν· καὶ κρατήσαντες τοῦ ἱεροῦ Λακεδαιμόνιοι τὴν προμαντείαν παρὰ Δελφῶν ἔλαβον. ὕστερον δὲ τρίτοι ἔτει τοῦ πρώτου πολέμου Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων· καὶ τὸ ἱερὸν ἀπέδωκαν Φωκεῦσι, καθάπερ καὶ Φιλόχορος ἐν τῇ $\overline{\text{ὃ}}$ λέγει (III). καλεῖται δὲ ἱερός, ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο. ἱστορεῖ περὶ αὐτοῦ καὶ Θουκυδίδης (I 112) καὶ Ἐρατοσθένης ἐν τῷ $\overline{\text{θ}}$ καὶ Θεόπομπος ἐν τῷι $\overline{\text{κε}}$ (115 F 156).

39 (70 Str) Schol. Aristoph. Friede 48: τὴν σπατίλην ἐσθίει] .... πῶς δὲ ἤσθιεν ὁ Κλέων ἢδη τεθνηκώς; Ἐρατοσθένης γὰρ ἐπὶ Θρᾴκης τὸν θάνατον Βρασίδου καὶ Κλέωνος ὀκτὼ μησὶ προγεγονέναι φησί.

40 (9) — Wesp. 502: δοκεῖ δὲ ἡ τυραννὶς (sc. der Peisistratiden) καταστῆναι, ὡς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη $\overline{\text{ν}}$, τοῦ ἀκριβοῦς διαμαρτάνων, Ἀριστοτέλους (Ἀθπ. 19, 6) μὲν τεσσαράκοντα καὶ † ἓν φήσαντος, Ἡροδότου (V 65) δὲ ἕξ καὶ τριάκοντα.

41 (—) Schol. BT Hom. Il. A 594: Σίντιες ἄνδρες] Φιλόχορός φησι (III) Πελασγοὺς αὐτοὺς ὄντας οὕτω προσαγορευθῆναι, ἐπεὶ πλεύσαντες εἰς Βραυρῶνα κανηφόρους παρθένους ἥρπασαν· σίνεσθαι δὲ τὸ βλάπτειν λέγουσιν. Ἐρατοσθένης δέ, ἐπεὶ γόητες ὄντες εὗρον ὀνητήρια φάρμακα. ὁ δὲ Πορφύριος (= 4 F 71), ἐπεὶ πρῶτοι τὰ πολεμιστήρια ἐσημιούργησαν ὅπλα, ἃ πρὸς βλάβην ἀνθρώπων συντελεῖ· ἢ ἐπεὶ πρῶτοι ληιστήρια ἐξεῦρον.

42 (—) Schol. Hom. Od. γ 188: Νεοπτόλεμος κατὰ κέλευσιν Θέτιδος ἐμπρήσας τὰ ἴδια σκάφη πεζὸς ἄνεισι. χρησθεὶς δὲ ὑπὸ Ἕλένου, ἔνθα ἂν ἴδοι οἶκον ἐκ σιδηρῶν θεμελίων, τοίχων δὲ ξυλίνων καὶ ὀρόφου ἐρεοῦ, ἐκεῖ μένειν, ἐλθὼν εἰς τὴν Παμβῶτιν λίμνην τῆς Ἠπείρου καὶ τοὺς ἐγχωρίους εὑρὼν δόρατα πήξαντας καὶ χλαίνας ἄνωθεν κατα⟨πετάσαντας καὶ οὕτω⟩ σκηνοῦντας συμβάλλει τὸν χρησμόν. καὶ πορθήσας τὴν Μολοσσίαν ἐξ Ἀνδρομάχης ἴσχει Μολοσσόν, ἀφ' οὗ καὶ τὸ γένος ἐστὶ τῶν ἐν Μολοσσίαι βασιλέων, ὡς ἱστορεῖ Ἐρατοσθένης.

43 (—) Schol. Lykophr. 590: ἀντὶ τῶν Βουραίων] περὶ δὲ ταύτας τὰς πόλεις καὶ πρότερον συνέστη νέφος πολὺ καὶ γέγονεν ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμός, καὶ ὕστερον ὑπὸ σεισμοῦ κατεποντίσθησαν, ὡς Ἐρατοσθένης φησί.

44 (136 Str) Schol. Pind. O IX 1 k: Ἐρατοσθένης δέ φησι μὴ ἐπινίκιον εἶναι τὸ 'Ἀρχιλόχου μέλος', ἀλλ' ὕμνον εἰς Ἡρακλέα (F 120 Diehl)· τριπλόον δὲ οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν συγκεῖσθαι, ἀλλὰ διὰ τὸ τρὶς ἐφυμνιάζεσθαι τὸ καλλίνικε. περὶ δὲ τοῦ τήνελλα Ἐρατοσθένης φησὶν ὅτι ὅτε ὁ αὐλητὴς ἢ ὁ κιθαριστὴς μὴ παρῇν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν ἔλεγεν ἔξω τοῦ μέλους, ὁ δὲ τῶν κωμαστῶν χορὸς ἐπέβαλλε τὸ καλλίνικε· καὶ οὕτω συνειρόμενον γέγονε τὸ τήνελλα καλλίνικε. ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστίν· 'ὦ καλλίνικε χαῖρε ἄναξ Ἡράκλεες'.

45 (—) Serv. Dan. Verg. A I 273: *Eratosthenes Ascanii, Aeneae filii, ⟨filium⟩ Romulum parentem urbis* (sc. Romae) *refert.*

46 (—) Steph. Byz. s. Αἰθόπιον· χωρίον Λυδίας (?) παρὰ Ὕλλωι, πλησίον

---

12 Ἀριστοτέλους Bentley Ἀριστοφάνους Schol 13 ἐννέα Wilamowitz (ἑνὸς δεῖ πεντήκοντα Arist) πενηκοντα (N∼M) καὶ ἓν? Jac (s. zu 239 A 40) 21—22 σιδηρῶν M Eust σιδηρ(ε)ίων HEQ 22 ἐρεοῦ Eust ἐξ ἐρεοῦ MT σερεοῦ EQ (HR?) 23 Παμβῶτιν Eust παρεβῶτιν E παμβῶ τὴν HMQ (RT?) 24 erg. Eust 38 ⟨filium⟩ Thilo 39 Αἰθιόπιον Harp; Suid. s. v.; Συναγ. Λεξ. χρησ. 355, 32 Bk Αἰθώπιον Et. Paris. Cram. AP IV 100, 24 Λυδίας Steph Et ἐν Εὐβοίαι (Εὐβοίας) Harp; Suid; Συναγ. περὶ V ⟨ἡ⟩ πλησίον Meineke ⟨οἱ δὲ⟩ πλ. Bergk

τοῦ Εὐρίπου, ἀφ' οὗ ἡ Ἄρτεμις Αἰθιοπία. οἱ δὲ ὅτι παρὰ τοῖς Αἰθίοψι διάγουσαν Ἀπόλλων ἤγαγεν αὐτήν· οἱ δὲ τὴν αὐτὴν τῇ Σελήνῃ, παρὰ τὸ αἴθειν, ὡς Καλλίμαχος (F 417 Schn)· οἱ δὲ ὅτι ἡ αὐτή ἐστι τῇ Ἑκάτῃ, ἥτις ἀεὶ δᾳδας κατέχει, ὡς Ἐρατοσθένης.

47 (—) Stobae. Flor. IV 50 b 78 p. 1047, 11 H: Ἐρατοσθένους Κυρηναικοῦ· Ἐρατοσθένης τῆς ἡλικίας ἔφη τὸ μὲν ἀκμάζον ἔαρ εἶναι, τὸ δὲ μετὰ τὴν ἀκμὴν θέρος καὶ μετόπωρον, χειμῶνα δὲ τὸ γῆρας.

UNECHTES.

48 Synkell. p. 171; 180; 190; 195; 204; 233; 278: s. 244 F 85.

---

## 242. ERETES (?).

F

1 (IV 317) Censorin. De d. n. 21, 2: *hinc* (sc. ab excidio Troiae) *ad olympiadem primam paulo plus CCCC, quos solos, quamvis mythici temporis postremos, tamen quia a memoria scriptorum proximos quidam certius definire voluerunt.* (3) *et quidem Sosibius* (III) *scripsit esse CCCXCV, Eratosthenes* (241 F 1) *autem septem et quadringentos, Timaeus* (III) *CCCCXVII* (?), *Eretes DXIIII, et praeterea multi diverse.* 1291/89

ZWEIFELHAFTES.

2 Censorin. De d. n. 18, 11: *est praeterea annus, quem Aristoteles maximum potius quam magnum appellat, quem solis et lunae vagarumque quinque stellarum orbes conficiunt, cum ad idem signum, ubi quondam simul fuerunt, una referuntur. cuius anni hiemps summa est cataclysmos, ... aestas autem ecpyrosis .... hunc Aristarchus putavit annorum vertentium IICCCCLXXXIIII, Aretes Dyrrachinus VDLII, Heraclitus et Linus XDCCC, Dion XDCCCLXXXIIII, Orpheus* (F 250 K) *CXX, Cassandrus tricies sexies centum milium.*

---

## —. PHILLIS VON DELOS.

*ΠΕΡΙ ΧΡΟΝΩΝ* (?).

s. IV.

---

## 243. EUTHYMENES.

F

*ΧΡΟΝΙΚΑ.*

1 (IV 408) Clem. Alex. Strom. I 117, 4: *Εὐθυμένης δὲ ἐν τοῖς Χρο-*

---

1 Ἄρτεμις Αἰθιόπη Et vgl. Hes. s. *Αἰθιοπία· ἡ Σαμοθράικη· ἄλλοι τὴν Ἄρτεμιν.* ders. s. *Αἰθιοπίης παῖδα· τὸν Διόνυσον Ἀναχρέων.* AP VI 269 (Sappho 217 Diehl) *Αἰθοπίαι με κόραι Λατοῦς* 2 *σελήνῃ* P *Ση*.. R *Ση* V 14 *emisthenes* Cens 15 *(i)timeus* Cens *CCCCXVII*: Jacoby Marm. Par. 147; Laqueur Herm. XLII 515, 1 *Aretes* Carrio (F 2) *Crates* Jahn 22 *aretis* Cens

νικοῖς συναχμάσαντα Ἡσιόδωι ἐπὶ Ἀκάστου ἐν Χίωι γενέσθαι (sc. φησὶ τὸν Ὅμηρον) περὶ τὸ διακοσιοστὸν ἔτος ὕστερον τῆς Ἰλίου ἁλώσεως. ταύτης δέ ἐστι τῆς δόξης καὶ Ἀρχέμαχος ἐν Εὐβοικῶν τρίτωι (III).

---

## 244. APOLLODOROS VON ATHEN.

T

1 SUID. s. Ἀπολλόδωρος· Ἀσκληπιάδου, γραμματικός, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος. ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων.

2 [SKYMN.] Orb. descr. 16:

ἔστι δ' ἃ γράφω τοιαῦτα· τοῖς ἐν Περγάμωι
βασιλεῦσιν, ὧν ἡ δόξα καὶ τεθνηκότων
παρὰ πᾶσιν ἡμῖν ζῶσα διὰ παντὸς μένει,
τῶν Ἀττικῶν τις γνησίων τε φιλολόγων,
γεγονὼς ἀκουστὴς Διογένους τοῦ Στωικοῦ,
συνεσχολακὼς δὲ πολὺν Ἀριστάρχωι χρόνον,
συνετάξατ' ἀπὸ τῆς Τρωικῆς ἁλώσεως
χρονογραφίαν στοιχοῦσαν ἄχρι τοῦ νῦν βίου.
ἔτη δὲ τετταράκοντα πρὸς τοῖς χιλίοις
ὡρισμένως ἐξέθετο, καταριθμούμενος
πόλεων ἁλώσεις, ἐκτοπισμοὺς στρατοπέδων,
μεταναστάσεις ἐθνῶν, στρατείας βαρβάρων,
ἐφόδους περαιώσεις τε ναυτικῶν στόλων,
θέσεις ἀγώνων, συμμαχίας, σπονδάς, μάχας,
πράξεις βασιλέων, ἐπιφανῶν ἀνδρῶν βίους,
φυγάς, στρατείας, καταλύσεις τυραννίδων —
πάντων ἐπιτομὴν τῶν χύδην εἰρημένων.
μέτρωι δὲ ταύτην ἐκτιθέναι προείλετο,
τῶι κωμικῶι δέ, τῆς σαφηνείας χάριν,
εὐμνημόνευτον ἰσομέτρην οὕτως ὁρῶν.
τὸ δ' ὅμοιον ἔλαβεν εἰκάσας ἐκ τοῦ βίου·
ὥσπερ γὰρ εἴ τις ἀναλαβὼν θέλοι φέρειν
ξύλων λελυμένων πλῆθος, οὐκ ἂν εὐχερῶς
τούτων κρατήσαι, δεδεμένων δὲ ῥαιδίως,
οὕτω λελυμένην λέξιν ἀναλαβεῖν ταχύ

---

1 *Χίωι*: *Χαλκίδι*? 7 μαθητής A 16 συνετάξατ' Letronne συνέταξε τὰ P 20 ἐκπορισμούς? Mei(neke) 25 στρατείας: ἐπανόδους Heyne στρατηγῶν Mei τερατείας Mekler

*οὐκ ἔστι, τῶι μέτρωι δὲ περιειλημμένην*
*ἔστιν κατασχεῖν εὐσκοπῶς καὶ πιστικῶς·*
*ἔχει γὰρ ἐπιτρέχουσαν ἐν ἑαυτῆι χάριν,*
*ὅταν ἱστορία καὶ λέξις ἔμμετρος πλεκῆι.*
5 45 *κεῖνος μὲν οὖν κεφάλαια συναθροίσας χρόνων*
*εἰς βασιλέως ἀπέθετο Φιλαδέλφου* (a. 159—138) *χάριν·*
*ἃ καὶ διὰ πάσης γέγονε τῆς οἰκουμένης,*
*ἀθάνατον ἀπονέμοντα δόξαν Ἀττάλωι*
*τῆς πραγματείας ἐπιγραφὴν εἰληφότι.*

10 **3** IG II 953: *Ἐπὶ Λυσιάδου ἄρχοντος* (147/6?) *οἵδε ἱεροποίησαν· Ῥωμαῖα* (2 namen) *Πτολεμαῖα* (über 60 namen; darunter) (21) *Παναίτιος Ῥόδιος* ..... (33) *Λεύκιος* [*Ῥωμαῖος*] (34) *Ἀντίπατρος Πειραιεύς* .... (36) *Σπόριος Ῥωμαῖος* .... (59) *Ἀπολλόδωρος Πειραιεύς* (60) *Ἀσκληπιάδης Πειραιεύς* ....

**4** P. OX. X 1241 col. II 11: (die alexandrinischen bibliothekare)
15 *μεθ' ὃν Ἀρίσταρχος Ἀριστάρχου Ἀλεξανδρεύς, ἄνωθεν δὲ Σαμοθράξ· οὗτος καὶ διδάσκαλος ἐγένετο τῶν τοῦ †Φιλοπάτορος τέκνων· μεθ' ὃν Κύδας ἐκ τῶν λογχοφόρων. ἐπὶ δὲ τῶι ἑνάτωι βασιλεῖ* (Euergetes II) *ἤκμασαν Ἀμμώ[νι]ος καὶ Ζηνό..... καὶ Διο[κλ]ῆς καὶ Ἀπολλόδωρος γραμματικοί.*

**5** PHILODEM. Ind. Stoic. c. 69, 3: *ὁ δὲ Πα[ναί]τιος καὶ τὸν γραμ-*
20 *μ[ατικὸν Ἀ]πολλόδωρον ἀπ[εδέχετο].*

**6** a) DIOD. XIII 103, 5: *Ἀπολλόδωρος δὲ ὁ τὴν χρονικὴν σύνταξιν πραγματευσάμενος.* b) — I 5, 1: *τῶν δὲ χρόνων .... τοὺς μὲν πρὸ τῶν Τρωικῶν οὐ διοριζόμεθα βεβαίως διὰ τὸ μηδὲν παράπηγμα παρειληφέναι περὶ τούτων πιστευόμενον, ἀπὸ δὲ τῶν Τρωικῶν ἀκολούθως Ἀπολλο-*
25 *δώρωι τῶι Ἀθηναίωι ....*

**7** SOLIN. Coll. 1, 27: *Nepoti et Lutatio opiniones Eratosthenis et Apollodori comprobantibus.*

**8** CIC. ad Att. XII 23, 2 (a. 45): *quibus consulibus Carneades et ea legatio Romam venerit, scriptum est in tuo annali. haec nunc quaero,*
30 *quae causa fuerit .... praeterea qui eo tempore nobilis Epicureus fuerit Athenisque praefuerit hortis; qui etiam Athenis πολιτικοὶ fuerint inlustres. quae etiam ex Apollodori puto posse inveniri.*

**9** PHILODEM. *π. εὐσ.* 3 a p. 64 G: [*Ἀπολλό*]*δωρος ὁ τὰ π*[*ερὶ θεῶν*] *εἴκοσιν καὶ τ*[*έτταρ*]*α συντάξας καὶ τὰ* [*πά*]*ντα σχεδὸν εἰς* [*τα*]*ῦτ'*
35 *ἀναλώσας ...* (F 104).

---

5 κεῖνος Mei ἐκεῖνος P 16 Φιλοπάτορος: 'error either for Ἐπιφανοῦς or Φιλομήτορος' Grenfell-Hunt 17 'τοῦ ἑνάτου βασιλέως is expected' Gr-H 18 Ζηνό[δοτος] o. Ζηνό[δωρος] Gr-H Διοκλῆς: Διογένης unmöglich (Gr-H) 32 v. l. *quae te etiam* *inveniri* Manutius —re Cic

10 HERAKL. Alleg. Hom. 7 (F 98): *ἠκρίβωται δ' ἡ περὶ τούτων ἀπόδειξις καὶ Ἀπολλοδώρωι, περὶ πᾶσαν ἱστορίαν ἀνδρὶ δεινῶι.*

11 PHOT. Bibl. 161 p. 103 a 18: *ἀνεγνώσθησαν ἐκλογαὶ διάφοροι ἐν βιβλίοις $\overline{\iota\beta}$ Σωπάτρου σοφιστοῦ. ..... τὸ μὲν οὖν πρῶτον περὶ τῶν παρ' Ἕλλησι μυθολογουμένων θεῶν διαλαμβάνει, ὃ συνείλεκται ἐκ τῶν Ἀπολλοδώρου περὶ Θεῶν $\overline{\gamma}$ λόγου. Ἀθηναῖος δὲ ὁ Ἀπολλόδωρος καὶ γραμματικὸς τὴν τέχνην. οὐκ ἐκ τοῦ τρίτου δὲ μόνον ἡ διαλογὴ αὐτῶι πεποίηται, ἀλλὰ δὴ καὶ ἐκ $\overline{\delta}$ καὶ $\overline{\varepsilon}$ καὶ $\overline{\vartheta}$, τοῦ τε $\overline{\alpha}$ πάλιν καὶ $\overline{\iota\beta}$ καὶ $\overline{\iota\varepsilon}$ τε καὶ $\overline{\iota\varsigma}$ καὶ μέχρι τοῦ $\overline{\kappa\delta}$. ἐν ἧι συλλογῆι τά τε μυθικῶς περὶ θεῶν διαπεπλασμένα, καὶ εἴ τι καθ' ἱστορίαν εἴρηται, περιείληφε· περί τε τῶν παρ' αὐτοῖς ἡρώων καὶ Διοσκούρων, καὶ περὶ τῶν ἐν Ἅιδου, καὶ ὅσα παραπλήσια.*

12 EUST. Hom. Il. *B* 494 ff. p. 263, 38: *λέγει δὲ* (sc. *ὁ Πορφύριος*) *καὶ ὅτι πρὸς ἄλλοις καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐπραγματεύσατο τὰ περὶ τοῦ Καταλόγου ἄριστα ἐν δώδεκα βιβλίοις, Μηνογένης* (V) *δὲ ἐν τρισὶ καὶ εἴκοσι.*

13 STRAB. VII 3, 6: *τούτοις* (F 157) *δὲ μικρά τινα προσθεὶς τοιαῦτα παύεται, τὰ πλεῖστα μετενέγκας παρὰ τοῦ Ἐρατοσθένους.*

14 — VIII 3, 6: *ταῦτα* (F 181) *δ' οὐχ ὁμολογεῖ τοῖς ὑπὸ τοῦ Σκηψίου Δημητρίου λεγομένοις, παρ' οὗ μεταφέρει τὰ πλεῖστα.* vgl. EBD. I 2, 38 (F 157 d).

15 — IX 2, 42 (F 169): *εὖ γὰρ τὴν τοιαύτην ὕλην ὑποβεβλήκασιν ἡμῖν οἱ τὰ Περὶ τῶν Νεῶν συγγράψαντες, οἷς ἀκολουθοῦμεν, ὅταν οἰκεῖα λέγωσι πρὸς τὴν ἡμετέραν ὑπόθεσιν.*

16 STRAB. XIV 5, 22 (F 170): *ὁ δὲ καὶ χωρογραφίαν ἐξέδωκεν ἐν κωμικῶι μέτρωι, Γῆς Περίοδον ἐπιγράψας* (F 313—330).

17 ATHEN. XIII 21 p. 567 A: *βιβλία Ἀριστοφάνους καὶ Ἀπολλοδώρου καὶ Ἀμμωνίου καὶ Ἀντιφάνους, ἔτι δὲ Γοργίου τοῦ Ἀθηναίου, πάντων τούτων συγγεγραφότων Περὶ τῶν Ἀθήνησι ἑταιρίδων* (F 208—212).

18 PORPHYR. De vit. Plot. 24: *πρῶτον μὲν τὰ βιβλία οὐ κατὰ χρόνους ἐᾶσαι φύρδην ἐκδεδομένα ἐδικαίωσα, μιμησάμενος δ' Ἀπολλόδωρον τὸν Ἀθηναῖον καὶ Ἀνδρόνικον τὸν Περιπατητικόν, ὧν ὁ μὲν Ἐπίχαρμον τὸν κωμωιδιογράφον εἰς δέκα τόμους φέρων συνήγαγεν* (F 213), *ὁ δὲ τὰ Ἀριστοτέλους καὶ Θεοφράστου εἰς πραγματείας διεῖλε, τὰς οἰκείας ὑποθέσεις εἰς ταὐτὸν συναγαγών .....*

19 a) PLIN. NH VII 123: *variarum artium scientia innumerabiles enituere, quos tamen attingi par sit florem hominum libantibus ....*

---

8 τοῦ $\bar{\alpha}$ A $\overline{\iota\beta}$ $\overline{\iota\varepsilon}$ A $\overline{\iota\varsigma}$ μέχρι ς 9 θεῶν ς αὐτῶν A 16 τινα ς τι ABC

*grammatica Apollodorus, cui Amphictyones Graeciae honorem habuere* .... b) GELL. XVII 4, 4: *Apollodori scriptoris celebratissimi* (F 43). c) STEPH. BYZ. s. Ὡρικός: *Ἀπολλόδωρος ὁ θαυμασιώτατος* (F 300). d) JG XIV 152: *Ἀπολλόδωρος Ἀσκληπιάδου γραμματικὸς Ἀθηναῖος.*

20 PLIN. NH I 4; 6: *ex auctoribus ... externis ... Callimacho, Artemidoro, Apollodoro, Agathocle* ....

## F

## *ΧΡΟΝΙΚΩΝ Α—Δ.*

(T 6—8; F 286? 290; 300?? 331—351)

### Α

(F 27—29; 61—68; 297?; 331—342?)

**1** (I 436, 48 M; 29 J) STEPH. BYZ. s. *Μυοῦς· πόλις Ἰωνίας, ὡς* a. 1044/3? *Φίλων* (III) *καὶ Ἀπολλόδωρος ἐν α Χρονικῶν.*

**2** (49; 30 J) — s. *Χήσιον· Ἰωνίας πολίχνιον, ὡς Ἀπολλόδωρος ἐν* a. 1044/3 *Χρονικῶν α. ὁ πολίτης Χησιεύς .... Ὧρος δὲ ἀρσενικῶς αὐτήν φησι, καὶ οὐδὲ πόλιν ἀλλὰ τόπον.*

**3** (45; 31 J) — s. *Δύμη· ... καὶ Ἀπολλόδωρος ἐν Χρονικῶν α·* a. 668

«*πόλεμος ἐνέστη τοῖς τε Δυμαίοις δθεν* * *»

**4** (47; 33 J) — s. *Ἕλωρος· πόλις Σικελίας ἀπὸ Ἕλώρου ποταμοῦ* a. 493/2 *τοῦ κατὰ Πάχυνον, ὃς λέγεται*

«*τιθασοὺς ἰχθῦς ἔχειν, | ἀπὸ χειρὸς ἐσθίοντας*»,

*ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν α.*

### Β

(F 30—39? 69—76; 295—296? 343—348)

**5** (50; 60 J) STEPH. BYZ. s. *Μεναί* (?)· *πόλις Σικελίας ἐγγὺς Παλι-* a. 459/8 o. 453/2 *κῶν. Ἀπολλόδωρος ἐν β Χρονικῶν.*

**6** (51; 61 J) — s. *Νόαι· ... πόλις Σικελίας. Ἀπολλόδωρος β* a. 451/0 *Χρονικῶν.*

**7** (52; 44 J) a) — s. *Παρπάρων· χωρίον ἐν Ἀσίαι Αἰολικόν, ἔνθα* a. 432/1 *ἱστοροῦσι † Θουκυδίδην ἀποθανεῖν, ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν β.* b) GELL. XV 23: *Hellanicus Herodotus Thucydides, historiae scriptores, in isdem fere temporibus laude ingenti floruerunt et non nimis longe distantibus fuerunt aetatibus.* (2) *nam Hellanicus initio belli Peloponnesiaci fuisse quinque et sexa-*

---

19 ἑλώρου R 21 τιθασσοὺς RP 25 *Μεναί* Cluver μενδίω' R μενδιώ V *μενδιαί* P 25—26 *παλίκων* RVP 27 ὁ Ἀπ. P 29 παρπαρών R πάρ-παρων V *χωρίον* Berkel χώρα RVP *αἰολικῶ* V —κή P 30 Θουκυδίδην: 'immo *Ἑλλάνικον*' Meineke s. 4 T 1

*ginta annos natus videtur* (432/1 + 65 = 496/5), *Herodotus tres et quinquaginta* (432/1 + 53 = 484/3), *Thucydides quadraginta* (432/1 + 40 = 471/0). (3) *scriptum est hoc in libro undecimo Pamphilae* (IV).

8 (53; 62 J) STEPH. BYZ. s. Ὤκκαρον· φρούριον Σικελίας, ὡς a. 415
Φίλιστος Σικελικῶν α̅ (III). Ἀπολλόδωρος δ' ἐν β̅ χρονικῶν πόλιν λέγει αὐτὴν τὰ Ὤκαρα.

9 (55; 64 J) — s. Χαιρώνεια· .... Ἀπολλόδωρος ἐν Χρονικῶν β̅· a. 338
«κατὰ τὴν μάχην, ὥς φασι, τὴν Χαιρωνικήν.»
— s. Φαβία: s. F 25.

## Γ̅

(F 40—50; 77—79; 286? 292? 299? 349—351)

10 (56; 86 J) STEPH. BYZ. s. Ἀμαξιτός· πολίχνιον τῆς Τρωάδος nach 316
... τὸ ἐθνικὸν Ἀμαξιτεύς. Ἀπολλόδωρος δὲ ἐν Χρονικῶν γ̅ Ἀμαξιτηνούς φησιν.

11 (57; 88 J) — s. Λίγγος· φρούριον Κασσανδρέων. Ἀπολλόδωρος a. 279/67
ἐν Χρονικῶν γ̅, ὃς καὶ τὸ ἐθνικὸν Λιγγαῖος. ἔστι δὲ καὶ Λίγγιος καὶ Λίγγιος κόλπος.

12 (58 a; 92 J) — s. Μέσμα· πόλις Ἰταλίας. Ἀπολλόδωρος ἐν γ̅ a. 260?
Χρονικῶν.

13 (58 a; 89 J) — s. Ζάκανθα· πόλις Ἰβηρίας, ἣν «καθεῖλεν a. 219/8
Ἀννίβας», ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν γ̅.

14 (98; 66 J) DIOG. LAERT. IV 23: τελευτῶν δὲ ὁ Κράτης ⟨κατὰ a. 268/4
τὸ * ἔτος τῆς η̅ καὶ κ̅ καὶ ϙ̅ ὀλυμπιάδος⟩, καθά φησιν Ἀπολλόδωρος ἐν τρίτωι τῶν Χρονικῶν, ἀπέλιπε βιβλία τὰ μὲν φιλοσοφούμενα, τὰ δὲ περὶ κωμωιδίας, τὰ δὲ λόγους δημηγορικοὺς καὶ πρεσβευτικούς. ἀλλὰ καὶ μαθητὰς ἐλλογίμους, ὧν Ἀρκεσίλαον .... καὶ Βίωνα τὸν Βορυσθενίτην ....

15 (99; 67 J) — IV 28: Ἀρκεσίλαος Σεύθου — ἢ Σκύθου, ὡς Ἀπολλόδωρος ἐν τρίτωι Χρονικῶν — Πιτάνης τῆς Αἰολίδος.

16 (99; 67 J) — IV 45: ὁ δὲ προειρημένος φιλόσοφος, καθά φησιν a. 268/4
Ἀπολλόδωρος ἐν Χρονικοῖς, ἤκμαζε περὶ τὴν ⟨ὀγδόην καὶ⟩ εἰκοστὴν καὶ ἑκατοστὴν ὀλυμπιάδα.

17 (58; 93 J) STEPH. BYZ. s. Λήναιος· ἀγὼν Διονύσου ἐν ἀγροῖς, ἀπὸ τοῦ ληνοῦ. Ἀπολλόδωρος ἐν γ̅ Χρονικῶν. καὶ Ληναικός, καὶ Ληναιεύς.

---

4 φρούριον RV πόλιν P 6 ὤκκαρα P 12 ἀμαξιτός, ἀμαξιτεύς, ἀμαξιτηνους (!) R 17 λίγγος κόλποις V 20 καὶ εἶλεν R (s. m. 2) εἶλεν VP 21 ἀνήβας R 22—23 ⟨κατὰ — ὀλυμπιάδος⟩ Jac * * Heyne 27 Σκύθου (s. Porphyr. b. Eust. *Il. B* 701 p. 325, 43 καὶ Σκύθης ὁ Ἀκαδημαικὸς σοφός Schol. Pers. III 79 *Arcesilas Scythi filius Pitanaeus*): [ἢ Σκύθου] Cobet 30 ⟨ὀγδόην καὶ⟩ (= ϙ̅χ̅η̅ für ϙ̅χ̅ oder η̅ κ̅ χ̅ κ̅ ϙ̅ für χ̅ κ̅ ϙ̅) Jac ⟨ἕκτην καὶ⟩ Diels

$\bar{\Delta}$

(F 51—60; 80; 298?)

18 (64; 104 J) STEPH. BYZ. s. *Καινοί· ἔθνος Θράικιον. Ἀπολλόδωρος ἐν Χρονικῶν* $\bar{\delta}$. a. 143/39

19 (63; 105 J) — s. *Δῶρος· πόλις Φοινίκης ..... καὶ Ἀρτεμίδωρος* (V) *Δῶρα τὴν πόλιν οἶδεν .... Ἀπολλόδωρος δὲ Δῶρον καλεῖ ἐν Χρονικῶν* $\bar{\delta}$ *«εἰς Δῶρον οὖσαν ἐπιθαλάττιον πόλιν.»* a. 138

20 (61; 106 J) — s. *Ἡμήστρατος· πόλις Σικελίας. Ἀπολλόδωρος* $\bar{\delta}$ *Χρονικῶν.* a. 135/2?

21 (46; 115 J) — s. *Ἀσσώριον· πόλις Σικελίας. ταύτην τρισυλλάβως Ἄσσωρον καλεῖ Ἀπολλόδωρος ἐν* $\bar{\delta}$ *Χρονικῶν.* a. 135/2

22 (60; 107 J) — s. *Αἰδούσιοι· σύμμαχοι Ῥωμαίων πρὸς τῇι Κελτικῇι Γαλατίαι. Ἀπολλόδωρος ἐν Χρονικῶν δ.* a. 126/1

23 (62; 108 J) — s. *Ἀρόερνοι· ἔθνος μαχιμώτατον τῶν πρὸς τῇι Κελτικῇι Γαλατῶν. Ἀπολλόδωρος* $\bar{\delta}$ *Χρονικῶν «Κελτῶν Ἀροέρνους».* s. F 79. »

24 (59; 111 J) — s. *Ἀερία· ... ἔστι καὶ Κελτικὴ πόλις Ἀερία, ὡς Ἀπολλόδωρος ἐν Χρονικῶν* $\bar{\delta}$. »

25 (54; 110 J) — s. *Φαβία· πόλις Κελτογαλατῶν, κτίσμα Φαβίου στρατηγοῦ Ῥωμαίων. Ἀπολλόδωρος ἐν* $\bar{\delta}$ *Χρονικῶν.* »

26 (65; 114 J) — s. *Χαλκητόριον· πόλις Κρήτης (?). ὁ πολίτης Χαλκητορεύς. Ἀπολλόδωρος* $\bar{\delta}$ (?) *Χρονικῶν·*
*«μεθ' οὗ Χαρίδημος ἦν φυγὰς Χαλκητορεύς.»*

OHNE BUCHZAHL.

⟨F 61—65; 1—3; 331—337⟩

27 (78; 12—13 J) a) DIOG. LAERT. I 74: *Πιττακὸς Ὑρραδίου Μυτιληναῖος ..... οὗτος μετὰ τῶν Ἀλκαίου γενόμενος ἀδελφῶν Μέλαγχρον καθεῖλε τὸν τῆς Λέσβου τύραννον. καὶ περὶ τῆς Ἀχιλλείτιδος χώρας μαχομένων Ἀθηναίων καὶ Μυτιληναίων, ⟨Μυτιληναίων⟩ ἑστρατήγει μὲν αὐτός, Ἀθηναίων δὲ Φρύνων παγκρατιαστὴς Ὀλυμπιονίκης. συνέβετο δὲ μονομαχῆσαι πρὸς αὐτόν, καὶ δίκτυον ἔχων ὑπὸ τὴν ἀσπίδα λαθραίως περιέβαλε τὸν Φρύνωνα, καὶ κτείνας ἀνεσώσατο τὸ χωρίον. ὕστερον μέντοι φησὶν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς διαδικασθῆναι τοὺς Ἀθηναίους περὶ τοῦ χωρίου πρὸς τοὺς Μυτιληναίους ἀκούοντος τῆς δίκης Περιάνδρου, ὃν καὶ τοῖς Ἀθηναίοις προσκρῖναι. (75) τότε δ' οὖν τὸν Πιττακὸν ἰσχυρῶς ἐτίμησαν οἱ Μυτιληναῖοι, καὶ τὴν ἀρχὴν ἐνεχείρισαν αὐτῶι. ὁ δὲ δέκα ἔτη κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, κατέθετο τὴν ἀρχὴν καὶ δέκα ἐπέβιω* a. 651/0—570/69 (573/7) $\bar{A}$

6 *Δῶρα* Dindorf *δώραν* S 11 *ἀσσωρὸν* RVP $\bar{\delta}$ RVP *πρώτηι* Ald 14 *τῶν* om V 15 *Χρονικῶν* Xylander *χαιρονικῶν* (—*κὸν* V) RVP 18 $\bar{\delta}$ RVP 20 $\bar{\delta}$ Unger $\bar{\beta}$ (*δευτέρω* V) RVP 21 *Κρήτης*: *Καρίας* Boeckh 22 *Ἀπολλόδωρος* Holste *ἀπολλώνιος* RVP 29 ⟨*Μυτιληναίων*⟩ Jac

ἄλλα κτλ. **b)** — I 79: ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν δευτέραν ὀλυμπιάδα (612/9), ἐτελεύτησε δ' ἐπὶ Ἀριστομένους τῶι τρίτωι ἔτει τῆς πεντηκοστῆς δευτέρας ὀλυμπιάδος (? 570/69), βιοὺς ὑπὲρ ἔτη ἑβδομήκοντα, [ἠδὴ γηραιός].

**28** (76; 15 J) DIOG. LAERT. I 37: φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι αὐτὸν (sc. Θαλῆν) κατὰ τὸ πρῶτον ἔτος τῆς τριακοστῆς ἑνάτης ὀλυμπιάδος (624/3), ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτώ — ἤ, ὡς Σωσικράτης (IV) φησίν, ἑνενήκοντα ⟨ō⟩· τελευτῆσαι γὰρ ἐπὶ τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος (548/5), γεγονότα κατὰ Κροῖσον, ὧι καὶ τὸν Ἅλυν ὑποσχέσθαι ἄνευ γεφύρας περᾶσαι, τὸ ῥεῖθρον παρατρέψαντα. a. 624/3–547/6 (546,5)

**29** (79; 17 J) — II 2: τῶν δὲ ἀρεσκόντων αὐτῶι (sc. Ἀναξιμάνδρωι) πεποίηται κεφαλαιώδη τὴν ἔκθεσιν, ἣν που περιέτυχε καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· ὃς καί φησιν αὐτὸν ἐν τοῖς Χρονικοῖς τῶι δευτέρωι ἔτει τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος (547/6) ἐτῶν εἶναι ἑξήκοντα τεττάρων, καὶ μετ' ὀλίγον τελευτῆσαι [ἀκμάσαντά πη μάλιστα κατὰ Πολυκράτη τὸν Σάμου τύραννον]. a. 610/9–nach 547/6

⟨F 66—68; 4; 338—341⟩.

⟨F 69⟩.

**30** (83; 27—28 J) **a)** — IX 25: Ζήνων Ἐλεάτης. τοῦτον Ἀπολλόδωρός φησιν εἶναι ἐν Χρονικοῖς φύσει μὲν Τελεταγόρου, θέσει δὲ Παρμενίδου· τὸν δὲ Παρμενίδην Πύρητος. **b)** — IX 29: ἤκμαζε δὲ οὗτος κατὰ τὴν ἑνάτην ⟨καὶ ἑβδομηκοστὴν⟩ ὀλυμπιάδα (464/1). *B* a. 464/1

**31** (81; 36 J) — II 7: λέγεται δὲ (sc. Ἀναξαγόρας) κατὰ τὴν Ξέρξου διάβασιν (480/79) εἴκοσιν ἐτῶν εἶναι, βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι αὐτὸν τῆι ἑβδομηκοστῆι ὀλυμπιάδι (500/497), τεθνηκέναι δὲ τῶι πρώτωι ἔτει τῆς † ἑβδομηκοστῆς ὀγδόης (468/7). ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου (480/79 o. 456/5), ἐτῶν εἴκοσιν ὤν, ὡς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῆι τῶν Ἀρχόντων Ἀναγραφῆι (228 F 2), ἔνθα καί φασιν αὐτὸν ἐτῶν διατρῖψαι τριάκοντα. 500/498–428,7

⟨F 5—6⟩.

**32** (87; 43 J) **a)** — VIII 51: Ἐμπεδοκλῆς, ὡς φησιν Ἱππόβοτος (IV), Μέτωνος ἦν υἱὸς τοῦ Ἐμπεδοκλέους Ἀκραγαντῖνος ..... λέγει δὲ καὶ a. 444/3

---

2—3 πεντηκοστῆς [δευτέρας] (578/7)? Jac 3 ὀγδοήκοντα Meursius [ἠδὴ γηραιός] Cobet ἤδη γηραιὸς ⟨ὤν, ὅτε κατέσχεν τὴν πολιτείαν o. ä.⟩? Jac (Suid. s. Πιττακός· γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν κτλ.) 5 γεγονέναι F 6 ἑνάτης Diels πέμπτης Di 7 ⟨ō⟩ Rohde ça Chron. Pasch. p. 268, 10 11 ἤι edd ὡς BP (F fehlt) 12 ὃς om F 14—15 [ἀκμάσαντα — τύραννον] Diels (geht auf Pythagoras; F 339) ⟨διδαχθῆναι δ' ὑπ' αὐτοῦ Πυθαγόραν⟩ ἀκμάσαντα o. ä.? 19—20 φύσει — Πύρητος Karsten πύρητος τὸν δὲ Παρμενίδην φύσει — Παρμενίδου Di [Πύρητος — Παρμενίδην] Rossi 21—22 ϑ̄ην ō̄ην jüngere hss ἑνάτην B ϑ̄ P¹ ō̄ P² 26 ἑβδομηκοστῆς: ὀγδοηκοστῆς Scaliger (s. komm.) 29 ἐτῶν BPV ἔτη F² Cobet

Ἐρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις (241 F 7) τὴν πρώτην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα (496/5) νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα, μάρτυρι χρώμενος Ἀριστοτέλει (III). (52) Ἀπολλόδωρος δ' ὁ γραμματικὸς ἐν τοῖς Χρονικοῖς φησιν ὡς

ἦν μὲν Μέτωνος υἱός, εἰς δὲ Θουρίους
αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους
⟨ὁ⟩ Γλαῦκος ἐλθεῖν φησιν.

εἶθ' ὑποβάς·

οἱ δ' ἱστοροῦντες, ὡς πεφευγὼς οἴκοθεν
εἰς τὰς Συρακούσας μετ' ἐκείνων ἐπολέμει
πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι
δοκοῦσιν· ἦ γὰρ οὐκέτ' ἦν ἢ παντελῶς
ὑπεργεγηρακώς, ὅπερ οὐ⟨χὶ⟩ φαίνεται.
Ἀριστοτέλης γὰρ αὐτὸν ἑξήκοντ' ἐτῶν,
ἔτι δ' Ἡρακλείδης, φησὶ τετελευτηκέναι.

ὁ δὲ ⟨τὴν⟩ μίαν καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα νενικηκὼς
κέλητι τούτου πάππος ἦν ὁμώνυμος,
ὥσθ' ἅμα καὶ ⟨τούτου⟩ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι.

b) — VIII 73: (Neanthes von Kyzikos 84 F 28) .... τελευτῆσαι ἐτῶν ἑπτὰ καὶ ἑβδομήκοντα· εἶναι δ' αὐτοῦ καὶ τάφον ἐν Μεγάροις.. (74) περὶ δὲ τῶν ἐτῶν Ἀριστοτέλης διαφέρεται· φησὶ γὰρ ἐκεῖνος ἑξήκοντα ἐτῶν αὐτὸν τελευτῆσαι· οἱ δὲ ἐννέα καὶ ἑκατόν. ἤκμαζε δὲ κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα (444/1). a. 444/3?

33 (88; 39 J) DIOG. LAERT. VIII 58: φησὶ δὲ Σάτυρος ἐν τοῖς *Βίοις* (IV). ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος (sc. Ἐμπεδοκλῆς)· Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ καὶ τέχνην ἀπολελοιπότα, ὃν φησιν Ἀπολλόδωρος ἐν *Χρονικοῖς* ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι (483/2—374/3?). a. 444/1 a. 483/1

⟨F 70—72⟩

⟨F 7; 8⟩

34 (82; 46 J) — II 44: ἐγεννήθη δὲ (sc. Σωκράτης), καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, ἐπὶ Ἀφεψίωνος ἐν τῷι τετάρτωι ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης ὀλυμπιάδος (469/8), Θαργηλιῶνος ἕκτηι, ὅτε καθαίρουσιν Ἀθηναῖοι τὴν πόλιν καὶ τὴν Ἄρτεμιν Δήλιοι γενέσθαι φασίν. a. 469/8—400/399

---

5 μὲν *Μέτωνος* Clinton μέτωνος μὲν BP μέτωνος μὲν $F^1$ 7 ⟨ὁ⟩ Cobet 9 πεφευγὼς οἴκοθεν Clinton οἴ. π. Di 11 vers nicht sicher herzustellen: πρὸς τὰς Ἀθήνας ἀ. τ. ἐμοὶ Bahnsch πρὸς Ἀθηνα(ί)ους ἔμοιγε τ. ἀ. Diels πρὸς τοὺς Ἀθηναίους — — ἀγνοεῖν | τελέως ἐμοὶ δοκοῦσιν κτλ. Cobet 13 οὐχὶ Clinton οὐ Di 14—15 Ἀριστοτέλης — τετελευτηκέναι Meineke Diels (nicht sicher; das überlieferte ἔτι τε Ἡράκλειτον kann zusatz aus Diog. L. IX 3 sein) Ἀ. γὰρ αὐτόν, ἔτι τε Ἡρακλείδης (Sturz ἡράκλειτον $B^1PF$ ἡράκλειτος $B^2$), ἑξ. ἐτῶν φησὶ τετελευτηκέναι Di 16 ⟨τὴν⟩ Cobet 17 πάππος Karsten πάντως Di 18 ⟨τούτου⟩ Jac

ἐτελεύτησε δὲ τῶι πρώτωι ἔτει τῆς ἐνενηκοστῆς πέμπτης ὀλυμπιάδος (400/399), γεγονὼς ἐτῶν ἑβδομήκοντα. ταὐτά φησι καὶ Δημήτριος ὁ Φαληρεύς (228 F 10). ἔνιοι δὲ ἑξήκοντα ἐτῶν τελευτῆσαι αὐτόν φασιν. ἀμφότεροι δ' ἤκουσαν Ἀναξαγόρου (F 31), καὶ οὗτος καὶ Εὐριπίδης (F 35), ὃς καὶ τῶι πρώτωι ἔτει τῆς ἑβδομηκοστῆς πέμπτης ὀλυμπιάδος ἐγεννήθη ἐπὶ Καλλιάδου (480/79).

35 (90; 37—38 J) DIOD. XIII 103, 4: περὶ δὲ τὸν αὐτὸν χρόνον (a. 406/5) ἐτελεύτησε Σοφοκλῆς ὁ Σοφίλου, ποιητὴς τραγωιδιῶν, ἔτη βιώσας ἐνενήκοντα, νίκας δ' ἔχων ὀκτωκαίδεκα. ..... Ἀπολλόδωρος δ' ὁ τὴν χρονικὴν σύνταξιν πραγματευσάμενός φησι καὶ τὸν Εὐριπίδην κατὰ τὸν αὐτὸν ἐνιαυτὸν τελευτῆσαι· τινὲς δὲ λέγουσι παρ' Ἀρχελάωι τῶι βασιλεῖ Μακεδόνων κατὰ τὴν χώραν ἐξελθόντα κυσὶ περιπεσεῖν καὶ διασπασθῆναι μικρῶι πρόσθεν τούτων τῶν χρόνων. a. 480/79—406/5

36 (84; 47 J) a) DIOG. LAERT. IX 41: γέγονε δὲ τοῖς χρόνοις (sc. Δημόκριτος), ὡς αὐτός φησιν ἐν τῶι Μικρῶι Διακόσμωι (55 B 5 Diels), νέος κατὰ πρεσβύτην Ἀναξαγόραν (F 31), ἔτεσιν αὐτοῦ νεώτερος τετταράκοντα. συντετάχθαι δέ φησιν τὸν Μικρὸν Διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις. γεγόνοι δ' ἄν, ὡς μὲν Ἀπολλόδωρος ἐν Χρονικοῖς, κατὰ τὴν ὀγδοηκοστὴν ὀλυμπιάδα (460/56), ὡς δὲ Θρασύλος ἐν τῶι ἐπιγραφομένωι Τὰ πρὸ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων, κατὰ τὸ τρίτον ἔτος τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς ὀλυμπιάδος (470/69), ἐνιαυτῶι, φησί, πρεσβύτερος ὢν Σωκράτους. b) — IX 34: ὕστερον δὲ Λευκίππωι παρέβαλε καὶ Ἀναξαγόραι κατά τινας, ἔτεσιν ὢν αὐτοῦ νεώτερος τετταράκοντα. a. 460/59—371/0

⟨F 73—75; 342—343⟩

37 (89; 52 J) — III 2: καὶ γίνεται Πλάτων, ὡς φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ὀγδόηι καὶ ὀγδοηκοστῆι ὀλυμπιάδι (428/4), Θαργηλιῶνος ἑβδόμηι, καθ' ἣν Δήλιοι τὸν Ἀπόλλωνα γενέσθαι φασί. τελευτᾶι δ', ὡς φησιν Ἕρμιππος, ἐν γάμοις δειπνῶν τῶι πρώτωι ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς ὀλυμπιάδος (348/7), βιοὺς ἔτος ἓν πρὸς τοῖς ὀγδοήκοντα. a. 428/7—348/7

⟨F 76; 344—346⟩

38 (92; 56 J) a) DIOG. LAERT. V 9—10: φησὶ δ' Ἀπολλόδωρος ἐν Χρονικοῖς·

γεννηθῆναι μὲν αὐτὸν (s. Ἀριστοτέλη) τῶι πρώτωι ἔτει τῆς ἑνάτης καὶ ἐνενηκοστῆς ὀλυμπιάδος (384/3),

b) DION. HAL. ad Amm. 3—5: ἀνάγκη δ' ἴσως πρῶτον, ὡς παρέλαβον ἐκ τῶν κοινῶν ἱστοριῶν, ἃ κατέλιπον ἡμῖν οἱ τοὺς βίους τῶν ἀνδρῶν συνταξάμενοι, προειπεῖν ..... a. 384/3—322/1

**113** (18) HARPOKR. s. *Πάνδημος Ἀφροδίτη*· .... *Ἀπολλόδωρος ἐν τῶι Περὶ θεῶν Πανδήμου φησιν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιόν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Νίκανδρος ἐν ϛ Κολοφωνιακῶν* (III) *Σόλωνά φησι σώματα ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους, καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν. ἔστι δὲ τὸ πάνδημον πάγκοινον.*

**114** (19) SCHOL. APOLL. RHOD. III 549: *Ἀπολλόδωρός φησιν ἐν τῶι Περὶ θεῶν ὅτι ἡ περιστερὰ ἱερὰ Ἀφροδίτης διὰ τὸ λάγνον· παρὰ γὰρ τὸ περισσῶς ἐρᾶν λέγεται.*

**115** (14) ZENOB. Prov. V 22: *Μῆλον Ἡρακλῆς· Ἀπολλόδωρος ἐν τοῖς Περὶ θεῶν φησίν, ὅτι θύεται Ἀθήνησιν Ἡρακλεῖ Ἀλεξικάκωι ἰδιάζουσά τις θυσία. τοῦ γὰρ βοὸς ποτε ἐκφυγόντος, ὃν ἔμελλον τῶι Ἡρακλεῖ προσάξαι, μῆλον λαβόντας καὶ κλάδους ὑποθέντας τέσσαρας μὲν ἀντὶ σκελῶν, δύο δὲ ἀντὶ κεράτων, σχηματίσαι τὸν βοῦν καὶ οὕτω τὴν θυσίαν ποιήσασθαι.*

**116** (42) MACROB. s. I 20, 4: *Aesculapium vero eundem esse atque Apollinem non solum hinc probatur quod ex illo natus creditur* (F 188), *sed quod ei et vis divinationis adiungitur. nam Apollodorus in libris, quibus titulus est Περὶ θεῶν, scribit quod Aesculapius divinationibus et auguriis praesit.*

---

6 ἐμαῖσι Seidler ἐμαῖς A 14 γὰρ: *Παρμένων* Meineke 15 erg. Zedelius 16 εὐσχημον Schweighäuser εὔσημον A 19 ἀνάγεσθαι A τὸν παλαιὸν AB 20 ἐν ϛ: ἐν ϑτ N ἐν τρίτωι Athen. XIII 25 p. 569 D 25 διὰ τὸ Keil διὸ καὶ L f p 27—31 Suid. s. *Μήλειος Ἡρακλῆς* μήλωνος cod. Athen. 28 τοῖς: τῶι Ath *φησίν* add Ath 29 προσάξειν Ath Suid 30 μὲν om Ath

(5) *nec mirum si quidem medicinae* (F 139) *atque divinationum consociatae sunt disciplinae. nam medicus vel commoda vel incommoda in corpore futura praenoscit, sicut ait Hippocrates* (Progn. praef.) *oportere medicum dicere de aegroto τά τε παρεόντα καὶ τὰ προγενονότα καὶ τὰ μέλλοντα ἔσεσθαι . . . . . quod congruit divinationibus, quae sciunt* (Il. *A* 70) *τά τε ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.*

## OHNE BUCHTITEL (AUS *ΠΕΡΙ ΘΕΩΝ*).

**117** (13a) JOANN. LYD. De mens. IV 34 p. 91, 20 W: *οἱ δὲ φυσικοὶ Ἄρσα μὲν οὐχ ὡς οἱ γραμματικῶν παῖδες ἐκ τῆς ἄρσεως καὶ ἀναιρέσεως αὐτὸν ὀνομασθῆναί φασιν, ἀλλ' ἐκ τοῦ ἀρήγειν καὶ συλλαμβάνειν τοῖς κατὰ βίαν καὶ μάχην συμπτώμασιν, ἢ ὡς ἀρκτικὸν καὶ μεταβολῆς αἴτιον . . . . .* (p. 92, 25) *Ἕλληνες δὲ αὐτόν, ὡς εἰρηται, Ἄρσα ἐκ τῶν πραγμάτων προσηγόρευον. οὐδὲ γὰρ ἄν τις εὕροι κυρίαν Θεοῦ προσηγορίαν κατὰ τὸν Ἀπολλόδωρον, ἀλλ' οὐδὲ φύσεως γνώρισμα, ἐπεὶ νῦν μὲν ἄρρενας, νῦν δὲ θηλείας τὰς ἰδέας εἰσάγουσιν οἱ φιλοσοφοῦντες. ἀλλ' ἐκ τῶν ἀποτελεσμάτων ὀνομασίας αὐτοῖς ἔθεντο, ἄρρενας μὲν θεοὺς ⟨τὰς⟩ δημιουργικὰς δυνάμεις, θηλείας δὲ τὰς ζωογόνους εἰσάγοντες.*

**118** (41) MACROB. s. I 8, 5: [[*cur autem Saturnus ipse in compedibus visatur, Verrius Flaccus causam se ignorare dicit, verum mihi Apollodori lectio sic suggerit.*]] *Saturnum Apollodorus alligari ait per annum laneo vinculo et solvi ad diem sibi festum* [[*id est mense hoc Decembri*]], *atque inde proverbium ductum deos laneos pedes habere,* [[*significari vero decimo mense semen in utero animatum in vitam grandescere, quod donec erumpat in lucem, mollibus naturae vinculis detinetur*]].

**119** (—) SCHOL. GEN. HOM. Il. *Ξ* 296 (SCHOL. PARIS. 2679; 2767 = CRAM. AP III 20, 10; 246, 8): *οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι, εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας*] *καὶ Ἀπολλόδωρος ἱστορεῖ κρύφα τὸν Δία τῇ Ἥρᾳ συγκεκαθευδηκέναι.*

**120** (34) SCHOL. SOPH. OK 705: *Μορίου Διός· Μόριον Δία εἶπεν τὸν ἐπόπτην τῶν κορίων ἐλαιῶν. καὶ ἔστιν ὁ λεγόμενος Μόριος Ζεὺς ⟨περὶ Ἀκαδήμειαν⟩, ὥς φησιν Ἀπολλόδωρος· «περὶ Ἀκάδημειάν ἐστιν ὁ τε τοῦ Καταιβάτου Διὸς βωμός, ὃν καὶ Μόριον καλοῦσι, τῶν ἐκεῖ μορίων παρὰ τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἱδρυμένων ⟨ἐπόπτην⟩».* s. F 147.

---

18 *εὕροι* Reinhardt *εὕρηι* Jo 18—16 *ἀλλ' οὐδέ — φιλοσ.* u. *ἄρρενας — εἰσάγοντος* nach Reinhardt neuplat. zusätze (s. komm.) 16 ⟨τὰς⟩ Kroll 17—23 [[ ]] zusätze des Macrobius 21 *significatur*? 29 ἐλα(ι)ῶν Laskaris ἔλασον L 29—30 ⟨περὶ Ἀ.⟩ Laskaris 30 ἀκαδημίαν L 31 καλοῦσι ⟨ὡς ἐπόπτην⟩ Laskaris 32 ⟨τῶν⟩ παρὰ?

121 (—) ET. GUD. p. 369, 22 Stu: *Λητώ· ἡ νύξ· παρὰ τὸ λήθω τὸ λανθάνω· ἢ παρὰ τὸ λήθην καὶ ἀμνημοσύνην ποιεῖν· ἢ παρὰ τὸ λεληθότως ταύτην διέρχεσθαι. Ἀπολλόδωρος δὲ ἐλεητώ· ἐλεήμων γὰρ καὶ πραεῖα ἡ θεός.*

122 (—) SCHOL. HOM. Od. γ 91: *ἐν Νάξωι τὴν Ἀμφιτρίτην χορεύουσαν ἰδὼν Ποσειδῶν ἥρπασεν· ὅθεν ὑπὸ τῶν ἐγχωρίων Ποσειδωνία ὠνομάσθη ἡ θεός, ὡς καὶ ἡ Ἥρα Διώνη παρὰ Δωδωναίοις, ὡς Ἀπολλόδωρος.*

123 (IV 649) PLUTARCH. Quaest. conv. V 3, 1 p. 675 F—676 A: *οὐ μὴν ἀλλὰ ⟨καὶ⟩ κατ' ἰδίαν τῶι Ποσειδῶνι φαίη τις ἂν τὴν πίτυν προσήκειν, οὐχ ὡς Ἀπολλόδωρος οἴεται παράλιον φυτὸν οὖσαν, οὐδ' ὅτι φιλήνεμός ἐστιν ὥσπερ ἡ θάλασσα (καὶ γὰρ τοῦτό τινες λέγουσιν), ἀλλὰ διὰ τὰς ναυπηγίας μάλιστα.*

124 (233) SCHOL. EUST. HOM. Il. *E* 77 p. 397, 1: ... *καὶ ὅτι κακῶς δασύνουσί τινες τοῦ Ἐνυὼ τὸ ῡ. ἄμεινον γάρ, φησί, ψιλοῦν, διότι οὐκ ἔστι κύριον, ἀλλὰ τὴν πολεμικὴν δηλοῖ, ἀφ' ἧς καὶ ὁ Ἐνυάλιος· ἢ καὶ διότι ἀπὸ τοῦ ἐναύειν γίνεται κατὰ Ἀπολλόδωρον, ὅ ἐστιν ἐμφωνεῖν· ἢ ὡς ὁ Ἡρακλέων φησίν, ἀπὸ τοῦ ἔνω τὸ φονεύω, ὅθεν καὶ αὐτοέντης καὶ αὐθέντης ὁ αὐτοφόντης.*

125 (20) PORPHYR. De abstin. II 55: *ἔθυον δὲ καὶ ἐν Χίωι τῶι Ὠμαδίωι Διονύσωι ἀνθρωπον διασπῶντες, καὶ ἐν Τενέδωι, ὡς φησιν Εὔελπις ὁ Καρύστιος (VI)· ἐπεὶ καὶ Λακεδαιμονίους φησὶν ὁ Ἀπολλόδωρος τῶι Ἄρει θύειν ἄνθρωπον.*

126 (13) a) CLEM. AL. Protr. II 29, 2 (ARNOB. adv. nat. IV 25): *Ἄρης γοῦν ὁ καὶ παρὰ τοῖς ποιηταῖς ὡς οἷόν τε τετιμημένος* (Il. *E* 31; 455) *"Ἄρες Ἄρες βροτολοιγέ, μιαιφόνε τειχεσιπλῆτα," ὁ ἀλλοπρόσαλλος οὗτος καὶ ἀνάρσιος, ὡς μὲν Ἐπίχαρμός φησι* (CGr F 121, 167 Kaib), *Σπαρτιάτης ἦν· Σοφοκλῆς* (Antig. 970) *δὲ Θρᾷκα οἶδεν αὐτόν· ἄλλοι δὲ Ἀρκάδα.* (3) *τοῦτον δὲ Ὅμηρος* (*E* 385—87) *δεδέσθαι φησὶν ἐπὶ μῆνας τρισκαίδεκα·*

*τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερὸς τ' Ἐφιάλτης,*
*παῖδες Ἀλωῆος, δῆσαν κρατερῶι ἐνὶ δεσμῶι —*
*χαλκέωι δ' ἐν κεράμωι δέδετο τρισκαίδεκα μῆνας.*

(4) *πολλὰ κἀγαθὰ Κᾶρες σχοῖεν, οἳ καταθύουσιν αὐτῶι*

b) CORNUT. Theol. comp. 21 p. 41, 6 L: *εἰκότως δὲ καὶ μιαιφόνος λέγεται καὶ βροτολοιγὸς καὶ ἀλαλάξιος καὶ βριήπυος* (Il. *N* 521), *μεγίστης ἐν ταῖς παρατάξεσιν ὑπὸ τῶν μαχομένων ἀφιεμένης φωνῆς* (F 124)· *ὅθεν καὶ ὄνους τινὲς αὐτῶι σφαγιάζουσι διὰ τὸ ταραχώδες καὶ γεγωνὸν τῆς ὀγκήσεως, οἱ πλεῖστοι δὲ κύνας διὰ τὸ θρασὺ καὶ ἐπιθετικὸν τοῦ ζώιου. τιμᾶσθαι δὲ ὑπὸ Θραικῶν μάλιστα καὶ Σκυθῶν καὶ τῶν τοιούτων*

5 *ἐν Νάξωι* HM Eust *ἐν Ἰάξωι* Q 6 *Ποσειδώνη* Lobeck 6—7 *ὀνομάζεται* M 7 *Διώνη* Buttmann *διώνη* M *διαίνη* HQ 9 ⟨*καὶ*⟩ Jac 20 *Εὔελπις* edd *εὐέλπης* Porph 26² *βριήπυος* Hom *βριήπιος, βοήπιος, μιόπιος* Corn 28²—29² v. l. *ὑπὸ τῶν μαχομένων* om 29¹—34¹ *ἄλλοι — μῆνας*: ***quis mensibus in Arcadia tribus et decem vinctum? non Melae fluminis filius?*** Arnob 32² *γεγωνὸν* A Nauck *γεγωνὸς* Corn

τοὺς κύνας· Σκύθαι δὲ τοὺς ὄνους ἱερεύοντες μὴ πανέσθων, ὡς Ἀπολλόδωρός φησι καὶ Καλλίμαχος (F 187—88 Schn)·

Φοῖβος Ὑπερβορέοισιν ὄνων ἐπιτέλλεται ἱροῖς.
ὁ αὐτὸς δ' ἀλλαχοῦ·

τέρπουσιν λιπαραὶ Φοῖβον ὀνοσφαγίαι.

ἐθνῶν λέγεται, παρ' οἷς ἡ τῶν πολεμικῶν ἄσκησις εὐδοκιμεῖ καὶ τὸ ἀνεπιστρεφὲς τῆς δίκης. γῦπα δ' ἱερόν φασιν αὐτοῦ ὄρνιν εἶναι διὰ τὸ πλεονάζειν ὅπου πότ' ἂν πτώματα πολλὰ ἀρηϊφῶρα ᾖ.

127 (—) SCHOL. PINDAR. O III 54a: περὶ τῆς Ὀρθωσίας Ἀρτέμιδος Ἀπολλόδωρος γράφει. Ὀρθωσία δὲ ὅτι ὀρθοὶ εἰς σωτηρίαν, ἢ ὀρθοῖ τοὺς γεννωμένους. καὶ ἐν Ἀθήναις ἵδρυται· τὸ ἱερὸν δέ ἐστιν ἐν Κεραμεικῷ. καὶ παρ' Ἠλείοις Ὀρθωσίας Ἀρτέμιδος ἱερόν, ὥς φησι Δίδυμος (p. 218 Schm).

128 (—) SCHOL. EURIP. Hippol. 73 p. 15, 3 Schw: σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου] †καίρων τῶι μελιλώτωι στέφεσθαι τὴν ἐν Ἄγραις Ἄρτεμιν. Ἀπολλόδωρος δὲ παρὰ Κρησὶν δίκταμνον ἢ σχῖνον εἶναί φησιν αὐτῆς τὰ στεφανώματα. φύεσθαι δὲ τὸ δίκταμνον ἐν Κρήτηι μόνηι· τοῦτο καὶ ὠκυτόκιον εἶναι, διὸ καὶ ταῖς δυστοκούσαις δίδοσθαι χάριν τοῦ ταχέως ἀποτίκτειν (folgt citat aus Istros).

129 (30) SCHOL. V HOM. Od. ψ 198: (bett des Odysseus; ἑρμὶν' ἀσκήσας)] Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος παῖς ἔτι ὢν ἐν ἀνθρώποις τέσσαρα μέγιστα εὗρετο, γράμματα καὶ μουσικὴν καὶ παλαίστραν καὶ γεωμετρίαν· ὅθεν καὶ τοὺς Ἕλληνας τετράγωνον αὐτὸν ἀσκῆσαι καὶ οὕτως ἐν τοῖς γυμνασίοις ἀναθεῖναι. — τῶι δὲ ὀνειροπομπὸν εἶναι καὶ τοὺς κοιμωμένους αὐτῶι εὔχεσθαι †καὶ αὐτὸν ἀναμένειν εἴλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου· ἐπινοῆσαί τε καὶ ἀσκῆσαι τοὺς τῶν κλινῶν πόδας εἰς τὴν τοῦ θεοῦ πρόσοψιν, ὅπως ἀλεξήτορας ἔχοντες ἰδέας τὰ μὲν δείματα μὴ φοβοῖντο, προσδοκῶιεν δὲ πλείστην ἐπαφροδισίαν διὰ τῶν ὀνειράτων. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρωι τῶι Ἀθηναίωι.

130 (31) SCHOL. EUST. HOM. Od. ω 1 p. 1951, 15: Κυλλήνιος δὲ Ἑρμῆς μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἐστὶν Ἀρκαδίας σταδίων ἐννέα Ὀλυμπιακῶν παρὰ πόδας ὀγδοήκοντα, καθά φασιν ἱστορεῖν Ἀπολλόδωρον, ὀνομασθὲν ἀπὸ Κυλλήνης ἡρωίδος τινός. περιάιδεται δὲ διαφερόντως ἐν τοῖς περὶ τὸ τοιοῦτον ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν κἀκεῖθεν σχεῖν τὸ λεχθὲν ἐπίθετον. κατὰ μέντοι ἀλληγορίαν Κυλλήνιος ὁ τοῦ ὕπνου δοτήρ, ὁ τὰς

---

1²—2² ἡ τῶν πολεμικῶν: v. l. ἡητῶν πολεμικῶν (πολέμων) 2¹ non principaliter cum ceteris Apollodorus? Arnob 4¹ Φοῖβος M² φόβος PM² 8 ὀρθοί: ἤτοι τῆι ὀρθούσηι τὰς γυναῖκας καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἀγούσηι 54c 12 καίρων: ⟨Φιλόχορος μέν φησιν ἐν⟩ βέρωι Schwartz 13 Ἀπολλόδωρος ὁ. π. Κρησὶν Wilamowitz ἀπολλόδω ὁ ☊ κρήσιον N διήταμνον N 14 τὰ στεφανώματα Schwartz τῶ στεφανώματι N φασιν ἐν B¹ 15 ὠκυτόον N 22—23 ἐπενόησαν δὲ Butt(mann) 24 ⟨τὰς⟩ ἰδέας Butt 30 ἡρωίδος τινός: Naïdos νύμφης Steph. Byz. s. Κυλλήνη

*ἡνίας τῶν κύλων ἢ κυλάδων ἔχων, ὁ δηλοῖ τὰ ὑπὸ τοὺς ὀφθαλμούς, ὅθεν καὶ κυλοιδιᾶν παρ' Ἀττικοῖς τὸ τὰ κύλα τῶν ὀφθαλμῶν οἰδεῖν ἐκ μακροὐπνίας τυχὸν ἢ ἀυπνίας.*

**131** (29) JOANN. LYD. De mens. IV 51 p. 107, 1 W: *φέρεται δὲ καί τις μῦθος περὶ αὐτοῦ* (sc. *τοῦ Διονύσου*) *κατὰ τὸν Ἀπολλόδωρον, ὡς εἴη γεγονὼς ἐκ Διὸς καὶ Γῆς· τῆς δὲ Γῆς Θεμέλης προσαγορευομένης διὰ τὸ εἰς αὐτὴν πάντα καταθεμελιοῦσθαι,* [*ἣν*] *κατὰ συναλλαγὴν ἑνὸς στοιχείου τοῦ σ Σεμέλην οἱ ποιηταὶ προσηγορεύκασι.*

**132** (43) STEPH. BYZ. s. *Ἀκρώρεια· ἄκρον ὄρους, ἐν ὧι οἱ οἰκοῦντες Ἀκρωρεῖται. οὕτω δὲ παρὰ Σικυωνίοις* ⟨*ὁ Διόνυσος*⟩ *ἐτιμᾶτο· «ἐκαλεῖτο δὲ παρὰ μὲν Σικυωνίοις Ἀκρωρείτης, παρὰ δὲ Μεταποντίνοις Ἐρίφιος» Ἀπολλόδωρός φησιν.*

**133** (28) SCHOL. V ARISTOPH. Ach. 961 (HARP. SUID. s. *Χόες*): *εἰς τοὺς Χόας· ... ἐπετελεῖτο δὲ Πυανεψιῶνος ὀγδόηι· οἱ δὲ Ἀνθεστηριῶνος δωδεκάτηι. φησὶ δ' Ἀπολλόδωρος Ἀνθεστήρια καλεῖσθαι κοινῶς μὲν τὴν ὅλην ἑορτὴν Διονύσωι ἀγομένην, κατὰ μέρος δὲ Πιθοίγια, Χόας, Χύτρους. καὶ αὖθις ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος, ἣν δὲ ἑορτὴ Διονύσου Ληναίου, ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι Πανδίων. χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστωι παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσε μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι Ὀρέστης μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὐτὸν πίνων μόνος. καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ Χόες.*

**134 a** (—) SCHOL. THEOKR. I 3—4 f p. 31, 6 W: *Ἀπολλόδωρος δέ φησι τὸν μὲν αὐτόχθονα, τὸν δὲ Διὸς καὶ* ⟨*Καλλιστοῦς* * * *ὁ*⟩ *Κεφαλληνεὺς ἐν Θήραις τῆς Ἀρκαδίας φησὶ γεννηθῆναι τὸν Πᾶνα, ὄντα Πηνελόπης καὶ Ἑρμοῦ υἱόν. Θεόξενος* (VI) *δὲ οὐράνιον τὸν Πανά φησιν. Διύμαρχος δέ φησι γηγενῆ αὐτὸν εἶναι.*

**134 b** (—) SCHOL. THEOKR. I 3—4 c p. 27, 18 W: *τὸν Πᾶνα οἱ μὲν φασιν υἱὸν Πηνελόπης καὶ πάντων τῶν μνηστήρων, καὶ διὰ τοῦτο λέγεσθαι καὶ Πᾶνα. Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασι* (68 B 16 Diels) *Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα διδύμους· Ἀρίστιππος δὲ ἐν τοῖς Ἀρκαδικοῖς* (III) *Διὸς καὶ νύμφης Οἰνηίδος.*

---

1 *τὰ ὑ. τ. ὀφθ. μέρη* Schol. V *αἱ ὑπὸ τ. ὀ. ἰϑύτητες* (Iuves Butt) Schol. H Q 7 [*ἣν*] Jac 10 *ἐτιμᾶτο* ⟨*ὁ Διον.*⟩ Tan. Faber *καλεῖται?* Meineke 12 *ἐρίφοις* P 13 kürzer R: *ἐπετ. δὲ Πυαν., ἦγετο δὲ ἀπὸ Ὀρέστου κτλ.* 14—15 *ἐπετελεῖτο — Ἀνθεστηριῶνος* Schol *ἑορτή τις ἦν παρ' Ἀθηναίοις ἀγομένη Ἀνθ.* Harp 15 *δωδεκάτηι* Harp *δεκάτηι* Schol *μὲν* add Harp 16 *Πιθοίγια* Harp BC *πιθοιγίαν* Harp A Schol *Χύτρους* vulg *λύτρους* Harp A *χύτρας* Harp BC *χύτραν* Schol 17—22 Schol. Equit. 95 24¹ *Ἀπολλόδωρος* Wil(amowitz) *ἡλιόδωρος* Schol 25¹ *τὸν μὲν* Wil *ἰον μὴ* E *μὴ* K 26¹ *δ καὶ* K ⟨*Καλλιστοῦς*⟩ Wil ⟨* * *ὁ*⟩ Münzel 28² *ἀρκάδιον* GEA 29² *τοῖς Ἀρκαδικοῖς* We(ndel) *τῶι ἀρκαδικῶι* Schol *τῶι* ⟨*ᾱ*⟩ *Ἀρκαδικῶν* Toup 30² *Διός: Αἰθέρος* Ahr(ens) *ἢ νηίδος* P *Οἰνόης ναίδος* Ahr (F 134) *Οἰνοίδος* Wil

c) *οἱ δὲ λέγουσιν ... ὅτι ἀπάτωρ ἐστί, σημεῖον δὲ τοῦ παντός, ὅθεν κυρίως προσαγορεύεται Πάν.*

*συνοικειοῦται δὲ καὶ ἡ μορφὴ αὐτοῦ τῶι περιέχοντι· καὶ τὸ μὲν τῶν κεράτων ἀπομίμημα ἡλίου καὶ σελήνης μηνίσκους φασὶν εἶναι· τὸ δὲ παρδαλῆν ἐνῆφθαι τῆς [γῆς] ⟨τῶν ἄστρων⟩ φαντασίας εἵνεκα· τὰ δὲ κάτω ⟨τραγώδη καὶ⟩ λάσια τῶν τῆς γῆς στερρῶν καὶ τῶν ἐν αὐτῆι πεφυκότων· τὴν δὲ σύριγγα τῶν ἐν τῶι κόσμωι πνευμάτων μίμησιν εἶναι· τὸ δὲ αἰγίποον τῶν καταιγίδων τὰς αἰφνιδίους ταραχὰς καὶ ἀπὸ τῶν νεφῶν γινομένας περὶ τὸν ἀέρα μεταβολάς.*

d) * * *καὶ τὰ κάτω ⟨λάσια⟩, τουτέστι τοὺς μηροὺς ὄασεῖς, σημαίνοντας τοὺς ὑλώδεις τόπους καὶ [τὰ κάτω τραχέα σημαίνοντα] τῶν ὀρῶν τὰ τραχέα. ἔχει δὲ καὶ τῆι μιᾶι χειρὶ τὸ ὀρέπανον, σημαῖνον τὴν ἐργασίαν, τῆι δὲ ἄλληι τὴν σύριγγα σημαίνουσαν τοὺς ἀνέμους.*

135 (—) SCHOL. EURIP. Rhes. 36: *τὸν ⟨Πᾶ⟩να οἱ μὲν Πηνελόπης φασὶ * * † Καλλιστοῦς καὶ δύο παῖδας γενομένους *ἀφ' ἧς ὄρος Κυλλήνης· ἄλλοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπης * * ὡς καὶ Εὐφορίων* (F 128 Scheidw) * * *δν ὕθρεψαν νύμφαι· διὸ καὶ νυμφαγενῆ αὐτὸν φασί, τραφέντα παρ' ἐκείναις. Ἄραιθος δὲ ὁ Τεγεάτης* (III) *Αἰθέρος αὐτὸν καὶ νύμφης Οἰνόης γενεαλογεῖ· ἔνιοι δὲ Ὀρσινόης νύμφης καὶ*

136 a (44 b) SCHOL. (BREV. EXP.) VERG. ge. I 17 (SCHOL. LUCAN. III 402) *Pana Pindarus* (F 100 Schr) *ex Apolline et Penelopa in Lycaeo monte editum scribit, qui a Lyc⟨a⟩one rege Arcadiae Lycaeus mons dictus est. alii ex Mercurio et Penelopa natum, comitem Dianae feras solitum a cubilibus excitare et ideo capripedem figuratum, quo facilius*

SCHOL. THEOKR. I 123a b: VII 109—110b c.

1 ἀπάτωρ Mü(nzel) We (F 135) τῆς ὥρας KAPT τοῖς ὄροις G καὶ τῆς ἥρας E 4 δὲ καὶ K γὰρ cett αὐτοῦ K τοῦ θεοῦ cett 5—6 ἀπομίμημα om GEAPT 6 μηνίσκους K μήνισκος EA μήνιγγος GT εὐ μήνικος P 7 παρδαλῆν ἐνῆφθαι Valckenaer πάρδαλιν εἰλῆφθαι Schol [γῆς] Ahr 8 ⟨τῶν ἄστρων⟩ We τῆς ἀστρικῆς Dübner εἵνεκα: εἰκόνα Ahr 9 ⟨τραγ. καὶ⟩ Ahr 10 στερρῶν Ahr μερῶν K νεύρων cett 11 πνευμάτων K πάντων ἀνέμων cett πλανωμένων Ahr 12 αἰγίποον Hefermehl αἰγωπὸν Schol αἰγόποινν Hemsterhuys 12—14 τὰς καταιγίδας καὶ — μεταβολάς * τὰς αἰφν. ταραχάς We 15 ⟨λάσια⟩ We 17—18 [τὰ — σημαίνοντα] Jac 19 ὀρέπανον: Cornut. 27 p. 51, 6 L 24¹—29¹ Hücken Mü 24¹—26¹ [Καλλιστοῦς — Κυλλήνης] Mü 25¹ δύο: Διὸς Mü 25² *Pindarus et caeteri* Schol Lucan *P. et Hecataeus* (1 F 371) Usener 31¹ φησι Schwartz 32¹ Ἄραιθος Robert ἀρήθος A

Ἑρμοῦ· Ἐπιμενίδης δὲ Καλλιστοῦς καὶ Διὸς παῖδας γεγενῆσθαι Πᾶνα καὶ Ἀρκάδα διδύμους. Μνασέας (V) δὲ ξενικώτερον ἀφηγεῖται τὰ περὶ Πᾶνα * * ..... Αἰσχύλος (F 35 N[2]) δὲ δύο Πᾶνας, τὸν μὲν Διός, † ὃν καὶ Δίδυμον, τὸν δὲ Κρόνου.

περὶ τῶν Πανικῶν λεγομένων κινημάτων Ἀπολ-

densitatem ⟨terrae⟩ cursu posset evadere. .... alii eum ex Aethere et Oenoe. [Schol. Luc.: *alii Mercurii et eiusdem. hunc natum montanis nimfis a patre nutriendum traditum perhibent, unde hylicus deus factus. Euphorion Ulixis filium manifestat.*]

*Apollodorus sine parentibus eum fingit, quoniam universum, id est τὸ πᾶν, huic deo sit attributum: cornua, quibus solis circuli lunaeque designantur ⟨rubet eius facies ad aetheris imitationem⟩; pellis maculis distincta, quae variam designat imaginem siderum; inferior pars corporis hirsuta, ut situs terrae; ⟨caprinos pedes habet, ut ostendat soliditatem terrae⟩; cum fistula est, quoniam flatus ventorum ex eo oriuntur; ⟨calauropa habet id est pedum propter annum qui in se recurrit⟩.*

*motus vero ad repentinas fugas Panicus*

**136 b** CORNUT. Theol. comp. 27 p. 49, 5 L: τοῦτον εἶναι καὶ τὸν Πᾶνα, ἐπειδὴ τῶι παντὶ ὁ αὐτός ἐστι. καὶ τὰ μὲν κάτω λάσια καὶ τραγώδη διὰ τὴν τῆς γῆς δασύτητα ἔχειν, τὰ δ' ἄνω ἀνθρωπόμορφα διὰ τὸ ἐν τῶι αἰθέρι τὸ ἡγεμονικὸν εἶναι τοῦ κόσμου ..... (allegorische ausdeutung seines λάγνου καὶ ὀχευτικοῦ, ἐν ταῖς ἐρημίαις διατρίβειν. τὰς νύμφας διώκειν, des σκιρτητικόν) νεβρίδα δὲ ἢ παρδαλῆν αὐτὸν ἐνῆφθαι διὰ τὴν ποικιλίαν τῶν ἄστρων καὶ τῶν ἄλλων χρωμάτων ἃ θεωρεῖται ἐν αὐτῶι. συριγκτὴν δὲ εἶναι τάχα μὲν διὰ τὸ ὑπὸ παντοίων ἀνέμων διαπνεῖσθαι ..... τῶι δὲ ἐν τοῖς ὄρεσιν αὐτὸν καὶ τοῖς σπηλαίοις διατρίβεσθαι καὶ τὸ τῆς πίτυος στέμμα ἐπικολούθησεν ....

ἔτι δὲ τὸ Πανικὰς λέγεσθαι ταραχὰς τὰς αἰφνι-

1[2] ⟨terrae⟩ Mü 3[2] Oenoe Mü *Iunone* Exp *Oenone* Schol Bern 4[1] διδύμους, ⟨τὴν δὲ Καλλιστὼ θυγατέρα εἶναι Λυκάονος καὶ νύμφης Κυλλήνης, ἀφ' ἧς τὸ ὄρος⟩ Schw(artz) Schol. Theokr. I 64 c *Μνασέας ... Πανός φησι Βουκολίωνα υἱόν, ἀφ' οὗ καὶ τὸ βουκολεῖν.* 8[1]—9[1] [ὃν κ. διό.] Schw *δίδυμον* ⟨Ἀρκάδος⟩ Franz 17[2] v. l. τραχύτητα, θρασύτητα 18[2]—19[2] ⟨*rubet — imitationem*⟩ Jac aus Schol Luc 20[2] *pellis*: *nebris* Schol Luc cf. 136 b 25 25[2]—27[2] ⟨*caprinos — terrae*⟩ Jac aus Schol Luc 26[2] v. l. *παρδαλιν* 29[2]—30[2] v. l. *ἐν αὐτῆι*: *ἐν οὐρανῶι* Struve 30[2]—32[2] ⟨*calauropa — recurrit*⟩ Jac aus Schol Luc 33[2]—1082, 2, 2 *motus — commotationem* om Schol Luc 33[2] *motus* Jac *metus, matus, mutus* Schol

λόδωρος τὴν αἰτίαν ἐκτίθησι ταύτην· «τὰ ὄρη καὶ αἱ νάπαι καὶ πάντα τὰ ὕπαντρα τῶν ὀρῶν ἐστιν ἠχώδη. ποικίλων ⟨οὖν⟩ καὶ παντοδαπῶν φωνῶν ἐν τοῖς ὄρεσι γινομένων ὑπό τε κυνηγῶν καὶ ζώιων ἡμέρων τε καὶ ἀγρίων ἦχοι ⟨ἐκμι⟩μητικοὶ γίνονται τούτων. ὅθεν πολλάκις τινὲς τὰ μὲν σώματα τῶν φωνούντων οὐχ ὁρῶντες, αὐτὴν δὲ μόνην τὴν προσπίπτουσαν φωνὴν ⟨ἀκροώμενοι⟩ φασι Πᾶνα σὺν ταῖς Νύμφαις ἐν τοῖς ἄντροις μετ' αὐλῶν καὶ συρίγγων φωνεῖν». ὡς καὶ Ὀδυσσεύς (Od. ζ 122)· 'ὥς τέ με κούρων ἀμφήλυθε θῆλυς ἀυτὴ Νυμφάων, αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα'.

*dictus propter subitam aeris commotationem.*

ὁίους καὶ ἀλόγους· οὕτω γάρ πως καὶ αἱ ἀγέλαι καὶ τὰ αἰπόλια πτοεῖται, ψόφου τινὸς ἐξ ὕλης ἢ τῶν ὑπάντρων καὶ φαραγγωδῶν τόπων ἀκούσαντα. οἰκείως δὲ καὶ τῶν ἀγελαίων θρεμμάτων αὐτὸν ἐπίσκοπον ἐποιήσαντο ....

136 c PORPHYRIOS b. Euseb. PE III 11 p. 115 A.

137 (38) HESYCH. s. Ἀγρεύς· ὁ Πὰν παρὰ Ἀθηναίοις, ὡς Ἀπολλόδωρος.

138 (—) a) THEODORET. Graec. aff. cur. VIII 19—23: καὶ τὸν Ἀσκληπιὸν δέ φησιν Ἀπολλόδωρος κατὰ μέν τινας Ἀρσινόης εἶναι υἱόν, κατὰ δὲ ἄλλους Κορωνίδος, λάθρα μὲν Ἀπόλλωνι ξυνιλθεῖν βιασθείσης, κυησάσης δὲ καὶ τεκούσης καὶ ἐκθεμένης τὸ βρέφος. τοῦτο δὲ κυνηγέτας τινὰς εὑρηκότας ὑπὸ κυνὸς τρεφόμενον λαβεῖν καὶ κομίσαι λέγει Χείρωνι τῶι Κενταύρωι. εἶτα ἐκεῖ

b) TERTULLIAN. adv. nat. II 14: (wie Herakles habt ihr auch den zu den göttern erhoben,) *qui pauca experientiae ingenia commentus dicebatur mortuos ad vitam recurasse.*

c) LACTANT. Div. Inst. I 10, 1—2: *Aesculapius et ipse non sine flagitio Apollinis natus quid fecit aliud divinis honoribus dignum nisi quod sanavit Hippolytum? mortem sane ha-*

---

6[1] ⟨οὖν⟩ Schw 11[1] ἐκμιμητικοὶ Schw .... μητικοὶ A 17[1]—18[1] ⟨ἀκροώμενοι⟩ Schw 19[1]—20[1] ἄντροις Vater ἀγροῖς A 21[1]—26[1] ὡς — κάρηνα aus der verkürzung Schol. p. 329, 12—15 hierher gestellt Jac

τραφῆναί τε καὶ ἀσκηθῆναι τὴν ἰατρικὴν ἐπιστήμην (F 116), ἐν Τρίκκῃ δὲ πρῶτον καὶ Ἐπιδαύρῳ δοῦναι πεῖραν τῆς τέχνης. οὕτω δ' ἄκρως, φησίν, ἐπαιδεύθη καὶ μάλα γε σπουδαίως, ὡς μὴ μόνον τοὺς ἀρρωστοῦντας ἰᾶσθαι, ἀλλὰ καί τινας τῶν τετελευτηκότων ἐγείρειν· διὸ δὴ τὸν τερπικέραυνον χαλεπήναντα πρηστῆρσι βαλεῖν καὶ ἐξαγαγεῖν τῆς ζωῆς (F 139). τοιγαροῦν καὶ ἄνθρωπος ἦν ... παρὰ Χείρωνος τήνδε τὴν τέχνην ἐκπαιδευθείς. οὗτος δὲ ὁ Χείρων καὶ Ἀχιλλέως ἐγένετο παιδευτής· ὅθεν δῆλον ὅτι κατὰ τὸν χρόνον τὸν αὐτὸν ἐγενέσθην, ἢ μικρῷ τινι οὗτος Ἀχιλλέως πρεσβύτερος, ἐπειδήπερ καὶ τοῖς Ἀργοναύταις ξυνέπλευσε καὶ ὁ τούτου γε παῖς ὁ Μαχάων ξυνεπολέμησεν Ἀχιλλεῖ ..... (trotzdem er also offenbarer mensch war) τοῖς ἄλλοις θεοῖς κατέλεξαν καὶ τεμένη γε καθωσίωσαν καὶ καθιέρωσαν βωμοὺς .... καὶ τὸν ἐνειλημένον αὐτῶι θαυμάζετε δράκοντα καὶ ξύμβολον εἶναι τῆς ἰατρικῆς φατε, ὅτι καθάπερ ἐκεῖνος ἀποδύεται τὸ γῆρας, οὕτως ἡ ἰατρικὴ τῶν νόσων ἐλευθεροῖ. ὅτι δὲ ἐπὶ τῶν Ὁμήρου χρόνων οὐδέπω οὗτος τῆς θεοποιίας ἐτετυχήκει, μάρτυς ὁ ποιητής, οὐ τὸν Ἀσκληπιὸν ἀλλὰ τὸν Παιήονα δείξας τὰ τοῦ Ἄρεως θεραπεύσαντα τραύματα (Il. *E* 899 ff.) ..... καὶ τὸν Μαχάονα δὲ οὐ θεοῦ λέγει υἱὸν οὐδέ γε ἡμιθέου ἀλλ' ἰατροῦ· ἔφη γάρ (Il. *Δ* 194)·

φῶτ' Ἀσκληπιοῦ υἱὸν ἀμύμονος ἰητῆρος.

*is Apollinis filius vel potius spurius ut incerto patre, ut Argivus Socrates (III) detulit, quippe expositum repertum ... educatum, canino scilicet ubere, ... fulmine exhaustus est ..... dicitur etiam mater eius eodem casu obisse. et tamen Athenienses scient eiusmodi deis sacrificare: nam Aesculapio et matri inter mortuos parentant.*

*buit clariorem quod a deo meruit fulminari. hunc Tarquitius de illustribus viris disserens ait incertis parentibus natum, expositum et a venatoribus inventum, canino lacte nutritum, Chironi traditum didicisse medicinam. fuisse autem Messenium, sed Epidauri moratum.*

139 (—) SCHOL. EURIP. Alk. 1: Ἀπολλόδωρος δέ φησιν κεραυνωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῶι τὸν Ἱππόλυτον ἀναστῆσαι (F 138 c)· Ἀμελησαγόρας (III) δὲ ὅτι Γλαῦκον· Πανύασσις (F 19 Ki) ⟨δὲ⟩ ὅτι Τυνδάρεων· οἱ δὲ Ὀρφικοὶ (F 40 K) ὅτι Ὑμέναιον· Στησίχορος (F 16) δὲ ἐπὶ Καπανεῖ καὶ Λυκούργωι· Φερεκύδης δὲ ἐν τῆι η̄ τῶν Ἱστοριῶν (3 F 35) τοὺς ἐν Δελφοῖς φησι θνήισκοντας αὐτὸν ἀναβιώσκειν· Φύλαρχος (81 F 18)

35 ⟨δὲ⟩ Münzel 37 η̄: l. ᾱ 38 ἀναβιῶσαι? Münzel

δὲ διὰ τοὺς Φινείδας· Τελέσαρχος (III) δὲ δι' Ὠρίωνα· Πολύαρχος δὲ ὁ Κυρηναῖος (37 F 1) διὰ τὸ τὰς Προίτου θυγατέρας αὐτὸν ἰάσασθαι κερανωθῆναί φησιν.

140 (21) SCHOL. ARISTOPH. Ran. 330: μυρσίνωι στεφάνωι ἐστεφανοῦντο οἱ μεμυημένοι, οὐχ, ὥς τινες νομίζουσι, κισσίνωι. ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς θεσμοθέτας φησὶ διὰ τοῦτο μυρσίνηι στέφεσθαι, ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεός (sc. ἡ Δημήτηρ), καὶ ὅτι τοῖς χθονίοις ἀφιέρωτο.

141 (22) PHOT. s. Καλλιγένειαν· Ἀπολλόδωρος μὲν τὴν γῆν· οἱ δὲ Διὸς καὶ Δήμητρος θυγατέρα· Ἀριστοφάνης δὲ ὁ κωμικὸς τροφόν.

142 (11) CLEM. ALEX. Protr. II 13, 1: καί μοι δοκεῖ τὰ ὄργια καὶ τὰ μυστήρια δεῖν ἐτυμολογεῖν, τὰ μὲν ἀπὸ τῆς ὀργῆς τῆς Διοῦς τῆς πρὸς Δία γεγενημένης, τὰ δὲ ἀπὸ τοῦ μύσους τοῦ συμβεβηκότος περὶ τὸν Διόνυσον· εἰ δὲ καὶ ἀπὸ Μυοῦντός τινος Ἀττικοῦ, ὃν ἐν κυνηγίαι διαφθαρῆναι Ἀπολλόδωρος λέγει, οὐ φθόνος· ὑμῶν δεδόξασται τὰ μυστήρια ἐπιτυμβίωι τιμῆι. πάρεστι δὲ καὶ ἄλλως μυθήριά σοι νοεῖν, ἀντιστοιχούντων τῶν γραμμάτων, τὰ μυστήρια· θηρεύουσι γὰρ εἰ καὶ ἄλλοι τινές, ἀτὰρ δὴ καὶ οἱ μῦθοι οἱ τοιοίδε Θρακῶν τοὺς βαρβαρικωτάτους, Φρυγῶν τοὺς ἀνοητοτάτους, Ἑλλήνων τοὺς δεισιδαίμονας.

148 (—) DONAT. Terent. Phorm. 49: *sed Terentius Apollodórum sequitur, apud quem legitur initiis Samothracum a certo tempore pueros imbui more Atheniensium.*

144 (33) SCHOL. SOPH. OK 57: δν δ' ἐπιστείβεις τόπον, χθονὸς καλεῖται τῆσδε χαλκόπους ὁδός] φησὶ δὲ Ἀπολλόδωρος δι' αὐτοῦ καταβάσι⟨μ⟩ον εἶναι εἰς Ἅιδου. καὶ Ἴστρος (III) δὲ μνημονεύει τοῦ χαλκοῦ ὁδοῦ καὶ Ἀστυδάμας (p. 780, 9 N²)· καί τις τῶν χρησμοποιῶν φησι·

Βοιωτοὶ δ' ἵπποιο ποτιστείχουσι κολωνόν,
ἔνθα λίθος τρικάρανος ἔχει καὶ χάλκεος οὐδός.

..... οὕτω δὲ ἐκαλεῖτο διὰ τὸ εἶναι μέταλλα χαλκοῦ ἐν τῶι Κολωνῶι.

145 (44) STEPH. BYZ. s. Ἰλισσός· ποταμὸς τῆς Ἀττικῆς, ἐφ' ὧι τιμῶνται αἱ Μοῦσαι Ἰλισσίδες, ὡς Ἀπολλόδωρος.

146 (—) SCHOL. EURIP. Rhes. 346: οὐκ εἴρηκε τίνος Μουσῶν ὁ Ῥῆσος ἦν παῖς. Κλειοῦς μέντοι λέγουσιν αὐτὸν εἶναι, καθάπερ Μαρσύας ὁ νεώτερος (135/6 F 7) ..... ἔνιοι δὲ Εὐτέρπης αὐτὸν γενεαλογοῦσιν,

---

1 Φινείδας Hem(sterhuys) φηνίδας B om A Πολύανθος Sext Emp 2 Προίτου Hem κροίσου AB 6—8 ὅτι — ἀφιέρωτο hinter κισσίνωι Fritzsche 8 ἀνιέρωτο V 16 μυθάρια Euseb 17 [τὰ μυστ.] Hefermehl 24—25 καταβάσιμον Jac καταβάσιον L κατάβασιν Laskaris 27 ἵπποισι Reisig ἱππῆα Heyne 30 ποταμὸς R πόλις VP (abbr.) ἐφ' ὧι Wentzel ἐν ὧι RVP 31 Ἰλισσίδες edd ἰλισοίδες RVP 33 ἦν Schw(artz) εἴη A

καθάπερ Ἡρακλείδης (p. 92 Voss). *φησὶ δέ· Ἑβδόμη δὲ Καλλιόπη, ⟨ἥ⟩ ποίησιν εὗρε, [πάντων καὶ] συνοικήσασα Οἰάγρωι γεννᾶι Ὀρφέα τὸν πάντων μέγιστον ἀνθρώπων ἐν τῆι κιθαρωιδικῆι τέχνηι γενόμενον, πρὸς δὲ καὶ τῆς ἐγκυκλίου μαθήσεως † συγκρεματικώτερον. ὀγδόη δ' Εὐτέρπη, ἣ τὴν* 5 *κατ' αὐλοῦ εὕρεν εὐέπειαν, συνοικήσασα Στρυμόνι τεκνοῖ Ῥῆσον, ὃς ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἀναιρεῖται*'. οἷς καὶ Ἀπολλόδωρος ἐπηκολούθησε γράφων οὕτως· «*τὰς μὲν Μούσας οἱ μὲν πλεῖστοι παρθένους παραδεδώκασι.*» ⟨ἀνα⟩γράφει δὲ *Οὐρανίας μὲν Λίνον, Καλλιόπης* ⟨δὲ⟩ *Ὀρφέα, Μελπομένης δὲ Θάμυριν* (F 162), *Εὐτέρπης δὲ Ῥῆσον, Τερψι-* 10 *χόρης δὲ Σειρῆνα*⟨ς⟩, *Κλειοῦς δὲ Ὑμέναιον· τῶν δὲ λοιπῶν Θαλείας Παλαίφατον, ἐκ δὲ Πολυμνίας Τριπτόλεμον· Ἐρατὼ δὲ ἐρασθῆναι μὲν Ὑακίνθου, τελευτήσαντος δὲ αὐτοῦ μηδενός, μηδ' υἱὸν γενέσθαι αὐτῶν.*

147 (32) SCHOL. SOPH. OK 56: *Τιτὰν Προμηθεύς*] *περὶ τοῦ τὸν Προμηθέα περὶ τὴν Ἀκαδήμειαν καὶ τὸν Κολωνὸν ἱδρῦσθαι Ἀπολλόδωρος* 15 *γράφει οὕτω †τῆι περὶ ..... «συντιμᾶται δὲ καὶ ἐν Ἀκαδημείαι τῆι Ἀθηνᾶι καθάπερ ὁ Ἥφαιστος· καὶ ἔστιν αὐτοῦ παλαιὸν ἵδρυμα καὶ βωμὸς ἐν τῶι τεμένει τῆς θεοῦ. δείκνυται καὶ βάσις ἀρχαία κατὰ τὴν εἴσοδον, ἐν ἧι τοῦ τε Προμηθέως ἐστὶ τύπος καὶ τοῦ Ἡφαίστου·* 20 *πεποίηται δέ* [[*ὡς καὶ Ἀυσιμαχίδης* (III) *φησίν*]] *ὁ μὲν Προμηθεὺς πρῶτος καὶ πρεσβύτερος ἐν δεξιᾶι σκῆπτρον ἔχων, ὁ δὲ Ἥφαιστος νέος καὶ δεύτερος· καὶ βωμὸς ἀμφοῖν κοινός ἐστιν ἐν τῆι βάσει ἀποτετυπωμένος.*»

148 (—) SCHOL. PINDAR. N X 114: *ἀπὸ Ταυγέτου πεδαυγάζων* 25 *ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει ἥμενος*] *ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῆι ἐν τοῖς Κυπρίοις λεγομένηι ἱστορίαι· ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ* (F 9 Ki) *τὸν Κάστορα ἐν τῆι δρυὶ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως. τῆι δὲ αὐτῆι γραφῆι καὶ Ἀπολλόδωρος κατηκολούθησε. πρὸς οὕς φησι Δίδυμος* (p. 236 Schm), *ἀμφοτέρων ὑπὸ τῆι* 30 *δρυὶ λοχώντων κτλ.*

149 (37) SCHOL. THEOKRIT. X 41—42 c d: *ὁ δὲ Λιτυέρσας ἦν Μίδου νόθος παῖς, γεωργὸς δὲ ὢν τοὺς παρ⟨ι⟩όντας θερίζειν ἠνάγκαζε καὶ κατὰ τὴν*

---

1 *Ἡρακλείδης* Schw ἡρακλειτος A ⟨ἥ⟩ Schw 2 [*πάντων καὶ*] Schw *ποιημάτων καὶ* G Hermann *ἐπῶν* o. *ἐπικὴν* Wilamowitz *συνοικήσασα Οἰάγρωι* G Hermann *συνοικήσαντα ἀγρῶι* A 3 *μέγιστον*: *μουσικώτατον*? 4 *συγκεκροτημένον* Haupt *ἐγχειρηματικώτατον* Schw 5 *τεκνοῖ* Schw *ἐντεκνοῖ* A 8 ⟨*ἀνα*⟩*γράφει* Schw *μὲν Λίνον* G Hermann *μέλινον* A 9 ⟨*δὲ*⟩ G Hermann 10 *Σειρῆνα*⟨ς⟩ Schw *μὲν Λίνον* G Hermann *μέλινον* A 9 ⟨*δὲ*⟩ G Hermann 10 *Σειρῆνα*⟨ς⟩ *γράφει* Schw *μὲν Λίνον* G Hermann *μέλινον* A 12 *μηδενός* Schw *μηδένα* A *μηδ' υἱὸν* G Hermann *κίνδυνον* A *αὐτῆς*? Vater 12 *μηδενός* Schw *μηδένα* A *μηδ' υἱὸν* G Hermann *κίνδυνον* A *αὐτῆς*? Vater 15 *τῆι* * *περὶ* ⟨*θεῶν*⟩ C Mueller *ἐν* * *περὶ θεῶν*? 17 *τεμένει* Brunck *τέλει* L 20 [[ ]] zusatz des scholiasten 31 *Λιτυέρσας* Wendel *λυτι*— Schol 31—32 *ἦν Μίδου* Adert *κώμιδος* Schol 32 *παρ⟨ι⟩όντας* Duebner

ὀσπέραν συναπέτεμε τοῖς ὀράγμασιν αὐτῶν τὰς κεφαλάς. ὃν ὁ Ἡρακλῆς ὕστερον ἔκτεινε. (d) τοῦτόν δέ φησιν Ἀπολλόδωρος ὠιδὴν εἶναι ϑεριστῶν, λέγων οὕτω· «καϑάπερ ἐν μὲν ϑρήνοις Ἄλεμος, ἐν δὲ ὕμνοις Ἶουλος, ἀφ' ὧν καὶ τὰς ὠιδὰς αὐτὰς καλοῦσιν, οὕτω καὶ τῶν ϑεριστῶν ὠιδὴ Λιτυέρσας.»

150 (211) a) ET. GEN. (ET. M.) s. ἀλάστωρ (PHOT. BEROL. p. 70, 15 Reitz; *ΣΠΝΑΓ. ΛΕΞ. ΧΡΗΣ.* 374, 24 Bk.): ἀλάστωρ ὁ ἁμαρτωλός· ἢ ὁ φονεύς· ἢ ὁ ἐφορῶν τοὺς φόνους Ζεύς. κατὰ μὲν Χρύσιππον τὸν φιλόσοφον (II 47, 158 v. Arn) ἐπὶ τοῦ ἁμαρτωλοῦ καὶ φονέως ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος τοῦ ἐλαύνεσθαι διὰ φόνον ⟨ἢ ἀπὸ τοῦ ἀλᾶσθαι τοῦ πλανᾶσθαι, ἢ ὁ ἄλαστα δρῶν⟩· κατὰ δὲ Ἀπολλόδωρον ἀπὸ τοῦ ἀλιτεῖν, ὃ ἐστιν ἁλιτανεύτως ἀδικεῖν. μήποτε δέ ἐστιν ὁ διὰ μέγεθος τῶν πεπραγμένων αὐτῷ λιτῆς μὴ καταξιούμενος, ἢ ὁ τοιαῦτα τολμήσας πράττειν ὧν μὴ ἐστιν ἐπιλαϑέσθαι. ἐπὶ δὲ τοῦ Διός, οἷον 'ἀλάστωρ Ζεύς', ἀπὸ ⟨τοῦ⟩ τοῖς ⟨ἄλασ⟩τα πάσχουσιν ἐπαμύνειν. b) PHOT. BEROL. p. 71, 6 Reitz: μήποτε δὲ ὁ αὐτός ἐστι τῷ ἁλιτηρίῳ καὶ ἁλιτρῷ· Δημοσθένης ἐν τῷ Περὶ τῆς παραπρεσβείας (305)· 'βάρβαρον πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον . . . ἀπεκάλει'. λέγουσι δὲ καὶ τὸν Δία, ὡς οὐδὲν αὐτὸν τῶν τολμωμένων παρὰ ἀνθρώποις λαϑεῖν δυνάμενον. Νικοχάρης (I 774, 18 K) δὲ καὶ ϑηλυκῶς ἔφη 'τὴν ἀλάστορα Σφίγγα'. καὶ δαίμων τις καλεῖται ἐπεξιὼν τοὺς ἄλαστα εἰργασμένους· καὶ αὐτὸς ὁ πράξας τι τοιοῦτον, μάλιστα δὲ φόνον αὐτοχειρίαι .... (belege aus Menandros und Aischylos).

151 (200) ATHEN. IV 73 p. 172 F—173 A: οὐκ ἀγνοῶ δὲ καὶ περὶ Δηλίων ὃ Ἀπολλόδωρος ὁ Ἀθηναῖος εἴρηκεν ὅτι μαγείρων καὶ τραπεζοποιῶν παρείχοντο χρείας τοῖς παραγινομένοις πρὸς τὰς ἱερουργίας· καὶ ὅτι ἦν αὐτοῖς ἀπὸ τῶν πράξεων ὀνόματα Μαγίδες καὶ Γογγύλοι, ἐπειδὴ τὰς μάζας, φησὶν Ἀριστοφάνης (Pac. 27), ἐν ταῖς ϑοίναις δι' ἡμέρας τρίβοντες παρεῖχον ὥσπερ [ἐν] γυναιξὶ γογγύλας μεμαγμένας. καλοῦνται δὲ καὶ μέχρι νῦν τινες αὐτῶν Χοίρακοι καὶ Ἀμνοὶ καὶ Ἀρτυσίλεως καὶ Σήσαμοι καὶ Ἀρτυσίτραγοι καὶ Νεωκόροι καὶ Ἰχϑυβόλοι, τῶν δὲ γυναικῶν Κυμινάνϑαι, κοινῇ δὲ πάντες Ἐλεοδύται διὰ τὸ τοῖς ἐλεοῖς ὑποδύεσϑαι, διακονοῦντες ἐν ταῖς ϑοίναις — ἔλεος δέ ἐστιν ἡ μαγειρικὴ τράπεζα· Ὅμηρος (Il. *I* 215) 'αὐτὰρ ἐπεί ῥ' ὤπτησε καὶ εἶν ἐλεοῖσιν ἔϑηκε'. ὅϑεν καὶ Πολυκράτων ὁ Κριϑωνος Ῥηναιεὺς δίκην γραφόμενος οὐ Δηλίους αὐτοὺς

8 ἢ ὁ φονεύς — Ζεύς om Phot ἢ ὁ φονικὸς δαίμων Bk Lex 9 ἐπὶ τοῦ ἁ. καὶ φονέως om Phot Bk Lex (s. Reitzenstein Lex. d. Phot. p. 70f.) 9—10 ἀπὸ τῆς ἐ. om Et g 10—11 ἢ ἀπὸ — ὁρῶν add Et g aus Methodios 13—14 ἢ — ἐπιλαϑέσϑαι: bei Phot. p. 72, 4 selbständige glosse 14 ἐπὶ δὲ τοῦ Διός: κατὰ δὲ Δίδυμον Phot Bk Lex 14—15 ἀπὸ — ἄλαστα erg. aus Phot Bk Lex 22 ἀγνοῶ Musurus ἀγνοῶν A 25 Μαγίδες καὶ Γογγύλοι Villebrun μάγαδις καὶ γογγυλος AC 26 Ἀριστοφάνης Schweigh ἀριστοτέλης AC 27 [ἐν] edd μεμαγμένας Aristoph μεμιγμένας A 28 Ἀρτυσίλεως C ἀρτυσιλαοιεω A 29 Ἀρτοτράγοι καὶ Κρεωβόροι? Kaibel 33 Ῥηναιεὺς Anon ῥηναίους A

ὀνομάζει, ἀλλὰ τὸ κοινὸν τῶν Ἐλεοδυτῶν ἐπηιτιάσατο. καὶ ὁ τῶν Ἀμφικτυόνων δὲ νόμος κελεύει ὕδωρ παρέχειν ἐλεοδύτας, τοὺς τραπεζοποιοὺς καὶ τοὺς τοιούτους διακόνους σημαίνων.

152 (39) SUID. s. ἀνάστατοι (s. ἀμφιφῶντες)· πλακοῦντος εἶδος .... οἱ δὲ ἀμφιφῶντες γίνονται Μουνυχιῶνος μηνὸς ἕκτηι ἐπὶ δέκα, οἳ καὶ εἰς τὸ Μουνυχίας ἱερὸν τῆς Ἀρτέμιδος κομίζονται. ὀνομάζονται δὲ ἀμφιφῶντες, ὡς μέν τινες, ὅτι τότε γίγνονται ὅτε ἥλιός τε καὶ σελήνη πρωὶ ὑπὲρ γῆς φαίνονται· ὡς δὲ Ἀπολλόδωρος, ὅτι κομίζουσιν αὐτοὺς δαιδία ἡμμένα περιπηγνύντες ἐπ' αὐτῶν.

153 (—) KYRILLOS Lex. Cram. AP IV 184, 1: θρία· φύλλα συκῆς ἢ ἀμπέλου, ὡς Ἀπολλόδωρος.

## ΠΕΡΙ ΤΟΥ ΝΕΩΝ ΚΑΤΑΛΟΓΟΥ Ā—ĪΒ.

(T 12—15; F 291? 294? 300? 306? 334)

### Ā

154 (152) STEPH. BYZ. s. Ἄργουρα· πόλις Θεσσαλίας, ἡ πρότερον B 497 Ἄργισσα (Il. B 738). ἔστι καὶ τόπος τῆς Εὐβοίας Ἄργουρα, ὅπου δοκεῖ τὸν Πανόπτην Ἑρμῆς πεφονευκέναι. τὸ ἐθνικὸν ἔδει Ἀργουραῖος, ὡς καὶ Φίλων (III)· Ἀπολλόδωρος δέ φησιν ἐν Ā Νεῶν Καταλόγου Ἀργείους ὀνομάζεσθαι, «ἡ τῆς προσηγορίας μεταπεσούσης ἢ διὰ τὸ προσχυροῦν τὰ πεδία τῆς Θετταλίας, ἣν δὴ Πελασγικὸν Ἄργος εἶπεν Ὅμηρος (Il. B 681). καλοῦνται δὲ ⟨οἱ ἐκεῖ καὶ⟩ Λεοντῖνοι ἀπὸ Λεοντέως».

155 (154) — s. Ὡρωπός· ..... τὸ ἐθνικὸν Ὡρωπεύς· οὕτως γὰρ B 496 Ἀπολλόδωρος ἐν Νεῶν Καταλόγωι Ā «ἔστι δ' ἡ Γραῖα τόπος τῶν Ὡρωπέων πόλεως».

156 (151) — s. Πλαταιαί .... κέκληται δὲ ἀπὸ τῆς πλάτης τῆς B 504 κώπης, ὡς Ἀπολλόδωρος Ā τοῦ Καταλόγου· «ἐκλιμνωθείσης τῆς Βοιωτίας τοὺς παροικοῦντας ταῖς λίμναις Βοιωτοὺς

---

6 κολάζονται A 9 περιπηγνύντες ἐπ' αὐτοὺς Eust περι— ἐπ' αὐτῶι s. ἀμφιφῶντες παρα— ἐπ' αὐτῶν s. ἀνάστατοι 11 ἀπολλώδωρος hs 17 ἑρμῆν V s. ἀμφιφῶντες παρα— ἐπ' αὐτῶν s. ἀνάστατοι 18—19 Ἀπολλόδωρος — μεταπεσούσης: Ἄργισσα δὲ ὠνομάσθη ἢ ἀπὸ Ἀργείων ἢ διὰ τὸ προσχυροῦν κτλ. Eust. p. 333, 20 20 τοῖς πεδίοις Eust 21 ἐκαλοῦντο δέ φασιν Eust ⟨οἱ ἐκεῖ καὶ⟩ add Eust 24 Ἀπολλόδωρος Holste ὡς αὐτὸς Steph ὁ αὐτὸς Berkel Καταλόγου Westermann γραῖα RVP 25 ὡρωπιέων V ὡρωπίων P πόλεως Jac (Steph. B. s. Τάναγρα) πόλις Steph 26 ἀπὸ πλάτης V 26—27 πλάτης, ⟨καθὰ Κῶπαι⟩ τῆς κώπης? Meineke; doch s. παρὰ τὴν πλάτην, ὃ δηλοῖ τὴν κώπην Eust. 267, 43 und Πλαταιὰς γὰρ ἀπὸ τῆς πλάτης τῶν κωπῶν Strab. IX 2, 17 27 ἐκλιμνωθείσης Xylander ἐκ..μνωθείσης R ἐκγυμνωθείσης VP ἀπολιμνωθῆναι Eust

πλῶι πορεύεσθαι πρὸς ἀλλήλους, ὅθεν παρὰ τὴν πλάτην καὶ τὴν κώπην τὰς πόλεις κληθῆναι.»

$\overline{B}$

157 (159—160) a) STRAB. VII 3, 6: τοιαῦτα μὲν οὖν ⟨οὐ⟩ κακῶς ἄν τις διαπορήσειε περὶ τῶν κειμένων παρὰ τῶι ποιητῆι, περί τε Μυσῶν καὶ ἀγαυῶν Ἱππημολγῶν. ἃ δ' Ἀπολλόδωρος ἐν τῶι δευτέρωι Περὶ Νεῶν προοιμιαζόμενος εἴρηκεν, ἥκιστα λέγοιτ' ἄν. ἐπαινεῖ γὰρ Ἐρατοσθένους ἀπόφασιν (V), ὅτι φησὶν ἐκεῖνος καὶ Ὅμηρον καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς τὰ μὲν Ἑλληνικὰ εἰδέναι, τῶν δὲ πόρρω πολλὴν ἔχειν ἀπειρίαν, ἀπείρους μὲν μακρῶν ὁδῶν ὄντας, ἀπείρους δὲ τοῦ ναυτίλλεσθαι. συνηγορῶν δὲ τούτοις Ὅμηρόν φησι τὴν μὲν Αὐλίδα καλεῖν πετρήεσσαν (*B* 496), ὥσπερ καὶ ἔστι, πολύκνημον δὲ τὸν Ἐτεωνόν (*B* 497), πολυτρήρωνα δὲ τὴν Θίσβην (*B* 502), ποιήεντα δὲ τὸν Ἁλίαρτον (*B* 503)· τὰ δ' ἄπωθεν οὔτ' αὐτὸν εἰδέναι οὔτε τοὺς ἄλλους. ποταμῶν γοῦν περὶ τετταράκοντα ῥεόντων εἰς τὸν Πόντον, μηδὲ τῶν ἐνδοξοτάτων μηδενὸς μεμνῆσθαι, οἷον Ἴστρου Τανάιδος Βορυσθένους Ὑπάνιος Φάσιδος Θερμώδοντος Ἅλυος· ἔτι δὲ Σκυθῶν μὲν μὴ μεμνῆσθαι, πλάττειν δὲ ἀγαυούς τινας Ἱππημολγοὺς καὶ Γαλακτοφάγους Ἀβίους τε· Παφλαγόνας τε τοὺς ἐν τῆι μεσογαίαι ἱσιορηκέναι παρὰ τῶν πεζῆι τοῖς τόποις πλησιασάντων, τὴν παραλίαν δὲ ἀγνοεῖν. καὶ εἰκότως γε· ἄπλουν γὰρ εἶναι τότε τὴν θάλατταν ταύτην, καὶ καλεῖσθαι Ἄξενον διὰ τὸ δυσχείμερον καὶ τὴν ἀγριότητα τῶν περιοικούντων ἐθνῶν, καὶ μάλιστα τῶν Σκυθικῶν, ξενοθυτούντων καὶ σαρκοφαγούντων καὶ τοῖς κρανίοις ἐκπώμασι χρωμένων·

b) — XII 3, 26: εἴρηται δ' αὐτῶι που καὶ διότι ὁ ποιητὴς ἱστορίαν εἶχε τῶν Παφλαγόνων τῶν ἐν τῆι μεσογαίαι παρὰ τῶν πεζῆι διελθόντων τὴν χώραν, τὴν παραλίαν δ' ἠγνόει, καθάπερ καὶ τὴν ἄλλην τὴν Ποντικήν· ὠνόμαζε γὰρ ⟨ἂν⟩ αὐτήν (polemik Strabons) ..... καὶ τὸ μὴ ὀνομάζειν δὲ πολλὰ τῶν γνωρίμων οὐκ ἀγνοίας ἐστὶ σημεῖον .... ἀγνοεῖν γὰρ αὐτὸν πολλὰ τῶν ἐνδόξων ἔφη περὶ τὸν Πόντον, οἷον ποταμοὺς καὶ ἔθνη· ὀνομάσαι γὰρ ἄν. τοῦτο δ' ἐπὶ μέν τινων σφόδρα σημειωδῶν δοίη τις ἄν, οἷον Σκύθας καὶ Μαιῶτιν καὶ Ἴστρον. οὐ γὰρ ⟨ἂν⟩ διὰ σημείων μὲν τοὺς νομάδας εἰρηκε Γαλακτοφάγους Ἀβίους τε, δικαιοτάτους [τ'] ἀνθρώπους, καὶ ἔτι ἀγαυοὺς Ἱππημολγούς, Σκύθας δὲ οὐκ [ἂν] εἶπεν ἢ Σαυρομάτας ἢ Σαρμάτας, εἰ δὴ οὕτως ὠνομάζοντο ⟨τότε⟩ ὑπὸ τῶν Ἑλλήνων. οὐδ' ἂν Θρακῶν τε καὶ Μυσῶν μνησθεὶς τῶν πρὸς τῶι Ἴστρωι αὐτὸν παρεσίγησε, μέγιστον τῶν ποταμῶν ὄντα, καὶ ἄλλως ἐπιφόρως ἔχων πρὸς τὸ τοῖς ποταμοῖς ἀφορίζεσθαι τοὺς τόπους· οὐδ' ἂν Κιμμερίους λέγων παρῆκε τὸν Βόσπορον ἢ τὴν Μαιῶτιν. (27) ἐπὶ δὲ τῶν μὴ οὕτω σημειωδῶν ἢ μὴ τότε ἢ μὴ πρὸς τὴν ὑπόθεσιν τί ἂν τις μέμφοιτο; οἷον τὸν Τάναιν κτλ. s. F 171.

1 πρὸς ἀλλήλους Eust ἀπὸ ἀλλήλους R ἀπὸ ἀλλήλων VP 1—2 πλάτην τὴν κώπην P 4 τοιαῦτα: ταῦτα Corais ⟨οὐ⟩ Corais 17² 18³ καθάπερ Xylander καίπερ Str 19² ⟨ἂν⟩ Kramer 21¹ πλάττειν Villebrun (VII 3, 7) πάντας Str 24¹ ⟨μὲν⟩ ἂν Corais 25² ἄν Groskurd Kramer 27¹ [τ'] Kramer (VII 3, 7) 28² [ἂν] Kramer 29² εἰ ἤδη Corais ⟨τότε⟩ Kramer

ὕστερον δ' Εὔξεινον κεκλῆσθαι, τῶν Ἰώνων ἐν τῇι παραλίαι πόλεις κτισάντων. ὁμοίως δ' ἀγνοεῖν καὶ τὰ περὶ Αἴγυπτόν καὶ Λιβύην, οἷον τὰς ἀναβάσεις τοῦ Νείλου καὶ προσχώσεις τοῦ πελάγους, ὧν οὐδαμοῦ μεμνῆσθαι, οὐδὲ τοῦ ἰσθμοῦ τοῦ μεταξὺ τῆς Ἐρυθρᾶς καὶ τῆς Αἰγυπτίας θαλάττης· οὐδὲ τῶν κατὰ τὴν Ἀραβίαν καὶ Αἰθιοπίαν καὶ τὸν ὠκεανόν, εἰ μὴ Ζήνωνι τῶι φιλοσόφωι προσεκτέον γράφονει (Od. δ 84)·

Αἰθιόπας θ' ἱκόμην καὶ Σιδονίους Ἀραβάς τε.

οὐ θαυμαστὸν δ' εἶναι περὶ Ὁμήρου· καὶ γὰρ τοὺς ἔτι νεωτέρους ἐκείνου πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν· Ἡσίοδον μὲν Ἠικύνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους, Ἀλκμᾶνα δὲ Στεγανόποδας, Αἰσχύλον δὲ Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονοιμάτους [ἐν τῶι Προμηθεῖ φασι] καὶ ἄλλα μυρία.

c) TZETZ. Chil. VII 760: ὁ δέ γε Ἀπολλόδωρος δευτέρωι Καταλόγου ... τέρατά τε καὶ πλάσματα οἴεται γράφων ὧδε· Ἠμίκυνες, Μακρόκρανοι καὶ οἱ Πυγμαῖοι πλάσμα, ὥσπερ οἱ Στεγανόποδες καὶ οἱ Στερνόφθαλμοι δέ, αὐτοί τε Κυνοκέφαλοι μετὰ τῶν Μονομμάτων· μῦθοί τε Ἰμαντόποδες καὶ Ἰμαντοσκελεῖς τε, Μονοτοκῆται, Ἄρρινες καὶ Ἄστομοι ὁμοίως, καὶ οἱ Ὀπισθοδάκτυλοι καὶ οἱ Ἀγελαστοῦντες.

e) f) s. u. p. 1090

ἀπὸ δὲ τούτων ἐπὶ τοὺς συγγραφέας βαδίζει Ῥιπαῖα ὄρη λέγοντας καὶ τὸ Ὠγύιον ὄρος καὶ τὴν τῶν Γοργόνων καὶ Ἑσπερίδων κατοικίαν (1 F 194) καὶ τὴν παρὰ Θεοπόμπωι (115 F 75) Μεροπίδα γῆν, παρ' Ἑκαταίωι (III) δὲ Κιμμερίδα πόλιν, παρ' Εὐημέρωι (63 T 5) δὲ τὴν Παγχ⟨α⟩ίαν γῆν, παρ' Ἀριστοτέλει δὲ ποταμίους λίθους ἐξ ἄμμου, ἐκ δὲ τῶν ὄμβρων τήκεσθαι· ἐν δὲ τῇι Λιβύηι Διονύσου πόλιν εἶναι, ταύτην δ' οὐκ ἐνδέχεσθαι δὶς τὸν αὐτὸν ἐξευρεῖν.

ἐπιτιμᾶι δὲ καὶ τοῖς περὶ Σικελίαν τὴν πλάνην λέγουσι καθ' Ὅμηρον τὴν Ὀδυσσέως. εἰ γὰρ ἄν, χρῆναι τὴν μὲν πλάνην ἐκεῖ γεγονέναι φάσκειν, τὸν δὲ ποιητὴν ἐξωκεανικέναι μυθολογίας χάριν. καὶ τοῖς μὲν ἄλλοις συγγνώμην εἶναι, Καλλιμάχωι δὲ μὴ πάνυ, μεταποιουμένωι γε γραμματικῆς, ὃς τὴν μὲν Γαῦδον Καλυψοῦς νῆσόν φησι, τὴν δὲ Κόρκυραν Σχερίαν (F 524; 563 a Schn).

d) STRAB. I 2, 37: Ἀπολλόδωρος δὲ ἐπιτιμᾶι Καλλιμάχωι, συνηγορῶν τοῖς περὶ Ἐρατοσθένη, διότι, καίπερ γραμματικὸς ὤν, παρὰ τὴν Ὁμηρικὴν ὑπόθεσιν καὶ τὸν ἐξωκεανισμὸν τῶν τόπων, περὶ οὓς τὴν πλάνην φράζει, Γαῦδον καὶ Κόρκυραν ὀνομάζει ..... (38) οὐδ' ὁ Σκήψιος δὲ Δημήτριος εὖ, ἀλλὰ καὶ τῶι Ἀπολλοδώρωι τῶν ἁμαρτιῶν ἐνίων αἴτιος ἐκεῖνος κατέστη .....

12[1] Μακροκεφάλους p. 1090, 31 14[2] μῦθοι Heyne μύθων Tz 16[1] [ἐν — φασι] Heyne 18 ῥειπέα AC ῥιπέα B 19 ὠγύιν C ὠγύγιον Xylander 21 Παγχ⟨α⟩ίαν Xylander 22 ἐξ ἄμμου ⟨μὲν γίνεσθαι⟩? 25[1] ἐπιτιμᾶι Casaubonus ἐπιτεῖναι Str 27[1] ἄν Corais αὖ Str 30[2] οὓς: οὑ C ὃν A ὃν B ὧν B[3] 31[2] Γαῦδον Casaubonus καῦνον Str 32[1] γε Casaubonus τε Str

ἄλλους δ' αἰτιᾶται ψεύσασθαι περὶ Γερήνων καὶ τοῦ Ἀκακησίου καὶ Δήμου ἐν Ἰθάκῃ, Πελεθρονίου δ' ἐν Πηλίῳ, Γλαυκωπίου δ' ἐν Ἀθήναις.

τούτοις δὲ μικρά τινα προσθεὶς τοιαῦτα παύεται, τὰ πλεῖστα μετενέγκας παρὰ τοῦ Ἐρατοσθένους, ὡς καὶ πρότερον ἐμνήσθημεν, οὐκ εὖ εἰρημένα ..... (polemik Strabons).

e) STRAB. I 2, 24: ἡ δ' αὐτὴ ἁμαρτία καὶ περὶ τοῦ ἀγνοεῖν τὸν ἰσθμὸν τὸν μεταξὺ τοῦ Αἰγυπτίου πελάγους καὶ τοῦ Ἀραβίου κόλπου, καὶ περὶ τοῦ ψευδῶς λέγεσθαι (Od. α 23)

Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν·

καὶ γὰρ τοῦτο ἐκείνου λέγοντος καλῶς, ἐπιτιμῶσιν οἱ ὕστερον οὐκ εὖ. τοσούτου γάρ δεῖ τοῦτ' ἀληθὲς εἶναι, τὸ ἀγνοεῖν Ὅμηρον τὸν ἰσθμὸν τοῦτον, ὥστε ἐκεῖνον μέν φημι μὴ εἰδέναι μόνον ἀλλὰ καὶ ἀποφαίνεσθαι ἄντικρυς, τοὺς δὲ γραμματικοὺς μηδὲ λέγοντος ἐκείνου αἰσθάνεσθαι ἀπὸ Ἀριστάρχου καὶ Κράτητος τῶν κορυφαίων ἐν τῇι ἐπιστήμηι ταύτηι. (ihre schreibungen von α 24; Krates erklärung durch die annahme des aequatorialen oceans.) ὁ δ' Ἀρίσταρχος ταύτην μὲν ἐκβάλλει τὴν ὑπόθεσιν, δίχα δὲ μεμερισμένους οἴεται λέγεσθαι τοὺς καθ' ἡμᾶς Αἰθίοπας, τοὺς τοῖς Ἕλλησι πρὸς μεσημβρίαν ἐσχάτους· τούτους δὲ μὴ μεμερίσθαι δίχα, ὥστε εἶναι δύο Αἰθιοπίας, τὴν μὲν πρὸς ἀνατολήν, τὴν δὲ πρὸς δύσιν, ἀλλὰ μίαν μόνην τὴν πρὸς μεσημβρίαν κειμένην τοῖς Ἕλλησιν, ἱδρυμένην δὲ κατ' Αἴγυπτον. τοῦτο δὲ ἀγνοοῦντα τὸν ποιητήν, ὥσπερ καὶ τἆλλα ὅσα εἴρηκεν Ἀπολλόδωρος ἐν τῶι Περὶ Νεῶν Καταλόγωι δευτέρωι, καταψεύσασθαι τῶν τόπων τὰ μὴ ὄντα.

f) — I 2, 35: (diskussion von Od. δ 84) οὐ δήπου κατ' ἄγνοιαν τοπικὴν καὶ τούτων λεγομένων ἀλλ' ἐν μύθου μᾶλλον σχήματι, καθάπερ καὶ τῶν παρ' Ἡσιόδωι καὶ τοῖς ἄλλοις, ἃ προφέρει ὁ Ἀπολλόδωρος, οὐθ' ὃν τρόπον παρατίθησι τοῖς Ὁμήρου ταῦτα εἰδώς. τὰ μὲν γὰρ Ὁμήρου, τὰ περὶ τὸν Πόντον καὶ τὴν Αἴγυπτον, παρατίθησιν ἄγνοιαν αἰτιώμενος, ὡς λέγειν μὲν τὰ ὄντα βουλομένου, μὴ λέγοντος δὲ τὰ ὄντα ἀλλὰ τὰ μὴ ὄντα ὡς ὄντα κατ' ἄγνοιαν. Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν, Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους· οὐδὲ γὰρ αὐτοῦ Ὁμήρου ταῦτα μυθεύοντος, ὧν εἰσι καὶ οὗτοι οἱ Πυγμαῖοι (Π. Γ 6), οὐδ' Ἀλκμᾶνος Στεγανόποδας ἱστοροῦντος, οὐδ' Αἰσχύλου Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους, ὅπου γε οὐδὲ τοῖς πεζῇι συγγράφουσιν ἐν ἱστορίας σχήματι προσέχομεν περὶ πολλῶν, κἂν μὴ ἐξομολογῶνται τὴν

1 *Γερήνων* Tzschucke *γερήνων* ABC 3 *τινα* dett *τι* ABC 9 *Αἰθίοπας* Epit *Αἰθίοπες* Str 13—14 *ἀπὸ — ταύτηι*: *ἀρξαμένους* Paris 1395 mg$^{2}$ 23 *Καταλόγου* Heyne 26 *οὐθ'*: *οὐδ'* Corais 31 *Μεγαλοκεφάλους* 1089, 1, 12 *Μακρόκρανοι* 1089, 2, 11 35 *κἂν* Heyne *ἐὰν* Str

*μυθογραφίαν. φαίνεται γὰρ εὐθύς, ὅτι μύθους παραπλέκουσιν ἑκόντες, οὐκ ἀγνοίαι τῶν ὄντων ἀλλὰ πλάσει τῶν ἀδυνάτων τερατείας καὶ τέρψεως χάριν.*

158 (162) SCHOL. ABD (EUST.) HOM. Il. Θ 284: *Ἡρακλῆς πορθήσας Ἴλιον Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, Πριάμου δὲ ἀδελφὴν ἔλαβεν αἰχμάλωτον καὶ ἔδωκεν αὐτὴν γέρας Τελαμῶνι ὡς συστρατεύσαντι αὐτῷ, ἀφ' ἧς ἔσχε Τεῦκρον ὁ Τελαμών. ὡς οὖν ἀπὸ Τρωικῆς γυναικὸς τεχθέντα τὸν παῖδα Τεῦκρον ἐκάλεσαν, προαναπέμψαντες τὸν τόνον καὶ ποιήσαντες κύριον· Τευκροὶ γὰρ οἱ Τρῶες ἀπὸ τοῦ βασιλεύοντος αὐτῶν Τεύκρου. ἡ δὲ ἱστορία ἀκριβέστερον εἴρηται παρά τε ἄλλοις πολλοῖς καὶ παρὰ Ἀπολλοδώρῳ τῷι γραμματικῷι ἐν τῷι δευτέρωι ⟨περὶ⟩ τῶν Νεῶν.*

## *E*

159 (163) ATHEN. III 22 p. 82 B: *ὅτι δ' ἡ Σιδοῦς τῆς Κορίνθου* B 670?
*ἐστὶ κώμη Ῥιανὸς εἴρηκεν ἐν α' Ἡρακλείας* (p. 178 Mei) *καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν ε' Περὶ Νεῶν Καταλόγου.*

## *Z*

160 (164) STEPH. BYZ. s. † *Λιταῖαι· πόλις Λακωνικῆς. Ἀπολλό-* B 583?
*δωρος Ζ'. οἱ πολῖται Λιταεῖς.*

161 (164a) — s. *Κορώνη· πόλις Μεσσήνης, ὡς Ἀπολλόδωρος Ζ'* B 581/90?
*τοῦ Καταλόγου.*

162 (—) SCHOL. EURIP. Rhes. 916 [Rabe Rh. Mus. 63, 420]: B 594 ff.
*τὸν Θάμυ⟨ριν⟩ λέγει Φιλάμμονος γεγενῆσθαι παῖδα, ⟨καθά⟩περ καὶ Σοφοκλῆς* (p. 180 N²). *εἰσὶ δέ, οἳ διττούς φασι Θ⟨αμύριδ⟩ας γεγονέναι, καθάπερ ἄλλοι τε ἱστοροῦσι καὶ Ἀπολλόδωρος ἐν Ζ' Καταλόγου γράφων οὕτως· «φασὶ δὲ ἔνιοι Θαμύριδας δύο, τὸν μὲν πρεσβύτερον ἐκ τῆς Βισαλτίας τὸ γένος ὄντα πατέρα τῆς Ὀρφέως μητρός, τὸν δὲ νεώτερον ξυνὴν μὲν ἔχ⟨ει⟩ν τὴν ὀνομασίαν διὰ τὴν ὁμοπατρίαν καὶ τὴν μουσικήν, υἱὸν δὲ κα⟨τα⟩λι⟨πεῖ⟩ν Ἀντίοχον· ἐξ οὗ καὶ Παν⟨δί⟩ας τῆς ἐλ... θυ⟨γατρὸς⟩ ἐν Ἀθήναις γενέσθαι τοὺς Ἀ⟨ντιοχίδας⟩.» ⟨παρ' Αἰ⟩σχύλωι δὲ τὰ περὶ τὸν Θάμυριν καὶ ⟨τὰς Μούσας ἀκριβέσ⟩τερον (?) ἀφήγηνται· ὁ γοῦν Ἀσκληπιάδης ἐν Τρ⟨ωιδουμένοις⟩ περὶ αὐτῶν φησι*

---

9 *βασιλεύσαντος* B 9—10 *παρά τε — καὶ* om A 10 *Ἀπολλοδώρωι* Valckenaer *Ἀπολλωνίωι* ABD *ἐν τῷι δευτ. ⟨περὶ⟩ τῶν Νεῶν*: *ἐν τῷι δ. τῶν γενῶν* AB *ἐν καταλόγωι νεῶν* D *ἐν β Καταλόγου Νεῶν* Valckenaer 13 *Ῥιανός* A *καὶ Musurus ὁ* A 16 *Λιταῖαι* RP *λιταί* V *Αὐγειαί* Casaubonus *ἀρειανὸς* A *πόλις* om V· *λακωνικὴ* P *λακωνικῆς* . *τὸ ἐθνικὸν λιταῖαι* R 17 *Λιταιεῖς* codd. Palat. 20—1092, 4 ⟨ ⟩ erg. Rabe; unsicher gelesenes unterpungiert 25 *βισαντίας* A 30 ⟨ξενικώ⟩*τερον*? Jac

τὸν τρόπον τοῦτον (12 F 10) ..... Ὅμηρος (Il. *B* 594) δὲ ⟨περ⟩ὶ Δώ⟨ριόν φησι⟩ συστῆναι τὰ κατὰ Θάμυριν·

καὶ Πτέλεον ⟨καὶ Ἕλος⟩ καὶ Δώριον, ἔνθα τε Μοῦσαι
ἀντόμεναι Θάμυριν τὸν Θρήικα παῦσαν ⟨ἀοιδῆς⟩.

$\overline{H}$

**163** (166) STEPH. BYZ. s. Ὤλενος· πόλις Ἀχαίας καὶ Αἰτωλίας, Θηλυκῶς λεγομένη (Aischyl. F 284; Sophokl. F 279 N²). Ἀπολλόδωρος δὲ ἀρσενικῶς αὐτὴν φησιν ἐν τῇι $\overline{η}$ τοῦ Νεῶν Καταλόγου «τὸν Ὤλενον καὶ τὴν Πυλήνην νῦν μὲν οὐκέτι εἶναι συμβέβηκε». *B* 639

OHNE BUCHZAHL.

**164** (174) SCHOL. APOLL. RHOD. III 1090: ἡ Θεσσαλία ἐκαλεῖτο τὸ παλαιὸν Πυρραία, ὡς Ἑλλάνικος (p. 186 Mei)· *B* 681 fr. 7

Πυρραίην ποτὲ τήν γε παλαιότεροι καλέεσκον
Πύρρης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο,
Αἱμονίην δ' ἐξαῦτις ἀφ' Αἵμονος, ὅν ῥα Πελασγός
γείνατο φερτατον υἱόν· ὁ δ' αὖ τέκε Θεσσαλὸν Αἵμων,
τοῦ δ' ἄπο Θεσσαλίην λαοὶ μετεφημίξαντο.

οἱ δ' ἀπὸ Θεσσαλοῦ τοῦ Ἡρακλέους τοῦ Φειδιππίδου πατρὸς μετὰ τὰ Τρωικὰ κληθῆναί φασι. διαιρεῖται δὲ εἰς μέρη τέσσαρα, Πελασγιῶτιν Θεσσαλιῶτιν Ἰωλκῖτιν Φθιῶτιν. ταῦτα παρατίθεται Ἀπολλόδωρος ἐν Νεῶν Καταλόγωι.

**165** (175 a) SCHOL. DIONYS. THRAC. p. 183, 5 Hilgard: Πυθόδωρος δὲ [ὡς] ἐν τῶι Περὶ στοιχείων (IV) καὶ Φίλλις ὁ Δήλιος ἐν τῶι Περὶ χρόνων (? IV) πρὸ Κάδμου Δαναὸν μετακομίσαι αὐτά φασιν (sc. τὰ στοιχεῖα). ἐπιμαρτυροῦσι τούτοις καὶ οἱ Μιλησιακοὶ συγγραφεῖς Ἀναξίμανδρος (9 F 3) καὶ Διονύσιος (III) καὶ Ἑκαταῖος (1 F 20), οὓς καὶ Ἀπολλόδωρος ἐν Νεῶν Καταλόγωι παρατίθεται. s. 1 F 20.

**166** (142; 179) STEPH. BYZ. s. Τένεδος· νῆσος τῶν Σποράδων .... ἔστι καὶ πόλις Τένεδος πρὸς τῇι Λυκίαι· Ἀπολλόδωρος δὲ Παμφυλίας αὐτὴν εἶναί φησι ..... Ἀπολλόδωρος δ' ἐν Νεῶν Καταλόγωι φησὶν ὅτι τοὺς μὲν τῆς Παμφυλίας Τενεδεῖς, τοὺς δὲ τῆς νήσου Τενεδίους. s. F 173. *B* 677 ?

---

3 καὶ — Ἕλος Hom καὶ στελεὸν A 7 λεγόμενοι V πόλεις — λεγόμεναι ? 9 παλήνην RV 12 Πυρραία Heyne πύρρα L f 13 Πυρραίην ποτὲ Scaliger Meineke πύρραν δή ποτε L f p 18 Θεσσαλοῦ τοῦ Ἡρακλέους τοῦ Φειδιππίδου πατρὸς p Θ. τοῦ Φειδίππου π. τοῦ Ἡρακλείδου L f 19 κληθῆναι f p καῆναι L δὲ om L 23 [ὡς] Hilgard τις Nitzsch καὶ Φίλλις Nitzsch αφιλῆς Schol 29 τῆι om V

167 (173) STRAB. VI 1, 3: (Petelia in Lukanien und Krimissa gründungen Philoktets, *φυγόντος τὴν Μελίβοιαν κατὰ στάσιν*) *Ἀπολλόδωρος δ' ἐν τοῖς Περὶ Νεῶν τοῦ Φιλοκτήτου μνησθεὶς λέγειν τινάς φησιν, ὡς εἰς τὴν Κροτωνιᾶτιν ἀφικόμενος Κρίμισσαν ἄκραν οἰκίσαι καὶ Χώνην πόλιν ὑπὲρ αὐτῆς, ἀφ' ἧς οἱ ταύτηι Χῶνες ἐκλήθησαν· παρ' αὐτοῦ δέ τινες σταλέντες εἰς Σικελίαν περὶ Ἔρυκα μετὰ Αἰγέστου τοῦ Τρωὸς Αἴγεσταν τειχίσαι.* B 716/28

168 (155) — IX 2, 14: *πλησίον δ' ἐστὶν Ἀνθηδόνος ἱεροπρεπὴς τόπος τῆς Βοιωτίας ἴχνη πόλεως ἔχων, ὁ καλούμενος Ἴσος, συστέλλοντι τὴν πρώτην συλλαβήν. οἴονται δέ τινες δεῖν γράφειν*

*Ἰσόν τε ζαθέην Ἀνθηδόνα τ' ἐσχατόωσαν,*

*ἐκτείνοντες τὴν πρώτην συλλαβὴν ποιητικῶς διὰ τὸ μέτρον, ἀντὶ τοῦ Νῖσάν τε ζαθέην'. ἡ γὰρ Νῖσα οὐδαμοῦ φαίνεται τῆς Βοιωτίας, ὥς φησιν Ἀπολλόδωρος ἐν τοῖς Περὶ Νεῶν. ⟨σκεπτέον δ' ἂν ε⟩ἴη, εἰ μὴ τὴν Νῖσαν οὕτως εἴρηκεν· ἦν γὰρ ὁ⟨μώνυμος τῆς⟩ Μεγαρικῆ⟨ς⟩, ἐκεῖθεν ἀπωικισμένη ⟨πρὸς τὴν ὑπώρειαν Κιθα⟩ιρῶνος, ἐκλέλειπται δὲ νῦν. τινὲς δὲ γράφουσι 'Κρεῦσάν τε ζαθέην', τὴν νῦν Κρέουσαν δεχόμενοι, τὸ τῶν Θεσπιέων ἐπίνειον ἐν τῶι Κρισαίωι κόλπωι ἱδρυμένον. ἄλλοι δὲ 'Φαράς τε ζαθέας'· ἔστι δὲ τῆς τετρακωμίας τῆς περὶ Τάναργαν, Ἐλεῶνος Ἄρματος Μυκαλησσοῦ Φαρῶν. γράφουσι δὲ καὶ τοῦτο· 'Νῦσάν τε ζαθέην'· κώμη δ' ἐστὶ τοῦ Ἐλικῶνος ἡ Νῦσα.* B 508

169 (157) — IX 2, 40—42: *ἑξῆς δ' ὁ ποιητὴς μέμνηται τοῦ τῶν Ὀρχομενίων καταλόγου, χωρίζων αὐτοὺς ἀπὸ τοῦ Βοιωτιακοῦ ἔθνους. καλεῖ δὲ Μινύειον τὸν Ὀρχομενὸν ἀπὸ ἔθνους τοῦ Μινυῶν* (F 181). *ἐντεῦθεν δὲ ἀποικῆσαί τινας τῶν Μινυῶν εἰς Ἰωλκόν φασιν, ὅθεν τοὺς Ἀργοναύτας Μινύας λεχθῆναι. φαίνεται δὲ καὶ τὸ παλαιὸν καὶ πλουσία τις γεγονυῖα πόλις καὶ δυναμένη μέγα. τοῦ μὲν οὖν πλούτου μάρτυς καὶ Ὅμηρος· διαριθμούμενος γὰρ τοὺς τόπους τοὺς πολυχρηματίσαντάς φησιν* (Il. *I* 381)·

*οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινίσσεται, οὐδ' ὅσα Θήβας*
*Αἰγυπτίας.*

*τῆς δυνάμεως δέ, ὅτι Θηβαῖοι δασμὸν ἐτέλουν τοῖς Ὀρχομενίοις καὶ Ἐργίνωι τῶι τυραννοῦντι αὐτῶν, ὃν ὑφ' Ἡρακλέους καταλυθῆναί φασιν. Ἐτεοκλῆς δέ, τῶν βασιλευσάντων ἐν Ὀρχομενῶι τις, Χαρίτων ἱερὸν ἱδρυσάμενος, πρῶτος ἀμφότερα ἐμφαίνει, καὶ πλοῦτον καὶ δύναμιν· ὃς εἴτ' ἐν τῶι λαμβάνειν χάριτας εἴτ' ἐν τῶι διδόναι κατορθῶν εἴτε καὶ ἀμφότερα, τὰς θεὰς ἐτίμησε ταύτας. ..... λέγουσι δὲ τὸ* B 511/6

---

4 *κρίμισαν* C *οἰκίσαι* Siebenkees *οἰκῆσαι* Str *χῶνιν* $A^1$B 6 *Ἐγέστου* — *Ἔγεσταν* Kramer *τειχίσαιεν* Kramer 8—20 Eustath. Il. *B* 508 p. 271, 5—13 10 *ἴσαν* $A^1$ 13 *τῶι περὶ* B Pleth 13—15 ⟨*σκεπτέον* (erg. Schwartz)⟩ — *δὲ νῦν* zusatz aus Demetrios von Skepsis (Schwartz)? 14 *Νῖσαν*: *Ἴσον* Groskurd *ὁμώνυμος τῆς Μεγαρικῆς* Jac *ὁ* ..... *μεγαρικῆι* A *ὁμώνυμος πόλις ἐν τῆι Μεγαρικῆι* Kramer *ἡ Νῖσα πόλις ἐν Μεγαρικῆι* Groskurd 15 *ἀπωικισμένη⟨ς⟩*? *πρὸς* — *Κιθαιρῶνος* Groskurd 17 *πρὸς τῶι* Eust 18 *Φηράς* Eust 19 *Φηρῶν* B Eust 22 *βοιωτικοῦ* B *Μινύειον* Tzschucke *μινυήιον* $A^2$BE *μυνύιον* A 26 *πολυχρηματήσαντας* Corais

χωρίον, ὅπερ ἡ λίμνη κατέχει νῦν ἡ Κωπαΐς, ἀνεφύχθαι πρότερον καὶ γεωργεῖσθαι παντοδαπῶς, ὑπὸ τοῖς Ὀρχομενίοις δν πλησίον οἰκοῦσι· καὶ τοῦτ' οὖν τεκμήριον τοῦ πλούτου τιθέασι. (41) τὴν δ' Ἀσπληδόνα χωρὶς τῆς πρώτης συλλαβῆς ἐκάλουν τινές (F 172)· εἶτ' Εὐδείελος μετωνομάσθη καὶ αὐτὴ καὶ ἡ χώρα, τάχα τι ἰδίωμα προσφερομένη ἐκ τοῦ δειλινοῦ κλίματος οἰκεῖον τοῖς κατοικοῦσι, καὶ μάλιστα τὸ εὐχείμερον ..... (42) ..... πρότερον μὲν οὖν οἰκεῖσθαι τὸν Ὀρχομενὸν φασιν ἐπὶ πεδίῳ, ἐπιπολαζόντων δὲ τῶν ὑδάτων ἀνοικισθῆναι πρὸς τὸ Ἀκόντιον ὄρος, παρατεῖνον ἐπὶ ἑξήκοντα σταδίους μέχρι Παραποταμίων τῶν ἐν τῇι Φωκίδι. ἱστοροῦσι δὲ τοὺς ἐν τῶι Πόντωι καλουμένους Ἀχαιοὺς ἀποίκους Ὀρχομενίων εἶναι τῶν μετὰ Ἰαλμένου πλανηθέντων ἐκεῖσε μετὰ τὴν τῆς Τροίας ἅλωσιν. καὶ περὶ Κάρυστον δ' ἦν τις Ὀρχομενός. εὖ γὰρ τὴν τοιαύτην ὕλην ὑποβεβλήκασιν ἡμῖν οἱ τὰ Περὶ τῶν νεῶν συγγράψαντες, οἷς ἀκολουθοῦμεν, ὅταν οἰκεῖα λέγωσι πρὸς τὴν ἡμετέραν ὑπόθεσιν.

**170** (178) STRAB. XIV 5, 22—29: ·ὁ γὰρ Ἀπολλόδωρος ἐν τοῖς Περὶ νεῶν ἔτι καὶ τοιαῦτα λέγει. τοὺς γὰρ ἐκ τῆς Ἀσίας ἐπικούρους τῶν Τρώων ἅπαντας καταριθμεῖσθαί φησιν ὑπὸ τοῦ ποιητοῦ τῆς χερρονήσου κατοίκους ὄντας, ἧς ὁ στενώτατος ἰσθμός ἐστι τὸ μεταξὺ τοῦ κατὰ Σινώπην μυχοῦ καὶ Ἰσσοῦ· αἱ δ' ἐκτὸς πλευραί, φησί, τριγωνοειδοῦς οὔσης, εἰσὶ μὲν ἄνισοι, παρήκουσι δὲ ἡ μὲν ἀπὸ Κιλικίας ἐπὶ Χελιδονίας, ἡ δ' ἐνθένδε ἐπὶ τὸ στόμα τοῦ Εὐξείνου, ἡ δ' ἐπὶ Σινώπην πάλιν ἐνθένδε. τὸ μὲν οὖν μόνους τοὺς ἐν τῇι χερρονήσωι διὰ τῶν αὐτῶν ἐλέγχοιτ' ἂν ψεῦδος ὄν, διὶ ὧν ἠλέγξαμεν πρότερον (F 171), μὴ μόνους τοὺς ἐντὸς Ἅλυος (ausführung der polemik: die grenzlinie der halbinsel läuft nicht von Sinope, sondern von Amisos; 'das dümmste' ist die angabe der drei 'außenseiten' des dreiecks, wobei die isthmoslinie selbst, über deren länge diskutiert wird, vergessen ist: ἀμαθία τὸ λέγειν τριγωνοειδὲς τὸ τοιοῦτον τετράπλευρον, οὐδὲ χωρογραφικόν — es folgt T 16; auch die außenlinie Issos-Chelidoniai ist falsch bestimmt; sie läuft bis Physkos). B 819—877

(23) φήσαντος δὲ τοῦ Ἐφόρου (70 F 162), διότι τὴν χερρόνησον κατοικεῖ ταύτην ἑκκαίδεκα γένη, τρία μὲν Ἑλληνικά, τὰ δὲ λοιπὰ βάρβαρα χωρὶς τῶν μιγάδων, ἐπὶ θαλάττηι μὲν Κίλικες καὶ Πάμφυλοι καὶ Λύκιοι καὶ Βιθυνοὶ καὶ Παφλαγόνες καὶ Μαριανδυνοὶ καὶ Τρῶες καὶ Κᾶρες, Πισίδαι δὲ καὶ Μυσοὶ καὶ Χάλυβες καὶ Φρύγες καὶ Μιλύαι ἐν τῇι μεσογαίαι, διαιτῶν ταῦτα δ' Ἀπολλόδωρος ἑπτακαιδέκατόν φησιν εἶναι τὸ τῶν Γαλατῶν, ὃ νεώτερόν ἐστι τοῦ Ἐφόρου. τῶν δ' εἰρημένων τὰ μὲν Ἑλληνικὰ μήπω κατὰ τὰ Τρωικὰ κατωικίσθαι, τὰ δὲ βάρβαρα πολλὴν ἔχειν σύγχυσιν διὰ τὸν χρόνον. καταλέγεσθαι δ' ὑπὸ τοῦ ποιητοῦ τό τε τῶν Τρώων καὶ τῶν νῦν ὀνομαζομένων Παφλαγόνων καὶ Μυσῶν καὶ Φρυγῶν καὶ Καρῶν καὶ Λυκίων, Μήιονάς ⟨τε⟩ ἀντὶ Λυδῶν καὶ ἄλλους ἀγνῶτας, οἷον

---

2 ὃν Meineke ὧν Str ὑπὸ τῶν Ὀρχομενίων οἱ πλ. οἱ Cas(aubonus) τεκμήριον: αἴτιον Epit Gemisti 15 ταῦτα Corais 16 καταριθμεῖσθαι Kramer κατη— Str 34 διαιτῶν Cas διαιρῶν Str 36 κατὰ Cas καὶ τὰ Str ἔχειν F(?) ἔχει cett 37 Τρώων dett τρωικῶν Str 39 Λυκίων Corais λικίων F κιλίκων cett ⟨τε⟩ I

Ἀλιζῶνας καὶ Καύκωνας· ἐκτὸς δὲ τοῦ καταλόγου Κητείους τε καὶ Σολύμους καὶ Κίλικας τοὺς ἐκ Θήβης πεδίου καὶ Λέλεγας. Παμφύλους δὲ καὶ Βιθυνοὺς καὶ Μαριανδυνοὺς καὶ Πισίδας καὶ Χάλυβας καὶ Μιλύας καὶ Καππάδοκας μήθ' ὠνομάσθαι, τοὺς μὲν διὰ τὸ μηδέπω τοὺς τόπους κατωικηκέναι τούτους, τοὺς δὲ διὰ τὸ ἑτέροις γένεσι περιέχεσθαι, ὡς Ἰδριεῖς μὲν καὶ Τερμίλαι Καρσί, Δολίονες δὲ καὶ Βέβρυκες Φρυξί.

(24) φαίνεται δὲ οὔτε τοῦ Ἐφόρου τὴν ἀπόφασιν διαιτῶν ἱκανῶς τά τε τοῦ ποιητοῦ παράττων καὶ καταψευδόμενος (ausführung der polemik soweit sie Ephoros angeht, § 24—26; soweit Homer, § 27—28).

(29) ἔτι καὶ ταῦτα μέμψαιτο ἄν τις τοῦ Ἀπολλοδώρου, ὅτι τῶν νεωτέρων καινοτομούντων πολλὰ παρὰ τὰς Ὁμηρικὰς ἀποφάσεις, εἰωθὼς ταῦτ' ἐλέγχειν ἐπὶ πλέον, ἐνταῦθα οὐκ ὠλιγώρηκε μόνον, ἀλλὰ καὶ τἀναντία εἰς ἓν συνάγει τὰ μὴ ὡσαύτως λέγομενα. ὁ μὲν γὰρ Ξάνθος ὁ Λυδὸς (III) μετὰ τὰ Τρωικὰ φησιν ἐλθεῖν τοὺς Φρύγας ἐκ τῆς Εὐρώπης καὶ τῶν ἀριστερῶν τοῦ Πόντου, ἀγαγεῖν δ' αὐτοὺς Σκαμάνδριον ἐκ Βερεκύντων καὶ Ἀσκανίας· ἐπιλέγει δὲ τούτοις ὁ Ἀπολλόδωρος, ὅτι τῆς Ἀσκανίας ταύτης μνημονεύει καὶ Ὅμηρος (*B* 862), ἧς ὁ Ξάνθος,

Φόρκυς δὲ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς
τῆλ' ἐξ Ἀσκανίης.

ἀλλ' εἰ οὕτως ἔχει, ἡ μὲν μετανάστασις ὕστερον ἂν εἴη τῶν Τρωικῶν γεγονυῖα, ἐν δὲ τοῖς Τρωικοῖς τὸ λεγόμενον ὑπὸ τοῦ ποιητοῦ ἐπικουρικὸν ἦκεν ἐκ τῆς περαίας ἐκ τῶν Βερεκύντων καὶ τῆς Ἀσκανίας. τίνες οὖν Φρύγες ἦσαν (Γ 187)

οἵ ῥα τότ' ἐστρατόωντο παρ' ὄχθας Σαγγαρίοιο,

ὅτε ὁ Πρίαμος

ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέγμην

φησί; πῶς δὲ ἐκ μὲν Βερεκύντων μετεπέμπετο Φρύγας ὁ Πρίαμος, πρὸς οὓς οὐδὲν ἦν αὐτῷ συμβόλαιον, τοὺς δ' ὁμόρους καὶ οἷς αὐτὸς πρότερον ἐπεκούρησε παρέλιπεν; οὕτω δὲ περὶ τῶν Φρυγῶν εἰπὼν ἐπιφέρει καὶ τὰ περὶ τῶν Μυσῶν οὐχ ὁμολογούμενα τούτοις. λέγεσθαι γάρ φησι καὶ τῆς Μυσίας κώμην Ἀσκανίαν περὶ λίμνην ὁμώνυμον, ἐξ ἧς καὶ τὸν Ἀσκάνιον ποταμὸν ῥεῖν, οὗ μνημονεύει καὶ Εὐφορίων (F 85 Scheidw)

Μυσοῖο παρ' ὕδασιν Ἀσκανίοιο,

καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος (F 4 Diehl)

οἵ καὶ ἐπ' Ἀσκανίῳ δώματ' ἔχουσι ῥόῳ
λίμνης Ἀσκανίης ἐπὶ χείλεσιν, ἔνθα Δολίων
υἱὸς Σιληνοῦ νάσσατο καὶ Μελίης.

---

1 Κητείους edd κητίους Str 6 ἰδρυεῖς CD Τερμίλαι Xylander τερμίδαι Str Δολίονες Cas δολίωνες Str 10 ἔτι: εἴτε C 21—22 περαίας καὶ τῶν B 25 ἐλέγμην (hier und XII 3, 24): ἐλέχθην Hom 34 οἵ: εἰ CDEF Ἀσκανίων — ῥόων XII 4, 8

*«καλοῦσι δέ» φησί «Δολιονίδα καὶ Μυσίαν τὴν περὶ Κύζικον λόντι εἰς Μιλητούπολιν». εἰ οὖν οὕτως ἔχει ταῦτα καὶ ἐκμαρτυρεῖται ὑπὸ τῶν δεικνυμένων νῦν καὶ ὑπὸ τῶν ποιητῶν, τί ἐκώλυε τὸν Ὅμηρον ταύτης μεμνῆσθαι τῆς Ἀσκανίας, ἀλλὰ μὴ τῆς ὑπὸ Ξάνθου λεγομένης;*

171 (176) STRAB. XII 3, 24—25: *πρὸς Ἀπολλόδωρον δὲ περὶ τῶν* B 856
*αὐτῶν ἐν τῶι Τρωικῶι Διακόσμωι διαλεγόμενον πολλὰ μὲν εἴρηται πρόιερον* (F 157), *καὶ νῦν δὲ λεκτέον. οὐ γὰρ οἴεται δεῖν δέχεσθαι τοὺς Ἀλιζώνους ἐκτὸς τοῦ Ἅλυος· μηδεμίαν γὰρ συμμαχίαν ἀφῖχθαι τοῖς Τρωσὶν ἐκ τῆς περαίας τοῦ Ἅλυος.* (polemik Strabons: wo gibt es denn Halizonen diesseits des Halys? worauf stützt sich die prinzipielle behauptung? jedenfalls nicht auf die alten, von denen Maiandrios die Eneter aus Leukosyrien kommen läßt). *αὐτὸς δὲ ὁ Ἀπολλόδωρος παρατίθησι τὸ τοῦ Ζηνοδότου, ὅτι γράφει* (B 852)

*ἐξ Ἐνετῆς, ὅθεν ἡμιόνων γένος ἀγροτεράων.*

*ταύτην δέ φησιν Ἑκαταῖον τὸν Μιλήσιον* (1 F 199) *δέχεσθαι τὴν Ἀμισόν. ἡ δὲ Ἀμισὸς εἴρηται, διότι τῶν Λευκοσύρων ἐστὶ καὶ ἐκτὸς τοῦ Ἅλυος.* (es folgt F 157 b).

## OHNE BUCHTITEL (AUS *ΝΕΩΝ ΚΑΤΑΛΟΓΟΣ*).

172 (153) ET. M. p. 157, 31: *Ἀσπληδών* (F 169 p. 1094,3)· †*φασὶ* B 611
*γὰρ εἶναι Σπληδόνα τὸν Πρέσβωνος καὶ Στερόπης. Ἀπολλόδωρος δέ φησιν Ἀσκληπιάδην οὕτω λεγειν 'Σπληδόνα τ' ἠγαθέην'. ὅταν οὖν εὕρωμεν 'οἳ δ' Ἀσπληδόνα ναῖον', πλεονασμὸς ποιητικός ἐστι τοῦ ᾱ. Ἡρωδιανὸς Περὶ παθῶν* (II 168, 11 L).

173 (171) ET. GUD. p. 161, 27 Rei (ET. GEN. Cram. AP IV 53, 6; B 677
ET. M. p. 486, 27; SUID. s. *Κάλυμνος*): *Σελεύκου. κάλυμνος· ὁ ἐν Αἰγύπτωι σῖτος, ἀντὶ τοῦ Καλύδνιος· ὁ γὰρ Φιλάδελφος ἐκ Καλυδνῶν μετήνεγκε τὸ σπέρμα. 'νήσους τε Καλύδνας', ἃς ὁ Ἀπολλόδωρός φησιν λέγεσθαι Καλύδνας ὡς καλύβας.* s. F 166.

174 (35) SCHOL. APOLL. RHOD. I 598: *Ὄλυμποι δέ εἰσιν ἓξ· Μακεδονίας, Θετταλίας, ἐν ὧι καὶ Ὀλύμπιά φησιν Ἀπολλόδωρος ἄγεσθαι, καὶ Μυσίας καὶ Λυκίας καὶ Ἤλιδος καὶ Ἀρκαδίας.*

175 (147) — I 1116: *πεδίον Νηπείας ἐστὶ περὶ Κύζικον· μνημονεύει* B 828
*δ' αὐτοῦ καὶ Καλλίμαχος ἐν Ἑκάληι* (F 101 Kapp)·

*'Νηπείης ἦι τ' ἄργος, ἀοίδιμος Ἀδρήστεια'.*

---

6 διαλεγόμενον Casaubonus — ος Str 17 Ἀσπληδών· ⟨καὶ χωρὶς τοῦ ᾱ Σπληδών⟩ o. Ä. Jac Ἀσπληδών· ..... Ἀσπληδόνα Lentz 24 Καλύμνιος ABc Καλύδνων c Καλυμνῶν B 25 τε Sylburg $\overset{\varepsilon}{\pi}$ = περὶ ABc 28 Θετταλίας Μακεδονίας p (L ἡ Θετταλίας c. [Θετταλίας]; s. komm.) 29 Λυκίας L (Strab. XIV 3, 8 ἥ τε Κράμβουσα καὶ Ὄλυμπος, πόλις μεγάλη καὶ ὄρος ὁμώνυμον, ὃ καὶ Φοινικοῦς καλεῖται) Κιλικίας f p (Strab. XIV 5, 7 κατὰ δὲ τὰς ἀκρωρείας τοῦ Ταύρου ... ἔστιν ὁ Ὄλυμπος .. ἀφ' οὗ κατοπτεύεται πᾶσα Λυκία καὶ Παμφυλία καὶ Πισιδία καὶ Μιλυάς) 32 ἦι τ' Bentley ἦτ' L f ἠδ' p ἄργου p

*τὴν δὲ Νήπειαν Διονύσιος ὁ Μιλήσιος* (32 F 9) *πεδίον τῆς Μυσίας φησὶν εἶναι .... Ἀπολλόδωρος δέ φησι Νηπείας πεδίον ἐν Φρυγίαι. ὁ δὲ Καλλίμαχός φησιν ἐν Ὑπομνήμασι* (F 100 h 3 Schn) *Νέμεσιν εἶναι τὴν τὸ πεδίον κατέχουσαν. ἔστι δὲ καὶ πόλις καλουμένη Ἀδρήστεια ἀπὸ τοῦ ἱδρυσαμένου. ὁ δὲ Ἀπολλώνιος* (I 1116) *ἑκατέρων μέμνηται .... φησὶ γὰρ*

*ἄστυ τε καὶ πεδίον Νηπήιον Ἀδρηστείης.*

*τῆς δὲ πόλεως καὶ Ὅμηρος μνημονεύει* (Il. *B* 828)·

*οἵ δ' ἄρ' Ἀδρήστειαν εἶχον.*

176 (—) SCHOL. A HOM. Il. *B* 592: *καὶ Θρύον Ἀλφειοῖο πόρον* B 592 *καὶ εὐκτιτον Αἰπύ*] *Ἀρίσταρχος ὡς ὀξύ· συγκατατίθεται δὲ αὐτῷ καὶ Ἀπολλόδωρος. Φερεκύδης δὲ ὁ Ἀθηναῖος* (3 F 169) *τὸ μὲν Εὔκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπὺ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν εὔκτιτον ἐπίθετον τὸ δὲ Αἰπὺ κύριον — ἐπεὶ καὶ ἐν ἄλλοις* (*Λ* 711) *εἴρηκεν 'ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη', ὃ νῦν εἴρηκεν Αἰπύ — καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δέ φησι μὲν κύριον εἶναι τὸ Αἰπύ, οὐ μὴν συγκατατίθεται τῶι τόνωι, φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς· Ἕλος, Αἰγιαλός.*

177 (175 b) SCHOL. (EPIMER.) HOM. Cram. AO I 79, 3: *Ἅλος·* B 662 *πόλις Θεσσαλίας. ὁ ποιητής*

*οἵ τ' Ἅλον οἵ τ' Ἀλόπην.*

*εἴρηται ἀπὸ τῆς Ἀθάμαντος ἄλης περὶ τοὺς τόπους ἐκείνους γενομένης καὶ ὑπ' αὐτοῦ κτισθείσης. Ἀπολλόδωρος δὲ ἀρσενικῶς λέγεσθαι τὴν πόλιν.*

178 (180) a) SCHOL. AD HOM. Il. *N* 12: *Σάμιοι οἱ ἐν Ἰωνίαι μετὰ δια-* B 681—87 *κοσιοστὸν καὶ ἑνατον ἔτος τῶν Τρωικῶν χρησμὸν ἔλαβον παρὰ τοῦ Πυθίου εἰς τὴν ἐν Τρωιάδι Θράικην μετοικῆσαι, ἀφ' ὧν ἡ Σαμοθράικη προσηγορεύθη. ἡ ἱστορία παρὰ Ἀπολλοδώρωι.* b) STRAB. X 2, 17: *καλεῖ δ' ὁ ποιητὴς Σάμον καὶ τὴν Θραικίαν, ἣν νῦν Σαμοθράικην καλοῦμεν. τὴν δ' Ἰωνικὴν οἶδε μέν, ὡς εἰκός· καὶ γὰρ τὴν Ἰωνικὴν ἀποικίαν εἰδέναι φαίνεται· οὐ ⟨γὰρ⟩ ἂν διέστειλε [δὲ] τὴν ὁμωνυμίαν* (F 181) *περὶ τῆς Σαμοθράικης λέγων, τοτὲ μὲν τῶι ἐπιθέτωι* (*N* 12)

*ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης*
*Θρηικίης*

*τότε δὲ τῆι συζυγίαι τῶν πλησίον νήσων* (Ω 753)

*ἐς Σάμον ἔς τ' Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν*

*καὶ πάλιν* (Ω 78)

*μεσσηγύς τε Σάμοιο καὶ Ἴμβρου παιπαλοέσσης.*

---

3 ὑπομνήματι p 21 τῆς Et M 70, 8 τοῦ Epim περὶ Et M παρὰ Epim γενομένης Et M νεμομένης Epim 22 ἀπ' αὐτοῦ κτισθείσης Epim ὑπ' αὐ. κτισθεῖσα Et M Ἅ. δὲ ⟨καὶ⟩ ἀρσενικῶς? Jac vgl. λέγεται καὶ ἀρσενικῶς Et M. u. ὁ Ἅλος ἢ ἡ Ἅλος (λέγεται γὰρ ἀμφοτέρως) Strab. IX 5, 8 24 καὶ ἕνατον add D 25—26 προσηγορεύθη — Ἀπολλοδώρωι add D 27 εἶδε B 28 ⟨γὰρ⟩ — [δὲ] Corais ἂν διέστειλε Groskurd ἀντιδιέστειλε Str ἂν ἀντιδιέστειλε Corais

ἤιδει μὲν οὖν, οὐκ ὠνόμακε δ' αὐτήν· οὐδ' ἐκαλεῖτο τῶι αὐτῶι ὀνόματι πρότερον, ἀλλὰ Μελάμφυλος, εἶτ' Ἀνθεμίς, εἶτα Παρθενία ἀπὸ τοῦ ποταμοῦ τοῦ Παρθενίου, ὃς Ἴμβρασος μετωνομάσθη. ἐπεὶ οὖν κατὰ τὰ Τρωικὰ Σάμος μὲν καὶ ἡ Κεφαλληνία ἐκαλεῖτο (F 201) καὶ ἡ Σαμοθράικη — οὐ γὰρ ἂν Ἑκάβη εἰσήγετο λέγουσα (Ω 751ff.), ὅτι τοὺς παῖδας αὐτῆς 'πέρνασχ' ὃν κε λάβοι, ἐς Σάμον ἐς τ' Ἴμβρον' —, ⟨ἡ δ'⟩ Ἰωνικὴ οὐκ ἀπώικιστό πω, δῆλον, [δ'] ὅτι ἀπὸ τῶν προτέρων τινὸς τὴν ὁμωνυμίαν ἔσχεν. ἐξ ὧν κἀκεῖνο δῆλον, ὅτι παρὰ τὴν ἀρχαίαν ἱστορίαν, ὃ λέγουσιν οἱ φήσαντες μετὰ τὴν Ἰωνικὴν ἀποικίαν καὶ τὴν Τεμβρίωνος παρουσίαν ἀποίκους ἐλθεῖν ἐκ Σάμου καὶ ὀνομάσαι Σάμον τὴν Σαμοθράικην [ὡς οἱ Σάμιοι τοῦτ' ἐπλάσαντο ὀξυς χάριν]. πιθανώτεροι δ' εἰσὶν οἱ ἀπὸ τοῦ σάμους καλεῖσθαι τὰ ὕψη φήσαντες εὑρῆσθαι τοῦτο τοὔνομα τὴν νῆσον· ἐντεῦθεν γὰρ (N 13)

ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.

τινὲς δὲ Σάμον καλεῖσθαί φασιν ἀπὸ Σαίων, τῶν οἰκούντων Θρᾳικῶν πρότερον, οἳ καὶ τὴν ἤπειρον ἔσχον τὴν προσεχῆ, εἶτε οἱ αὐτοὶ τοῖς Σαπαίοις ὄντες ἢ τοῖς Σιντοῖς, οὓς Σίντιας καλεῖ ὁ ποιητής (A 594), εἴθ' ἕτεροι. μέμνηται δὲ τῶν Σαίων Ἀρχίλοχος (F 6 B⁴)·

ἀσπίδα μὲν Σαίων τις ἀνείλετο, τὴν παρὰ θάμνωι
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.

**179** (170) SCHOL. AD GEN. HOM. Π. *N* 301: τὼ μὲν ἄρ' ἐκ Ν 189; 198
Θρήικης Ἐφύρους μέτα Ϝωρήσσεσθον] ὅτι πόλις ἐστὶν ἐπὶ Θεσπρωτίας ἡ Ἔφυρα, ἀφ' ἧς Ἔφυροι οἱ κατοικοῦντες λέγονται. λέγει δέ ποτε (Z 152) καὶ τὴν Κόρινθον Ἔφυραν ἐξ ἡρωικοῦ προσώπου. — ἱστέον δὲ ὅτι Ἔφυραι τέσσαρές εἰσι· μία μὲν ἡ κατὰ Θεσσαλίαν, δευτέρα δὲ ἡ κατὰ τὴν Ἤπειρον, τρίτη δὲ ἡ τῆς Ἠλιάδος, καὶ τετάρτη ἡ νῦν λεγομένη Κόρινθος. — νῦν οὖν λέγει τοὺς καλουμένους Κραννωνίους ἐν Θεσσαλίαι, ὡς Ἀπολλόδωρος ἱστορεῖ.

**180** (170) a) SCHOL. HT HOM. Od. *α* 259: ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλου Μερμερίδαο· ἤιξετο γὰρ καὶ κεῖσε Φοῖς ἐπὶ νῆος Ὀδυσσεύς, φάρμακον ἀνδροφόνον διζήμενος] Ἰάσων ἅμα τῆι Μηδείαι ἐν Ἐφύραι τῆς Θεσπρωτίας παραγενόμενος ἴσχει Φέρητα, οὗ ὁ Ἶλος, οἵτινες ἐβασίλευσαν Θεσπρωτίας, ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· διὸ φαρμάκων ἐστὶν ἔμπειρος. b) SCHOL. EUST. Od. *β* 328 p. 1448, 28: ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλει πίειραν ἄρουραν ἐλθεῖν, ὅφρ' ἔνθεν Ϝυμοφθόρα φάρμακ' ἐνείκηι] καὶ λογίσασθαι, ὡς ἐνῆν τῶι ποιητῆι πλάσασθαι, τὸν Τηλέμαχον ἐκ Πύλου λαβεῖν τὰ πρὸς ἄμυναν ἢ ἀπὸ Σπάρτης ἢ καὶ ἀπὸ Ἐφύρης τῆς

---

2 Ἀνθεμοῦς Strab. XIV 1, 15; Ἀνθέμουσα Steph. Byz. s. Σάμος 5 πέρνασχ' Hom περνὰς Str ὃν καὶ λάβοιε σάμον B ὃν τιν' ἕλεσκε Hom ἐς τ': ὥστ' CD 7 ὃ: ἣν B [ἡ] Corais ⟨ἐστὶν⟩ ὁ Groskurd 9—10 [ὡς — χάριν] Jac 10 οἱ om CD σάμους E Eust Il. 917, 14 (vgl. Str. VIII 3, 19) σαμαίους cett 11 εὑρῆσαι B$^{corr}$(?) C εὑρέσθαι dett Corais 18 ἀσπίδα XII 3, 20 ἀσπίδι Str 22 Ἔφυροι: Steph. Byz. s. Ἔφυρα· τὸ κτητικὸν τῆς Θεσπρωτίας Ἐφύριος 23—26 ἐπὶ τοὺς Ἐφυραίους πάλαι καλουμένους, νῦν δὲ Κρανναιώνους (!). ἱστέον — ἱστορεῖ Gen

*προιστορηθείσης τῆς διὰ Μήδειαν πολυφαρμάκου, ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος.*

181 (170) STRAB. VIII 3, 6: *Ἀπολλόδωρος δὲ διδάσκων, ὃν τρόπον ὁ ποιητὴς εἴωθε διαστέλλεσθαι τὰς ὁμωνυμίας, οἷον ἐπὶ τοῦ Ὀρχομενοῦ τὸν μὲν Ἀρκαδικὸν πολύμηλον καλῶν (B 605), τὸν δὲ Βοιωτιακὸν Μινύειον (B 511; s. F 169), καὶ Σάμον Θρηικίην συντιθεὶς 'μεσσηγύς τε Σάμοιο καὶ Ἴμβρου', ἵνα χωρίσηι ἀπὸ τῆς Ἰωνικῆς (F 178), οὕτω φησὶ καὶ τὴν Θεσπρωτικὴν Ἔφυραν διαστέλλεσθαι τῶι τε 'τηλόθεν' καὶ τῶι 'ποταμοῦ ἀπὸ Σελλήεντος' (B 659; O 531). ταῦτα δ' οὐχ ὁμολογεῖ τοῖς ὑπὸ τοῦ Σκηψίου Δημητρίου λεγομένοις, παρ' οὐ μεταφέρει τὰ πλεῖστα. ἐκεῖνος γὰρ οὔ φησιν εἶναι Σελλήεντα ἐν Θεσπρωτοῖς ποταμόν, ἀλλ' ἐν τῆι Ἠλείαι παρὰ τὴν ἐκεῖ Ἔφυραν, ὡς προείπομεν (VIII 3, 5; VII 7, 10).*

182 (—) SCHOL. V HOM. Od. τ 177: *Δωριέες τε τριχάικες] τριχῆ* B 645—52 *διαιρεθέντες. οἱ μὲν γὰρ Βοῖον κατώικησαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην. Ἀπολλόδωρος δὲ τοὺς πολεμικοὺς λέγει ἀπὸ τοῦ αἴσσοντας καὶ ἐπισείοντας τὰς κόμας ἐν τῆι περικεφαλαίαι πολεμεῖν, ἴσον τῶι 'κορυθάικι' (X 132). εἰσὶ δὲ οἳ τοὺς τριλόφους φασίν· οἱ δὲ τοὺς ὀρχηστὰς ἀποδιδόασιν.*

183 (149) SCHOL. A PIND. O IX 62b (64b): *ἡ δὲ Πύρρα καὶ Δευ-* B 627—35 *καλίων ἐκ τοῦ Παρνασσοῦ ἐλθόντες ἐν τῆι λάρνακι πρῶτον ὤικησαν ἐν τῆι Ὀποῦντι πλησίον Παρνασσοῦ. ἔνιοι οὐκ ἐν Ὀποῦντί φασι Πύρραν οἰκῆσαι. ὁ γὰρ Ἀπολλόδωρος οὕτω γράφει· «οἰκῆσαι δὲ ἐν Κύνωι τὸν Δευκαλίωνα λέγεται, καὶ τὴν Πύρραν ἐκεῖ τετάφθαι φασίν.» ἱστορεῖ δὲ ταῦτα καὶ Ἑλλάνικος (4 F 117). δυσχεραίνοι δὲ ἂν τις, πῶς τινές φασι Πύρρας καὶ Δευκαλίωνος εἶναι Πρωτογένειαν, τοῦ Πινδάρου (O IX 85) ἐξ Ὀποῦντός τινος Ἠλείου λέγοντος αὐτὴν γεγενῆσθαι.*

184 (125) STEPH. BYZ. s. *Αἶνος· πόλις Θράικης . . . . . τὸ* B 844—5 *ἐθνικὸν Αἴνιος, ὡς Τήνιος· οὕτω γὰρ ἀναγράφεται † ἐν τοῖς πίναξι. ταύτην Ἀπολλόδωρός φησιν ὠνομάσθαι Πολτυμβρίαν.*

185 (158) — s. *Ἀκτή· οὕτως ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός·* B 546—56 *ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς Φαβωρῖνος (IV) . . . . . Ἀπολλόδωρος δὲ τἀναντία φησίν· «οὕτω γὰρ ἐκλήθη διὰ τὸ πολὺ μέρος αὐτῆς καθικνεῖσθαι εἰς θάλασσαν· τριγώνου γὰρ οὔσης αἱ συννεύ-*

---

5 *βοιωτικὸν* B *μινεύειον* B$^{cor}$ *μηνύιον* A 6—7 *μεσσηγὺς — Ἴμβρου* om B Pleth 14 *Βοῖον* Schwartz *Εὔβοιαν* V 15 *Ἀπολλόδωρος* Schwartz 20 *ἐν Ὀποῦντι φασι* Boeckh *ἐνόουν ὅτι φησὶ* A ⟨*Δευκαλίωνα καὶ*⟩ *Πύρραν* Boeckh 21 *Κύνωι* Boeckh *κοινῶι* A 22 *τετάφθαι* Drachmann *τετράφθαι* A 24 *φασι* Boeckh *φησι* A *καὶ* Boeckh *ὁ* A 25 *Ἠλείου* Boeckh *ἡλίου* A *αὐτὴν* Boeckh *ἐξ αὐτὸς* A *ἐξ αὐτῆς* A$^{cor}$ 27 *Αἶνιος: ὁ ἀπὸ ταύτης Αἶνιος, καὶ Αἰνόθεν* (Il. Δ 520) *τοπικὸν ἐπίρρημα* cod. Pal. Salm. hinter *Θράικης* (koniektur nach Eust. Il. Δ 520?) *ὡς: καὶ* V P * * (*ὁ δεῖνα*) *ο. ἀναγράφονται* (IG I 226 ff.) Jac 28 *φησιν* om R *Πολτυοβρία* Strab. VII 6, 1

*ουσαι ἐπὶ τὸ Σούνιον ἑκατέρωθεν· δύο πλευραὶ παράλιοι τυγχάνουσι, δι' ἃς τῶν ἐπὶ Κέκροπος φυλῶν τεσσάρων οὐσῶν δύο προσηγόρευσαν Ἀκταίαν καὶ Π⟨αρ⟩αλίαν.»*

**186** (128) STEPH. BYZ. s. *Ἀμφιγένεια· ..... ἐστι δὲ κατὰ μὲν Ἀπολλόδωρον τῆς Μακιστίας, κατὰ δὲ Ἀντίμαχον τῆς Μεσσηνίας. ἔχει δὲ ἡ πόλις καὶ Λητοῦς ἱερόν· φασὶ γὰρ ὅτι ἐκεῖ παραγενομένην Λητὼ τεκεῖν τὸν Ἀπόλλωνα.* B 593

**187** (129) — s. *Ἀντίκυρα· πόλεις δύο· ἡ μία Φωκίδος, ὡς Δημήτριος ὁ Καλλατιανός* (85 F 5), *ἡ δὲ ἐν Μαλιεῦσιν, ὡς Ἀπολλόδωρος.* B 681—94

**188** (131) — s. *Βῆσσα· πόλις Λοκρῶν. Ἡρωδιανὸς* (II 481, 25 L) *δι' ἑνὸς σ̄ γράφει, Ἀπολλόδωρος δὲ καὶ* (?) *Ἐπαφρόδιτος καὶ Ἡρακλέων διὰ δύο·* B 682

*Βῆσσάν τε Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινάς.*

*ὠνομάσθη δὲ ἀπὸ τῆς τοῦ τόπου φύσεως ναπώδους οὔσης.*

**189** (1) — s. *Βωδώνη· πόλις Περραιβική, ὡς Ἀπολλόδωρος· οἱ δὲ ὀρθῶς Θετταλίας, ἀπὸ Βωδώνου ἥρωος.* B 750

**190—191** (45) — s. *Δύμη· πόλις Ἀχαίας, ἐσχάτη πρὸς δύσιν ..... καὶ Δύμη ἡ χώρα πάλαι ἐκαλεῖτο, ἡ δὲ πόλις Στρατός, ὕστερον δὲ καὶ ἡ πόλις καὶ ἡ Χώρα Δύμη ἐκλήθησαν. λέγεται καὶ πληθυντικῶς, ὡς Ἀπολλόδωρος· «τούτων δ' ἀπέχουσα σταδίους ρ̄κ̄ ἐσχάτη κεῖται πρὸς δύσιν Δύμαι.» ..... καὶ Ἀπολλόδωρος ἢ ὁ τὰ τούτου ἐπιτεμνόμενος· «τὴν δὲ χώραν ἔχουσι Δυμαῖοι.» .....(F 3)....* B 569/80

**192** (133) — s. *Ἐχῖναι· νῆσοι περὶ τὴν Αἰτωλίαν, αἷς Ἀχελῶιος ποταμὸς προσβάλλει ἰλύν. λέγονται καὶ Ἐχινάδες διὰ τὸ τραχὺ καὶ ὀξύ, παρὰ τὸν ἐχῖνον, ἢ διὰ τὸ πλῆθος ἔχειν ἐχίνων· Ἀπολλόδωρος· ⟨οἱ⟩ δὲ ἀπὸ Ἐχίνου μάντεως.* B 625—30

**193** (134) — s. *Θέρμη· πόλις Θράικης· Ἀπολλόδωρος δὲ Μακεδονίας φησὶ καὶ Θουκυδίδης* (I 61, 2). B 848—50

**194** (135) — s. *Λακεδαίμων· ... ὁ πολίτης Λακεδαιμόνιος .... λέγεται καὶ κατὰ συγκοπὴν Λάκων, ὡς Ἀπολλόδωρός φησιν, ὡς τοῦ Κυδωνιᾶται τὸ Κύδωνες* (Od. γ 292). B 581

---

1 ἐπὶ Holste ὑπὸ RVP παράλιοι om R 2 δυὸ? τεττάρων VP 3 Παραλίαν Xylander παλίαν RP παλίναν V 4 ἔστι καὶ R 5 εἶχε Eust. Il. p. 297, 24 6 καὶ Jac ἡ RV . P om Eust Λητὼ τεκεῖν VP Eust κατατεκεῖν R 8 ἀντίκυραι VP 11 δὲ Ἐπαφρόδιτος R δὲ καὶ Ἐ. V δὲ καὶ Ἐ. λέγει P δέ, ὡς Ἐ. λέγει? 13 αὐγείας ἐρατεινάς R αὐγείαν ἐρᾶ τ' VP 14 ὠνομάσθη δὲ ἀπὸ τῆς τοῦ P Eust. Il. p. 277, 32 ὠν. ἀπὸ τοῦ RV 20 Ἀπολλόδωρος: Ἀρτεμίδωρος Wilamowitz τούτων: i. e. τῶν Πατρῶν δ' add $S^2$ 21 ἡ ὁ aus μό $S^2$ 24 ὁ ποταμὸς RV προσβάλλει RV 25 παρὰ τὸν ἐχῖνον Xylander παρὰ ἐχίνων R παρὰ (περὶ V) τὸ ἐχῖνην VP 25 ἐχίνων, ⟨ὡς?⟩ Ἀπολλόδωρος ⟨οἱ⟩ δὲ Jac ἐχίνων. Ἀπολλόδωρος δὲ RVP 30—31 Κυδωνιᾶται VP

195 (136) STEPH. BYZ. s. *Μένδη· πόλις Θράικης, ἀπὸ Μένδης* B 848/50?
*γυναικός. Ἀπολλόδωρος Μένδιν αὐτήν φησι.*

196 (139) — s. *Πέφνον· πόλις Λακωνική, οὐδετέρως. Ἀπολλόδωρος* B 581—90
*δὲ νῆσον αὐτήν φησι. λέγεται δὲ καὶ θηλυκῶς καὶ οὐδετέρως.*

197 (144) — s *Ὠκαλέα· πόλις Βοιωτίας· "Ὠκαλέην Μεδεῶνά τ'* B 501
*ἐυκτίμενον πτολίεθρον" Ὅμηρος. ἔστι δὲ πρὸς τῇι Ἀλιά⟨ρτωι⟩, ἐκαλεῖτο*
*δὲ Ὠκάλεια, ὡς Ἀπολλόδωρος ..... ἐκλήθη· δὲ οὕτως διὰ τὸ συντόμως*
*πορεύεσθαι ἐκ Θεσπιῶν εἰς Θήβας· αἱ δὲ Θεσπιαὶ γειτονοῦσι καὶ ὁμο-*
*ροῦσιν αὐτῆι.*

198 (175) STRAB. VII 7, 10: *οἴονται δέ, φησὶν ὁ Ἀπολλόδωρος,* F 181; 189
*ἀπὸ τῶν ἑλῶν τῶν περὶ τὸ ἱερὸν οὕτω καλεῖσθαι* (sc. *τοὺς Ἕλλους*), *τὸν*
*μένιοι ποιητὴν* (*Π* 234) ⟨*οὐχ*⟩ *οὕτω λέγειν Ἕλλους, ἀλλὰ Σελλοὺς ὑπο-*
*λαμβάνει τοὺς περὶ τὸ ἱερόν, προσθεὶς ὅτι καὶ Σελλήεντά τινα ὀνομάζει*
*ποταμόν, ὅταν φῆι* (*B* 659)·

*τηλόθεν ἐξ Ἐφύρης ποταμοῦ ἄπο Σελλήεντος.*

199 (165) — VIII 6, 1: *τὰ μὲν δὴ πρῶτα τοῦ Ἀργολικοῦ* (sc. *κόλπου*) B 559—68
*Λάκωνες ἔχουσι, τὰ δὲ λοιπὰ Ἀργεῖοι, ἐν οἷς ἐστι τῶν μὲν Λακώνων*
*τὸ Δήλιον ... καὶ Μινώα ... καὶ ἡ Λιμηρὰ Ἐπίδαυρος, ὡς Ἀρτεμίδωρός*
*φησιν* (V). *Ἀπολλόδωρος δὲ Κυθήρων πλησίον ἱστορεῖ ταύτην· εὐλίμενον*
*δὲ οὖσαν βραχέως καὶ ἐπιτετμημένως Λιμηρὰν εἰρῆσθαι, ὡς ἂν λιμενηράν,*
*μεταβεβληκέναι δὲ τοὔνομα.*

200 (172) — VIII 6, 5—6: *καὶ πρῶτον ποσαχῶς λέγεται παρὰ τῶι* B 559—68?
*ποιητῆι τὸ Ἄργος καὶ καθ' αὑτὸ καὶ μετὰ τοῦ ἐπιθέτου, Ἀχαικὸν Ἄργος καλοῦντος*
*ἢ Ἴασον ἢ Ἵππιον ἢ Πελασγικὸν ἢ Ἱππόβοτον. καὶ γὰρ ἡ πόλις Ἄργος λέγεται —*

*Ἄργος τε Σπάρτη τε* (*Δ* 52)·
*οἱ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε* (*B* 559) —

*καὶ ἡ Πελοπόννησος —*

*ἡμετέρωι ἐνὶ οἴκωι ἐν Ἄργει* (*A* 30)

*(οὐ γὰρ ἡ πόλις γε ἦν οἶκος αὐτοῦ) — καὶ ὅλη ἡ Ἑλλάς· Ἀργείους γοῦν καλεῖ πάντας,*
καθάπερ καὶ Δαναοὺς καὶ Ἀχαιούς.
*τὴν οὖν ὁμωνυμίαν τοῖς ἐπιθέτοις διαστέλλεται, τὴν μὲν Θετταλίαν Πελασγικὸν*
*Ἄργος καλῶν —*

*νῦν αὖ τούς, ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον* (*B* 681) —

*τὴν δὲ Πελοπόννησον ⟨Ἀχαικόν⟩ —*

*εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαικόν* (*I* 141)
*ἢ οὐκ Ἄργεος ἦεν Ἀχαικοῦ* (Od. *γ* 251) —

---

6 *Ἀλιάρτωι* Pinedo *ἁλία* RV *ἁλίαι* P 6—7 *ἐκαλεῖτο καὶ*? Meineke *εἴρητο μὲν καὶ* Eust. Il. p. 267, 25 7 *ἀκάλεια* R 7—8 *ὧκα καὶ συντόμως ἐκεῖθεν εἰς Θήβας πορεύεσθαι· ἢ ἀπὸ ποταμοῦ παραρρεόντος* Eust 8 *αἱ γὰρ*? Jac 11 *ἑλῶν* edd *ἑλλῶν* BC 12 ⟨*οὐχ*⟩ Kramer *οὐ*[*τω*] *λέγειν* Tzschucke (*οὐχ Ἕλλους* Pleth) *Ἕλλους, ἀλλὰ Σελλοὺς* Pleth *ἑλλοὺς ἑλλὰς ἑλλοὺς* Str 31 *οὖν* Jac *γοῦν* Str *δ' οὖν* Meineke 34 *τήν τε* A ⟨*Ἀχαικόν*⟩ Groskurd

σημαίνων ἐνταῦθα, ὅτι καὶ Ἀχαιοὶ ἰδίως ὠνομάζοντο οἱ Πελοποννήσιοι κατ' ἄλλην σημασίαν. Ἴασόν τε Ἄργος τὴν Πελοπόννησον λέγει (Od. σ 246)·

εἰ πάντες γ' ἐσίδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοί —

τὴν Πηνελόπην, ὅτι πλείους ἂν λάβοι μνηστῆρας· οὐ γὰρ τοὺς ἐξ ὅλης τῆς Ἑλλάδος εἰκός, ἀλλὰ τοὺς ἐγγύς. Ἱππόβοτον δὲ καὶ ἵππιον κοινῶς εἰρηκε.

(6) περὶ δὲ τῆς Ἑλλάδος καὶ Ἑλλήνων καὶ Πανελλήνων ἀντιλέγεται. Θουκυδίδης (I 3) μὲν γὰρ τὸν ποιητὴν μηδαμοῦ βαρβάρους εἰπεῖν φησι 'διὰ τὸ μηδὲ Ἕλληνάς πω τὸ ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι', καὶ Ἀπολλόδωρος δὲ μόνους τοὺς ἐν Θετταλίαι καλεῖσθαί φησιν Ἕλληνας —

Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες (B 684) —,

Ἡσίοδον μέντοι (F 26 Rz$^{3}$) καὶ Ἀρχίλοχον (F 54 Diehl) ἤδη εἰδέναι καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας, τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα, ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ

ὡς Πανελλήνων διζὺς ἐς θάσον συνέδραμεν.

ἄλλοι δ' ἀντιτιθάσιν, ὅτι καὶ βαρβάρους εἰρηκεν, εἰπών γε βαρβαροφώνους τοὺς Κᾶρας (F 207) καὶ Ἕλληνας τοὺς πάντας (Od. α 344)·

ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.

καὶ πάλιν (Od. ο 80)·

εἰ δ' ἐθέλεις ⟨τραφθῆναι⟩ ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος.

201 (167) STRAB. X 2, 10—11: Κεφαλλῆνας δὲ νῦν μὲν τοὺς ἐκ τῆς B 631—37
νήσου τῆς Κεφαλληνίας λέγουσιν, Ὅμηρος δὲ πάντας τοὺς ὑπὸ τῶι Ὀδυσσεῖ ..... Σάμον δὲ τὴν νῦν Κεφαλληνίαν (F 178), ὡς καὶ ὅταν φῆι (Od. δ 671 δ.)·

ἐν πορθμῶι Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης.

τῶι γὰρ ἐπιθέτωι τὴν ὁμωνυμίαν διέσταλται, ὡς οὐκ ἐπὶ τῆς πόλεως, ἀλλ' ἐπὶ τῆς νήσου τιθεὶς τοὔνομα. τετραπόλεως γὰρ οὔσης τῆς νήσου, μία τῶν τεττάρων ἐστὶν ἡ καὶ Σάμος καὶ Σάμη καλουμένη καθ' ἑκάτερον τοὔνομα, ὁμωνυμοῦσα τῆι νήσωι. ὅταν δ' εἴπηι (Od. α 245 δ.)·

ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι
Δουλιχίοι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,

τῶν νήσων ἀριθμὸν ποιεῖσθαι δῆλός ἐστι καὶ Σάμην καλῶν τὴν νῆσον, ἣν πρότερον Σάμον ἐκάλεσεν.

Ἀπολλόδωρος δὲ τότε μὲν [ἐν] τῶι ἐπιθέτωι λέγων διεστάλθαι τὴν ἀμφιβολίαν, εἰπόντα (Od. δ 671) 'Σάμοιό τε παιπαλοέσσης', ὡς τὴν νῆσον

---

3 γ' ἐσίδοιεν A$^{2}$BE γ' ἐσίδοιμεν A$^{1}$ σε ἴδοιεν Hom 4 τοὺς: τοῖς B$^{1}$ 5 εἰκονίζει B Pleth εἰκὸς λέγειν? 7 βάρβαρον A 8 τὸ ἀντίπαλον: ἀντίπαλον Thuk Strab. XIV 2, 28 καὶ om BE 11 Ἕλληνες καὶ Ἀχαιοί E 17 ἀντί τι ...$^{(16)}$..... καὶ A$^{1}$ 20—21 καὶ — Ἄργος om BE (s. XIV 2, 28) 21 ⟨τραφθῆναι⟩ edd 24 [καὶ]? 27—28 καὶ ἡ E 31 δουλιχίηι C 32 ποιεῖσθαι: ποιῶν D$^{\text{corr}}$ 34 [ἐν] Corais 35 ἀμφιβολίαν: ὁμωνυμίαν B

λέγοντα, τότε δὲ γράφεσθαι δεῖν (α 246) 'Δουλιχίοι τε Σάμοι τε', ἀλλὰ μὴ 'Σάμηι τε', δῆλός ἐστι τὴν μὲν πόλιν Σάμην καὶ Σάμον συνωνύμως ὑπολαμβάνων ἐκφέρεσθαι, τὴν δὲ νῆσον Σάμον μόνον. ὅτι γὰρ Σάμη λέγεται ἡ πόλις, δῆλον εἶναι ἔκ τε τοῦ διαριθμούμενον τοὺς ἐξ ἑκάστης πόλεως μνηστῆρας φάναι (Od. π 249)·

ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασι·

καὶ ἐκ τοῦ περὶ τῆς Κτιμένης λόγου (Od. ο 367)·

τὴν μὲν ἔπειτα Σάμηνδ' ἔδοσαν.

ἔχει δὲ ταῦτα λόγον· οὐ γὰρ εὐκρινῶς ἀποδίδωσιν ὁ ποιητὴς οὔτε περὶ τῆς Κεφαλληνίας οὔτε περὶ τῆς Ἰθάκης καὶ τῶν ἄλλων πλησίον τόπων, ὥστε καὶ οἱ ἐξηγούμενοι διαφέρονται καὶ οἱ ἱστοροῦντες. (11) αὐτίκα γὰρ ἐπὶ τῆς Ἰθάκης, ὅταν φῇι (*B* 632)

οἵ ῥ' Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοσίφυλλον,

ὅτι μὲν τὸ Νήριτον ὄρος λέγει, τῶι ἐπιθέτωι δηλοῖ. ἐν ἄλλοις δὲ καὶ ῥητῶς ὄρος (Od. ι 21)·

ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ,
Νήριτον εἰνοσίφυλλον ἀριπρεπές.

Ἰθάκην δ' εἴτε τὴν πόλιν εἴτε τὴν νῆσον λέγει, οὐ δῆλον ἐν τούτωι γε τῶι ἔπει 'οἵ ῥ' Ἰθάκην εἶχον καὶ Νήριτον'. κυρίως μὲν γὰρ ἀκούων τις τὴν πόλιν δέξαιτ' ἄν, ὡς καὶ 'Ἀθήνας καὶ Λυκαβηττὸν' εἴ τις λέγοι, καὶ 'Ῥόδον καὶ Ἀτάβυριν', καὶ ἔτι 'Λακεδαίμονα καὶ Ταύγετον'· ποιητικῶς δὲ τοὐναντίον. ἐν μέντοι τῶι 'ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ Νήριτον' ⟨δῆλον⟩· ἐν γὰρ τῇ νήσωι, οὐκ ἐν τῇ πόλει, τὸ ὄρος. ὅταν δὲ οὕτω φῇι (Od. γ 81)·

ἡμεῖς ἐξ Ἰθάκης ὑπονήιου εἰλήλουθμεν,

ἄδηλον, εἴτε τὸ αὐτὸ τῶι Νηρίτωι λέγει τὸ Νήιον εἴτε ἕτερον, ἢ ὄρος ἢ χωρίον. ὁ μέντοι ἀντὶ Νηρίτου γράφων Νήρικον, ἢ ἀνάπαλιν, παραπαίει τελέως· τὸ μὲν γὰρ εἰνοσίφυλλον καλεῖ ὁ ποιητής, τὸ δ' ἐυκτίμενον πτολίεθρον (Od. ω 377), καὶ τὸ μὲν ἐν Ἰθάκηι, τὸ δ' ἀκτὴν ἠπείροιο. B 621—27

202 (167) STRAB. X 2, 16: μεταξὺ δὲ τῆς Ἰθάκης καὶ τῆς Κεφαλληνίας ἡ Ἀστερία νησίον — Ἀστερὶς δ' ὑπὸ τοῦ ποιητοῦ λέγεται (Od. δ 844 ff.) —, ἣν ὁ μὲν Σκήψιος (V) μὴ μένειν τοιαύτην, οἵαν φησὶν ὁ ποιητής — 'λιμένες δ' ἔνι ναύλοχοι αὐτῇι ἀμφίδυμοι' —, ὁ δὲ Ἀπολλόδωρος μένειν καὶ νῦν. καὶ πολίχνιον λέγει ἐν αὐτῇι Ἀλαλκομενάς, τὸ δ' ἐπ' αὐτῶι τῶι ἰσθμῶι κείμενον.

---

1 γράφεσθαι E ἂν γράφεσθαι BCD ἀντιγράφεσθαι dett 10 πλησίον h πλησίων cett 18 οἵ ῥ' dett (Hom) οἵ τ' BCD 23 ⟨δῆλον⟩ Corais δὲ ο τε πλησίων cett 25 ὑπὸ Νηίου D edd 26 ἄδηλον Xylander δῆλον (οὐ ἄδηλον B$^{corr}$) Str cett 34 Ἀλαλκομενάς (Plut. Aet. gr. 43 p. 301 D; Strab. VII 7, 9): Ἀλκομενὰς Berkel (Steph. Byz. s. Ἀλκομεναί· πόλις ἐν Ἰθάκηι τῆι νήσωι, ἀφ' ἧς Ἀλκομενεὺς ὁ Ὀδυσσεύς· ἔστι καὶ τῆς Ἰλλυρίας πόλις)

**203** (168) STRAB. X 2, 21: .... *εἶθ' ὁ Εὔηνος .... μετὰ δὲ τὸν Εὔηνον* B 638—44
*τὸ ὄρος ἡ Χαλκίς, ἣν Χαλκίαν εἴρηκεν Ἀρτεμίδωρος* (V)· *εἶθ' ἡ Πλευρών· εἶθ' ἡ Ἁλίκυρνα κώμη, ἧς ὑπέρκειται Καλυδών .....· εἶθ' ὁ Ταφιασσὸς τὸ ὄρος, εἶτα Μακυνία πόλις· εἶτα Μολύκρεια καὶ πλησίον τὸ Ἀντίριον, τὸ τῆς Αἰτωλίας ὅριον καὶ τῆς Λοκρίδος, εἰς ὃ ἀπὸ τοῦ Εὐήνου στάδιοι περὶ ἑκατὸν εἴκοσι. Ἀρτεμίδωρος μὲν οὕτω περὶ τῆς εἴτε Χαλκίδος εἴτε Χαλκίας τοῦ ὄρους, μεταξὺ τοῦ Ἀχελώου καὶ τῆς Πλευρῶνος ἱδρύων αὐτήν· Ἀπολλόδωρος δέ, ὡς πρότερον εἶπον* (X 2, 4), *ὑπὲρ τῆς Μολυκρείας καὶ τὴν Χαλκίδα καὶ τὸν Ταφιασσόν. καὶ τὴν δὲ Καλυδῶνα μεταξὺ ἱδρῦσθαί φησι τῆς τε Πλευρῶνος καὶ τῆς Χαλκίδος.*

**204** (168) — X 2, 22: *τῆς δὲ μεσογαίας κατὰ μὲν τὴν Ἀκαρνανίαν* B 638—44
*Ἐρυσιχαίους τινάς φησιν Ἀπολλόδωρος λέγεσθαι, ὧν Ἀλκμὰν μέμνηται* (F 13 Diehl)· *οὐδ' Ἐρυσιχαῖος* [*Καλυδωναι*] *οὐδὲ ποιμήν, ἀλλὰ Σαρδίων ἀπ' ἀκρᾶν'.*

**205** (156) — X 3, 4: (in der polemik gegen Ephoros 70 F 122, B 638—44
die Aitoler seien ein *ἔθνος μηδεπώποτε γεγενημένον ὑφ' ἑτέροις*) *καὶ Ἀπολλόδωρος δ' εἴρηκεν ἐκ τῆς Βοιωτίας ἀπελθόντας Γαντας ἱστορεῖσθαι καὶ ἐποίκους τοῖς Αἰτωλοῖς γενομένους.*

**206** (169) — X 4, 3: *μέγεθος δὲ* (sc. *τῆς Κρήτης*) *Σωσικράτης* (III) B 645—53
*μέν, ὃν φησιν ἀκριβοῦν Ἀπολλόδωρος τὰ περὶ τὴν νῆσον, ἀφορίζεται μήκει μὲν πλειόνων ἢ δισχιλίων σταδίων καὶ τριακοσίων, πλάτει δὲ † ὑπὸ τὸ μέγεθος, ὥστ' ὁ κύκλος κατὰ τοῦτον γίνοιτ' ἂν πλέον ἢ πεντακισχίλιοι στάδιοι.*

**207** (177) — XIV 2, 28: *τοῦ ποιητοῦ δ' εἰρηκότος οὕτωσί·* B 867—76?

*Μάσθλης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων,*

*οὐκ ἔχει λόγον, πῶς τοσαῦτα εἰδὼς ἔθνη βάρβαρα μόνους εἰρηκε βαρβαροφώνους τοὺς Κᾶρας, βαρβάρους δ' οὐδένας. οὔτ' οὖν Θουκυδίδης* (I 3) *ὀρθῶς .... τό τε γὰρ 'μηδὲ Ἕλληνάς πω' φεῦδος αὐτὸς ὁ ποιητὴς ἀπελέγχει* (Od. α 344; ο 80; s. F 200 p. 1102, 17) *.....· μὴ λεγομένων τε βαρβάρων, πῶς ἔμελλεν εὖ λεχθήσεσθαι τὸ βαρβαροφώνων; οὔτε δὴ οὗτος εὖ οὔτ' Ἀπολλόδωρος ὁ γραμματικός, ὅτι τῶι κοινῶι ὀνόματι ἰδίως καὶ λοιδόρως ἐχρῶντο οἱ Ἕλληνες κατὰ τῶν Καρῶν, καὶ μάλιστα οἱ Ἴωνες, μισοῦντες αὐτοὺς διὰ τὴν ἔχθραν καὶ τὰς συνεχεῖς στρατείας· ἐχρῆν γὰρ οὕτως βαρβάρους ὀνομάζειν.*

---

2 *Χαλκίαν*: *χαλείαν* CD 2—3 *Ἁλίκυρνα* Kramer *λικύρνα* Str 3 *Ταφιασσὸς* edd *ταφίασος* Str 6 *Ἀχελώιου*: *Εὐήνου* Lepaulmier 8 *ταφίασσον* B *ταφίασον* cett *δὲ* Tzschucke *τε* BCD 9 *ἱδρῦσαι* C *φασι* BCD 11 *ἐρυσιχεός* Str 12 [*Καλυδωναι*] *οὐδὲ* Bergk *καλυδωναίου δὲ* u. ä. Str 16 *ἐπελθόντας* x (Corais, Meineke) 17 [*καὶ*]? 20 ⟨*οὐ*⟩ *πλειόνων*? Casaubonus 20—21 *οὕτω τὸ μέγεθος* B$^{corr}$ *οὐ κατὰ τ. μ.* dett ⟨*δσον διακοσίων*⟩ *οὐ κατὰ τ. μ.* Groskurd (X 4, 2) *τ̄* (ο. *τ̃*) *που* [*τὸ μέγ.*] Kramer *τ̄ ὅπου 'στι μέγιστον* Meineke 24 *Μάσθλης*: *Νάστης* Hom 27 *μηδὲ* Corais *μήτε* Str

## ΠΕΡΙ ΤΩΝ ΑΘΗΝΗΣΙ ΕΤΑΙΡ(ΙΔ)ΩΝ Α.

(T 17)

208 (238) ATHEN. XIII 46 p. 583 DE: *αἱ γὰρ καλαὶ ἡμῶν Ἀθῆναι τοσοῦτον πλῆθος ἤνεγκαν ἑταιρῶν .... ὅσον ὄχλον εὐανδροῦσα πόλις οὐκ ἔσχεν. ἀναγέγραφε γοῦν Ἀριστοφάνης μὲν ὁ Βυζάντιος ἑκατὸν καὶ λε, Ἀπολλόδωρος δὲ τούτων πλείους, ὁ Γοργίας (IV) δ' ἔτι πλέονας, παραλειφθῆναι φάσκοντες ὑπὸ τοῦ Ἀριστοφάνους μετὰ ἑταιρῶν πλειόνων καὶ τάσδε· * * τὴν Πάροινον ἐπικληθεῖσαν καὶ Λαμπυρίδα καὶ Εὐφροσύνην· αὕτη δὲ ἦν γναφέως θυγάτηρ. ἄγραφοι δ' εἰσὶν αὐτῶι Μεγίστη, Ἀγαλλίς, Θαυμάριον, Θεόκλεια (αὕτη δ' ἐπεκαλεῖτο Κορώνη), Ληναιτόκυστος, Ἄστρα, Γνάθαινα καὶ ταύτης θυγατριδῆ Γναθαίνιον, καὶ Σιγὴ καὶ Συνωρὶς (ἡ Λύχνος ἐπικαλουμένη) καὶ Εὔκλεια καὶ Γρυμέα καὶ Θρυαλλίς, ἔτι Χίμαιρα καὶ Λαμπάς.*

209 (240) — XIII 50 p. 586 A (HARP. SUID. s. *Φανοστράτη*; ET. M. p. 787, 32): *περὶ δὲ τῆς Φανοστράτης Ἀπολλόδωρός φησιν ἐν τῶι Περὶ τῶν Ἀθήνησιν ἑταιρίδων, ὅτι Φθειροπύλη ἐπεκαλεῖτο, ἐπειδήπερ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο.*

210 (239) — XIII 50 p. 586 AB: *Ὑπερείδης δ' ἐν τῶι κατὰ Ἀριστογόρας φησὶ* (F 24 Bl-Jens.) *'καὶ πάλιν τὰς Ἀφύας καλουμένας τὸν αὐτὸν τρόπον ἐκαλέσατε'. ἑταιρῶν ἐπωνυμίαι αἱ Ἀφύαι, περὶ ὧν ὁ προειρημένος Ἀπολλόδωρός φησι· «Σταγόνιον καὶ Ἄνθις ἀδελφαί· αὗται Ἀφύαι ἐκαλοῦντο, ὅτι λευκαὶ καὶ λεπταὶ οὖσαι τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον.» Ἀντιφάνης δὲ ἐν τῶι Περὶ Ἑταιρῶν (IV) Νικοστρατίδα φησὶν Ἀφύην κληθῆναι διὰ τὴν αὐτὴν αἰτίαν.*

211 (241) a) HARP. s. *Νάννιον*· *Ὑπερείδης ἐν τῶι κατὰ Πατροκλέους, εἰ γνήσιος* (F 141 Bl-J). *Ἀπολλόδωρος ἐν τῶι Περὶ τῶν ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ θαλλὸν τὸν κάπηλον καταφαγεῖν. ὅτι γὰρ θαλλῶι χαίρουσιν αἱ αἶγες, καὶ Σοφοκλῆς Ποιμέσιν* (F 461 N²)·

b) ATHEN. XIII 51 p. 587 AB: *Ναννίου δὲ Ὑπερείδης μνημονεύει ἐν τῶι κατὰ Πατροπλέους. αὕτη δὲ ὅτι Αἶξ ἐπεκαλεῖτο προειπομεν (582 E), διὰ τὸ θαλλὸν τὸν κάπηλον ἐξαναλῶσαι. ὅτι δὲ θαλλῶι χαίρουσιν αἱ αἶγες, διόπερ οὐδ' εἰς ἀκρόπολιν ἀνεισι τὸ ζῶιον οὐδ' ὅλως Ἀθηνᾶι θύεται διὰ τοῦτο, ἄλλος ἔσται λόγος· ἀλλ' ὅ γε Σοφοκλῆς ἐν Ποιμέσιν ὅτι θαλλοφαγεῖ τὸ ζῶιόν φησιν οὕτως·*

4 οὐκ: οὐδεμία Schw(eighäuser) ὃ ἀναγέγραφε E ἀνέγραφε A 6 δ' ἔτι Schw δὲ Ath 8 * * edd 10 Ληναιόκυσθος Meineke Ἀστραία? Kaibel 12 Γρυμέα Kaibel γρυμαία A 16 ἑταιρῶν Harp Suid Et ἐπεκαλεῖτο: ἐπονομάζεσθαι Harp-E Suid ἐπονομασθῆναι Et ὀνομάζεσθαι Harp 17 θύρας Ath Harp πύλης Ath-E Harp-E Suid Et 30¹ Θάλλον Sauppe 32¹ Ποιμέσιν Ath πύλεσιν, πύλαισιν Harp 32² ἐστί? Kaibel

ἐωθινὸς γάρ, πρίν τιν' αὐλιτῶν ὁρᾶν,
θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα,
εἶδον στρατὸν στείχοντα παραλίαν ἄκραν.

ἐωθινὸς — ἄκραν.

ἔστι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇι κωμωδίαι. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῶι Περὶ τῶν ἑταιρῶν (IV) τὴν Ναννιόν φησι Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἐξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι.

μνημονεύει τῆς Ναννίου καὶ Ἄλεξις ἐν Ταραντίνοις οὕτως (II 379, 223 K) ..... Μένανδρος δ' ἐν Ψευδηρακλεῖ φησιν (III 150, 524 K) ..... Ἀντιφάνης δ' ἐν τῶι Περὶ ἑταιρῶν Προσκήνιον' φησιν 'ἐπεκαλεῖτο ἡ Νάννιον, ὅτι πρόσωπόν τε ἀστεῖον εἶχε καὶ ἐχρῆτο χρυσίοις καὶ ἱματίοις πολυτελέσι, ἐκδῦσα δὲ ἦν αἰσχροτάτη κτλ.'

212 (242) ATHEN. XIII 60 p. 591 C: *Ἀπολλόδωρος δ' ἐν τῶι Περὶ ἑταιρῶν δύο ἀναγράφει Φρύνας γεγονέναι, ὧν τὴν μὲν ἐπικαλεῖσθαι Κλαυσιγέλωτα, τὴν δὲ Σαπέρδιον.*

## ΠΕΡΙ ΕΠΙΧΑΡΜΟΥ Α—Ι.

(T 18; F 226; 264; 267)

### Ϝ

213 (186) PHOT. SUID. s. καρδιώττειν· τὴν καρδίαν ἀλγεῖν· Σικελιῶται, ὁ ἡμεῖς βουλιμιᾶν. Ἀπολλόδωρος ἐν ϛ Περὶ Ἐπιχάρμου (F 202 Kaib) τοὺς Σικελιώτας φησὶν τὸ τὸν στόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ καρδιώττειν λέγειν, ὅπερ βουλιμιᾶν λέγει Ξενοφῶν (Anab. IV 5, 7). καὶ εὐκάρδια ⟨οἱ⟩ πολλοὶ τὰ εὐστόμαχα λέγουσιν.

## ΠΕΡΙ ΣΩΦΡΟΝΟΣ.

(F 102 a § 5; 238; 287)

### Γ

214 (184) ATHEN. VII 15 p. 281 E—282 A (ET. GEN. Cram. AP IV 6, 27; ET. M. 72, 51): Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐν τῶι τρίτωι Περὶ Σώφρονος τῶι εἰς τοὺς ἀνδρείους μίμους προθεὶς τὸ «καταπυγοτέραν τ' ἀλφηστᾶν (F 63 Kaib)» φησίν· «ἰχθῦς τινες οἱ ἀλφησταί, τὸ μὲν ὅλον κιρροειδεῖς, πορφυρίζοντες δὲ κατά τινα μέρη. φασὶ δ' αὐτοὺς ἁλίσκεσθαι σύνοδον, καὶ φαίνεσθαι τὸν ἕτερον ἐπὶ τοῦ ἑτέρου κατ' οὐρὰν ἀκολουθεῖν τῶν ἀρχαίων τινὲς τοὺς ἀκρατεῖς καὶ καταφερεῖς οὕτω καλοῦσιν.»

---

1[1] αὐλιτῶν Bekker αὐλητῶν Ath Harp ὁρᾶν: περᾶν Meineke 2[2] μνημονεύει τῆς Musurus μνημονευτῆς Ath χίλια, χιλίαις Harp 2—3[1] νεοσπάδα Casaubonus νεόπαιδα Harp νέος παῖδα Ath 3[2] χρυσίοις Meineke χρυσεοις A χρυσοῖς E 8[1]—9[1] Προσκήνιον Ath προσκίνιον, —κύνιον Harp 12 [γεγονέναι] Kaibel 20 ⟨οἱ⟩ Naber 27 κιρροειδεῖς C Et M (?) κηροειδεῖς A Cram 29 ἐπὶ τοῦ ἑτέρου A Et ἐπὶ τῶι ἑτέρωι C 30 ἀπὸ γοῦν τοῦ Et κατὰ πυγὴν Cram τὴν πυγὴν Et M ἑτέρωι Et 31 καταφερεῖς A C[corr] κατωφερεῖς Et M (Hesych.; Phot. s. καταφερής) καταφθειροντες Cram 32 οὕτως ἔλεγον Cram

$\overline{\Delta}$

215 (185) SCHOL. ARISTOPH. Vesp. 525: ... ἔθος δὲ ἦν, ὁπότε μέλλοι ἡ τράπεζα αἱρεσθαι, 'ἀγαθοῦ δαίμονος' ἐπιρροφεῖν, ὡς Θεόπομπός φησιν (115 F 406). ὁ δὲ Ἀπολλόδωρος καὶ ὅτι τὸ ποτήριον μεστὸν πάλιν ἀπεπλήρουν, δεδήλωκεν ἐν τῇ $\overline{\text{δ}}$ τῶν Περὶ Σώφρονος.

## OHNE BUCHZAHL.

216 (182) ATHEN. III 37 p. 89 A: Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος ἐν τοῖς Περὶ Σώφρονος προθεὶς τὸ «λιχνοτέρα τᾶν πορφυρᾶν (F 62 Kaib)» φησὶν ὅτι «παροιμία ἐστὶν καὶ λέγεται, ὡς μέν τινες, ἀπὸ τοῦ βάμματος· οὐ γὰρ ἂν προσψαύσῃ ἕλκει ἐφ' ἑαυτὸ καὶ τοῖς [προσ]παρατεθειμένοις ἐμποιεῖ χρώματος αὐγήν. ἄλλοι δ' ἀπὸ τοῦ ζώιου.»

217 (183) — VII 83 p. 309 CD: καὶ Σώφρων ἐν τῶι Ἀγροιώτηι (F 45 Kaib) 'κωθωνοπλύται' φησί, καὶ τὸν τοῦ θυννοθήρα δὲ υἱὸν ἴσως ἀπὸ τούτου Κωθωνίαν προσηγόρευσεν. Σικελιῶται δ' εἰσὶν οἱ τὸν κωβιὸν κώθωνα καλοῦντες, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν ταῖς Γλώτταις (F 141 Schn) καὶ Ἀπολλόδωρος ἐν τοῖς Περὶ Σώφρονος. Ἐπίχαρμος δ' ἐν Ἥβας Γάμωι (F 66 Kaib) κωβιοὺς ὀνομάζει· 'τρυγόνες τ' ὀπισθόκεντροι καὶ μάλ' ἁδροὶ κωβιοί'.

218 (181) SCHOL. B HOM. Il. E 576: .... τὸ τάλαντον δὲ τὸ νῦν λεγόμενον Ἀττικόν· παρὰ δὲ Σικελιώταις τὸ μὲν ἀρχαῖον ἦν μνῶν $\overline{\text{κδ}}$, νῦν δὲ $\overline{\text{ιβ}}$. δύναται δὲ ὁ νόμος τρία ἡμιωβόλια, ὡς ἐν τοῖς Περὶ Σώφρονος Ἀπολλόδωρος. ἐκ τῶν Διογενιανοῦ τῆς ἐπιτομῆς (τῶν Οὐεστίνου) Ἑλληνικῶν ὀνομάτων.

## ΠΡΟΣ ΤΗΝ ΑΡΙΣΤΟΚΛΕΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΑΝΤΙΓΡΑΦΗ.

219 (242 a) ATHEN. XIV 40 p. 636 F: Ἀπολλόδωρος δ' ἐν τῇι πρὸς τὴν Ἀριστοκλέους ἐπιστολὴν ἀντιγραφῇι «ὃ νῦν» φησὶν «ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ' εἶναι μάγαδιν· ὁ δὲ κλεψίαμβος κληθείς, ἔτι δ' ὁ τρίγωνος καὶ ὁ ἔλυμος καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῆι χρείαι καθέστηκεν.»

## ΠΕΡΙ ΤΟΥ ΚΡΑΤΗΡΟΣ ΡΗΣΕΙΔΙΟΝ.

220 (243) ATHEN. XI 103 p. 500 F—501 B (EUST. Il. Ψ 270): Ὅμηρος μὲν ὅταν λέγηι (Ψ 270) 'ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε' καὶ (Ψ 243) 'χρυσῆν φιάλην καὶ δίπλακα δημόν' οὐ τὸ ποτήριον λέγει, ἀλλὰ χαλκίον τι [καὶ] ἐκπέταλον λεβητῶδες, ἴσως δύο ὦτα ἔχον ἐξ ἀμφοτέρων τῶν μερῶν. Παρθένιος δ' ὁ τοῦ Διονυσίου ἀμφίθετον ἀκούει τὴν ἀπύθμενον φιάλην. Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος ἐν τῶι Περὶ τοῦ κρατῆρος ῥησειδίωι τὴν κατὰ τὸν πυθμένα μὴ δυναμένην τίθεσθαι καὶ ἐρείδεσθαι, ἀλλὰ κατὰ τὸ στόμα. ..... Ἀρίσταρχος δὲ τὴν δυναμένην ἐξ ἀμφοτέρων τῶν μερῶν τίθεσθαι, κατὰ τὸν πυθμένα καὶ κατὰ τὸ στόμα.

---

8 τὸ Musurus τὰ Ath 9 λέγεται Kaibel λέγει Ath 10—11 [προσ]παρα— Kaibel 11 ἐμποιεῖ EC ἐμποι A ἀπὸ τοῦ EC ἐπὶ τοῦ A 12—13 Ἀγροιώτηι Kaibel 11 κωθωνοπλύται Cas(aubonus) ἀγροιωτικῶι θωλινοπλύται A 17 μάλ' ἁδροὶ Cas χαλαδροι A χαλάδριοι C 19—20 ὁ νόμος Schol. Greg. Naz. p. 11 Picc εἶναι B 21 τῶν Οὐεστίνου add Schol. Greg. 25 τοῦτ' — μάγαδιν: zitat verkürzt ἔτι δ' E ἐστι δ' A 31 χάλκεον A χαλκεῖον XI 468 E καὶ om E (s. XI 468 E) 34 ῥησειδίωι Heyne —δίου A 35 κατὰ μόνον δὲ στόμα Eust

## *ΓΛΩΣΣΑΙ.*

(F 240?)

221 (188) Schol. A Hom. Π. *A* 244: δ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας] Ἀρίσταρχος παρέλκειν λέγει τὸ δεν, Ἀπολλόδωρος δὲ ἐν Γλώσσαις εἶναι τὸ πλῆρες οὐδὲ ἕν. πολλοῖς γὰρ καὶ τῶν ἄλλων γραμματικῶν δοκεῖ τρία εἶναι μέρη λόγου, οὐ καὶ δέ καὶ ἕν.

## *ΕΤΥΜΟΛΟΓΟΥΜΕΝΩΝ* (?) $\overline{A}$ $\overline{B}$.

(F 288? 302? 308)

### $\overline{A}$

222 (190) Athen. XIV 88 p. 663 A: ὠνομάσθη δὲ ἡ ματτύη, ὡς μὲν ὁ Ἀθηναῖος Ἀπολλόδωρός φησιν ἐν τῷι πρώτωι τῶν Ἐτυμολογουμένων, ἀπὸ τοῦ μασᾶσθαι, ὥσπερ καὶ ἡ μαστίχη καὶ ἡ μάσταξ· ἡμεῖς δέ φαμεν ἀπὸ τοῦ μάττειν .....

### $\overline{B}$

223 (191) Athen. Π 63 p. 63 D: Ἀπολλόδωρος δὲ ἐν $\overline{β}$ Ἐτυμολογιῶν τῶν κοχλιῶν φησί τινας καλεῖσθαι κωλυσιδείπνους.

## Ohne Buchzahl.

224 (189. 245) Athen. XI 65 p. 483 A (XI 64 p. 482 E): Ἀπολλόδωρος δ' ἐν τῶι Περὶ Ἐτυμολογιῶν Παφίους τὸ ποτήριον (sc. τὴν κύμβην) καλεῖν κύββα.

225 (219) Et. Orion. p. 79, 8 St (Et. Gen.; Et. M. 537, 55; Et. Gud. p. 346, 20): Κρῆτες· παρὰ τὸ ἐπὶ κρέασι βιοτεύειν· κυνηγετικοὶ γάρ. Ἀπολλόδωρος καὶ (?) ἐν Ἐτυμολογίαις παρὰ τὸ εὖ κεκρᾶσθαι τὸν περὶ τὴν νῆσον ἀέρα.

## Aus den philologisch-grammatischen Schriften.

(vgl. F 285; 288; 302; 302 bis; 305—306; 308)

226 (187) Athen. XIV 59 p. 648 DE: τὴν μὲν ἡμίναν οἱ τὰ εἰς Ἐπίχαρμον ἀναφερόμενα ποιήματα πεποιηκότες οἴδασι, κἀν τῶι Χείρωνι ἐπιγραφομένωι οὕτως λέγεται (F 290 Kaib)· 'καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρόν, ἡμίνας δύο'. τὰ δὲ ψευδεπιχάρμεια ταῦτα † ὅτι πεποιήκασιν ἄνδρες ἔνδοξοι, Χρυσόγονός τε ὁ αὐλητής †, ὡς φησιν Ἀριστόξενος ἐν ὀγδόωι Πολιτικῶν Νόμων, τὴν Πολιτείαν ἐπιγραφομένην· Φιλόχορος δ' ἐν τοῖς Περὶ Μαντικῆς (III) Ἀξιόπιστον τὸν εἶτε Λοκρὸν γένος ἢ Σικυώνιον τὸν Κανόνα καὶ τὰς Γνώμας πεποιηκέναι φησίν. ὁμοίως δὲ ἱστορεῖ καὶ Ἀπολλόδωρος. (zu F 213)

227 (206) Schol. AT Hom. Π. *Z* 97: τινὲς οὕτως διεῖλον· 'ἄγριον', εἶτα 'αἰχμητὴν κρατερόν', εἶτα 'μήστωρα φόβοιο'. Ἀπολλόδωρος δὲ διχῶς· 'ἄγριον αἰχμητήν', εἶτα 'κρατερὸν μήστωρα φόβοιο', ἵνα ᾖι 'ἰσχυρὸν ἐν τῶι μήσασθαι φυγὴν τοῖς πολεμίοις'.

---

12 καὶ ἡ μάσταξ Kaibel καὶ τὰ μάλιστα καὶ A καὶ τ. μ. καὶ μάσταξ vulg 18 κύββα 482 E κύμβα (κύμβαν E) 483 A 20 κράεσι Or Ἀπολλόδωρος, Ἀπολλώνιος, Ἀπολλόδωρος Gud 20—21 καὶ (mißverst. verweiszeichen?) ἐν Ἐτυμολογίαις om Gen, Gud, M 27—29 * * Χρυσόγονον γὰρ τὸν αὐλητήν [ὡς] φησιν Ἀ. — ἐπιγραφομένην, Φιλόχορος κτλ.? 28 ἐπιγραφομένην * * Meineke

228 (206) Schol. A Hom. Il. Θ 221: *πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ*] *ὁ μὲν Ἀπολλόδωρος, ὅτι περιειλήσας εἶχεν ἐν τῇ χειρί· ὁ δὲ Διονύσιος, πρὸς τὸ κατασείειν εὐθέτως λαβόμενος τοῦ φάρους.*

229 (237 a) Apollon. Dyskol. De Pron. [Gr. Gr. I 1] p. 5, 13 Schn: *οἱ ἀπὸ τῆς Στοᾶς ἄρθρα καλοῦσι καὶ τὰς ἀντωνυμίας .... καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος καὶ ὁ Θρᾷξ Διονύσιος καὶ ἄρθρα δεικτικὰ τὰς ἀντωνυμίας ἐκάλεσαν. συνηγορεῖ δὲ αὐτοῖς ὁ λόγος, καθὸ αἱ ἀντωνυμίαι καὶ ἀναφορικῶς λαμβάνονται, καὶ τὰ ἄρθρα δὲ ἀναφορὰν δηλοῖ ...*

230 (188) Varro De Ling. Lat. VI 1—2: *.... atque si qua eruni ex diverso genere adiuncta, potius cognationi verborum quam auditori calumnianti geremus morem. huius rei auctor satis mihi Chrysippus* (II 154 Arn) *et Antipater* (III 246, 17 Arn) *et illi in quibus, si non tantum acuminis, at plus literarum, in quo est Aristophanes* (p. 269 N) *et Apollodorus: qui omnes verba ex verbis ita declinari scribunt, ut verba litteras alia assumant, alia mittant, alia commutent.*

231 (208) Hesych. s. ἀγοστόν (Il. Λ 425)· ἀγκῶνα. *τὸ δὲ † ἀγὲς τὸ ἐντὸς τῶν χειρῶν καὶ βραχιόνων, ὡι ἀεὶ ἐφ' ἡμᾶς αὐτοὺς ἐπαγόμεθά τι. Ἀπολλόδωρος δὲ τὸ ἐντὸς τοῦ βραχίονος μέρος.*

232 (209) — s. ἁλίπλοα (Il. Μ 26)· *τῇι θαλάσσηι ἐπιπλέοντα, ὡς Ἀπολλόδωρος. Κομανὸς δὲ τὰ ὑπὸ τοῦ ἁλὸς ἐπιπλεόμενα, τουτέστιν ὑποβρύχια, οἷς ἐπιπολάζει ἡ θάλασσα.*

233 (IV 649) Epim. Hom. Cram. AO I 48, 17: ἀνέμοιο (Il. Ζ 346)· *ὄνομα προσηγορικὸν ἀπὸ ῥήματος. Ἀπολλόδωρος παρὰ τὸ ἀνύειν, ὁ δὲ ποιητὴς παρὰ τὸ ἀεῖν· 'ἀνέμων μένος ὑγρὸν ἀέντων'* (Od. ε 478) *καὶ 'ἦλθε δ' ἐπὶ Νότος ὠκὺς ἀήμεναι'. ἀῶ οὖν ἄεμος, καὶ ἐπενθέσει τοῦ ν̄ ἄνεμος, ὡς ἀμείων ἀμείνων.*

234 (—) Schol. Theokr. I 52a: ἀνθερίκοισιν (Il. Υ 227) .... *Ἀπολλόδωρος ὑπὸ Δωριέων φησὶν οὕτω λέγεσθαι τὸν τῆς ἀσφοδέλου καρπόν· ὁ δὲ Νεοπτόλεμος* (Meineke Anal. Alex. 359) *ἀνθέρικον ὠιήθη τὸν ἀθέρα τοῦ στάχυος, γελοίως.*

235 (—) Schol. A Hom. Il. Ω 213: *τότ' ἄντιτα ἔργα γένοιτο παιδὸς ἐμοῦ*] *Ἀπολλόδωρος καὶ Καλλίστρατος 'τιτά', ὥστε τρία εἶναι, ἐπίρρημα τὸ 'τότε' καὶ σύνδεσμον τὸν 'ἄν' καὶ ὄνομα τὸ 'τιτά'. ὁ δὲ Ἀσκαλωνίτης 'ἄντιτα' παραλαμβάνει, μεταλαμβάνων εἰς τὸ 'ἀντέκτιτα'. οὕτω καὶ οἱ πλείους, ὁμοίως τῶι 'ἄτιτα'* (Il. Ξ 484) .....

236 (—) Et. Gen. p. 42 Miller: ἀρήγω· ... *κυρίως τὸ μετὰ εὐχῆς βοηθεῖν ... ὥσπερ καὶ βοηθεῖν λέγεται τὸ ἐπὶ βοὴν θέειν. βοὴ γὰρ ὁ πόλεμος ἀπὸ τοῦ παρεπομένου. ἀρήγω σὺν ἀρηγὸς καὶ ἀρωγός, ὥσπερ καὶ ῥηχμὸς καὶ ῥωχμός — ῥωχμὸς γὰρ ἦεν γαίης* (Il. Ψ 420) —, *παρώιχηκε παρώιχωκε. οὕτως Ἀπολλόδωρος.*

---

8 *εὐθέτως* Friedlaender εὐθέες A 15 ἀγοστόν· ἀγκῶνα Heinsius (Apollon. lex. 4, 27; Et. M. 12, 28 ..... *παρὰ τὸ ἄγω ἄγος καὶ ἀγοστός*; Et. Gud. 16, 24 Stef) *ἄγος τὸν ἀγκῶνα* Hes (*ἄγος .... ἀγκών* Phot. Berol. 22, 23 R; *σημαίνει δὲ τὸν ἀγκῶνα* BA 330, 31) *τὸ δὲ ἀγὲς*: *τὸ ὑγιὲς* Apollon *οἱ δὲ ἀγοστὸν* Heinsius ἀγοστὸς *δὲ* M Schmidt 16 *ὡι* Heinsius *ὡς* Hes *τούτοις γὰρ τοῖς μέρεσι* Apollon 22 *ἀνύειν*: vgl. Gud. 155, 24 Stef *ἀνύω· σημαίνει τὸ πράττω ... καὶ τὸ ὠφελῶ ....*? 23 *ὑγρὸν* Hom *ὑγρῶν* O *ἦλθε κτλ.*: Od. γ 176 *ὧρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι*? 24 *ἀμείνων* Cramer *ἄμεινεν* O 25—26 *Ἀπολλόδωρος ὑπὸ Δωριέων* Wilamowitz *Ἀ. ὁ υἱὸς ὁ δὲ Δωριέων* K *Ἀ. δὲ ὁ Δωριέων* GEA *Ἀ. δὲ ὁ Δωριεύς* T 26 *οὕτω* Lex Phav *οὐ* Schol 31 *ἀντέκτιτα* Lehrs *ἀντέκτιστα* A

237 (192) Apoll. Soph. Lex. Hom. p. 10, 21 Bk: ἀείρας· ἐπὶ μὲν τοῦ βαστάζειν .... ἐπὶ δὲ τοῦ πρό(σ)φερε 'μή μοι οἶνον ἄειρε' (Il. Z 264) καὶ ἐν τῇ ᾱ Ὀδυσσείας (141) 'ἀείρας' προσενέγκας. εἴρηται δὲ οὕτως, ἐπεὶ ὁ προσφέρων αἴρει τὸ προσφερόμενον· καὶ αἴρειν τὸ προσφέρειν. ἀπὸ δὲ τούτου καὶ τὸν ἄρτον ὠνομάσθαι, ὥς φησιν Ἀπολλόδωρος.

238 (212) Et. M. p. 151, 48: ἀσαλής· ὁ ἀμέριμνος· Αἰσχύλος (F 319 N²) 'ἀσαλὴς μανία'. οὕτως Ἡρωδιανὸς (I 318, 16 L) καὶ Ἀπολλόδωρος· καὶ γὰρ ἀσαλέαν ὁ Σώφρων (F 113 Kaib) τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ. (zu F 214/18)

239 (193) Apoll. Soph. Lex. Hom. p. 46, 35: ἄταλλε (Il. N 27)· ὁ μὲν Ἀπολλόδωρος ἔσαινε καὶ ἐσκίρτα. ὥσπερ δὲ ἀπὸ τοῦ παιδὸς παίζειν, οὕτως ἀπὸ τοῦ ἀταλοῦ ἀτάλλειν· ἀταλὸν δὲ τὸ ἁπαλὸν καὶ νήπιον λέγεται. οὐκ ἀπιθάνως. ὁ δὲ Κομανός φησιν· ἀτάλλειν κυρίως ἐστὶν τὸ ἐκ νηπίου τρέφειν, νῦν δὲ ἐν ἴσωι τῶι ἔχαιρεν .....

240 (IV 649) ΣΥΝΑΓ. ΛΕΞ. ΧΡΗΣ. p. 471, 19 Bk: ἄφλαστα (Il. O 717)· τὰ ἀκροστόλια· Ἀπολλόδωρος. ὁ δὲ Δίδυμος (F 48 Schm) τὸ ἐπὶ τῆς πρύμνης εἰς ὕψος ἐκ κανονίων πλατέων ἐπικεκαμμένον.

241 (213) Et. (Gen.) M. p. 249, 43: δατητής· παρὰ Ἀττικοῖς ὁ διανεμητής· Ἀριστοτέλης (Ἀθπ. 56, 6). τίνες οἱ δατηταί; Ἀπολλόδωρος διὰ τοῦ ᾱ φησί. παρὰ τὸ δαίω δαστός, ἀφ' οὗ τὸ ἄδαστον — Σοφοκλῆς (Ai. 54) 'λείας ἄδαστα βουκόλων' — καὶ ῥῆμα δαστῶ· ὁ παρακείμενος δεδάστηται, καὶ ἐνδείαι τοῦ ᾱ δεδάτηται, ἀφ' οὗ ὄνομα δατητής, ὡς πεποίηται ποιητής.

242 (204) Schol. Apoll. Rhod. III 281: ὀξέα δενδίλλων· ἀντὶ τοῦ συστρέψας ἑαυτὸν καὶ ἐπικάμψας, ὀξέως παρεπιστρεφόμενος καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος (Il. I 180) δὲ ἐπὶ τοῦ στρέφειν (τοὺς ὀφθαλμούς) τέθεικε τὴν λέξιν, τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεγκλίνοντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ καὶ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ (F 937 N²) ἐπὶ τοῦ περιβλέπειν τέθεικε τὴν λέξιν.

243 (236) Schol. HQ Eust. Hom. Od. λ 579: τὸ δέρτρον Ἀντίμαχος μὲν ὁ Κολοφώνιος τὸν ἐπίπλουν ἀκούει τὸν ἐν τοῖς καλουμένοις ἐγκάτοις· λέγει γὰρ (F 45 Ki) 'οὐδέ τι θερμὸν ἀναπνείων χολάδας δέρτροισι καλύψεις'. «ὁ δὲ ἐπίπλους», φησὶν Ἀπόλλοδωρος «ὃν ἀργέτα δημόν' καλεῖ (Il. Λ 818; Φ 127), οὐ περὶ τὸ ἧπαρ ἀλλὰ περὶ τὴν κοιλίαν ἐστίν.»

244 (237) a) Schol. Q Eust. Hom. Od. μ 22: τὸ δὲ δισθανέες ἐν δυσὶ μέρεσι λόγου ἀναγινώσκει Ἀπολλόδωρος, λέγων ὅτι τὸ δὶς καὶ τρὶς ἀποβάλλει τὸ σίγμα ἐν ταῖς συνθέσεσι, οἷον δίπους τρίπους· ὤφειλεν οὖν καὶ διθανέες. νοητέον δὲ τὸν Ἀπολλοδώρου λόγον χωρὶς τῶν ἀριθμητικῶν· δισχιλίους γὰρ μετὰ τοῦ ᾱ καὶ τρισχιλίους φαμέν. καὶ οὕτω μὲν αὐτός· ἕτεροι δὲ τοσοῦτον ἀποδέουσι προσέχειν αὐτῶι, ὥστε καὶ τὸ δὶς παῖδες — οἱ γέροντες — δίσπαιδες γράφουσι συνθέτως ...., ἄλλως τοῦτο ποιοῦντες παρὰ τὸ δίπαις δίπαιδος, ὁ δύο κεκτημένος δηλαδὴ παῖδας ..... b) Et. (Gen.) M. p. 274, 25: διήρης· ὁ ὑπερῶιος

---

2 πρόσφερε: πρόφερε Ap 7—8 ἀσελέαν σώφρων Gen A ἀσάλε(ι)αν? Kaibel 15 Ἀπολλώνιος ἐν ταῖς Λέξεσι Schol. Apoll. Rh. I 1089 (vgl. Apoll. Lex. Hom. 49, 6 Bk) 19 ἀφ' οὗ — βουκόλων om M 23 ἐπικάμψας Schaefer ἀποκαλύψας Schol ἀποβλέψας? Keil εἰς αὐτὸν om L 24 ⟨τοὺς ὀφθαλμους⟩ Heyne (s. Schol. BT Il. I 180 κατὰ τὸ δέον διαστρέφων τοὺς ὀφθαλμοὺς κτλ.) 25 τὸ f p τὸ δὲ L οἱ δὲ Keil 26 καὶ om f p 29 δέρτροιοι Eust δέρτροις Q δέντροισι H καλύψας Eust —εις H —οις Q 30 ἀργέτα H —έτην Q Eust 33 Ἀπολλώνιος Q 35—39 νοητέον κτλ. om Q

οἶκος .... ἀπὸ τοῦ δὶς διήρης, ἵν' ἦι ὁ διστεγής. Ἀπολλόδωρος δὲ καὶ τὰς ναῦς τὰς ἐχούσας δύο ἢ καὶ τρεῖς στέγας διήρεις καὶ τριήρεις λέγει.

245 (IV 650) Epim. Hom. Cram. AO I 66, 31: ἀμφί ἐ· Ἀμφί γινώσκων' (Il. O 241) .... ἀντωνυμία νῦν ἀρσενικὴ ὀρθοτονουμένη [νῦν] μεταλαμβανομένη εἰς σύνθετον. Ἀπολλόδωρος δὲ ψιλοῖ τὸ ε̄· ἀλλ' οὐδέποτε πλεονάζει πρόθεσις τὸ ε̄· εἰ γὰρ γένηται πλεονασμός, τρισύλλαβος ἀποτελεῖται πρόθεσις, ὅπερ ἐστὶν ἀνέφικτον .....

246 (199) Athen. II 72 p. 66 AB: Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος οὐδ' ὀνομάζειν τινὰ τῶν παλαιῶν φησιν ἐγκέφαλον. καὶ Σοφοκλέα γοῦν ἐν Τραχινίαις (781f.) ποιήσαντα τὸν Ἡρακλέα ῥιπτοῦντα τὸν Λίχαν ἐς θάλασσαν οὐκ ὀνομάσαι ἐγκέφαλον ἀλλὰ λευκὸν μυελόν, ἐκκλίνοντα τὸ μὴ ὀνομαζόμενον —

κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει μέσου
κρατὸς διασπαρέντος αἵματός θ' ὁμοῦ —

καίτοι τἄλλα διαρρήδην ὀνομάσαντα. καὶ Εὐριπίδης (Troad. 1173ff.) δὲ τὴν Ἑκάβην θρηνοῦσαν εἰσαγαγὼν τὸν Ἀστυάνακτα ὑπὸ τῶν Ἑλλήνων ῥιφέντα φησί·

δύστηνε, κρατὸς ὥς σ' ἔκειρεν ἀθλίως
τείχη πατρῶια, Λοξίου πυργώματα·
ὧν πόλλ' ἐκήπευσ' ἡ τεκοῦσα βόστρυχον
φιλήμασίν τ' ἔδωκεν, ἔνθεν ἐκγελᾶι
ὁστέων ῥαγέντων φόνος, ἵν' αἰσχρὰ μὴ λέγω.

(polemik gegen die behauptung selbst und die auffassung der zitierten stellen.)

247 (214) Et. (Gen.) M. p. 330, 39: ἐλινός· ἡ ἄμπελος, ὡς Ἀπολλόδωρος. Φιλίτας δ' ἐν Γλώσσαις τὸν κλάδον τῆς ἀμπέλου. Νίκανδρος ἐν Θηριακοῖς (Alex. 181).

248 (234) Schol. (AT) Eust. Hom. Il. I 147 p. 742, 60: Ἀρίσταρχος μὲν ἓν μέρος λόγου λαμβάνει τὸ ἐπιμείλια ὡς τὸ ἐπιφέρνια· Ἀπολλόδωρος δὲ διαλύει λέγων· «ἐπιδώσω μείλια, ὡς καὶ κατωτέρω (148) εὐθὺς ἐπάγει 'ὅσα οὔπω τις ἠι ἐπέδωκε θυγατρί'.»

249 (215) a) Orion p. 80, 15 St: κέραμος· Ἀπολλόδωρος τὴν κεκαυμένην ἔραν, τουτέστι τὴν γῆν. b) Et. M. p. 504, 13: κεραμεύς· παρὰ τὸ κέραμος· τοῦτο παρὰ τὴν ἔραν ἔραμος καὶ κέραμος. Ἀπολλόδωρος τὴν κεκαυμένην γῆν ἔραν φησίν.

250 (216) Orion p. 81, 10 St (Et. Gen. p. 184 M; Et. M. p. 507, 4; Et. Gud. p. 317, 47 St): κεφαλή, ἤτις καρφαλή ἐστι, παρὰ τὸ κάρφεσθαι, ὅ ἐστι ξηραίνεσθαι· ξηρὰ γὰρ καὶ ὀστώδης αὐτή. κατὰ Ἀπολλόδωρον κελύφη ἐστὶ παρὰ τὸ σκέπειν καὶ καλύπτειν τὸν ἐγκέφαλον. τινὲς δὲ κατὰ πλεονασμὸν τοῦ λ̄ κεφαή τις οὖσα, ἐν ἧι κεῖνται τὰ φάη .....

251 (—) Et. Gud. p. 321, 55 St (Cram. AP IV 35, 18): κίκυς· ἡ δύναμις. Ἀπολλόδωρος· ἰκμάς.

ἀλλ' οὐ γάρ οἱ ἔτ' ἦν ἳς ἔμπεδος οὐδέ τις κῖκυς (Od. λ 393)

ἀπὸ τοῦ ἀνακινεῖν·

πολὺς δ' ἀνακήκιεν ἰδρώς (Il. Ψ 507).

---

4 ὠθοτονουμένη Ep 4—5 μεταλαμβάνεται γὰρ εἰς σύνθετον τὴν ἑαυτόν Schol. A Il. O 241 5 Χρύσιππος (III 774 v Arn) δὲ ψ. τὸ ε̄ ὡς περισσεῦον καὶ φησιν ἀμφιγνοῶν ἀντὶ τοῦ ἀμφιβάλλων Schol. T 14 ῥιφθέντα E 15 ὡς σ' E ὡς C 19 ῥαφέντων EC 24 Ἀπολλόδωρος δὲ διαλύει ... οὕτως δὲ καὶ Ἀλεξίων A 31 ἤτις: ἤτοι Exc 32 αὐτή. κατὰ Ἀπ. κελύφη Larcher αὐτὴ κατὰ Ἀπ. Κελύφη Or ὀστώδης ἢ κατὰ Ἀπ. M Gud Ἀπολλώνιον Gen (?) Gud. v. l. καλύφη Gen (?) 37 οἱ — κῖκυς Hom ἐηνεῖς ἔμποδος οὐδὲ τακτικοῖς Gud

καὶ Αἰσχύλος ἐν Σισύφωι (F 229—230 N²)·

καὶ θανόντων ἰσὶν οὐκ ἐνεστ' ἰκμάς. —
σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόρρυτοι
φλέβες

[θανόντων φησὶν ἀψύχων]. καὶ παρὰ τῶι Πινδάρωι (F 185 Schr)· † ἔστι δέ τοι χέκων ἀκύει καπνός. [[ὁ δὲ Ὅμηρος (Od. ι 515) κατὰ τὸ ἐναντίον τὸν ἀσθενῆ ἀκικυν λέγει· 'νῦν δέ μ' ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἀκικυς'. ὁ δὲ Ἀλκαῖος (F 137 B⁴) ὁμοίως Ὁμήρωι τὸν ἰσχυρὸν κίκυν καλεῖ]]. καὶ τὸ κικίδιον τὸ ἐκθλιβόμενον ἐκ τοῦ κρότωνος λίπασμα.

252 (—) Athen. III 22 p. 81 F: Ἕρμων δ' ἐν Κρητικαῖς Γλώσσαις κοδύμαλα καλεῖσθαί φησι τὰ κυδώνια μῆλα· Πολέμων (IV) δ' ἐν ē τῶν πρὸς Τίμαιον ἄνθους γένος τὸ κοδύμαλον εἶναί τινας ἱστορεῖν. Ἀλκμὰν (F 114 Diehl) δὲ τὸ στρουθίον μῆλον, ὅταν λέγηι 'μεῖον ἢ κοδύμαλον'. Ἀπολλόδωρος δὲ καὶ Σωσίβιος (III) τὸ κυδώνιον μῆλον ἀκούουσιν.

258 (218) Et. (Gen.) M. p. 530, 48: κόρση (Il. Δ 502 ὅ)· ἡ κεφαλή· ὡς μὲν Ἀπολλόδωρος ἀπὸ τοῦ κορυφοῦσθαι, οἱ δέ φασι κέρση ἀπὸ τοῦ κείρεσθαι .....

254 (244) Athen. XI 57 p. 479 A: κοτύλη (Il. E 306 ὅ.) ..... Ἀπολλόδωρος δὲ ποτηρίου τι γένος ὑψηλὸν καὶ ἔγκοιλον. «πᾶν δὲ τὸ κοῖλον κοτύλην» φησίν «ἑκάλουν οἱ παλαιοί, ὡς καὶ τὸ τῶν χειρῶν κοῖλον· ὅθεν καὶ 'κοιλήρυτον αἷμα' (Il. Ψ 34) τὸ ἀμφοτέραις ταῖς χερσὶν ἀρυσθῆναι δυνάμενον. καὶ 'ἐγ κοτύληι' δέ τις παιδιὰ καλεῖται, ἐν ἧι κοιλάναντες τὰς χεῖρας δέχονται τὰ γόνατα τῶν νενικηκότων οἱ νενικημένοι καὶ βαστάζουσιν αὐτούς».

255 (201) — XIV 54 p. 646 A: κριβάνας πλακοῦντάς τινας ὀνομαστικῶς Ἀπολλόδωρος παρ' Ἀλκμᾶνι (F 20 Bgk⁴)· ὁμοίως καὶ Σωσίβιος ἐν γ Περὶ Ἀλκμᾶνος (III) .....

4 (IV 396) SUID. s. Εὐριπίδης τραγικός· τοῦ προτέρου ἀδελφιδοῦς, ὡς Διονύσιος ἐν τοῖς Χρονικοῖς.

5 (IV 396) a) SYNKELL. p. 523, 5 Bonn: οἱ βασιλεῖς Ποντίων † δέκα κατὰ τούτους ἦρξαν τοὺς χρόνους διαρκέσαντες ἔτη † $\overline{\sigma\iota\eta}$. περὶ ὧν Ἀπολλόδωρος (244 F 82) καὶ Διονύσιος ἱστοροῦσι. b) — p. 525, 9: οἱ Βιθυνῶν βασιλεῖς $\overline{\eta}$ κατὰ Διονύσιον ἔνθεν ἦρξαντο διαρκέσαντες ἔτη $\overline{\sigma\iota\gamma}$.

## Anhang.

6 (—) DION. HAL. AR I 63: περὶ δὲ τῶν χρόνων ἐν οἷς ἐκτίσθη τὸ Λαουίνιον ἄλλοι μὲν ἄλλως λέγουσιν· ἐμοὶ μέντοι δοκοῦσιν οἱ δευτέρωι μετὰ τὴν ἔξοδον τὴν ἐκ Τροίας (1182/1) ἔτει φέροντες αὐτὴν εἰκότα μᾶλλον λέγειν. Ἴλιος μὲν γὰρ ἑάλω τελευτῶντος ἤδη τοῦ θέρους, ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς, ὀγδόηι φθίνοντος μηνὸς Θαργηλιῶνος, ὡς Ἀθηναῖοι τοὺς χρόνους ἄγουσι, περιτταὶ δὲ ἦσαν αἱ τὸν ἐνιαυτὸν ἐκεῖνον (1184/3) ἐκπληροῦσαι μετὰ τὴν τροπὴν εἰκοσιν ἡμέραι. ἐν δὴ ταῖς ἑπτὰ καὶ τριάκοντα ταῖς ἀπὸ τῆς ἁλώσεως διαγενομέναις τά τε περὶ τὴν πόλιν οἴομαι διοικήσασθαι τοὺς Ἀχαιοὺς καὶ τὰς πρεσβείας ἐπιδέξασθαι τὰς παρὰ τῶν ἀφεστηκότων καὶ τὰ δρκια ποιήσασθαι πρὸς αὐτούς. (2) τῶι δ' ἑξῆς ἔτει, πρώτωι δὲ μετὰ τὴν ἅλωσιν (1183/2) ὑπὸ τὴν μετοπωρινὴν ἰσημερίαν ἄραντες οἱ Τρῶες ἐκ τῆς γῆς περαιοῦνται τὸν Ἑλλήσποντον καὶ καταχθέντες εἰς τὴν Θράικην αὐτοῦ διατρίβουσι τὴν χειμερινὴν ὥραν .... ἐκ δὲ τῆς Θράικης ἀναστάντες ἔαρος

1 (u. v. 3) σερουίλιος A 3 ὁ τυρρηνικὸς B τυραννικὸς (ὁ om) rell 6 ἀναπολουμένων A 7 ἐτῶν add B ἀκάτια ἴσχον A 9—10 τῆς δεκαετίας vulg l. $\overline{\eta}$ $\overline{\sigma\iota\eta}$: l. $\overline{\sigma\mu}$ 14 κατὰ τὴν Christ 20 δέκα (Synk. 593, 10): ἴλιον rell 27 θέρους: ἔαρος Camerarius 29 ἐκεῖνον om B 31 ἐνδείξασθαι A δέξασθαι Reiske 32 παρὰ B περὶ rell 33 ὑπὸ om A

ἀρχομένου τελοῦσι τὸν μεταξὺ πλοῦν ἄχρι Σικελίας. ἐκεῖ δὲ ὁρμισαμένοις αὐτοῖς τὸ ἔτος τοῦτο τελευτᾶι, καὶ διατρίβουσι τὸν δεύτερον χειμῶνα (1182/1) τὰς πόλεις συνοικίζοντες τοῖς Ἐλύμοις ἐν Σικελίαι. (8) πλοίμων δὲ γενομένων ἀραντες ἀπὸ τῆς νήσου περῶσι τὸ Τυρρηνικὸν πέλαγος καὶ τελευτῶντες εἰς Λωρεντὸν ἀφικνοῦνται τὸν Ἀβοριγίνων αἰγιαλὸν μεσούσης θερείας. λαβόντες δὲ τὸ χωρίον οἰκίζουσιν ἐν αὐτῶι Λαυίνιον, τὸν δεύτερον ἀπὸ τῆς ἁλώσεως ἐκπληρώσαντες ἐνιαυτόν. καὶ περὶ μὲν τούτων ὡς ἔχω δόξης δεδήλωταί μοι.

(64) Αἰνείας ... τῶι μὲν ἕξῆς ἐνιαυτῶι, τρίτωι δὲ ἀπὸ τῆς ἐξόδου (1181/0), Τρώων ἐβασίλευσε μόνων· τῶι δὲ τετάρτωι (1180/79) τελευτήσαντος Λατίνου καὶ τὴν ἐκείνου βασιλείαν παραλαμβάνει ..... (3) τρία δὲ βασιλεύσας ἔτη μετὰ τὴν Λατίνου τελευτὴν (1180/79—1178/7) τῶι τετάρτωι θνήσκει κατὰ πόλεμον. ..... (65) Αἰνείου δ' ἐξ ἀνθρώπων μεταστάντος ἐβδόμωι μάλιστα ἔτει μετὰ τὴν Ἰλίου ἅλωσιν (1177/6) Εὐρυλέων παρέλαβε τὴν Λατίνων ἡγεμονίαν ὁ μετονομασθεὶς Ἀσκάνιος ἐν τῆι φυγῆι ..... (66) τριακοστῶι δὲ ὕστερον ἔτει (1153/2) μετὰ τὴν κτίσιν τοῦ Λαουινίου πόλιν ἑτέραν οἰκίζει κατὰ τὸ γενόμενον Αἰνείαι θέσφατον Ἀσκάνιος ὁ Αἰνείου ..... ὄνομα τῆι πόλει θέμενος Ἄλβαν.

7 (—) Dion. Hal. AR I 70: Ἀσκανίου δὲ ὀγδόωι καὶ τριακοστῶι ἔτει τῆς βασιλείας τελευτήσαντος (1140/39) παρέλαβε τὴν ἡγεμονίαν Σιλούιος ἀδελφὸς ὢν Ἀσκανίου, μετὰ τὸν Αἰνείου θάνατον γενόμενος ἐκ Λαύνας τῆς Λατίνου θυγατρός. ..... *1177/6—1141/40*

(71) Σιλουίου δ' ἐνὸς δέοντα τριάκοντα ἔτη κατασχόντος τὴν ἀρχὴν Αἰνείας υἱὸς αὐτοῦ διαδεξάμενος τὴν δυναστείαν ἐνὶ πλείω τριάκοντα ἐτῶν ἐβασίλευσεν· *1140/39—1112/11*

*1111/0—1081/0*

μετὰ δὲ τοῦτον ἓν καὶ πεντήκοντα Λατῖνος ἦρξεν ἔτη· *1080/79—1030/29*

Ἄλβας δὲ μετὰ τοῦτον ἐνὸς δέοντα τετταράκοντα ἔτη· *1029/8—991/0*

μετὰ δὲ Ἄλβαν Κάπετος ἔξ ἐπὶ τοῖς εἴκοσιν· *990/89—965/4*

ἔπειτα Κάπυς δυεῖν δέοντα τριάκοντα· *964/3—937/6*

μετὰ δὲ Κάπυν Κάλπετος ἄχρι τρισκαίδεκα ἐτῶν κατέσχε τὴν ἀρχήν· *936/5—924/3*

(2) ἑξῆς δὲ Τιβερῖνος ὀκταετῆ χρόνον ἐβασίλευσεν· ..... *923/2—916/5*

Τιβερίνου δὲ διάδοχος Ἀγρίππας ἓν καὶ τετταράκοντα ἐβασίλευσεν ἔτη· *915/4—875/4*

(3) μετὰ δὲ Ἀγρίππαν Ἀμόλιος ... ἑνὸς δέοντα εἴκοσιν .... *874/3—856/5*

(4) Ἀουεντῖνος δὲ παρὰ τούτου τὴν δυναστείαν διαδεξάμενος ... τριάκοντα καὶ ἑπτὰ ἔτη τὴν ἀρχὴν κατέσχεν· *855/4—819/8*

Πρόκας δὲ μετὰ τοῦτον ἔτη εἴκοσι καὶ τρία· *818/7—796/5*

ἔπειτα Ἀμόλιος ... δύο καὶ τετταράκοντα ἔτη δυναστεύει· *795/4—754/3*

(5) Ἀμολίου δὲ ἀναιρεθέντος ὑπὸ Ῥωμύλου καὶ Ῥώμου .... ἀπολαμβάνει τὴν κατὰ νόμον δυναστείαν Νεμέτωρ ὁ τῶν νεανίσκων μητροπάτωρ· *753/2*

τῶι δ' ἑξῆς ἔτει τῆς Νεμέτορος ἀρχῆς, δευτέρωι δὲ καὶ τριακοστῶι καὶ τετρακοσιοστῶι μετὰ τὴν Ἰλίου ἅλωσιν, ἀποικίαν στείλαντες Ἀλβανοί, Ῥωμύλου καὶ Ῥώμου τὴν ἡγεμονίαν αὐτῆς ἐχόντων, κτίζουσι Ῥώμην, ἔτους ἐνεστῶτος πρώτου τῆς ἑβδόμης ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Δαικλῆς Μεσσήνιος, ἄρχοντος Ἀθήνησι Χάροπος ἔτος τῆς δεκαετίας πρῶτον (F 2). *752/1*

---

6 *λαυίνιον* B 9 *μόνων* Bb *μόνον* ABa 14 *λαουνίου* B 29 (u. v. 30) *τεβερῖνος* A 30 (u. v. 32) *ἀγρόπας* A 30 *τριάκοντα* A 32 *Ἀμόλιος* Trieber *ἀλλώδιος* B *ἀλλώδις* A

8 (—) Dion. Hal. AR II 59: (Numa wird könig ol. 16, 8; 714/3) *μέχρι μὲν δὴ τούτων οὐδὲν ἀντειπεῖν ἔχω πρὸς τοὺς ἐκδεδωκότας τὴν περὶ τὸν ἄνδρα τοῦτον ἱστορίαν, ἐν δὲ τοῖς ἑξῆς ἀπορῶ τί ποτε χρὴ λέγειν. πολλοὶ μὲν γάρ ⟨εἰσιν⟩ οἱ γράψαντες ὅτι Πυθαγόρου μαθητὴς ὁ Νόμας ἐγένετο καὶ καθ' ὃν χρόνον ὑπὸ τῆς Ῥωμαίων πόλεως ἀπεδείχθη βασιλεὺς φιλοσοφῶν ἐν Κρότωνι διέτριβεν· ὁ δὲ χρόνος τῆς Πυθαγόρου ἡλικίας μάχεται πρὸς τὸν λόγον. (2) οὐ γὰρ ὀλίγοις ἔτεσιν, ἀλλὰ καὶ τέτταρσι γενεαῖς ὅλαις ὕστερος ἐγένετο Πυθαγόρας Νόμα, ὡς ἐκ τῶν κοινῶν παρειλήφαμεν ἱστοριῶν. ὁ μὲν γὰρ ἐπὶ τῆς ἑκκαιδεκάτης ὀλυμπιάδος μεσούσης (714/3) τὴν Ῥωμαίων βασιλείαν παρέλαβε, Πυθαγόρας δὲ μετὰ τὴν πεντεκοστὴν ὀλυμπιάδα (580/77) διέτριψεν ἐν Ἰταλίαι. (3) τούτου δ' ἔτι μεῖζον ἔχω τεκμήριον εἰπεῖν ὑπὲρ τοῦ μὴ συμφωνεῖν τοὺς χρόνους ταῖς παραδεδομέναις ὑπὲρ τοῦ ἀνδρὸς ἱστορίαις, ὅτι καθ' ὃν χρόνον ὁ Νόμας ἐπὶ τὴν βασιλείαν ἐκαλεῖτο ὑπὸ Ῥωμαίων οὔπω πόλις ἦν ἡ Κρότων· τέτταρσι γὰρ ὅλοις ὕστερον ἔτεσιν ἢ Νόμαν ἄρξαι Ῥωμαίων Μύσκελος αὐτὴν ἔκτισεν ἐνιαυτῷ τρίτῳ τῆς ἑπτακαιδεκάτης ὀλυμπιάδος (710/9). οὔτε δὴ Πυθαγόραι τῶι Σαμίωι συμφιλοσοφῆσαι τῶι μετὰ τέτταρας ἀκμάσαντι γενεὰς δυνατὸς ἦν τὸν Νόμαν οὔτ' ἐν Κρότωνι διατρίβειν, ὅτ' αὐτὸν ἐκάλουν ἐπὶ τὴν βασιλείαν Ῥωμαῖοι, τῆι μήπω τότ' οὔσηι πόλει. ..... (5) εἰ μή τις ἄρα Πυθαγόραν ἕτερον ὑποθήσεται πρὸ τοῦ Σαμίου γεγονέναι παιδευτὴν σοφίας, ὡι συνδιέτριψεν ὁ Νόμας· τοῦτο δ' οὐκ οἶδ' ὅπως ἂν ἀποδείξαι δύναιτο, μηδενὸς τῶν ἀξιολόγων μήτε Ῥωμαίου μήθ' Ἕλληνος, ὅσα κἀμὲ εἰδέναι, παραδεδωκότος ἐν ἱστορίαι.*

9 (—) — VII 1: *Τίτου δὲ Γεγανίου Μακερίνου καὶ Ποπλίου Μηνυκίου τὴν ὕπατον ἐξουσίαν παραλαβόντων σίτου σπάνις ἰσχυρὰ τὴν Ῥώμην κατέσχεν .... (3) ταῦθ' ἡ βουλὴ μαθοῦσα πρέσβεις διεπέμπετο πρὸς Τυρρηνοὺς καὶ Καμπανούς καὶ τὸ καλούμενον Πωμεντῖνον πεδίον σῖτον ὅσον ἂν δύναιντο πλεῖστον ὠνησομένους· Πόπλιος δὲ Οὐαλέριος καὶ Λεύκιος Γεγάνιος εἰς Σικελίαν ἀπεστάλησαν .... (4) τύραννοι δὲ τότε κατὰ πόλεις μὲν ἦσαν, ἐπιφανέστατος δὲ Γέλων ὁ Δεινομένους νεωστὶ τὴν Ἱπποκράτους τοῦ ἀδελφοῦ τυραννίδα παρειληφώς, οὐχὶ Διονύσιος ὁ Συρακούσιος, ὡς Λικίννιος (F 12 Pet) γέγραφε καὶ Γέλλιος (F 20 Pet) καὶ ἄλλοι συχνοὶ τῶν Ῥωμαίων συγγραφέων, οὐθὲν ἐξητακότες τῶν περὶ τοὺς χρόνους ἀκριβῶς, ὡς αὐτὸ δηλοῖ τοὔργον, ἀλλ' εἰκῆ τὸ προστυχὸν ἀποφαινόμενοι. (5) ἡ μὲν γὰρ εἰς Σικελίαν ἀποδειχθεῖσα πρεσβεία κατὰ τὸν δεύτερον ἐνιαυτὸν τῆς ἑβδομηκοστῆς καὶ δευτέρας ὀλυμπιάδος (491/0) ἐξέπλευσεν, ἄρχοντος Ἀθήνησιν Ὑβριλλίδου, ἑπτακαίδεκα διελθόντων ἐτῶν μετὰ τὴν ἐκβολὴν τῶν βασιλέων, ὡς οὗτοί τε καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες συγγραφεῖς ὁμολογοῦσι· Διονύσιος δ' ὁ πρεσβύτερος ὀγδοηκοστῶι καὶ πέμπτωι ἐνιαυτὸν τῆς ἐνενηκοστῆς καὶ τρίτης ὀλυμπιάδος (406/5), ἄρχοντος Ἀθήνησι Καλλίου τοῦ μετ' Ἀντιγένη. (6) ὀλίγοις μὲν οὖν ἔτεσι διαμαρτεῖν τῶν χρόνων δοίη τις ἂν ἱστορικοῖς ἀνδράσιν ἀρχαίας καὶ πολυετεῖς συντεττομένοις πραγματείας, γενεαῖς δὲ δυσὶν ἢ τρισὶν ὅλαις ἀποπλανηθῆναι τῆς ἀληθείας οὐκ ἂν ἐπιτρέψειεν. ἀλλ' ἔοικεν ὁ τοσοῦτο μόνον ἐν ταῖς ἀρχαίαις εὑρὼν ἀναγραφαῖς, ὅτι πρέσβεις ἀπεστάλησαν ἐπὶ*

---

3 ⟨εἰσιν⟩ Kiessling 20 ὅσα κἀμὲ B ὅσους με rell 21 *Μακερίνου* Sigonius κἀμερίνου A καμερίου B *μηνυκίου* aus μι— Bb 23 διέπεμπεν εἰς B 24 ὠνησομένους B —αμένους rell 27 [τοῦ ἀδελφοῦ] Casaubonus 33 οἱ add B 37 τοῦ add B ἀνγίνη Ba 40 ὠρογραφίαις A ⟨χρονο⟩γρι· φίαις Bb 41 εὑρεῖν Sintenis

*τούτων τῶν ὑπάτων εἰς Σικελίαν οἴτον ὠνησόμενοι καὶ παρῆσαν ἐκεῖθεν ἄγοντες ἣν ὁ τύραννος ἔδωκε δωρεάν, οὐκέτι μὴν παρὰ τῶν Ἑλληνικῶν ἐξετάσαι συγγραφέων, ὅστις ἦν τύραννος τότε Σικελίας, ἀβασανίστως δέ πως καὶ κατὰ τὸ προστυχὸν θεῖναι τὸν Διονύσιον.*

---

## 252. CHRONIKON ROMANUM (IG XIV 1297).

### A

(1) [ἀφ' οὗ Σύλλας] ἐπὶ Μιθ[ραδατικὸν πόλ]εμον ἐξῆλ[θεν, καὶ Σ]ωτὴρ a. 88/7
ὁ Φύσκων πα[ρακληθεὶς] τὸ δεύτερον καὶ κα[τελ]θὼν εἰς Αἴγυπτον ἐβασί-
λευσεν, ἀφ' οὗ ἔτη ϙγ.

(2) ἀφ' οὗ Μάριος Ὀστίαν καταλαβόμενος καὶ ἀναγκάσας συν[θέσ]θαι a. 87/6
οὐκ ἐμμείνας τῇι πίστει Ὀκταούιον ἀπέκτεινεν, Σύλλας δ' ἐπὶ τῆς Ἀττικῆς
Ἀθήνας ἐξεπολιόρκησεν, ἔτη ϙβ.

(3) ἀφ' οὗ Φιμβρίας Μιθραδάτου στρατόπεδον περὶ Κύζικον ἐνίκησεν a. 86/4
καὶ Ἴλιον ἐξεπολιόρκησεν καὶ ὑπὸ Σύλλα συσχεθεὶς ἑαυτὸν ἀνεῖλεν, καὶ
Μιθραδάτης πρὸς Σύλλαν συνθήκας ἐποιήσατο, καὶ Φιλοπάτωρ τὸ δεύτερον
εἰς Βιθυνίαν κατελθὼν ἐβασίλευσεν, καὶ Ἀριοβαρζάνης εἰς Καππαδοκίαν
κατήχθη, ἀφ' οὗ ἔτη ϙ.

(4) ἀφ' οὗ Σύλλας Νωρβανὸν νικᾶι περὶ Καπύην καὶ Μάριον τὸν a. 83/2
ὕπατον (82) ἐν Πραινεστῶι συνκλείσας διαδράσκοντα ἀπέκτεινεν, ἀφ' οὗ
ἔτη ϙη.

(5) [ἀφ'] οὗ Σύλλας δικτάτωρ ἐγένετο, ἔτη μέχρι τοῦδε ϙζ. a. 82/1

(6) [ἀφ' οὗ Σωτὴρ] ὁ Φύσκων ἐπι[κληθεὶς ἀπέθα]νεν ϙς. a. 81/0

### B

(1) ἀφ' [οὗ] ..... το * *

(2) ἀφ' οὗ Σ[όλων Ἀθηναίων ἦρξεν καὶ] νόμου[ς αὐτοῖς ἔθηκεν,
καὶ] Ἀνάχαρσις ὁ Σκ[ύθης εἰς Ἀθήνας (?)] παρεγένετο, ἀφ' [οὗ ἔτη *].

(3) ἀφ' οὗ Κροῖσος Λυδῶν ἐβα[σίλευσεν, ἔτη *].

(4) ἀφ' οὗ οἱ σοφοὶ ὠνομάσθησαν, [ἔτη *].

(5) ἀφ' οὗ Πεισίστρατος ἐτυράννευσ[εν ἐν Ἀθή]ναις, καὶ Αἴσωπος a. 563/2
ὑπὸ Δελφῶν [κατεκρη]μνίσθη, ἔτη ϙοθ.

(6) ἀφ' οὗ Κροῖσος Κύρωι ὑποχείριος [ἐγένετο, ἔτη *].

---

1 ἦν: ὃν Reiske 2 μὴν add Bb
5 ergänzungen, soweit nicht angegeben, von He(nzen)
8 παρακληθεὶς He παρῆν Curtius (CIG IV 6835 d) 10 ⟨Ῥώμην o.
Ῥωμαίους o. σύγκλητον⟩ συνθέσθαι He 18 ἐνίκα? Jahn 19 Πραινεστωι
korr. aus ΠΡΑΕΝΕΣΤΩΙ 22 ἐπικληθεὶς Kaibel ἐπικαλούμενος He 26 [εἰς
Ἀθήνας] Jac εἰς Ἑλλάδα vulg

(7) ἀφ' οὗ Καμβύσης Αἴγυπτον κατ[εστρέψατο] καὶ Πυθαγόρας ἑάλω, ἔτη ϝϙμ. a. 524/3

(8) ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων Ἵππαρχον τὸν τύραννον ἀνεῖλον, [καὶ] Δαρεῖος ἐπὶ Σκύθας διέβη, ζεύξα[ς τὸν] Κιμμέριον Βώσπορον, ἔτη ϝϙκη. a. 513/1

(9) ἀφ' οὗ Ξέρξης κατὰ Ἄβυδον ζεύξας [τὸν] Ἑλλήσποντον διέβη, καὶ Θεμιστοκλῆς ναυμαχίαι τοὺς βαρβάρους ἐνίκα, ἀφ' οὗ ἔτη ϝϙ *. a. 474/3?

(10) ἀφ' οὗ Σωκράτης ὁ φιλόσοφος [καὶ Ἡρά]κλειτος ὁ Ἐφέσιος καὶ Ἀναξα[γόρας] καὶ Παρμενίδης καὶ Ζήνων, ἔτη *.

(11) ἀφ' οὗ ὁ Πελοποννησιακὸς πόλ[εμος] ἐνέστη, καὶ Θουκυδίδης ἦν, ἔτη *.

(12) ἀφ' οὗ Γαλάται Ῥωμαίους νική[σαντες] ἔσχον Ῥώμην, ἔτη ϝα. a. 385/4

## 253. THRASYLLOS.

### F

1 (III 503, 3) CLEM. ALEX. Strom. I 136, 3: [[ἄνωθεν οὖν ἀπὸ Μωυσέως συναγάγωμεν τὴν καθ' Ἕλληνας χρονογραφίαν· ἀπὸ τῆς Μωυσέως γενέσεως ἐπὶ τὴν ἐξ Αἰγύπτου τῶν Ἰουδαίων ἔξοδον ἔτη ὀγδοήκοντα, καὶ τὰ μέχρι τῆς τελευτῆς αὐτοῦ ἄλλα τεσσαράκοντα· γίνεται ἡ ἔξοδος κατὰ Ἴναχον, πρὸ τῆς Σωθιακῆς περιόδου ἐξελθόντος ἀπ' Αἰγύπτου Μωυσέως ἔτεσι πρότερον τριακοσίοις τεσσαράκοντα ε̄. (4) ἀπὸ δὲ τῆς Μωυσέως στρατηγίας καὶ Ἴναχου ἐπὶ τὸν Δευκαλίωνος κατακλυσμόν (τὴν δευτέραν λέγω ἐπομβρίαν) καὶ ἐπὶ τὸν Φαέθοντος ἐμπρησμόν, ἃ δὴ συμβαίνει κατὰ Κρότωπον, γενεαὶ † τεσσαράκοντα ἀριθμοῦνται· εἰς μέντοι τὰ ἑκατὸν ἔτη τρεῖς ἐγκαταλέγονται γενεαί]]. 1677/5 o. 1667/5

(5) ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἐπὶ τὸν Ἴδης ἐμπρησμὸν καὶ τὴν εὕρεσιν τοῦ σιδήρου καὶ Ἰδαίους Δακτύλους ἔτη ἑβδομήκοντα τρία, ὥς φησι Θράσυλλος. 1638/2

καὶ ἀπὸ Ἴδης ἐμπρησμοῦ ἐπὶ Γανυμήδους ἁρπαγὴν ἔτη ἑξήκοντα πέντε. 1460/59

(137, 1) ἐντεῦθεν δὲ ἐπὶ τὴν Περσέως στρατείαν, ὅτε καὶ Γλαῦκος ἐπὶ Μελικέρτῃ τὰ Ἰσθμια ἔθηκεν, ἔτη πεντεκαίδεκα. 1395/4

ἀπὸ δὲ Περσέως στρατείας ἐπὶ Ἴλιον κτίσιν ἔτη τριάκοντα τέσσαρα. 1380/79

ἐντεῦθεν ἐπὶ τὸν ἔκπλουν τῆς Ἀργοῦς ἔτη ἑξήκοντα τέσσαρα. 1346/5

(2) ἐκ τούτου ἐπὶ Θησέα καὶ Μινώταυρον ἔτη τριάκοντα δύο. 1283/1

εἶτα ἐπὶ τοὺς Ἑπτὰ ἐπὶ Θήβας ἔτη δέκα. 1250/49

ἐπὶ δὲ τὸν Ὀλυμπίασιν ἀγῶνα, ὃν Ἡρακλῆς ἔθηκεν ἐπὶ Πέλοπι, ἔτη τρία. 1240/39

εἶς τε τὴν Ἀμαζόνων εἰς Ἀθήνας στρατείαν καὶ τὴν Ἑλένης ὑπὸ Θησέως ἁρπαγὴν ἔτη ἐννέα· 1237/6

(3) ἐντεῦθεν ἐπὶ τὴν Ἡρακλέους ἀποθέωσιν ἔτη ἑνδεκα· 1228/7

εἶτα ἐπὶ τὴν Ἑλένης ὑπὸ Ἀλεξάνδρου ἁρπαγὴν ἔτη τέσσαρα· 1217/6

1213/2

2 ϝμ 'zahl scheint vollständig' 7 vollständigkeit der zahl fraglich 19 τετρακοσίοις τεσσ. ε̄ Pessl τετρακοσίοις τριάκοντα ε̄ Unger 22 τέσσαρες εἰσπλουν L 32 Θήβας Dindorf θήβαις L

⟨εἶτα ἐπὶ τὴν Τροίας ἅλωσιν ἔτη εἴκοσι⟩· 1193/2 (94/3)
(4) ἀπὸ δὲ Τροίας ἁλώσεως ἐπὶ τὴν Αἰνείου κάθοδον καὶ κτίσιν Λαουινίου ἔτη δέκα· 1183/2
ἐπί τε τὴν Ἀσκανίου ἀρχὴν ἔτη ὀκτώ· 1175/4
καὶ ἐπὶ τὴν Ἡρακλειδῶν κάθοδον ἔτη ἑξήκοντα ἕν· 1115/3
ἐπί τε τὴν Ἰφίτου ὀλυμπιάδα ἔτη τριακόσια τριάκοντα ὀκτώ. 776/5

## 254. (TI. CLAUDIUS) POLYBIOS.

### F

1 (—) SYNKELL. p. 172, 17: Kastor 250 F 1 b.

2 (—) EUSEB. Exc. Chron. p. 194, 10 Sch (EUSEB. ARM. p. 90, 24 K): ἱστοροῦσι δὲ οἱ περὶ Ἀριστόδημον τὸν Ἠλεῖον (III), ὡς ἀπ' εἰκοστῆς καὶ ἑβδόμης ὀλυμπιάδος ἠρξαντο οἱ ἀθληταὶ ἀναγράφεσθαι .... πρὸ τοῦ γὰρ οὐδεὶς ἀνεγράφη, ἀμελησάντων τῶν πρότερον· τῇ δὲ εἰκοστῇ ὀγδόῃ τὸ στάδιον νικῶν Κόροιβος Ἠλεῖος ἀνεγράφη πρῶτος. καὶ ἡ ὀλυμπιὰς αὕτη πρώτη ἐτάχθη, ἀφ' ἧς Ἕλληνες ἀριθμοῦσι τοὺς χρόνους. τὰ δ' αὐτὰ τῶι Ἀριστοδήμωι καὶ Πολύβιος ἱστορεῖ.

3 (—) AFRICAN.-EUSEB. PE X 10 p. 488 C: = Kastor 250 F 6.

4 (—) MALAL. Chron. VI p. 157, 8 Bonn: = Kastor 250 F 11.

## 255. CHRONIK VON OXYRHYNCHOS (P. OX. 12).

(1) * *|[1] .... τούτων] κατὰ [τὸν δεύ|τερον ἔ]τ̣ν Συρακούσαις [Δίων | 356/4
(?) ὑπὸ Διο]νυσίου τυράν[νου ἐδο|λ]οφονήθη. κατὰ δὲ τὸν [τρί]|[5]τον Τιβουρ- 354/3
τεῖνοι ὑπὸ [Ῥωμαί|ων] καταπολεμηθέ[ντες ἑ|αντο]ὺς παρέδοσαν.

(2) ὀλυμπι|[άδι ἑβ]δόμηι καὶ ἑκατοστῆι | [ἐνίκα] στάδιον Σ̣μικρί[να]ς | [Ταραντεῖνος, ἦρχον δ'] Ἀθή|[10]νησιν Ἀριστόδημ]ος [θε]σσαλός | [Ἀπολλόδωρος
Κ]αλλίμαχος. | [τούτων κατὰ τὸ] τρίτον ἔ|[15]τος ἐν Ῥώμηι τι]μηταὶ πρῶ|[τον 350/49
ἐκ] τοῦ δήμου ἡιρέθησαν.

1 εἶτα — εἴκοσι C Mueller ἐντεῦθεν ἐ. Τ. ἅ. δέκα Scaliger 2 Λαουινίου Sylburg λαουίνου L 5 Ἡρακλειδῶν Sylburg —τῶν L

18 'schrift wohl nicht unter 250 p. Chr. zu rücken' Croenert; vielfach ει für ι, ι adscriptum bis auf III 14 fortgelassen, oft von m² nachgetragen. da die rolle beschnitten ist, fehlen am anfang und schluß der kolumnen wenige zeilen. ergänzungen, soweit nicht anders angegeben, von Grenfell-Hunt; ganz selbstverständliches nicht bezeichnet.

20 [τέταρ]τον Leuze Röm. Jahreszählung 176 'not at all likely' Gr-H 22 'either στάδ[ιο]ν Σμικρί[ν]ας or στάδ[ι]ον Μικρί[να]ς can be read' Gr-H Μικρίνας Diod. XVI 37, 1 (Σμ— RF) Euseb. Arm. 96a 36 Karst 23 Θεσσαλός Diod. XVI 40, 1; Dion. Hal. De Din. 9 (Θέλλον ebd. 11) Θέλλος Dion. Hal. ad Amm. I 4; IG II 758; 1174 b. 24 ἔτος ἐν Ῥώμηι τιμηταὶ Bilabel ἐπὶ Ῥώμης οἱ τιμηταὶ Wilamowitz

(3) ὀλυμπιάδι ὀγδόηι καὶ ἑκα|τοστῆι ἐνίκα στάδιον Πολυ|[κλ]ῆς Κυρη- 20
ναῖος, ἦρχον δ' Ἀ|θήνησι Θεόφιλος Θεμιστο|κλῆς Ἀρχίας Εὔβουλος. ταύ|της 348/7
κατὰ τὸ πρῶτον ἔτος | [Πλά]των ὁ φιλόσοφος με|[τήλλα]ξεν καὶ Σπεύσιππος |
τὴν σχολὴν διεδέξατο. 25 | κατὰ δὲ τὸν δεύτερον Φί|[λιππος] α[.....]α- 347/6
ξι[...] | * * * || * *
Π

(4) [ὀλυμ|πιάδι ἐνάτηι καὶ ἑ]κα[τοστῆι | ἐνίκα στάδιο]ν Ἀριστ[ό]λυκος |
[Ἀθηναῖο]ς, ἦρχον δ' Ἀθήνησι | [Λυκίσκος Πυ]θόδοτος Σωσι|[γ]ένη]ς Νι[κό]- 5
μαχος. ταύτης | κατὰ δὲ τὸ δεύτερον ἔτος Διονύ|σιος ὁ δεύτερος τῆς 343/2
Σικελίας | τύραννος ἐκπεσὼν τῆς | ἀρχῆς κατέπλευσεν εἰς Κό|ρινθον καὶ 10
ἐκεῖ κατέμεινε | γράμματα διδάσκων. κατὰ δὲ | τὸν τέταρτον Βαγώας | 341/0
εὐνοῦχος ἔχον τὸν βασιλέ|α τῶν Περσῶν δολοφονήσας τὸν νεώτατον αὐτοῦ
τῶν | υἱῶν Ἄρσην κατέστησε βα|σιλέα, αὐτὸς πάντα διοικῶν.

(5) ὀλυμπιάδι δεκάτηι καὶ ἑ|κατοστῆι ἐνίκα στάδιον Ἀν|τικλῆς Ἀθηναῖος, 20
ἦρχον δ' Ἀ|θήνησι Θεό[φραστο]ς [Ἀυσιμα]χίδης Χαιρώ[νδης Φρ]ύνιχος. |
τούτων κατὰ τὸν πρῶτον | [Σα]υνεῖται [Ῥωμα]ί[οι]ς π[αρ]ε|[τά]ξαντο. κατὰ 25
δὲ τὸν δεύ|τερον Λατεῖ[νοι ἐπὶ τοὺ]ς Ῥω|μαίους συν[στάντες ἐ]πέβη|σαν. 340,38
κατὰ δὲ τὸν τρίτον Φί|λιππος ὁ τῶν Μακεδόνων | βασιλεὺς τὴν ἐν Χαιρωνί|αι 339,8 338/7
ἐπιφανεστάτην μάχην | Ἀθηναίους καὶ Β⟨οι⟩ωτοὺς ἐνί|κησεν, συμμαχοῦντος 30
αὐ|τῶι τοῦ υἱοῦ Ἀλεξάνδρου | [καὶ ἀρ]ιστεύσαντος τότε. [καὶ Ἰ]σοκράτης
ὁ ῥήτωρ ἀ|[πέθα]νεν, π[ερὶ] ἐνενήκον|[τα ..... ἔτη βιώσας] * * * || * *
III
[Βα]|γ[ώας ὁ ε]ὐνοῦ[χο]ς Ἄρ[σην] | τὸν βασιλέα τῶν Περσῶν | ἀπέκτεινεν
σὺν τοῖς ἀδελ|φοῖς, καὶ Δαρεῖον τὸν Ἀρσά|μου βασιλικοῦ γένους ὄντα | βασι- 5
λέα ἀντὶ τοῦ Ἄρσου κα|τέστησε. τότε καὶ Ῥωμαῖοι | ἐπὶ Λατείνους ἐστρά-
τευσαν. κατὰ δὲ τὸν τέταρτον τὸ κοι|νὸν τῶν Ἑλλήνων συνελ|θόντες 337/6
Φίλιππον αὐτοκρά|τορα στρατηγὸν εἵλαντο τοῦ | πρὸς Πέρσας πολέμου.

(6) ὀλύμ|πιάδι μιᾶι καὶ ἑκατοστῆι καὶ | δεκάτηι ἐνίκα στάδιον | Κλεό- 15
μαντις Κλειτόρειος | (ἐνείκα στάδιον Κλεό|μαντις Κλειτόριος), ἦρχον δ'

---

4—5 Φίλιππος Β[οιωτῶν] ἁλ[ουμένων]? Bilabel (Diod. XVI 58) 6 Ἀριστόλυκος (κ aus χ verb.): Ἀριστόλοχος Diod. XVI 69, 1 (Ἀριστόλαχος P) Euseb. Arm. 96b 3 8 ταύτης: am rande κατω; der nachtrag ist mit dem unteren ende der kolumne verloren. es wird der erste vertrag zwischen Rom und Karthago gewesen sein (Diod. XVI 69, 1 a. 344/3). δὲ m¹ über der zeile 14 Χαιρώνδης: Pros. Att. 15279 16 σὺν [αὐτοῖς] Soltau 22 Ἀρσάνου Diod. XVII 5, 5 26—27 verb. aus Κλειομένης Κλειτόριος 27 ἐνείκα — Κλειτόριος durch klammern getilgt

ἈΑθή|νησι Πυ[θόδ]ηλος Εὐαίνε|τος Κτη[σικλ]ῆ[ς] Νικοκρά|της. τούτων κατὰ 336/5
τὸν πρῶ|τον Φίλιππος ὁ τῶν Μα|κεδόνων βασιλεὺς ἀνηι|ρέθη ὑπὸ Παυσανίου
ἑ|νὸς τῶν δορυφόρων, καὶ | διεδέξατο αὐτὸν ὁ υἱὸς Ἀλέξανδρος· ὃς παρα-
λα|βὼν τὴν ἀρχὴν πρῶτον μὲν | Ἰλλυριοὺς καὶ Παίονας καὶ ἄλ|λα βάρβαρα
ἔθνη ἀποστάντα | ἐχειρώσατο, ἔπειτα Θήβας | δυριαλώτους λαβὼν κατέ|-
σκαψεν. ἐν δὲ Ῥώμηι αἱ τῆς | Ἑστίας ἱέρειαι παρθένοι | μ(ὲν) ο̣ὐ̣σ̣[α]ι̣ διὰ
βίον κατηγορή|θησαν ὡς ἐφθαρμέναι καὶ | [. . . . . ]α . σα[. .]υ̣ξ [. . .
. .] | * * * || * * * | [. . . . . ].γ. κατὰ δὲ τὸν | δεύτερον Ἀλέξανδρος 336/4
ὁ | τῶν Μακεδόνων βασιλεὺς | εἰς τὴν Ἀσίαν διαβὰς τὴν ἐ|πὶ Γρανίκωι
μάχην ἐνί|κησεν τοὺς Δαρείου βασιλέως Περσῶν στρατηγούς. κατὰ δὲ 334/3
τὸν τρίτον ὁ αὐτὸς | Ἀλέξανδρος παραταξά|μενος Δαρείωι ἐν Ἰσσῶι τῆς |
Κιλικίας πάλιν αὐτὸν ἐ|νίκησεν, καὶ πολλὰς μυ|ριάδας τῶν Περσῶν καὶ
τῶν | συμμάχων ἀπέκτειναν, | καὶ αἰχμαλώτους πολλοὺς | ἔλαβεν [καὶ λείαν
πο]λλήν. | τότε κ[αὶ Ἀλέξανδρ]ος ὁ Μο|λοσσὸς [εἰς Ἰταλίαν δι|έβη | βοη-
θήσω[ν τοῖς ἐκεῖ] Ἕλ|λησι. κατὰ δὲ τὸν τέταρτον Ῥωμαῖοι [Καμπα]- 333/2
νοὺς (?) | ἐποιήσαντο π[ολίτας] | Ῥώμης .[. . . . . ἄνευ ψή]|φου μεν[. . . . .

(7) ὀλυμπιά]δι ἑκατοσ[τῆι δωδεκάτηι ἐ]|νίκα στά[διον Γρύλλος Χαλ]|κι-
δεύς, [ἦρχον δ' Ἀθήνησι] | Νική[της] Ἀριστυ[φάν]ης Ἀ|ριστοφῶν Κηφισο-
φῶν. ταυ|της κατὰ τὸ πρῶτον ἔτος | Ἀλέξανδρος ὁ Φιλίππου Τύ|ρον 332/1
εἷλεν, καὶ Αἴγυπτον πα|ρέλαβεν, ἑκουσίως αὐτὸν | προσδεξαμένων τῶν |
ἐνχωρίων διὰ τὸ πρὸς Πέρ|σας ἐχθρόν. τότε καὶ ἐκέλευ|[σεν (gründung
von Alexandreia?) * * * || * * *]|επιχιμιος.[.]ανα.αι.. | ἀνέβη εἰς Ἄμμωνος (331/0?)
καὶ | ἐν τῆι ἀναβάσει Παραιτόνι|ον κτίζει πόλιν. κατὰ δὲ τὸν τρίτον | 330/29
μάχη πάλιν συνέσιη κατὰ | Ἄρβηλα Ἀλεξάνδρου πρὸς Δα|ρεῖον, ἣν ἐνίκησεν
Ἀλέ|ξανδρος. τότε καὶ ἐδολο|φονήθη Δαρεῖος ὑπὸ τῶν | ἰδίων φίλων, καὶ
ἡ Περσῶν ἀρχὴ κατελύθη διαμεῖνα|σα ἀπὸ τοῦ συστήσαντος αὐ|τὴν Κύρου
ἔτη ⟨διακόσια⟩ τριάκοντα | τρία.

(8) ὀλυμπιάδι ἑκατοστῆι | τρισκαιδεκάτηι Κρίτων | Μακεδὼν ἐνίκα 328/24
στάδιον, | ἦρχον δ' Ἀθήνησι Εὐθύκρι|τος Ἡγήμων Χρέμης ⟨Ἀντικλῆς⟩.

---

1 Πυθόδηλος Pros. Att. 12379 Πυθόδημος Dion. Hal. De Din. 4; 9; Arrian. Anab. I 1, 1 Πυθόδωρος Diod. XVI 91, 1 6 μὲν οὖσαι Jac μουσ. ι P [μ]οὖσαι Gr-H 7—8 καὶ [ζώσας αὐτ]ὰ̣[ς] κα[τωρ]υ̣ξ[αν—]? Jac 15—16 Καμπανοὺς Beloch Röm. Gesch. 388 Ἀχερρανοὺς Bilabel 16 Ῥώμης Bilabel τωμη. .[ Gr-H 27 ⟨διακόσια⟩: am rande zeichen S 29 ⟨Ἀντικλῆς⟩: am rande zeichen S

ἐν | ταύτηι τῆι ὀλυμπιάδι ἐπὶ | τέσσαρα ἔτη Ἀλέξανδρος | τὰς λοιπὰς 323/4
πράξεις διεπρά|ξατο τὰ ἐν τῆι Ἀσίαι ἔθνη | [χει]ρούμενος.

(9) ὀλυμπιάδι | ἑκατοστῆι τεσσαρεσκαιδε|κάτηι ἐνίκα στάδιον Μι|κίνας Ῥόδιος, ἦρχον δ' Ἀθήνησιν Ἡγησίας Κι[φισ]ο|φῶν Φιλοκλῆς Ἄ[ρχι]ππος. | ταύτης κατὰ τὸ πρῶτον | ἔτος Ἀλέξανδρος ὁ βασιλεὺς | μετήλλαξε ἄρξας 324/3
ἔτη δέ|κα τρία, βιώσας δὲ ἔτη τριά|κοντα τρία. κατὰ δὲ τὸν | δεύτερον 323/2
Πτολεμαῖος ὁ Λά|γου εἰς Αἴγυπτον πεμφθεὶς | ἦρξε τῆς χώρας. κατὰ
δὲ τὸ τ[* * * || * * * | ἐνείκαι.

(10) ὀλυμπιάδι ἑκατοστῆι | πεντεκαιδεκάτ[ηι ἐνίκα] | στάδιον Δαμασίας
[Ἀμφιπο]|λίτης, ἦρχον δ' Ἀθή[νησι Νέ]|αιχμος Ἀπολλόδω[ρος Ἄρ]|χιππος
Δημογένης. τού|των κατὰ τὸν πρ[ῶτον Ἀν]|τίπατρος διαδεξάμενος | 320/19
τὴν ἐν Μακεδονί[αι βασιλεί]|αν ἐν Λαμίαι παραταξά|μενος τοῖς Ἕλλησι
κ[ατεπο]|λέμησεν αὐτούς. Ῥωμαῖοι | δὲ παραταξάμε[νοι τοῖς Σαυ]|νείταις
ἡττή[θησαν. κατὰ] | δὲ τὸν δεύτερον Ἀ[ντίπα]|τρος εἰς Ἀσίαν δια[βὰς ἐπὶ] | 319/8
Περδίκκα⟨ν⟩ τὸν δεύτ[ερον δι]|αμερισμὸν τοῖς δι[αδεχο]|μένοις Ἀλέξανδρ[ον
ἐποί]|ησεν, ἐν ὧι πάλιν Πτολεμαῖ[ος ἦν]. κατὰ δὲ τὸν [τρίτον] | Ῥωμαῖοι 318/7
παραταξάμε|νοι Σαυνείταις ἐνίκησαν | καὶ τοὺς αἰχμαλωτισθέν|τας αὐτῶν
ἐν τῆι προτέ|ραι μάχηι ἀπέλαβον.

(11) ὀλυμ|πιάδι ἑκατοστῆι ἑκκαιδε|κάτηι ἐνίκα στάδιον [Δημο]|σθένης
Λάκων, ἦρχον δ' Ἀ|θήνησι Δημοκ[λείδης Πρά]|ξίβουλος Νικ[όδωρος Θε]|όδωρος.
τ[ούτων κατὰ τὸν] | πρῶτον [Ἀντίπατρος ἐτε]|λεύτησ[εν, καὶ τὰ πράγμα]|τα 318/5
διεδ[έξατο Πολυπέρ]|χων, κα * * *

## 256. THALLOS.

### T

1 (III 517) EUSEB. ARM. Chron. p. 125, 22 Karst: *Aus des Thallos 3 büchern, in welche er abrißweise zusammengefaßt hat von der einnahme Ilions bis zur † 167. olympiade* (112/9). s. 250 T 2.

4 *Κηφισοφῶν*: l. *Κηφισόδωρος* Pros. Att. 8347 8 *ἐνείκαι* falsch wiederholt (vgl. col. III 17—18)? 14—15 *δια[βὰς σὺν] Κρατερῶι*? Gr-H 16 *ἐν — ἦν* über der zeile nachgetragen 19 *Δημοσθένης*: Euseb. Arm. 96b 31 *Δεινομένης* Diod. XIX 17, 1 *Δεινοσθένης* (Paus. VI 16, 8; Arch. Zeitg. 1881 no. 389) Vogel (dagegen Kahrstedt Staatsrecht 71, 1) 20 *Θεόδωρος*: l. *Θεόφραστος* Pros. Att. 7165 22 *Κα[σσανδρο* — Gr-H 26—27 *von — Ilions*: *ἀπὸ Βήλου βασιλείας* C Wachsmuth 27 *167* (ρξζ): ϛξ (49/52 p. Chr.) C Mueller *ΗΗΔΓΙΙ* (I) = 89/92 p. Chr. v Gutschmid

2 AFRICAN.-EUSEB. PE X 10 p. 489 A: *οἵ τε τὰ Σύρια Κάστωρ καὶ Θάλλος* (s. F 5).

3 TERTULLIAN. Apol. 19, 5—6: *reseranda antiquissimarum etiam gentium archiva, Aegyptiorum Chaldaeorum Phoenicum; advocandi municipes eorum, per quos notitia subministrata est, aliqui Manethon Aegyptius* (III) *et Berosus Chaldaeus* (III), *sed et Hieromus Phoenix Tyri rex* (III); *sectatores quoque ipsorum Mendesius Ptolemaeus* (III) *et Menander Ephesius* (III) *et Demetrius Phalereus* (228 F 52) *et rex Iuba* (III) *et Apion* (III) *et Thallus et qui istos aut probat aut revincit Iudaeus Iosephus . . . . . .*

F

*ΙΣΤΟΡΙΑΙ Α—Γ.*

*Γ*

1 (8) AFRICAN.-SYNKELL. p. 609, 21 Bonn.: *καθ' ὅλου τοῦ κόσμου σκότος ἐπήγετο φοβερώτατον, σεισμῶι τε αἱ πέτραι διερρήγνυντο καὶ τὰ πολλὰ Ἰουδαίας καὶ τῆς λοιπῆς γῆς κατερρίφθη. τοῦτο τὸ σκότος ἔκλειψιν τοῦ ἡλίου Θάλλος ἀποκαλεῖ ἐν τρίτηι τῶν Ἱστοριῶν· ὡς ἐμοὶ δοκεῖ, ἀλόγως. Ἑβραῖοι γὰρ ἄγουσι τὸ πάσχα κατὰ σελήνην ιδ, πρὸ δὲ μιᾶς τοῦ πάσχα τὰ περὶ τὸν Σωτῆρα συμβαίνει. ἔκλειψις δὲ ἡλίου σελήνης ὑπελθούσης τὸν ἥλιον γίνεται· ἀδύνατον δὲ ἐν ἄλλωι χρόνωι, πλὴν ἐν τῶι μεταξὺ μιᾶς καὶ τῆς πρὸ αὐτῆς κατὰ τὴν σύνοδον αὐτὴν ἀποβῆναι. πῶς οὖν ἔκλειψις νομισθείη κατὰ διάμετρον σχεδὸν ὑπαρχούσης τῆς σελήνης ἡλίωι; ἔστω δή, συναρπαζέτω τοὺς πολλοὺς τὸ γεγενημένον καὶ τὸ κοσμικὸν τέρας ἡλίου ἔκλειψις ὑπονοείσθω ἐν τῆι κατὰ τὴν ὄψιν. Φλέγων* (257 F 16) *ἱστορεῖ ἐπὶ Τιβερίου Καίσαρος ἐν πανσελήνωι ἔκλειψιν ἡλίου γεγονέναι .... τίς δ' ἡ κοινωνία σεισμῶι καὶ ἐκλείψει, πέτραις ῥηγνυμέναις καὶ ἀναστάσει νεκρῶν τοσαύτηι τε κινήσει κοσμικῆι;* a. 32/33 p. Chr.

OHNE BUCHTITEL.

2 (2) THEOPHIL. ad Autol. III 29: *καὶ γὰρ Βήλου τοῦ Ἀσσυρίων βασιλεύσαντος καὶ Κρόνου τοῦ Τιτᾶνος Θάλλος μέμνηται, φάσκων τὸν Βῆλον πεπολεμηκέναι σὺν τοῖς Τιτᾶσι πρὸς τὸν Δία καὶ τοὺς σὺν αὐτῶι θεοὺς λεγομένους, ἔνθα φησίν· «καὶ Ὤγυγος ἡττηθεὶς ἔφυγεν· εἰς Ταρτησσόν, τότε μὲν τῆς χώρας ἐκείνης Ἀκτῆς κληθείσης, νῦν δὲ Ἀττικῆς προσαγορευομένης, ἧς Ὤγυγος τότε ἦρξε.» καὶ τὰς λοιπὰς δὲ χώρας καὶ πόλεις, ἀφ' ὧν τὰς προσωνυμίας ἔσχον, οὐκ ἀναγκαῖον ἡγούμεθα καταλέγειν.*

3 (2) — — III 29 (LACTANT. Div. Inst. I 23, 2): *κατὰ γὰρ τὴν Θάλλου ἱστορίαν ὁ Βῆλος προγενέστερος εὑρίσκεται τοῦ Ἰλιακοῦ πολέμου ἔτεσι τκβ.*

14 ἐπήγετο Dindorf ἐπείγετο vulg ἐπεγένετο Scaliger 28 τοῦ Τιτᾶνος Θάλλος edd τοῦ τιτανωσθαλλος V 30 Ὤγυγος Niebuhr ὁ γύγος V καὶ Κρόνος ἡ. ἑ. εἰς Τ., Ὠγυγὸς δὲ εἰς τὴν κτλ. C Mueller Ταρτησσόν, τότε μὲν τ. χ. ἐ. ⟨Ταρτάρου λεγομένης, ὥσπερ⟩ Ἀκτῆς Niebuhr 32 Ὤγυγος Meursius ὁ γύγος V

4 (1) a) TERTULLIAN. Apol. 10 (Ad nat. II 12): *Saturnum itaque ... neque Diodorus graecus aut Thallus neque Cassius Severus aut Cornelius Nepos neque ullus commentator eiusmodi antiquitatum aliud quam hominem promulgarunt.* b) LACTANT. Div. inst. I 13: *omnes ergo non tantum poetae, sed historiarum quoque ac rerum antiquarum scriptores hominem fuisse consentiunt, qui res eius in Italia gestas memoriae prodiderunt: Graeci Diodorus et Thallus, Latini Nepos et Cassius et Varro.* c) MINUC. Fel. Oct. 21, 4: *Saturnum ... omnes scriptores vetustatis Graeci Romanique hominem prodiderunt: scit hoc Nepos et Cassius in historia, et Thallus ac Diodorus hoc loquuntur.*

5 (3; 5) a) AFRICAN.-EUSEB. PE X 10 p. 488 D—489 A: *τὰ δὲ πρὸ τούτων* (sc. *τῶν ὀλυμπιάδων*) *ὡδί πως τῆς Ἀττικῆς χρονογραφίας ἀριθμουμένης, ἀπὸ Ὠγύγου ..... μέχρι πρώτης ὀλυμπιάδος .... ἔτη συνάγεται χίλια εἴκοσιν* (1796/5—777/6), *ὡς καὶ τοῖς προειρημένοις* (F 7) *συμφωνεῖ(ται) καὶ τοῖς ἐξῆς δειχθήσεται. ταῦτα γὰρ* ⟨*οἱ τὰ*⟩ *Ἀθηναίων ἱστοροῦντες Ἑλλάνικός τε* (4 F 47) *καὶ Φιλόχορος* (III) *οἱ τὰς Ἀτθίδας, οἵ τε τὰ Σύρια Κάστωρ* (250 F 7) *καὶ Θάλλος, καὶ* ⟨*ὁ*⟩ *τὰ πάντων Διόδωρος ...., Ἀλέξανδρός τε ὁ Πολυίστωρ* (III), *καί τινες τῶν καθ' ἡμᾶς ἀκριβέστερον ἐμνήσθησαν καὶ τῶν Ἀττικῶν ἁπάντων.* b) JUSTIN. Coh. ad Gr. 9: *... πάντων τῶν παρ' ὑμῖν .... πολλῷ πρεσβύτατος γέγονεν' ... Μωσῆς ... ὡς δηλοῦσιν ἡμῖν αἱ τῶν Ἑλλήνων ἱστορίαι. ἐν γὰρ τοῖς χρόνοις Ὠγύγου τε καὶ Ἰνάχου .... Μωσέως μέμνηνται ... οὕτω γὰρ Πολέμων ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν ἱστοριῶν μέμνηται* (IV) *καὶ Ἀπίων* (III) ..... *καὶ Πτολεμαῖος δὲ ὁ Μενδήσιος* (III) *τὰ Αἰγυπτίων ἱστορῶν ἅπασι τούτοις συντρέχει. καὶ οἱ τὰ Ἀθηναίων δὲ ἱστοροῦντες Ἑλλάνικός τε καὶ Φιλόχορος ὁ τὰς Ἀτθίδας, Κάστωρ* (250 F 14) *τε καὶ Θάλλος καὶ Ἀλέξανδρος δὲ Πολυίστωρ, ἔτι δὲ καὶ οἱ σοφώτατοι Φίλων τε καὶ Ἰώσηπος .... ὡς σφόδρα ἀρχαίου .... Μωσέως μέμνηνται.*

6 (4) SYNKELL. p. 172, 17: *ταύτην* (sc. *τὴν τῶν Ἀράβων βασιλείαν*) *Ἀσσυρίων μα διαδέξαντο βασιλεῖς, οἱ καὶ ἀρξάμενοι ἀπὸ τοῦ γσις καθολικοῦ ἔτους κόσμου* (2286/5) *ἔληξαν εἰς τὸ ὀχοε ἔτος τοῦ κόσμου* (927/6). *διαρκέσανιες ἔτη δλα αυξ ἀπὸ τοῦ πρώτου αὐτῶν Βήλου ἕως τοῦ μα Μακοσκολέρου τοῦ καὶ Σαρδαναπάλλου, ὡς συμφωνοῦσι πολλοὶ τῶν ἐπισήμων ἱστορικῶν, Πολύβιος* (254 F 1) *καὶ Διόδωρος, Κεφαλίων* (93 F 2) *τε καὶ Κάστωρ* (250 F 1b) *καὶ Θάλλος καὶ ἕτεροι.*

7 (6) AFRICAN.-EUSEB. PE X 10 p. 488 C: .... *Κῦρος Περσῶν ἐβασίλευσεν, ὧι ἔτει ὀλυμπιὰς ἦχθη νε, ὡς ἐκ τῶν Βιβλιοθηκῶν Διοδώρου καὶ τῶν Θάλλου καὶ Κάστορος* (250 F 6) *Ἱστοριῶν, ἔτι δὲ Πολυβίου* (254 F 8) *καὶ Φλέγοντός* (257 F 8) *ἐστιν εὑρεῖν, ἀλλὰ καὶ ἑτέρων, οἷς ἐμέλησεν ὀλυμπιάδων.*

8 (7) MALAL. Chron. VI p. 157, 18 Bonn: .... *ταῦτα* (über Kroisos) *δὲ ἱστόρησαν οἱ σοφώτατοι Θάλλος καὶ Κάστωρ* (259 F 11) *καὶ Πολύβιος* (254 F 4) ... *καὶ μετ' αὐτοὺς Ἡρόδοτος .... ἅτινα καὶ ὁ σόφος Θεόφιλος ἐχρονογράφησεν.*

---

2 *Thallus*: *apud ... Tacitum* Ad nat II 12 11 *τὰ* Routh *τὰς* Eus 14 *συμφωνεῖται* Jac —*νεῖ* Eus —*νεῖν* Routh 15 ⟨*οἱ τὰ*⟩ Routh 15—16 *ὁ τὰς* Routh (v. 24) 16 ⟨*ὁ*⟩ Routh 17 *καί τινες*: *οἵ τινες* Routh 28—29 γσις — αυξ: die zahlen nicht heil 38 *Θάλλος* vulg *Θαλῆς* Mal

## 257. (P. AELIUS) PHLEGON VON TRALLES. 776/5—137/8

T

1 SUID. s. *Φλέγων Τραλλιανός· ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος (οἱ δὲ Ἀδριανοῦ φασίν)· ἱστορικός. ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ιϛ̄ — ἔστι δὲ μέχρι τῆς σκθ̄ ὀλυμπιάδος (137—140ᵖ) τὰ πραχθέντα πανταχοῦ· τὰ δὲ αὐτὰ ἐν βιβλίοις η̄· Ἔκφρασιν Σικελίας· Περὶ μακροβίων καὶ θαυμασίων· Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ̄· Περὶ τῶν ἐν Ῥώμῃ τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων· Ἐπιτομὴν Ὀλυμπιονικῶν ἐν βιβλίοις β̄· καὶ ἄλλα.*

2 SCRIPT. HIST. AUG. X 20, 1: *legisse me apud Aelium Maurum Phlegontis Hadriani libertum memini.*

3 PHOT. Bibl. 97: *ἀνεγνώσθη Φλέγοντος Τραλλιανοῦ, ἀπελευθέρου τοῦ αὐτοκράτορος Ἀδριανοῦ, Ὀλυμπιονικῶν καὶ Χρον[ικ]ῶν Συναγωγή.* (2) *προσφωνεῖ τὸ σύνταγμα πρὸς Ἀλκιβιάδην τινά, ὃς εἰς ἦν τῶν εἰς τὴν φυλακὴν τεταγμένων τοῦ Ἀδριανοῦ.* (3) *ἄρχεται δὲ τῆς συναγωγῆς ἀπὸ τῆς πρώτης ὀλυμπιάδος* (776/5), *διότι τὰ πρότερα, καθὼς καὶ οἱ ἄλλοι σχεδόν τι πάντες φασίν, οὐκ ἔτυχεν ὑπό τινος ἀκριβοῦς καὶ ἀληθοῦς ἀναγραφῆς, ἀλλὰ ἄλλο τι ἄλλος τῶν ἐπιτυχόντων καὶ οὐ συμφώνως ἔγραψαν, ὅσοις καὶ γράψαι πεφιλοτίμηται. τὴν μὲν οὖν ἀρχὴν τοῦ συγγράμματος, ὥσπερ ἔφημεν, ἀπὸ τῆς πρώτης ὀλυμπιάδος ποιεῖται· κάτεισι δέ, ὡς αὐτός φησι, μέχρι τῶν Ἀδριανοῦ χρόνων* (117—138). (4) *ἐμοὶ δὲ ἀνεγνώσθη μέχρι τῆς ροζ̄ ὀλυμπιάδος* (F 12) ..... *μέχρι μὲν οὖν ταύτης μοι τῆς ὀλυμπιάδος* (72—68 a. Chr.) *ἐν λόγοις πέντε ἡ ἀνάγνωσις γέγονεν.*

(5) *ἔστι δὲ τὴν φράσιν οὔτε λίαν χαμαιπετὴς οὔτε τὸν Ἀττικὸν ἐς τὸ ἀκριβὲς διασώζων χαρακτῆρα. ἄλλως τε δὴ καὶ ἡ περὶ τὰς ὀλυμπιάδας καὶ τὰ ἐν αὐταῖς τῶν ἀγωνισμάτων ὀνόματα καὶ πράξεις καὶ ἡ περὶ τοὺς χρησμοὺς ἄκαιρος φιλοπονία τε καὶ φιλοτιμία, εἰς κόρον ἀπάγουσα τὸν ἀκροατὴν καὶ μηδὲν ἄλλο τῶν ἐν τῷι λόγωι σχεδόν τι προκύπτειν συγχωροῦσα, ἀηδῆ τε τὸν λόγον δεικνύει καὶ χάριτος οὐδὲν ἔχειν παρατίθησι. χρησμοῖς δὲ παντοίοις ἐς ὑπερβολήν ἐστι κεχρημένος.*

4 EUSEB. ARM. p. 125, 17 Karst: *Nachdem zusammengetragen ist das sämtliche erörterte aus den denkmälern, die hier der reihe nach*

---

8 *Kaisaros*: irrtum aus einem buchtitel wie T 4 und subscriptio F 37 (Diels) 4 ιϛ̄: *14* T 4 (s. F 17—22) 6 τὰ δὲ αὐτὰ — η̄ (β̄?) gleich Ἐπιτομή v. 8 (C Mueller) 6—7 ⟨περί⟩ θαυμασίων Daub 10 *Aelium* vulg *Helium* P 12 die lesungen von AM nach Martini 18 Χρόνων Jac χρονικῶν Ph 18 ἔτυχέ πώ τινος Scaliger 19 ἄλλο τι ἄλλως M 27 δὴ: δὲ Ph 28 τὰς πράξεις M$^{e}$ 30 σχεδόν τι om M

*verzeichnet sind ..... aus des Philagon, des freigelassenen des Kaisr, 14* (l. 16) *büchern, in welche er auszugsweise zusammengefaßt hat 229 olympiaden .... ists zeit auch zu des Römerreiches zeiten hinzueilen.*

5 SCRIPT. HIST. AUG. I 16, 1: *famae celebris Hadrianus tam cupidus fuit, ut libros vitae suae scriptos a se libertis suis litteratis dederit iubens, ut eos suis nominibus publicarent. nam et Phlegontis libri Hadriani esse dicuntur.*

F

*ΟΛΥΜΠΙΟΝΙΚΩΝ ΚΑΙ ΧΡΟΝΩΝ ΣΥΝΑΓΩΓΗ (ΟΛΥΜΠΙΑΔΕΣ) Ā—ΙΓ.* (T 1; 3; 4)

*Ā*

1 (III 603, 1) COD. PALAT. GR. 398 p. 234 r: *Φλέγοντος ἀπελευθέρου Ἀδριανοῦ Καίσαρος Περὶ τῶν Ὀλυμπίων. δοκεῖ μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν, δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. ἔστιν δὲ ἥδε. μετὰ Πεῖσον καὶ Πέλοπα, ἔτι δὲ Ἡρακλέα, τοὺς πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τὸν Ὀλυμπίασιν ἑνστησαμένους, ἐκλειπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνωι τινί, εἰς ὃν ἀπὸ Ἰφίτου ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κόροιβον τὸν Ἠλεῖον, καὶ ἀμεληθέντων τοῦ ἀγῶνος, στάσις ἐνέστη κατὰ τὴν Πελοπόννησον.* (2) *Λυκοῦργος δὲ ὁ Λακεδαιμόνιος, υἱὸς ὢν τοῦ Πρυτάνεως τοῦ Εὐρυπῶντος τοῦ Σόου τοῦ Προκλέους τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέους καὶ Δηιανείρας, καὶ Ἶφιτος ὁ Αἵμονος, ὡς δὲ ἔνιοι Πραξωνίδου, ἑνὸς τῶν ἀπὸ Ἡρακλέους, Ἠλεῖος, καὶ Κλεοσθένης ὁ Κλεονίκου Πεισάτης, βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀποκαταστῆσαι, τήν τε πανήγυριν τὴν Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα καὶ ἀγῶνα γυμνικὸν ἐπιτελέσαι.* (3) *στέλλονται δὴ εἰς Δελφοὺς χρησόμενοι τῶι θεῶι, εἴ σφισιν συνεπαινεῖ ταῦτα ποιῆσαι. ὁ δὲ θεὸς ἄμεινον ἔφη ἔσεσθαι ποιοῦσιν. καὶ προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος.* (4) *ὧν περιαγγελθέντων κατὰ τὴν Ἑλλάδα καὶ ὁ δίσκος ἐγράφη τοῖς Ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ Ὀλύμπια ἄγειν.* (5) *οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα ἀλλὰ δυσχεραινόντων τῶν Πελοποννησίων, λοιμὸς ἐπιγενόμενος καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτούς. οἱ δὲ ἀποστ⟨ει⟩λαντες πάλιν τοὺς περὶ τὸν Λυκοῦργον ἠτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασίν τινα.* (6) *ἡ δὲ Πυθία χρᾶι τάδε·*

---

2 *14*: *16* (T 1) 13 *περὶ τοῦ ὀλυμπίων ἀγῶνος* Index cod. Athoi Vatop. 655 = Mus. Brit. add. gr. 19391 16 *ἐκλιπόντων* Nauck 17 [*ἀπὸ Ἰφίτου*] Wilamowitz (s. komm.) 20 *Εὐρυπῶντος* Meursius *εὐρόπου* P *Σόου* Meursius *σώσου* P 32 *τῶν* edd *τῶντε* P 33 *ἀποστείλαντες* Leopardi *—στάντες* P

ὦ γῆς ἀκρόπολιν πάσης Πελοπηίδα κλεινὴν
ναίοντες πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι,
φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ, ὅττι κεν εἴπω.
Ζεὺς ὑμῖν μῆνιν τελετῆς ἔχει ἣν διέχρησεν,
οὕνεκ' ἀτιμάζοντες Ὀλύμπια πασιάνακτος
Ζηνός — τοῦ πρῶτος μὲν ἱδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ, ὅτε δὴ μόλεν αἶαν
Ἑλλάδα, θῆκε δ' ἔπειτα ἔροτιν καὶ ἔπαθλα θανόντι
Οἰνομάωι, τρίτατος δ' ἐπὶ τοῖς πάις Ἀμφιτρύωνος
Ἡρακλέης ἐτέλεσσ' ἔροτιν καὶ ἀγῶνα ἐπὶ μήτρωι
Ταναλίδηι Πέλοπι φθιμένωι, τὸν δήποθεν ὑμεῖς
λείπετε καὶ τελετήν. ἧς χωσάμενος κατὰ θυμὸν
ὦρσε κακὴν λιμὸν παρὰ τοῖς καὶ λοιμόν, ὃν ἔστι
παῦσαι ἀνορθώσαντας ἑορτὴν τῶι πάλιν αὖθις.

(7) ταῦτα ἀκούσαντες ἀπήγγειλαν τοῖς Πελοποννησίοις. οἱ δὲ ἀπιστήσαντες τῶι χρησμῶι ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀπὸ κοινοῦ δόγματος ἐπιστρεφέστερον ἐπερωτήσοντας τὸν θεὸν περὶ τῶν χρησθέντων. ἡ δὲ Πυθία λέγει τάδε·

ὦ Πελοποννήσου ναέται, περὶ βωμὸν ἰόντες
θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν.

(8) τούτων χρησθέντων οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων καὶ ἐκεχειρίαν ἀγγέλλειν ταῖς πόλεσιν. (9) καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν Λακεδαιμονίοις, ὅτε Ἔλος ἐπολιόρκουν, πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο. καὶ χρᾶι ἡ Πυθία τάδε·

Ἠλείων πρόπολοι, πατέρων νόμον ἰθύνοντες
τὴν αὑτῶν ῥύεσθε πάτραν, πολέμου δ' ἀπέχεσθε,
κοινοδίκου φιλίης ἡγούμενοι Ἑλλήνεσσιν,
εὖτ' ἂν πενταετὴς ἔλθηι φιλόφρων ἐνιαυτός.

χρησθέντων δὲ τούτων τοῦ μὲν πολεμεῖν ἀπέσχοντο, τῶν δὲ Ὀλυμπίων τὴν ἐπιμέλειαν ἐποιοῦντο. (10) καὶ ἐστέφετο μὲν οὐδεὶς ἐπὶ πέντε ὀλυμπιάδας, τῆι δὲ ἕκτηι (756) ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰ στέμματα περιθῶσι

---

5 ἀτιμάζονται Krause πασι(ν)άνακτος edd λασιάνακτος P (al) 7 ὅτε — αἶαν C Mueller *δημονναιαν* P 8 ἔροτὴν Toup 10 ἐτέλεσσεν ἐροτιν P 11 ὀητοθεν P *ὑμεῖς* Sopingius *ὑμειν* P 12 λείπετε Sopingius λείπεις P 14 ἐς πάλιν Nauck 17 ἐπερωτήσοντας edd —αντας P 20 πύθεσθε Euseb Cram. A P II 141 ἐνέπωσιν, 'Ηλείων — ἰθύνοντες (v. 25) P; richtig Euseb 27 φιλίης P (?) φιλίας Euseb 28 ἐστ' ἂν C Mueller *bis zu* Eus Arm 90, 8 om Euseb gr πενταετὴς P *bis zu den festen der jahre* Euseb Arm ἐνὶ ξυνόδοις P mg ἐνὶξ νόδοις Euseb ἐτῶν ξυνόδοις Cramer 29 ἀπέσχοντο We ἀνέ— P

τοῖς νικῶσι, καὶ πέμπουσι τὸν βασιλέα Ἶφιτον εἰς Θεοῦ. ὁ δὲ Θεὸς ἔφη τάδε·

Ἶφιτε, μήλειον καρπὸν μὴ θῆις ἐπὶ νίκηι,
ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἔλαιον,
ὃς νῦν ἀμφέχεται λεπτοῖσιν †ὑφάσμασιν ἀράχνης.

(11) παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν, πολλῶν ἐν τῶι τεμένει κοτίνων ὄντων, εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις περιωικοδόμησεν αὐτόν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. πρῶτος δ' ἐστεφανώθη Δαικλῆς Μεσσήνιος, ⟨ὃς⟩ τῆι ἑβδόμηι ὀλυμπιάδι (752) στάδιον ἐνίκα.

2 (2) STEPH. BYZ. s. *Γέργις*· πόλις Τροίας ..... Γεργιθία ἡ χρησμολόγος Σίβυλλα, ἥ τις καὶ ἐτετύπωτο ἐν τῶι νομίσματι τῶν Γεργιθίων αὐτή τε καὶ σφίγξ, ὡς Φλέγων ἐν Ὀλυμπιάδων α̅. ἐν δὲ τῶι ἱερῶι τοῦ Γεργιθίου Ἀπόλλωνος Σιβύλλης φασὶν εἶναι τάφον. s. VI¹ ?

3 (3) — s. *Διὸς ἱερόν*· πολίχνιον Ἰωνίας .... τὸ ἐθνικὸν Διοσιερίτης, ὡς Φλέγων ἐν α̅ Ὀλυμπιάδων. ?

*A—E*

(F 23—25; 30; 32; 33).

4 (4) STEPH. BYZ. s. *Δυσπόντιον*· πόλις Πισαίας ..... Φλέγων ἐν ὀλυμπιάδι δευτέραι· «Ἀντίμαχος Ἠλεῖος ἐκ Δυσποντίου στάδιον.» s. III²

5 (5) — s. Ὑπερασία· πόλις, ἧς τὸ ἐθνικὸν Ὑπερασιεύς. Φλέγων ἐν ιγ̅ Ὀλυμπιάδι. s. III²

6 (4) — s. *Δυσπόντιον*· ..... (F 4) καὶ ἐν κ̅ζ̅· «Δάιππος Κροτωνιάτης πύξ, Ἠλείων ἐκ Δυσποντίου τέθριππον.» s. III²

7 (7) — s. Λῆνος· χώρα τῆς Πισατῶν. ὁ πολίτης Ληναῖος. Φλέγων ἐν μ̅η̅ ὀλυμπιάδι. s. III²

8 (7 a) AFRICAN.-EUSEB. PE X 10 p. 488 C: ... Κῦρος Περσῶν ἐβασίλευσεν, ὧι ἔτει ὀλυμπιὰς ἦχθη ν̅ε̅, ὡς ἐκ τῶν Βιβλιοθηκῶν Διοδώρου (IX 21) καὶ τῶν Θάλλου (256 F 7) καὶ Κάστορος Ἱστοριῶν (250 F 6), s. III²

4 *ἔλαιον* Emperius Nauck ἐλαιῶν P 5 λεπτοῖσι ὑφάσμασ' vulg λεπτοῖς ὑφέεσσιν Nauck λεπτοῖσι πέπλοισιν Keller 9 ⟨ὃς⟩ Meursius 11 τετύπωτο P ἐτίπωτο V 12 ἡ σφίγξ P 15 Ὀλυμπιάδων Holste —δος RV —δι P 19 δευτέραι: β̅ Bergk (Eus. Arm. p. 91, 1) Δ′ S (in rasur m² aus η ?) 21 πόλις Ἀχαΐας IV 15, 1 vgl. Steph. Byz. s. Ὑπερησία· .... τὸ ἐθνικὸν .... Ὑπερησιεύς .... Θεόπομπος δὲ Ὑπερασιεῖς φησι διὰ τοῦ α̅ 22 ὀλυμπιάδος VP 24 * Ἠλείων —τοῦ S (in rasur m²) 25 χώρα τις Holste χ. τῶν Berkel χωρίον τῶν Meineke Πισατῶν Berkel πισάων RVP

ἔτι δὲ Πολυβίου (254 F 3) καὶ Φλέγοντος ἔστιν εὑρεῖν, ἀλλὰ καὶ ἑτέρων οἷς ἐμέλησεν ὀλυμπιάδων· ἅπασι γὰρ συνεφώνησεν ὁ χρόνος.

8 bis (—) s. no. 257 a.

9 (—) PHILOPON. De opif. mundi V 1 p. 208, 22 Reichardt: a. 261/0
ἱστορεῖ δὲ καὶ Φλέγων ἐν τῇι ἑκατοστῇι εἰκοστῇι τετάρτηι ὀλυμπιάδι (284/1) Λυσιμάχου τοῦ Μακεδόνος ἅταφον ἐπὶ πολλὰς ἡμέρας τὸ σῶμα κείμενον ὑπὸ κυνὸς φυλάττεσθαι, εἴργοντος τοῦ νεκροῦ τὰ θηρία, μέχρις οὗ θῶραξ ὁ Λαρισαῖος περιτυχὼν αὐτὸν ἔθαψε.

10 (10) STEPH. BYZ. s. *Νίβις· πόλις Αἰγύπτου. Φλέγων* ρμ a. 220/17
ὀλυμπιάδι.

11 (11) — s. *Βέλιτρα· πόλις Ἰταλίας, οὐ Ῥώμης ἀποτέρω, ὥς* a. 84/81
*φησι Φλέγων ὀλυμπιάδι* ροδ.

## E

12 (12) PHOT. Bibl. 97: (T 3) *μέχρι τῆς* ροζ *ὀλυμπιάδος, ἐν ἧι ἐνίκα* a. 72/69
Ἑκατόμνως Μιλήσιος στάδιον καὶ δίαυλον καὶ ὁπλίτην, τρίς· (2) Ὑψικλῆς Σικυώνιος δόλιχον· Γάιος Ῥωμαῖος δόλιχον· Ἀριστωνυμίδας Κῶιος πένταθλον· Ἰσίδωρος Ἀλεξανδρεὺς πάλην, ἄπτωτος περίοδον· Ἀτυάνας Ἱπποκράτους † Ἀδραμυτίου παῖς πύξ· Σφοδρίας Σικυώνιος παγκράτιον· Σωσιγένης Ἀσιανὸς παίδων στάδιον· Ἀπολλοφάνης Κυπαρισσιεὺς παίδων πάλην· Σωτήριχος Ἠλεῖος παίδων πύξ· Κάλας Ἠλεῖος παίδων παγκράτιον· Ἑκατόμνως Μιλήσιος ὁπλίτην (οὗτος ἐν τῇι αὐτῇι τὰ τρία ἐστεφανώθη, στάδιον δίαυλον ὁπλίτην)· Ἀριστόλοχος [ὁ] Ἠλείου τέθριππον· Ἡγήμονος Ἠλείου κέλης· Ἑλλανίκου Ἠλείου συνωρίς· τοῦ αὐτοῦ πωλικὸν τέθριππον· Κλητία Ἠλείου πωλικὴ συνωρίς· Καλλίππου Ἠλείου πωλικὸς κέλης.

(3) Λεύκολλος δὲ Ἀμισὸν ἐπολιόρκει, καὶ Μουρήναν 73/70
ἐπὶ τῆς πολιορκίας καταλιπὼν μετὰ δυοῖν ταγμάτοιν αὐτὸς μετὰ τριῶν ἄλλων προῆγεν ἐπὶ Καβείρων, ὅπου διεχείμαζε. καὶ Ἀδριανὸν ἐπέταξε πολεμῆσαι Μιθριδάτηι· καὶ πολεμήσας ἐνίκησε. (4) καὶ σεισμοῦ ἐν

9 ρμ om V 10 ὀλυμπιάδι Berkel —δος RVP 11 βέλετρα P 12 ὀλυμπίασι P 15 Ἑκατόμνος M *Ekatomnos der Helier* Euseb Arm 17 Ἀριστωνυμίδας Bekker ἀριτωνυμίδας A (—ιας M) 18 ἀτυανᾶς M 19 ἀτραμυτείου M Ἀδραμυττηνὸς πύξ Rutgers Ἀδραμυττηνοῦ παῖς Jac παῖς om M 23 καὶ ὁπλίτην ς 24—25 Ἀριστολόχου Ἠλείου Robert —ος ἠλείου M —ος ὁ ἠλεῖος A 28 Ἠλείου Meier πηλίου A πηλείου M 29 ἀμισὸν M ἀμισὸν $A^1$ (?)

Ῥώμῃ γενομένου πολλὰ ταύτης συνέπεσε. (5) καὶ ἄλλα δὲ πλεῖσια ἐν ταύτῃ ξυνηνέχθη τῇι ὀλυμπιάδι.

(6) καὶ Ῥωμαίων τῶι τρίτωι αὐτῆς ἔτει ἀπετιμήθησαν μυριάδες ἐνενήκοντα καὶ μία. (7) καὶ Σινατρούκην τὸν Πάρθων βασιλέα τελευτήσαντα διεδέξατο Φραάτης ὁ ἐπικληθεὶς θεός. (8) καὶ Φαῖδρον τὸν Ἐπικούρειον διεδέξατο Πάτρων. (9) καὶ Οὐεργίλιος Μάρων ὁ ποιητὴς ἐγεννήθη τούτου τοῦ ἔτους εἰδοῖς Ὀκτωβρίαις.

(10) τῶι δὲ τετάρτωι ἔτει Τιγράνης καὶ Μιθριδάτης ἀθροίσαντες πεζοὺς μὲν τέσσαρας μυριάδας ἱππέας δὲ τρεῖς καὶ τὸν Ἰταλικὸν αὐτοὺς τάξαντες τρόπον ἐπολέμησαν Λευκόλλωι· καὶ νικᾶι Λεύκολλος. καὶ πεντακισχίλιοι μὲν τῶν μετὰ Τιγράνους ἔπεσον, πλείους δὲ τούτων ἠιχμαλωτίσθησαν χωρὶς τοῦ ἄλλου σύγκλυδος ὄχλου. (11) καὶ τὸ Καπιτώλιον ἐν Ῥώμῃ Κάτλος καθιέρωσε. (12) καὶ Μέτελλος ἐπὶ τὸν Κρητικὸν πόλεμον ὁρμήσας, τρία τάγματα ἔχων, ἦλθεν εἰς τὴν νῆσον, καὶ μάχηι νικήσας τὸν Λασθένη αὐτοκράτωρ ἀνηγορεύθη· καὶ τειχήρεις κατέστησε τοὺς Κρῆτας. (13) καὶ Ἀθηνόδωρος πειρατὴς ἐξανδραποδισάμενος Δηλίους τὰ τῶν λεγομένων θεῶν ξόανα διελυμήνατο· Γάιος δὲ Τριάριος τὰ λελωβημένα τῆς πόλεως ἐπισκευάσας ἐτείχισε τὴν Δῆλον.

(14) μέχρι μὲν οὖν ταύτης μοι τῆς ὀλυμπιάδος ἐν λόγοις πέντε ἡ ἀνάγνωσις γέγονεν.

70/69

69/68

$\overline{E}$—$\overline{F}$

13 (13) STEPH. BYZ. s. Ταρραχίνη· πόλις Ἰταλίας. Φλέγων ὀλυμπιάδι ϙπα· ὅτι παιδίον ἐκ δούλης γενόμενον τῆι θ καὶ μ̄ τῆς γενέσεως τὸν προσαγορεύσαντα ἀντιπροσαγορεῦσαι, ἐφ' οἷς τοὺς μάντεις προαγορεῦσαι ὄλεθρον.

68/67

$\overline{H}$

14 (8) STEPH. BYZ. s. Αὔγουσται· πόλεις ἐν Κιλικίαι καὶ Ἰταλίαι. οἱ πολῖται Αὐγουστανοί. Φλέγων ἐν Ὀλυμπιάδων η̄.

nach 372

15 (9) — s. Κρέμη· πόλις Πόντου. Φλέγων η̄ Χρονικῶν.

3—4 ἀπετμήθησαν M 5—6 φράτης M 9 (u. v. 13) τικράνης M 10 ἱππέων in ras. M² 14 συγκλυδοῦς M 18 λαοσθένη M 28 δούλις P 29 μ̄ ⟨ἡμέραι⟩? γενέσεως ὅτι RV τὸν προσαγορευθέντα R 30 προσαγορεῦσαι RV 32 πόλεις Meineke πόλις RV πο P 33 Ὀλυμπιάδων Meineke CMueller —δι RVP

ΙΓ

16 (14—15) a) EUSEB. HIER. ol. 202; 29/32p (SYNKELL. 614, 12; (a. 32/33)
MALAL. 240, 17; CHRON. PASCH. 412, 7; 417, 9): *Iesus Christus secundum prophetias quae de eo fuerant praeloculae ad passionem venit anno Tiberii XVIII, quo tempore etiam in aliis ethnicorum commentariis* ⟨256 F 1⟩ *haec ad verbum scripta repperimus 'solis facta defectio, Bithynia terrae motu concussa, et in urbe Nicaea aedes plurimae corruerunt', quae omnia his congruunt quae in passione Salvatoris acciderant. scribit vero super his et Flego, qui olympiadarum egregius supputator est, in XIII libro ita dicens: «quarto autem anno CCII olympiadis* (32/33) *magna et excellens inter omnes quae ante eam acciderant defectio solis facta; dies hora sexta ita in tenebrosam noctem versus ut stellae in caelo visae sint terraeque motus in Bithynia Nicae[n]ae urbis multas aedes subverterit.»* *haec supra dictus vir.*
b) AFRIKAN.-SYNKELL. 610, 12: (Thallos 256 F 1) *Φλέγων ἱστορεῖ ἐπὶ Τιβερίου Καίσαρος ἐν πανσελήνωι ἔκλειψιν ἡλίου γεγόνεναι τελείαν ἀπὸ ὥρας ἕκτης μέχρις ἐνάτης, ὄηλον ὡς ταύτην.* c) PHILOPON. De opif. mund. II 21 p. 99, 6 Reichardt: *τούτου δὲ τοῦ σκότους ..... καὶ Φλέγων ἐν ταῖς Ὀλυμπιάσιν ἐμνήσθη. λέγει γὰρ ὅτι τῶι δ[ευτέρωι] ἔτει τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος ἐγένετο ἡλίου ἔκλειψις μεγίστη τῶν οὐκ ἐγνωσμένων πρότερον, καὶ νὺξ ὥραι ἕκτηι τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῶι φανῆναι. ὅτι δὲ τῆς ἐν τῶι σταυρῶι τοῦ δεσπότου Χριστοῦ γενομένης τοῦ ἡλίου ἐκλείψεως καὶ οὐχ ἑτέρας ἐμνήσθη καὶ Φλέγων, πρῶτον μὲν ἐκ τοῦ λέγειν μὴ ἐγνῶσθαι τὴν τοιαύτην ἔκλειψιν τοῖς πρότερον χρόνοις ἐστὶ δῆλον ..... καὶ ἀπ' αὐτῆς δὲ τῆς περὶ Τιβερίου Καίσαρος ἱστορίας δείκνυται. βασιλεύειν μὲν γὰρ* a. 14/15
*αὐτόν φησιν ὁ Φλέγων τῶι δευτέρωι ἔτει τῆς ἑκατοστῆς ἐνενηκοστῆς* ⟨*ὀγδόης*⟩ *ὀλυμπιάδος, τὴν δὲ ἔκλειψιν γεγονέναι ἐν τῶι τετάρτωι ἔτει τῆς διακοσιοστῆς δευτέρας ὀλυμπιάδος .....* d) ORIGEN. c. Cels. II 33 (II 59): *περὶ δὲ τῆς ἐπὶ Τιβερίου Καίσαρος ἐκλείψεως, οὗ βασιλεύοντος καὶ ὁ Ἰησοῦς ἔοικεν ἐσταυρῶσθαι, καὶ περὶ τῶν μεγάλων τότε γενομένων σεισμῶν τῆς γῆς ἀνέγραψε καὶ Φλέγων ἐν τῶι τρισκαιδεκάτωι ἢ τῶι τεσσαρεσκαιδεκάτωι οἶμαι τῶν Χρονικῶν.* e) — — II 14: *Φλέγων μέντοι ἐν τρισκαιδεκάτωι ἢ τεσσαρεσκαιδεκάτωι οἶμαι τῶν Χρονικῶν καὶ τὴν περί τινων μελλόντων πρόγνωσιν ἔδωκε τῶι Χριστῶι, συγχυθεὶς ἐν τοῖς περὶ Πέτρου ὡς περὶ τοῦ Ἰησοῦ, καὶ ἐμαρτύρησεν ὅτι κατὰ τὰ εἰρημένα ὑπ' αὐτοῦ τὰ λεγόμενα ἀπήντησε.*

2 ol. 202 Hier B 202, 3 Hier 202, 4 Arm 8 *Phlegeon der über die olympiaden als solche an und für sich im dreizehnten erörtert* Arm Φλέγων ὁ τὰς ὀλυμπιάδας Synk Φλέγων ὁ Ἀθηναῖος Mal 9 *quarto*: τῶι ὀκτωκαιδεκάτωι ἔτει τῆς βασιλείας *Tiberiou Kaisaros* Mal 10 CCII: *der zweihundert und dritten* Arm 13 *Nikaics* Synk Chron Pasch *Nikia* Arm 16 ὄηλον Goar *δηλῶν* Synk 18 ὁ Nauck *δευτέρωι* Phil

*IĒ*

17 (20) CONSTANT. PORPH. De them. II 12: *μαρτυρεῖ δὲ καὶ* a. 123/4
*Φλέγων ἐν Ὀλυμπιάδων πεντεκαιδεκάτῃ, ὅτι ἐβασιλεύετο ὁ Βόσπορος Κότυι τῶι Βοσποριανῶι βασιλεῖ, ὧι καὶ διάθημα ἐκέλευσε φορεῖν ὁ Καῖσαρ, καὶ τὰς πόλεις αὐτῶι καθυπέταξεν, ἐν αἷς συναριθμεῖ καὶ αὐτὴν Χερσῶνα.*

18 (16) STEPH. BYZ. s. *Νεοκαισάρεια· Ποντικὴ πόλις. τὸ ἐθνικὸν* a. 128
*Νεοκαισαρεύς, ὡς Φλέγων ιε Ὀλυμπιάδων. οἱ αὐτοὶ καὶ Ἀδριανοπολῖται.*

19 (21) — s. *Ὀλυμπιεῖον· τόπος ἐν † Δήλωι, ὃν κτίσαντες Ἀθη-* a. 134?
*ναῖοι χρήμασιν Ἀδριανοῦ Νέας Ἀθήνας Ἀδριανὰς ἐκάλεσαν, ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε.*

20 (17) — s. *Σκορδίσκοι καὶ Σκίρτιοι· ἔθνη Παιονίας, ὡς Φλέγων* a. 119?
*ἐν Ὀλυμπιάδων ιε.*

21 (18) — s. *Τερβητία· πόλις Σικελίας. οἱ πολῖται Τερβητῖνοι* a. 126?
*.... Φλέγων ἐν Ὀλυμπιάδων ιε.*

22 (19) — s. *Φουρνίτα· πόλις Λιβύης. οἱ οἰκήτορες Φουρνιτανοί.* a. 121/3?
*Φλέγων ιε τῶν Ὀλυμπιάδων.*

## OHNE BUCHZAHL ODER BUCHTITEL.

23 (—) ET. M. p. 18, 54: *Ἀδρίας· τὸ πέλαγος. Διονύσιος Σικελίας τύραννος, † ὃς πρότερον ἐπὶ τῆι * ὀλυμπιάδι πόλιν ἔκτισεν Ἀδρίαν ἐν τῶι Ἰονίωι κόλπωι, ἀφ' ἧς καὶ τὸ πέλαγος Ἀδρίας καλεῖται. Εὔδοξος δὲ ἐν τῶι Θ τῶν Ἱστοριῶν* (79 F 1) *τὸ πέλαγος καὶ τὴν πόλιν ὀνομασθῆναι Ἀδρίαν φησὶν ἀπὸ Ἀδρίου τοῦ Μισσαπίου τοῦ Παύσωνος. Φλέγων ἐν Ὀλυμπιάσιν. οὕτως Ὡρίων.*

24 (28) a) EUAGR. HE I 20: *εἰ δέ τῳ περισπούδαστον ταύτας εἰδέναι* (sc. die griechischen kolonien in Antiocheia am Orontes), *ἱστόρηται περιέργως Στράβωνι τῶι γεωγράφωι* (XVI 2, 5) *Φλέγοντί τε καὶ Διοδώρωι τῶι ἐκ Σικελίας* (XXI 1, 6), *Ἀρριανῶι τε αὖ καὶ Πεισάνδρωι τῶι ποιητῆι, καὶ πρός γε Οὐλπιανῶι Λιβανίωι τε καὶ Ἰουλιανῶι τοῖς παναρίστοις σοφισταῖς.* b) (—) HIERON. Quaest. Hebr. i. Gen. 10, 2 p. 15, 10 Lagarde: *legamus Varronis De antiquitatibus libros et Sinnii Capitonis et Graecum Phlegonta ceterosque eruditissimos viros: et videbimus omnes paene insulas et totius orbis litora terrasque mari vicinas Graecis accolis occupatas, qui, ut supra* (p. 14, 6) *diximus, ab Amano et Tauro montibus omnia maritima loca usque ad oceanum possedere Britannicum.*

---

8 ὀλυμπιάδι Con 7 Ὀλυμπιάδων Meineke —δος Steph 8 ὀλυμπίειον VP Δήλωι: 'immo Ἀθήναις' Dorville 'die Phlegonliste nannte mehr als ein Olympieion' Weber ἐν Ἰλισσῶι? Jac 11 σκίρτιοι R σκιτίοι P σκερτίοι V 12 ὀλυμπιάδι VP 16 τῶν om VP 19 [δς] πρότερον o. ὁ πρότερος? ⟨ϛῃ⟩ ὀλ. Ritschl 20 ἑννάτωι Va ἕνα τῶν D ἐν ᾱ τῶν Ritschl 21 φησιν om VaD 22 Αὔσωνος Holste ἐν ὀλυμπίαι VaD

25 (—) PROKOP. GAZ. Comm. i. Gen. (Class. Auct. VI 297 Mai): beim babylonischen turmbau *καὶ ἀσφάλτωι χρήσασθαι ὡς μᾶλλον ἀντέχειν δυναμένηι πρὸς ὕδωρ — ἐγίνετο δὲ περί τι μέρος τοῦ Εὐφράτου, ὡς ἱστοροῦσι Φλέγων τε καὶ Ἡρόδοτος* (I 179).

26 (22) STEPH. BYZ. s. *Ἔλβονθις· πόλις μεταξὺ Λιγύπτου καὶ Κυρήνης. τὸ ἐθνικὸν Ἐλβονθίτης, ὡς Φλέγων.*

27 (23) — s. *Μαιανδρούπολις· Μαγνησίας πόλις, ὡς Φλέγων ἐν Ὀλυμπιάσι. τὸ ἐθνικὸν Μαιανδρουπολίτης.*

28 (24) — s. *Μοτιηνή· χωρίον Ἰβηρίας. ⟨Μοτίνη· πόλις Ἰταλίας⟩, ἄποικος Ῥωμαίων· Πολύβιος γ̄* (40, 8). *Φλέγων δὲ Μουτίνην αὐτήν φησι.*

29 (25) — s. *Πικεντία· πόλις Τυρρηνίας. Φλέγων δὲ Πίκεντον αὐτὴν καλεῖ.*

30 (6) — s. *Σινώπη· πόλις διαφανεστάτη τοῦ Πόντου, κτίσμα* (631/0 v.) *Κρητί⟨ν⟩ου ⟨καὶ⟩ Κώιου (?), ὥς φησι Φλέγων.*

31 (26) — s. *Τέρινα· πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος, κτίσμα Κροτωνιατῶν, ὡς Φλέγων.*

32 (27) — s. *Ὥστία· ..... Φλέγων δὲ Ὡστίους αὐτοὺς καλεῖ* a. 87 *λέγων «παρέλαβε δὲ τὴν Ὡστίων πόλιν».*

33 (—) SUID. s. *θαλῆς· .... γεγονὼς πρὸ Κροίσου, ἐπὶ τῆς λϑ̄* (a. 752/48) *ὀλυμπιάδος* (624/20), *κατὰ δὲ Φλέγοντα γνωριζόμενος ἤδη ἐπὶ τῆς ξ̄.*

34 (—) — s. *Φλέγων· ..... τούτου τοῦ Φλέγοντος,* †*ὡς φησι* (s. 70 p.) *Φιλοστόργιος* (HE I 1 p. 5, 23 Bidez), †*ὅσον τὰ κατὰ τοὺς Ἰουδαίους συμπεσόντα διὰ πλείονος ἐπεξελθεῖν τοῦ πλάτους, Φλέγοντος καὶ Δίωνος βραχέως ἐπιμνησθέντων καὶ παρενθήκην αὐτὰ τοῦ οἰκείου λόγου ποιησαμένων. ἐπεὶ τῶν γε εἰς εὐσέβειαν καὶ τὴν ἄλλην ἀρετὴν ἑλκόντων οὐδ' ὁτιοῦν οὐδ' οὗτος δείκνυται πεφροντικώς, ὥνπερ οὐδ' ἐκεῖνοι τρόπον. τοὐναντίον μὲν οὖν ὁ Ἰώσηπος καὶ δεδοικότι ἔοικε καὶ εὐλαβουμένωι, ὡς μὴ προσκρούσειεν Ἕλλησι.*

## *ΟΛΥΜΠΙΟΝΙΚΩΝ ΕΠΙΤΟΜΗ Α̅—Β̅.*

(T 1).

## *ΕΚΦΡΑΣΙΣ ΣΙΚΕΛΙΑΣ.*

(T 1).

---

8 Ὀλυμπίασι Xylander ὀλύμπωι Steph μαιανδροπολίτης R 9 μοτιηνοὶ P ⟨Μοτίνη· π. Ἰ.⟩ Meineke 10 ἄποικος R —κον VP ἀποικίαν Pol Μουτίνην Meineke μοτινὴν R μουτιηνὴν V μουτιηνόν P 11 Πικεντὸν Meineke 14 Κρητίνου ⟨καὶ⟩ Raoul-Rochette Meineke κριτίου κώιου Steph Κριτίου ἀνδρὸς Κώιου Eust. Dion. Per. 772 16 ὡς Φλέγων om V 18 παρέλαβε: sc. Marius 19 λϑ̄ Diels λε̄ Suid (244 F 28) 21—22 ⟨περὶ⟩ τούτου τ. Φ. [ὡς] Φιλ. φησιν, Ἰουδαίοις (ο. Ἰώσηπον Valesius) Kuester τούτου τ. Φ. ⟨μνημονεύων⟩ φ. Φιλ. Bernhardy

*ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΡΩΜΑΙΟΙΣ ΕΟΡΤΩΝ Ᾱ—Γ̄.*
(T 1; F 40).

---

*ΠΕΡΙ ΤΩΝ ΕΝ ΡΩΜΗΙ ΤΟΠΩΝ ΚΑΙ ΩΝ ΕΠΙΚΕΚΛΗΝΤΑΙ ΟΝΟΜΑΤΩΝ.*
(T 1).

---

*ΒΙΟΣ ΑΔΡΙΑΝΟΥ* (?).
(T 5).

35 (65) Script. Hist. Aug. XXIX 7, 4: *sunt enim Aegyptii, ut satis nosti, †venti ventosi furibundi iactantes iniuriosi atque adeo vani liberi novarum rerum usque ad cantilenas publicas cupientes, versificatores epigrammatarii mathematici haruspices medici.* (5) *nam ⟨in⟩ eis Cristiani Samaritae et quibus praesentia semper tempora cum enormi libertate displiceant.* (6) *ac ne quis mihi Aegyptiorum irascatur et meum esse credat, quod in litteras rettuli, Hadriani epistolam promam ex libris Flegontis liberti eius proditam, ex qua penitus Aegyptiorum vita detegatur.*

(8) *'Hadrianus Augustus Serviano consuli* (a. 134) *salutem. Aegyptum quam mihi laudabas, Serviane carissime, totam didici levem pendulam et ad omnia famae momenta volitantem.* (2) *illic qui Serapem colunt, Cristiani sunt; et devoti sunt Serapi, qui se Cristi episcopos dicunt.* (3) *nemo illic archisynagogus Iudaeorum, nemo Samarites, nemo Cristianorum presbyter non mathematicus, non haruspex, non aliptes.* (4) *ipse ille patriarcha cum Aegyptum venerit, ab aliis Serapidem adorare, ab aliis cogitur Christum.* (5) *genus hominum seditiosissimum vanissimum iniuriosissimum, civitas opulenta dives fecunda, in qua nemo vivat otiosus.* (6) *alii vitrum conflant, aliis carta conficitur, omnes certe linifiones ⟨aut⟩ cuiuscumque artis et ⟨professionis⟩ videntur; et habent podagrosi quod agant, habent ⟨prae⟩cisi quod agant, habent caeci quod faciant, ne chiragrici quidem apud eos otiosi vivunt.* (7) *unus illis deus nummus est: hunc Christiani, hunc Iudaei, hunc omnes venerantur et gentes. et utinam melius esset morata civitas, digna profecta quae pro sui fecunditate, quae pro sui magnitudine totius Aegypti teneat principatum.* (8) *huic ego cuncta concessi, vetera privilegia reddidi, nova sic addidi ut praesenti gratias agerent, denique ut primum inde discessi, et in filium meum Verum multa dixerunt, et de Antinoo quae dixerint comperisse te credo.* (9) *nihil illis opto, nisi ut suis pullis alantur, quos quem ad modum fecundant pudet dicere.* (10) *calices tibi allasontes [versicoloris] trans-*

---

8 *venti* P *viri* Σ ⟨*in*⟩*venti* Hohl [*venti*] Eyss(enhardt) *adeo vani* edd *adeo vasi* P *avidi* Σ *adeo vafri* Baehrens 10 ⟨*in*⟩ *eis* Petsch(enig) *nam sunt Chr.* 17 *illic* Casaubonus *illa* P *illi* Σ *illac* Petsch 20 *aliptas* P 21 *ab aliis* P$^b$ *ab illis* P$^a$ 23 *cartha* P 24 ⟨*aut*⟩ — ⟨*professionis*⟩ Helm 25 *habent praecisi* — *faciant* Hohl *habent cęsi qđ agant habent cęci quod faciant* P 26 *nummus* Vossius *nullus* P om Σ 27 *hunc divites venerantur et egentes* Cornelissen 28 *fecunditate* Σ *funditate* P 29 *teneat* edd *teneant* P 30 *praesenti* ⟨*tamquam deo*⟩? Jac 31 *Antinoo* Casaubonus *antonino* PΣ 33 *allassontas*? Jac [*versicoloris*] Lessing *diversi coloris* Σ *id est versicolores* Salmasius

*misi, quos mihi sacerdos templi obtulit, tibi et sorori meae specialiter dedicatos, quos tu velim festis diebus conviviis adhibeas. caveas tamen, ne his Africanus noster indulgenter utatur.'*

## *ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ ΚΑΙ ΜΑΚΡΟΒΙΩΝ.*

(T 1).

**36** (30—64) COD. PALAT. GR. 398 p. 216 r lin. 1: (I) * * *εως τὸν* 35a—36 *ξενῶνα προσπορεύεται ταῖς θύραις, καὶ καιομένου τοῦ λύχνου καθημένην* ⟨*ε*⟩*ἰδεν τὴν ἄνθρωπον παρὰ τῶι Μαχάτηι. οὐκ ἔτι δὲ καρτερήσασα πλείονα χρόνον διὰ τὸ θαυμαστὸν τῆς φαντασίας τρέχει πρὸς τὴν μητέρα, καὶ βοήσασα μεγάληι τῆι φωνῆι 'Χαριτοῖ' καὶ 'Δημόστρατε', ὥιετο δεῖν ἀναστάντας ἐπὶ τὴν θυγατέρα αὐτοὺς μετ' αὐτῆς πορεύεσθαι· πεφηνέναι γὰρ ζῶσαν εἶναί τε μετὰ τοῦ ξένου διά τινα θείαν βούλησιν ἐν τῶι ξενῶνι. (2) τῆς δὲ Χαριτοῦς παράδοξον λόγον ἀκουούσης συνέβη τὴν ψυχὴν τὸ μὲν πρῶτον ἐκπλαγῆ γενομένην ἐκλυθῆναι διὰ τὸ μέγεθος τῆς ἀγγελίας καὶ διὰ τὴν ταραχὴν τῆς τροφοῦ, μετὰ μικρὸν δὲ μνησθεῖσαν τῆς θυγατρὸς κλαίειν, τὰ δὲ ἔσχατα καταγνῶναι τῆς πρεσβύτιδος μανίαν κελεύειν τε ἀπαλλάττεσθαι ἀπ' αὐτῆς ταχέως. (3) ὀνειδιζούσης δὲ τῆς τροφοῦ καὶ λεγούσης μετὰ παρρησίας, ὡς* ⟨*αὐτὴ*⟩ *μὲν φρονεῖ τε καὶ ὑγιής ἐστιν, ἡ δὲ δι' ὄκνον οὐ βούλοιτο τὴν ἰδίαν θυγατέρα ἰδεῖν, μόλις ἡ Χαριτὼ τὰ μὲν βιασθεῖσα ὑπὸ τῆς τροφοῦ, τὰ δὲ εἰδῆσαι βουλομένη τὸ συμβεβηκὸς παραγίνεται πρὸς τὰς θύρας τῆς ξενῶνος· διὰ* ⟨*δὲ*⟩ *τὸ γεγονέναι πλείονα χρόνον, ὡς ἂν δευτέρας † ἀγγελίας συντε*⟨*τε*⟩*λεσμένης, ὀψέ ποτε ἦκεν ἡ Χαριτώ. διὸ συνέβαινεν ἐκείνους μὲν ἤδη ἀναπαύεσθαι. παρακύψασα δ' οὖν ἡ μήτηρ τὰ μὲν ἱμάτια καὶ τὸν τύπον τῆς ὄψεως ἐνόμιζεν ἐπιγινώσκειν, τὴν δὲ ἀλήθειαν ἐξετάσαι κατ' οὐδένα τρόπον δυναμένη, τὴν ἡσυχίαν ὥιετο δεῖν ἔχειν· πρωὶ γὰρ ἤλπιζεν ἀναστᾶσα καταλήψεσθαι τὴν ἄνθρωπον. ἐὰν δὲ ὑστερήσηι, διερωτήσειν τὸν Μαχάτην περὶ πάντων· οὐ γὰρ ἄν ποτε ψεύσασθαι τηλικαύτην πρᾶξιν ἐρωτώμενον αὐτόν. διόπερ σιωπήσασα ἀπῆλθεν. (4) ὄρθρου δὲ γενομένου τὴν μὲν εἴτε διὰ θείαν βούλησιν εἴτε κατ' αὐτοματισμὸν λαθοῦσαν ἀπελθεῖν συνέβη, τὴν δὲ παραγενομένην διὰ τὴν ἀπόλυσιν δυσφορεῖν [τῶι νεανίσκωι], καὶ τῶι ξένωι πάντα ἐξ ἀρχῆς ἐξηγησαμένην ἀξιοῦν περὶ τὰ γόνατα περιπλεκομένην τοῦ Μαχάτου τὴν ἀλήθειαν εἰπεῖν μηδὲν ἀποκρυψάμενον. ὁ δὲ νεανίσκος ἀγωνιάσας τὴν*

---

4 s. subscr. p. 1191, 7 6 * *: s. Proklos in Plat. Resp. II 116 Kroll (komm.) 8 *εἰδεν* Ke(ller) *ἰδεν* P 18 ⟨*αὐτὴ*⟩ Nauck *ἡ δὲ* Meursius *εἰ δὲ* P 21 ⟨*δὲ*⟩ Leopardi 22 [*ὡς — συντ.*] He(rcher) *ὡς ἂν δευτέρας* ⟨*ὥρας ἀπὸ τῆς*⟩ *ἀ. συντ.* C Mueller Ke *συντετελεσμένης* edd 28 *παρακύψασα* Hercher *ἀνα—* P 25 *τὴν* P *τῆι* ν⟨*υκτὶ*⟩ Nauck *τέως* o. *τέως τὴν* Brinkmann Rh. M. 64, 479 31 [*τῶι ν.*] o. (*ἐπὶ*) *τ. ν.* Jac *τῶι ν. δὲ τῶι ξένωι* Franz *τῶι ν.*, *καὶ* [*τῶι ξένωι*] *π. ἐξ d. ἐξηγησάμενον ἀξιοῦν* [*περὶ — Μαχάτου*] He 34 *ἀποκρυψάμενον* W Mueller *—ένην* P

ἀρχὴν μὲν διεταράχθη, μόλις δέ ποτε τὸ ὄνομα διεσάφησεν, ὅτι Φιλίννιον εἴη· καὶ τὴν ἀρχὴν διηγήσατο τῆς εἰσόδου καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλωσεν ὅση, καὶ ὅτι λάθραι τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτόν, τά τε ὑπολελειμμένα ὑπὸ τῆς ἀνθρώπου, βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστόν, ἀνοίξας τὸν ῥίσκον ἐξαιρεῖ τόν τε δακτύλιον τὸν χρυσοῦν, ὃν ἔλαβεν παρ' αὐτῆς, καὶ τὴν στηθοδεσμίδα, ἣν ἀπολελοίπει τῇι πρότερον νυκτί. (5) ὡς δὲ εἶδεν ἡ Χαριτὼ τηλικαῦτα σημεῖα ἀναβοᾶι, καὶ διαρρήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον ἀπό τε τῆς κεφαλῆς ῥίψασα τὸν κεκρύφαλον πεσοῦσά τε εἰς τὴν γῆν καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν, ἐξ ἀρχῆς ἐποίει τὸ πένθος. θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον καὶ πάντας ὄντας ὑπερπαθεῖς καὶ θρηνοῦντας ὡσανεὶ νῦν μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο καὶ παρεκάλει δεόμενος παύσασθαι, ἐπαγγελλόμενος ἐὰν παραγένηται δείξειν αὐτήν. ἡ δὲ πεισθεῖσα καὶ ἐντειλαμένη αὐτῶι φροντίσαι μὴ παρέργως τῶν ἐπηγγελμένων ἀπελύθη πρὸς αὐτήν. (6) νυκτὸς δὲ ἐπιγενομένης καὶ τῆς ὥρας οὔσης καθ' ἣν ἡ Φιλίννιον εἰώθει παραγίνεσθαι πρὸς αὐτόν, οἱ μὲν προσειήρουν εἰδῆσαι θέλοντες τὴν ἄφιξιν, ἡ δὲ ἦκεν. εἰσελθούσης δὲ κατὰ τὸν εἰθισμένον καιρὸν καὶ καθεζομένης ἐπὶ τὴν κλίνην, οὐδὲν προσποιηθεὶς ὁ Μαχάτης, ἐξετάσαι δὲ τὸ πρᾶγμα βουλομενος, τὸ πλέον οὐ πιστεύων, εἰ νεκραῖ πλησιάζοι, οὕτως ἐπιμελῶς παραγιγνομένης κατὰ τὸν αὐτὸν καιρόν, ἔτι δὲ δειπνούσης μετ' αὐτοῦ καὶ συμπινούσης, ἀπίστως εἶχεν οἷς ἐκεῖνοι προήγγειλαν, ὥιετο δὲ νεκρορύκτας τινὰς διωρυχέναι τὸν τάφον καὶ πεπρακέναι τὰ ἱμάτια καὶ τὰ χρυσία τῶι πατρὶ τῆς ἀνθρώπου. βουλόμενος οὖν τὴν ἀκρίβειαν εἰδῆσαι πέμπει τοὺς παῖδας λάθραι καλοῦντας αὐτούς. (7) ταχέως δὲ παραγενομένων τοῦ τε Δημοστράτου καὶ τῆς Χαριτοῦς ἰδόντων τε αὐτὴν καὶ γενομένων τὸ μὲν πρῶτον ἀφώνων τε καὶ ἐκπλαγῶν διὰ τὸ παράδοξον τῆς ὄψεως, ὕστερον δὲ ἀναβοησάντων μέγα καὶ περιπεσόντων τῆι θυγατρί, τότε ἡ Φιλίννιον τοσαῦτ' εἶπεν αὐτοῖς· 'ὦ μῆτερ καὶ πάτερ, ὡς ἀδίκως ἐφθονήσατέ μοι μετὰ τοῦ ξένου ἐπὶ τρεῖς ἡμέρας γενέσθαι ἐν τῆι πατρώιαι οἰκίαι λυποῦσαν οὐδέν⟨α⟩. τοιγαροῦν ὑμεῖς μὲν πενθήσετε ἐξ ἀρχῆς διὰ τὴν πολυπραγμοσύνην, ἐγὼ δὲ ἄπειμι πάλιν εἰς τὸν διατεταγμένον τόπον· οὐ γὰρ ἄνευ θείας βουλήσεως ἦλθον εἰς ταῦτα'. (8) τοσαῦτα εἰποῦσα παρὰ χρῆμα ἐγένετο νεκρά, ἐξετέτατό τε ἐπὶ τῆς κλίνης ἐμφανὲς τὸ σῶμα. τῆς δὲ μητρὸς περιχυθείσης καὶ τοῦ πατρὸς περὶ αὐτὴν καὶ θορύβου πολλοῦ καὶ θρήνου κατὰ τὴν οἰκίαν γενομένου διὰ τὸ πάθος, ὡς ἀνηκέστου γεγονότος συμπτώματος ἅμα τε ἀπίστου θεάματος, ταχέως

3 ὅση, καὶ He ὡς ἦκει P ὡς εἶχεν Leopardi 4 ἀπολελειμμένα He
10 ἐποίει τὸ C Mueller ἐποιεῖτο P 16 παρετήρουν He 20 παραγιγνομένης Jac
—ηι P 22 διορωρυχέναι Ke 30 οὐδέν⟨α⟩ Nauck 32 εἰς ταῦτα: ἐνταῦθα
Leopardi 31 [περὶ αὐτὴν] He 36 συμπτώματος — θεάματος Nauck θ. — σ. P

ἐγένετο διὰ πόλεως τὸ πρᾶγμα περιβόητον καί μοι προσηγγέλθη. (9) τὴν μὲν οὖν νύκτα ἐκείνην διακατέσχον ἐγὼ τοὺς ὄχλους ἀθροιζομένους ἐπὶ τὴν οἰκίαν, εὐλαβηθεὶς μήτις εἴη νεωτερισμὸς διαδεδομένης τοιαύτης φήμης. ὄρθρου δὲ βαθέος πλῆρες ἦν τὸ θέατρον. ῥηθέντων δὲ πάντων τῶν κατὰ μέρος ἔδοξεν πρῶτον εἰσελθεῖν ἐπὶ τὸν τάφον ἡμᾶς καὶ ἀνοίξαντας εἰδῆσαι, πότερον εἴη τὸ σῶμα ἐπὶ τῆς κλίνης ἢ κενὸν ⟨τὸν⟩ τόπον εὑρήσομεν· οὐδὲ γὰρ ἐξάμηνος ⟨ἐπ⟩εγεγόνει τῶι θανάτωι τῆς ἀνθρώπου. ἀνοιχθείσης δὲ ὑφ' ἡμῶν τῆς καμάρας, εἰς ἣν πάντες οἱ οἰκεῖοι μεταλλάσσοντες ἐτίθεντο, ἐπὶ μὲν τῶν ἄλλων κλινῶν ἐφάνη τὰ σώματα κείμενα, τῶν δὲ παλαίτερον τετελευτηκότων τὰ ὀστᾶ, ἐπὶ μόνης δὲ ἧς ἡ Φιλίννιον ἐτέθη καὶ συνέβη ταφῆναι εὕρομεν ἐπικείμενον τὸν δακτύλιον τὸν σιδηροῦν, ὃς ἦν τοῦ ξένου, καὶ τὸ χρυσόκλυστον ποτήριον, ὅπερ ἔλαβε παρὰ τοῦ Μαχάτου τῆι πρώιτηι τῶν ἡμερῶν. (10) θαυμάσαντες δὲ καὶ ἐκπλαγέντες εὐθέως παρεγενόμεθα πρὸς τὸν Δημόστρατον εἰς τὸν ξενῶνα ὀψόμενοι τὴν νεκράν, εἰ κατ' ἀλήθειαν ἐμφανὴς ἐστιν. ἰδόντες δὲ χαμαὶ κειμένην εἰς τὴν ἐκκλησίαν ἠθροιζόμεθα· τὰ γὰρ γεγονότα μεγάλα τε ἦν καὶ ἄπιστα. (11) θορύβου δὲ ὄντος νεανικοῦ κατὰ τὴν ἐκκλησίαν καὶ σχεδὸν οὐδενὸς δυναμένου κρῖναι τὰ πράγματα, πρῶτος Ἴλλος, ὁ νομιζόμενος παρ' ἡμῖν οὐ μόνον μάντις ἄριστος ἀλλὰ καὶ οἰωνοσκόπος κομψὸς εἶναι, τά τε ἄλλα συνεωρακὼς ἐν τῆι τέχνηι περιττῶς, ἀναστὰς ἐκέλευεν τὴν μὲν ἄνθρωπον κατακλείειν ἐκτὸς ὁρίων· οὐ γὰρ συμφέρειν ἔτι ταύτην ἐντὸς ὁρίων τεθῆναι εἰς γῆν, ἀποτροπιάσασθαι δὲ Ἑρμῆν Χθόνιον καὶ Εὐμενίδας, εἶτα οὕτω περικαθαίρεσθαι πάντας, ἁγίσαι δὲ καὶ τὰ ἱερὰ καὶ ὅσα θεοῖς χθονίοις νομίζεται ποιῆσαι συνέτασσεν. ἐμοί τε ἰδίαι εἶπεν περὶ τοῦ βασιλέως καὶ τῶν πραγμάτων θύειν τε Ἑρμῆι Διί τε Ξενίωι καὶ Ἄρει καὶ συντελεῖν ταῦτα μὴ παρέργως. (12) ταῦτα δὲ ἀποφηναμένου τούτου τὸ μὲν συνταχθὲν ἡμεῖς ἐπράττομεν, ὁ δὲ ξένος ὁ Μαχάτης, πρὸς ὃν παρεγένετο τὸ φάσμα, ὑπ' ἀθυμίας ἑαυτὸν ἐξήγαγεν τοῦ ζῆν. ἐὰν οὖν σοι φαίνηται περὶ τούτων γράφειν τῶι βασιλεῖ, ἐπίστειλον κἀμοί, ἵνα καὶ τῶν σωμάτων τινὰ τῶν ἱστορούντων τὰ κατὰ μέρος ἐξαποστείλω σοι. ἔρρωσο.

(II) Ἱστορεῖ δὲ καὶ Ἱέρων ὁ Ἀλεξανδρεὺς ἢ Ἐφέσιος (IV) καὶ ἐν vor 301?
Αἰτωλίαι φάσμα γενέσθαι. Πολύκριτος γάρ τις τῶν πολιτῶν ἐχειροτονήθη ὑπὸ τοῦ δήμου Αἰτωλάρχης, ἐπὶ τρία ἔτη τῶν πολιτῶν αὐτὸν ἀξιωσάντων διὰ τὴν ὑπάρχουσαν ἐκ προγόνων καλοκαγαθίαν. ὢν δὲ ἐν τῆι ἀρχῆι ταύτηι ἄγεται γυναῖκα Λοκρίδα, καὶ συγκοιμηθεὶς τρισὶν νυξὶ τῆι τετάρτηι

1 προσηγγέλθη He προσηγγέλη P s. Mayser Gramm. d. griech. Papyri 381 4 βαθέος in rasur aus βαθέως P 6 ⟨τὸν⟩ He 7 ⟨ἐπ⟩εγεγόνει Nauck 8—9 μεταλλάξαντες Nauck He 12 ὅπερ He ἅπερ P 17 νεανικοῦ: Πανικοῦ Maass 18 ὁ νομιζόμενος Bast ὀνομαζόμενος P 20 κατακλείειν P (Maass Rh. M. 77, 7, 1) κατακαίειν Hemsterhuys (cf. p. 1172, 10) 26 τούτου: αὐτοῦ He 27 παρεγένετο Nauck —ίνετο P 33 αὐτὸν edd αὐτῶν P

τὸν βίον ἐξέλιπεν. ἡ δὲ ἄνθρωπος ἔμενεν ἐν τῇι οἰκίαι χηρεύουσα. ἡνίκα δὲ ὁ τοκετὸς ἤπειγεν, τίκτει παιδίον αἰδοῖα ἔχον δύο, ἀνδρεῖόν τε καὶ γυναικεῖον, καὶ τὴν φύσιν θαυμαστῶς διηλλαγμένον· τὰ μὲν ⟨γὰρ⟩ ἄνω τοῦ αἰδοίου σκληρά τε καὶ ἀνδρώδη ἦν, τὰ δὲ περὶ τοὺς μηροὺς γυναικεῖα καὶ ἁπαλώτερα. (2) ἐφ' ὧι καταπλαγέντες οἱ συγγενεῖς ἀπήνεγκαν εἰς τὴν ἀγορὰν τὸ παιδίον καὶ συναγαγόντες ἐκκλησίαν ἐβουλεύοντο περὶ αὐτοῦ, θύτας τε καὶ τερατοσκόπους συγκαλέσαντες. τῶν δὲ οἱ μὲν ἀπεφήναντο διάστασίν τινα τῶν Αἰτωλῶν καὶ Λοκρῶν ἔσεσθαι (κεχωρίσθαι γὰρ ἀπὸ μητρὸς οὔσης Λοκρίδος καὶ πατρὸς Αἰτωλοῦ), οἱ δὲ δεῖν ὤιοντο τὸ παιδίον καὶ τὴν μητέρα ἀπενεγκόντας εἰς τὴν ὑπερορίαν κατακαῦσαι. (3) ταῦτα δὲ αὐτῶν βουλ⟨ευ⟩ομένων ἐξαίφνης φαίνεται ὁ Πολύκριτος ὁ προτεθνηκὼς ἐν τῇι ἐκκλησίαι πλησίον τοῦ τέκνου ἔχων ἐσθῆτα μέλαιναν. τῶν δὲ πολιτῶν καταπλαγέντων ἐπὶ τῇι φαντασίαι καὶ πολλῶν εἰς φυγὴν τραπομένων παρεκάλεσε τοὺς πολίτας θαρρεῖν καὶ μὴ ταράττεσθαι ἐπὶ τῶι γεγονότι φάσματι. ἐπεὶ δὲ ἔληξε τὸ πλέον τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἐφθέγξατο λεπτῆι τῆι φωνῆι τάδε· (4) 'ἐγώ, ἄνδρες πολῖται, τῶι μὲν σώματι τέθνηκα, τῆι δὲ εὐνοίαι καὶ τῆι χάριτι ⟨τῆι⟩ πρὸς ὑμᾶς ζῶ. καὶ νῦν πάρειμι πρὸς ὑμᾶς ⟨παραιτησάμενος⟩ τοὺς κυριεύοντας τῶν κατὰ γῆν ἐπὶ τῶι συμφέροντι τῶι ὑμετέρωι. παρακαλῶ τοίνυν ὑμᾶς, πολίτας ὄντας ἐμοῦ, τοῦ μὴ ταράττεσθαι μηδὲ δυσχεραίνειν ἐπὶ τῶι παραδόξωι γεγονότι φάσματι. δέομαι δὲ ὑμῶν ἁπάντων, κατευχόμενος πρὸς τῆς ἑκάστου σωτηρίας, ἀποδοῦναί μοι τὸ παιδίον τὸ ἐξ ἐμοῦ γεγεννημένον, ὅπως μηδὲν βίαιον γένηται ἄλλο τι βουλευσαμένων ὑμῶν μηδ' ἀρχὴ πραγμάτων δυσχερῶν καὶ χαλεπῶν διὰ τὴν πρὸς ἐμὲ φιλονεικίαν ὑμῖν γένηται. οὐ γὰρ ἐνδέχεταί μοι περιιδεῖν κατακαυθὲν τὸ παιδίον ὑφ' ὑμῶν διὰ τὴν τῶν ἐξαγγελλόντων ὑμῖν μάντεων ἀποπληξίαν. συγγνώμην μὲν οὖν ὑμῖν ἔχω, ὅτι τοιαύτην ὄψιν ἀπροσδόκητον ἑωρακότες ἀπορεῖτε πῶς ποτε τοῖς παροῦσι πράγμασιν ὀρθῶς χρήσεσθε. εἰ μὲν οὖν ἐμοὶ πεισθήσεσθε ἀδεῶς, τῶν παόντων φόβων καὶ τῶν ἐπερχομένων κακῶν ἔσεσθε ἀπηλλαγμένοι. εἰ δὲ ἄλλως πως τῆι γνώμηι προπεσεῖσθε, φοβοῦμαι περὶ ὑμῶν μήποτε εἰς ἀνηκέστους συμφορὰς ἀπειθοῦντες ἡμῖν ἐμπέσητε. ἐγὼ μὲν οὖν διὰ τὴν ὑπάρχουσαν εὔνοιαν ὅτ' ἔζων καὶ νῦν ἀπροσδοκήτως παρὼν προείρηκα τὸ συμφέρον ὑμῖν. ταῦτ' οὖν ὑμᾶς ἀξιῶ μὴ πλείω με χρόνον παρέλκειν, ἀλλὰ βουλευσαμένους ὀρθῶς καὶ πεισθέντας τοῖς εἰρημένοις ὑπ' ἐμοῦ δοῦναί μοι μετ' εὐφημίας τὸ παιδίον. οὐ γὰρ ἐνδέχεταί μοι πλείονα μηκύνειν χρόνον διὰ τοὺς κατὰ γῆν ὑπάρχοντας δεσπότας'. (5) ταῦτα δὲ εἰπὼν ἡσυχίαν ἔσχεν ἐπ' ὀλίγον, καραδοκῶν ποίαν ποτὲ ἐξοίσουσιν αὐτῶι

3 ⟨γὰρ⟩ Jac 4 σκληρὰ Nauck ὁλόκληρα P 11 βουλευομένων Meursius 17 ⟨τῆι⟩ Ke καὶ χάριτι τῆι Nauck 18 ⟨παραιτησάμενος⟩ We ⟨πείσας⟩ Leopardi 25 μοι He με P 30 προπεσεῖσθε He προσ— P

γνώμην περὶ τῶν ἀξιουμένων. τινὲς μὲν οὖν ὤοντο δεῖν ἀποδοῦναι τὸ παιδίον καὶ ἀφοσιώσασθαι τό τε φάσμα καὶ τὸν ἐπιστάντα δαίμονα, οἱ δὲ πλεῖστοι ἀντέλεγον, ἐπὶ σχολῆς δεῖν βουλεύσασθαι φάσκοντες, ὡς ὄντος μεγάλου τοῦ πράγματος καὶ οὐ τῆς τυχούσης αὐτοῖς ἀπορίας. (6) συνιδὼν δὲ αὐτοὺς οὐ προσέχοντας ἀλλ' ἐμποδίζοντας αὐτοῦ τὴν βούλησιν, ἐφθέγξατο αὖθις τάδε· 'ἀλλ' οὖν γε, ὦ ἄνδρες πολῖται, ἐὰν ὑμῖν συμβαίνῃ τι τῶν δυσχερεστέρων διὰ τὴν ἀβουλίαν, μὴ ἐμὲ αἰτιᾶσθε ἀλλὰ τὴν τύχην τὴν οὕτως ἐπὶ τὸ χεῖρον ὑμᾶς ποδηγοῦσαν, ἥτις ἐναντιουμένῃ κἀμοὶ παρανομεῖν ἀναγκάζει με εἰς τὸ ἴδιον τέκνον'. (7) τοῦ δὲ ὄχλου συνδραμόντος καὶ περὶ τὴν ἄρσιν τοῦ τέρατος ἔχοντος, ἐπιλαβόμενος τοῦ παιδίου καὶ τοὺς πλείστους αὐτῶν ἀνείρξας ἰταμώτερον διέσπασέ τε αὐτὸ καὶ ἤσθιε. κραυγῆς δὲ γενομένης καὶ λίθων ἐπ' αὐτὸν ἐκριπτομένων ὑπελάμβανον τροπὴν αὐτοῦ ποιήσασθαι. ὁ δὲ ἄπληκτος ὢν ὑπὸ τῶν λίθων τὸ σῶμα πᾶν τοῦ παιδίου κατανάλωσε πλὴν τῆς κεφαλῆς, καὶ αὐτίκα ἀφανὴς ἐγένετο. (8) δυσφορούντων δ' αὐτῶν ἐπὶ τοῖς γενομένοις καὶ ἐν ἀπορίαι καθεστηκότων οὐ τῇι τυχούσηι βουλομένων τε ἀποστεῖλαι εἰς Δελφούς, φθέγγεται ἡ κεφαλὴ τοῦ παιδίου ἐπὶ τοῦ ἐδάφους κειμένη καὶ λέγει χρησμῶι τὰ ἀποβησόμενα·

ὦ πολυύμνητον ναίων χθόνα λαὸς ἀπείρων,
μὴ στεῖχ' ἐς Φοίβου τέμενος ναόν τε θυώδη·
οὐ γάρ σοι καθαραὶ χέρες αἵματος αἰθέρ' ἔχουσιν,
ἀλλὰ μύσος προπάροιθε ποδῶν ἔντοσθε κελεύθου.
φράζεο δ' ἐξ ἐμέθεν, τρίποδος δ' ἀπόειπε κέλευθον·
μαντοσύνης πᾶσαν γὰρ ἐφετμήν σοι καταλέξω.
ἦματι γὰρ τούτωι περιτελλομένου ἐνιαυτοῦ
ὥρισται πᾶσιν θάνατος, ψυχαὶ δὲ βέονται
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῆισιν Ἀθήνης.
οὐδ' ἀναπαύλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν·
ἤδη γὰρ ψακάδες φόνιαι κατὰ κρᾶτα κέχυνται,
νὺξ δ' ἐπὶ πάντα κέκευθε, μέλας δ' ἐπιδέδρομεν αἰθρη.
αὐτίκα νὺξ δ' ἔρεβος πᾶσαν κατὰ γαῖαν ὄρωρεν,
χῆροι δ' οἶκοι πάντες ἐπ' οὔδει γυῖα κλινοῦσιν,
οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται οὐδέ νυ παῖδες
ἐν μεγάροις γοόωσι φίλους πατέρας περιφύντες·
τοῖον γὰρ τόδε κῦμα κατέδραμε πᾶσι κατ' ἄκρης.
αἳ αἳ πατρίδ' ἐμὴν αἰεὶ στένω αἰνὰ παθοῦσαν

---

3 ἐπὶ σχολῆς: μετὰ ἀνέσεως P mg 10 ἄρσιν P ἔριν P mg λύσιν We καθαρσιν Emperius 26 βέονται Emperius βίονται P 28 οὐδ' ἄρ' ἀνάβλησις (Il. *B* 380) Schaefer 29 φονικαί Meursius 30 αἰθρη: ἀχλύς (Od. *υ* 357) Nauck 36 αἰεὶ: αἳ αἳ? Jac

μητέρα τ' αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν αἰών.
νώνυμνόν τε θεοὶ γένεσιν θήσουσιν ἅπαντες
Λοκρῶν τ' Αἰτωλῶν θ' ὅ τι που καὶ σπέρμα λίποιτο,
οὕνεκ' ἐμὴν κεφαλὴν λίποι αἰών, οὐδέ νυ πάντα
σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν.
ἀλλ' ἄγ' ἐμὴν κεφαλὴν θέμεν ἠοῖ φαινομένηφι
μηδὲ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδυν·
αὐτοὺς δὲ προλιπόντας ἐὸν χῶρον μετόπισθεν
στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Ἀθήνης,
εἴ τινά που θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

(9) ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα τούς τε ὑπέργηρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο, αὐτοὶ δὲ ἔμενον καραδοκοῦντες τὸ ἀποβησόμενον. καὶ συνέβη τῶι ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

(III) Ἱστορεῖ δὲ καὶ Ἀντισθένης ὁ Περιπατητικὸς φιλόσοφος Ἀκείλιον 191—186
Γλαβρίωνα τὸν ὕπατον μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος καὶ Λουκίου Οὐαλερίου Φλάκκου παραταξάμενον Ἀντιόχωι ἐν Θερμοπύλαις γενναίως τε ἀγωνισάμενον βιάσασθαι ῥῖψαι μὲν τὰ ὅπλα τοὺς μετ' Ἀντιόχου, αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἐλάτειαν μετὰ πεντακοσίων ὑπασπιστῶν φυγεῖν, ἐκεῖθεν δὲ πάλιν εἰς Ἔφεσον ἀναγκάσαι ὑπεξελθεῖν. ὁ δὲ Ἀκείλιος Κάτωνα μὲν εἰς Ῥώμην ἀπέστειλεν ἀπαγγελοῦντα τὴν νίκην, αὐτὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστράτευσεν, ἣν ἐξ εὐμαροῦς ἔλαβεν. (2) ἐν δὲ τῆι παρατάξει τῆι γενομένηι πρὸς Ἀντίοχον ἐν Θερμοπύλαις ἐπιφανέστατα σημεῖα ἐγένετο Ῥωμαίοις. † ἐπιφανέντος γὰρ Ἀντιόχου καὶ φυγόντος, τῆι ἐπιούσηι ἡμέραι ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναίρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτωκότων καὶ περὶ συλλογὴν λαφύρων τε καὶ σκύλων καὶ αἰχμαλώτων. (3) Βούπλαγος δέ τις τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος παρὰ τῶι βασιλεῖ Ἀντιόχωι, ἔπεσε καὶ αὐτὸς γενναίως ἀγωνισάμενος. ἀναιρουμένων δὲ τῶν Ῥωμαίων πάντα τὰ σκῦλα καὶ μεσούσης τῆς ἡμέρας ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν, ἔχων τραύματα δέκα δύο, καὶ παραγενόμενος εἰς τὸ στρατόπεδον αὐτῶν ἀνεῖπε λεπτῆι τῆι φωνῆι τούσδε τοὺς στίχους·

παῦσαι σκυλεύων στρατὸν Ἄιδος εἰς χθόνα βάντα·
ἤδη γὰρ Κρονίδης νεμεσᾶι Ζεὺς μέρμερα λεύσσων,
μηνίει δὲ φόνωι στρατιᾶς καὶ σοῖσιν ἐπ' ἔργοις
καὶ πέμψει φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν σήν,
οἵ σ' ἀρχῆς παύσουσιν, ἀμείψηι δ' οἷά γ' ἔρεξας.

---

2 ἁπάντων? Jac 3 θ' P 4 λίπε δαίμων Emperius 6 ἀλλ' ἄγ' Nauck ἀλλά γ' P 19 Ἐλάτειαν Meursius ἰταλίαν P 24 ἐπιφανέντος: νικηθέντος o. ä. Jac 33 λεύσων P 34 μηνειει P

(4) ταραχθέντες δὲ οἱ στρατηγοὶ ἐπὶ τοῖς ῥηθεῖσιν διὰ ταχέων συνήγαγον τὸ πλῆθος εἰς ἐκκλησίαν καὶ ἐβουλεύοντο περὶ τοῦ γεγονότος φάσματος. ἔδοξεν οὖν τὸν μὲν Βούπλαγον παρὰ χρῆμα μετὰ τὰ λεχθέντα ἔπη ἀποπνεύσαντα κατακαύσαντας θάψαι, καθαρμὸν δὲ ποιήσαντας τοῦ στρατοπέδου θῦσαι Διὶ Ἀποτροπαίωι καὶ πέμψαι εἰς Δελφοὺς ἐρωτήσοντας τὸν θεὸν τί χρὴ ποιεῖν. (5) παραγενομένων δὲ Πυθῶδε τῶν θεωρῶν καὶ πυνθανομένων τί ποιητέον, ἀνεῖπεν ἡ Πυθία τόνδε τὸν χρησμόν·

ἴσχεο νῦν, Ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔστω,
μή σοι ἐφορμήσηι Παλλὰς πολὺ φέρτερον Ἄρη
χηρώσηι τ' ἀγοράς, σὺ δέ, νήπιε, πολλὰ μογήσας
ἵξεαι ἐς χώρην τὴν σὴν πολὺν ὅλβον ὀλέσσας.

(6) ἀκούσαντες οὖν τοῦ λόγου τούτου τὸ μὲν ἐπιστρατεῦσαι ἐπί τινα τῶν ἐν τῆι Εὐρώπηι κατοικούντων ἀπέγνωσαν τὸ παράπαν, ἀναζεύξαντες δὲ ἀπὸ τοῦ προειρημένου τόπου παρεγένοντο ἐπὶ Ναύπακτον τῆς Αἰτωλίας, οὗ ἐστιν ἱερὸν κοινὸν τῶν Ἑλλήνων, ἠὐτρέπιζόν τε θυσίας δημοτελεῖς ἀπαρχάς τε ἐξ ἔθους. τούτων δὲ ἐπιτελουμένων ὁ στρατηγὸς Πόπλιος ἐμμανὴς γενόμενος καὶ παράφρων ἀποφθέγγεται πολλά τινα ἐνθουσιωδῶς, τὰ μὲν ἐν μέτρωι, ἔστιν δ' ἃ καὶ καταλογάδην. διαγγελθέντος δὲ τῶι πλήθει τοῦ πράγματος συνέθεον πάντες πρὸς τὴν σκηνὴν τοῦ Ποπλίου, ἅμα μὲν ὑπαγωνιῶντες καὶ ἐκπεπληγμένοι ἐπὶ τῶι τὸν κράτιστον αὐτῶν καὶ δυνάμενον ἀφηγεῖσθαι μετ' ἐμπειρίας ἠτυχηκέναι, ἅμα δὲ ἀκούειν βουλόμενοι τὰ λεγόμενα, ⟨καὶ τοσοῦτος ἐγένετο ὠθισμός⟩, ὥστε τινὰς αὐτῶν πιεσθέντας βιαιότερον ἀποπνιγῆναι. (7) τὰ μὲν οὖν ἐν μέτρωι ῥηθέντα ὑπ' αὐτοῦ, ἔτι ὄντος ἐν τῆι σκηνῆι, ἔστιν τάδε·

Ὦ πατρίς, οἷόν σοι λυγρὸν φέρει Ἄρη Ἀθήνη,
ἡνίκα πορθήσασ' Ἀσίην πολύολβον ἵκηαι
Ἰταλίην ἐς γαῖαν ἐυστεφάνους τε πόληας
Θρινακίης νήσου πολυηράτου, ἣν κτίσατο Ζεύς·
ἥξει γὰρ στρατιὴ πολυφέρτατος, ὀβριμόθυμος
τηλόθεν ἐξ Ἀσίης, ὅθεν ἠελίου ἀνιόλαι εἰσίν,
καὶ βασιλεὺς διαβὰς στεινὸν πόρον Ἑλλησπόντου
ὅρκια πιστὰ τεμεῖ πρὸς κοίρανον Ἠπειρώτην.
ἄξει δ' εἰς †Ἀσίην στρατιὴν ἀνάριθμον ἀγείρας
πάντοθεν ἐκ τ' Ἀσίης ἠδ' Εὐρώπης ἐρατεινῆς,

10 τ' Jac δ' P 11 ὀλέσας P 15 οὗ We δ P ἠὐτρέπιζον τε He εὐτρεπίζοντες P 22 ⟨καὶ⟩ Jac ⟨τοσ. ἐγ. ὠ.⟩ Meineke 24 ὄντος Leopardi (s. p. 1176, 4) ὄντων P 28 Θρινακίης νήσου πολυηράτου Meineke —ίην —ον —ον P 29 πολὺ φέρτατος Nauck 32 τεμεῖ Nauck τάμει P 33 Ἀσίην: Ῥώμην We αἶαν Nauck

καί σε δαμᾶι, χήρους δ' οἴκους καὶ τείχεα θήσει,
δουλοσύνην δ' ἐπὶ πᾶσιν ἐλεύθερον ἦμαρ ἀπούρας
τεύξει μήνιδος οὕνεκ' Ἀθηναίης μεγαθύμου.

(8) ἀνειπὼν δὲ τοὺς στίχους τούτους ὥρμησεν ἐκ τῆς σκηνῆς ἐν χιτῶνι καὶ ἀπεφθέγγετο καταλογάδην τάδε· ‘μηνύομεν, ὦ ἄνδρες στρατιῶται καὶ πολῖται, διαβάντας ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν νικῆσαι ὑμᾶς τὸν βασιλέα Ἀντίοχον ναυμαχήσαντάς τε καὶ πεζῆι παραταξαμένους, κυριεῦσαι δὲ τῆς ἐπιτάδε τοῦ Ταύρου χώρας πάσης καὶ τῶν πόλεων τῶν ἐκτισμένων ἐν αὐτῆι, ἐκβαλόντας τὸν Ἀντίοχον εἰς Συρίαν, ταύτην δὲ παραδοθῆναι καὶ τὰς πόλεις τοῖς Ἀττάλου υἱοῖς, Γαλάτας τε τοὺς κατοικοῦντας ἐν τῆι Ἀσίαι παραταξαμένους πρὸς ὑμᾶς ἡσσηθῆναι, τῶν τε γυναικῶν καὶ τέκνων καὶ τῆς ἀποσκευῆς πάσης κυριεῦσαι ὑμᾶς καὶ ἀγαγεῖν εἰς τὴν Εὐρώπην, τοὺς δὲ κατοικοῦντας ἐν τῆι Εὐρώπηι τὴν παραλίαν Θρᾳικας τῆς τε Προποντίδος καὶ Ἑλλησπόντου ἀναλύουσιν ὑμῖν ἀπὸ τῆς στρατείας ἐπίθεσιν ποιήσασθαι περὶ τὴν τῶν Αἰνιάνων χώραν καί τινας διαφθείραντας ἀφελέσθαι μέρος τι τῆς προνομῆς, διασωθέντων δὲ τῶν ἄλλων καὶ κομισθέντων εἰς Ῥώμην ἔσεσθαι συνθήκας πρὸς βασιλέα Ἀντίοχον, ἐφ' ὧι χρήματα μὲν εἰσοίσει καὶ χώρας τινὸς ἀποστήσεται’. (9) ἀναγορεύσας δὲ ταῦτα ἀνακεκράγει μεγάληι τῆι φωνῆι λέγων τάδε· ‘ἐκ τῆς Ἀσίας ὁρῶ διαβαινούσας δυνάμεις χαλκοστέρνους καὶ βασιλέας ἐπὶ τὸ αὐτὸ συναγομένους καὶ ἔθνη παντοδαπὰ ἐπὶ τὴν Εὐρώπην, ἵππων τε κτύπον δοράτων τε ψόφον καὶ φόνον αἱματόφυρτον λεηλασίαν τε δεινὴν πτώσεις τε πύργων καὶ τειχῶν κατασκαφὰς ἐρημίαν τε χθονὸς ἀμύθητον. (10) ταῦτα δὲ εἰπὼν ἔλεξεν αὖθις ἐν ἔπεσι τάδε·

ἡνίκα Νησαῖοι χρυσάμπυκες ἀργέται ἵπποι
βῶσιν ἐπὶ χθόνα δῖαν, ἣν προλιπόντες ἐφέδρην,
οὓς ποτ' ἐν ἄστει τεῦξε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠετίων, φιλίαν πολυήρατον ἄξων,
δαῖτ' ἐπὶ χαλκείηι, δεσμοῖς δ' ἐπὶ δεσμὸν ἔαλλεν
χρύσεον, ἐν δ' αὐτὸν πᾶσιν Ὑπερίονος υἱὸν
ἥρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαίροντα·
καὶ τότε σοί, Ῥώμη, χαλέπ' ἄλγεα πάντα τελεῖται.
ἥξει γὰρ στρατὸς εὐρύς, ὅ σου χθόνα πᾶσαν ὀλέσσει,

5 μηνύομεν edd —ωμεν P 6 ἐκ We ἐπὶ P ἀπὸ Leopardi 15 ποιήσασθαι edd —εσθαι P 16 διασωθέντων Xylander δηλαθέντων P 23 ἀμύθητον Meineke —ήτου P 24 τάδε: P mg μεταξὺ Σουσιανῆς καὶ Βακ⟨τ⟩ριανῆς τόπος ἐστὶν κατὰ Στίγωνα, ὅπερ Ἑλληνιστὶ νῆσον δηλοῖ. ἐνταῦθα ἵπποι διάφοροι γίγνονται· εἰσὶν δὲ πᾶσαι ξανθαί. ὁ δὲ Εὐριπίδης πρὸς τῆι Ἐρυθρᾶι θαλάσσηι τὴν Νησαίαν φησὶν εἶναι. 25 νησαῖαι P Νισαῖοι edd 28 φιλίην Keller 33 ὅ σου C Mueller ὃς οὑ P

χηρώσει δ' ἀγοράς, ἄστη δέ τε πυρπόλα θήσει,
αἵματι δὲ πλήσει ποταμούς, πλήσει δὲ καὶ Ἅιδην,
δουλοσύνην τ' οἰκτρὴν στυγερὴν ἀμέγαρτον ἐφήσει.
οὐδὲ γυνὴ πύσιν ὅν γ' ὑποδέξεται ἐκ πολέμιοιο
νοστήσαντ', Ἅιδης δὲ καταχθόνιος μελανείμων
ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ' ἀλλοδαποῖς περιθήσει δούλιον ἦμαρ.

(11) ἀποφθεγξάμενος δὲ ταῦτα ἐσιώπησεν καὶ πορευθεὶς ἔξω τοῦ στρατοπέδου ἀνέβη ἐπί τινα ὄρῦν. ἐπακολουθήσαντος δὲ τοῦ ὄχλου προσεκαλέσατο αὐτοὺς καὶ εἶπεν τάδε· 'ἐμοὶ μέν, ὦ ἄνδρες Ῥωμαῖοι καὶ οἱ λοιποὶ στρατιῶται, καθήκει τελευτήσαντι ὑπὸ λύκου πυρροῦ εὐμεγέθους καταβρωθῆναι ἐν τῇι σήμερον ἡμέραι, ὑμεῖς δὲ τὰ ῥηθέντα ὑπ' ἐμοῦ γινώσκετε συμβησόμενα ὑμῖν πάντα, τεκμηρίοις χρώμενοι τῇι νῦν ἐσομένηι ἐπιφανείαι τοῦ θηρίου τε καὶ τῇι ἐμῇι ἀναιρέσει, ὅτι ἀληθῆ εἴρηκα ἔκ τινος θείας ὑποδείξεως'. (12) τοσαῦτα δὲ εἰπὼν ἐκέλευσεν αὐτοὺς ἀποστῆναι καὶ μηδένα κωλῦσαι τὸ θηρίον προσελθεῖν, φάσκων, ἐὰν ἀποτρέψωσιν, οὐ συνοίσειν αὐτοῖς. ποιήσαντος δὲ τοῦ πλήθους τὸ προσταχθὲν οὐκ εἰς μακρὰν παραγίνεται ὁ λύκος. ἰδὼν δὲ αὐτὸν ὁ Πόπλιος κατέβη ἀπὸ τῆς δρυὸς καὶ ἔπεσεν ἵππιος, ὁ δὲ λύκος ἀνασχίσας αὐτὸν κατεδαίνυτο πάντων ὁρώντων. ἀναλώσας δὲ τὸ σῶμα αὐτοῦ πλὴν τῆς κεφαλῆς ἐτράπετο εἰς τὸ ὄρος. (13) προσελθόντος δὲ τοῦ ὄχλου καὶ βουλομένου ἀνελέσθαι τὰ ἀπολελειμμένα κτερίσαι τε αὐτὸν νομίμως, ἡ κεφαλὴ κειμένη ἐπὶ τῆς γῆς ἀνεῖπε τοὺς στίχους τούτους·

μὴ ψαῦ' ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστίν,
οἷσιν Ἀθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
ἅπτεσθαι θείοιο καρήατος. ἀλλὰ πέπαυσο
μαντοσύνην τ' ἐπάκουσον ἀληθέα τήν περ ἐρῶ σοι.
ἦξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης,
ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότον Ἄιδι πέμψει,
ῥήξει δ' αὖ λιθίνους πύργους καὶ τείχεα μακρά,
ὄλβον δ' ἡμέτερον καὶ νήπια τέκν' ἀλύχους τε
μάρψας εἰς Ἀσίην ἄξει διὰ κῦμα περήσας.
ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων
Πύθιος, ὅς μοι ἐὸν κρατερὸν θεράποντ' ἐπιπέμψας
ἦγαγεν εἰς μακάρων τε δόμους καὶ Περσεφονείης.

1 πυρπολα P πυρπολαὐήσει Xylander 3 ἀμέγαρτον ἐφήσει Nauck ἀτέχμαρτον ἐφέσει P 16—17 ἀποτρέψωσιν Meineke ἀποστ— P 22 αὐτὰ Meineke 27 τήν περ ἐρῶ Meineke ἤπερ ἐρεῖ P 29 μὲν ἔνοπλον edd ἐν. μ. P

(14) ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος Λυκίου καὶ βωμόν, οὗπερ ἔκειτο ἡ κεφαλή, ἐνέβησαν εἰς τὰς ναῦς καὶ ἀπέπλεον ἕκαστοι ἐπὶ τὰς ἑαυτῶν πατρίδας. καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Ποπλίου ῥηθέντα γενέσθαι.

(IV) Ἱστορεῖ δὲ καὶ Ἡσίοδος (F 162 Rz) καὶ Δικαίαρχος (IV) καὶ Κλέαρχος (IV) καὶ Καλλίμαχος (F 415 Schn) καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε. Τειρεσίαν τὸν Εὐμάρους ἐν Ἀρκαδίαι [ἄνδρα ὄντα] ἐν τῶι ὄρει τῶι ἐν Κυλλήνηι ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον καὶ παρὰ χρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα καὶ μιχθῆναι ἀνδρί. τοῦ δὲ Ἀπόλλωνος αὐτῶι χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας ὁμοίως τρώσηι τὸν ἕνα ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα καὶ οὕτως κομίσασθαι τὴν ἀρχαίαν φύσιν. Διὸς δὲ ἐρίσαντος Ἥραι καὶ φαμένου ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῆι τῶν ἀφροδισίων ἡδονῆι, καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις ἐρέσθαι τὸν Τειρεσίαν διὰ τὸ τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι. τὸν δὲ ἐρωτώμενον ἀποφήνασθαι, διότι μοιρῶν οὐσῶν δέκα τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ γυναῖκα τὰς ἐννέα. τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ ποιῆσαι τυφλόν, τὸν δὲ Δία δωρήσασθαι αὐτῶι τὴν μαντικὴν καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά.

(V) Οἱ αὐτοὶ ἱστοροῦσιν κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτωι τῶι βασιλεῖ θυγατέρα ὀνομαζομένην Καινίδα. ταύτηι δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτῆι ὃ ἂν ἐθέλῃι, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα ποιῆσαί τε ἄτρωτον. τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα.

(VI) Καὶ ἐν Ἀντιοχείαι δὲ τῆι πρὸς Μαιάνδρωι ποταμῶι ἐγένετο a. 45 p. Chr. ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμηι Μάρκου Βινικίου καὶ Τίτου Στατιλίου Ταύρου τοῦ Κορβίνου ἐπικληθέντος. παρθένος γὰρ γονέων ἐπισήμων τρισκαιδεκαέτις ὑπάρχουσα ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπής. ὡς δ' ἐνεγυήθη ὧι οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου προιέναι τοῦ οἴκου μέλλουσα αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῆι σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δ' αὐτὴν οἱ προσήκοντες ἐθεράπευον ὡς ἀλγήματα ἔχουσαν κοιλίας καὶ στρόφους τῶν ἐντός. τῆς δὲ ἀλγηδόνος ἐπιμενούσης τρισὶν ἡμέραις ἐξῆς ἀπορίαν τε πᾶσι τοῦ

---

2 Λυκείου Meineke 3 ἕκαστοι Meineke —ος P 6 Κλέαρχος CMueller κλείταρχος (137 F 37) P 7 Εὐήρους Meursius vulg [δ. δ.] Jac [δ.] Keller 12 ἀνακομίσασθαι Nauck 14 τῆι — ἡδονῆι He τῆς — ἡδονῆς P 23 αὐτῆι Leopardi —ήν P 28 Κορβίνου Meursius κουρβιλίου P 30 ἐνεγυήθη vulg

πάθους ποιοῦντος, τῶν πόνων οὔτε νικτὸς οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καίτοι πᾶσαν μὲν θεραπείαν αὐτῇι προσφερόντων ⟨τῶν⟩ ἐν τῇι πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αἰτίαν εὑρεῖν, τῇι τετάρτηι τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, σὺν μεγάληι οἰμωγῆι ἀνακραγούσης, ἄφνω αὐτῇι ἀρσενικὰ μόρια προέπεσεν, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο. μετὰ δὲ χρόνον εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον Καίσαρα· ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου ἐν Καπετωλίωι Διὶ Ἀλεξικάκωι ἱδρύσατο βωμόν.

(VII) Ἐγένετο καὶ ἐν Μηυ⟨α⟩νίαι πόλει τῆς Ἰταλίας ἐν Ἀγριππίνης 58 p. Chr.
τῆς Σεβαστῆς ἐπαύλει ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμηι Δεκίου Ἰουνίου Σιλανοῦ Τορκουάτου καὶ Κοίντου Ἀτερίου Ἀντωνίνου. Φιλωτὶς γάρ τις ὀνόματι παρθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατεγγεγυημένη ἀνδρί, μορίων αὐτῇι προφανέντων ἀρρενικῶν ἀνὴρ ἐγένετο.

(VIII) Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρωι, γονέων ἀπόρων παῖς, ὃς ἐκαλεῖτο πρόιερον Συμφέρουσα, ἀνὴρ δὲ γενόμενος ὠνομάζετο Συμφέρων. κηπουρῶν δὲ τὸν βίον διῆγεν.

(IX) Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνὴ ὀνόματι Αἰτητή, συνοικοῦσα a. 116 p. Chr.
τῶι ἀνδρὶ ἔτι μετέβαλε τὴν μορφὴν καὶ μετωνομάσθη Αἰτητὸς ἀνὴρ γενόμενος, ἄρχοντος Ἀθήνησιν Μακρίνου, ὑπατευόντων ἐν Ῥώμηι Λουκίου Λαμίᾳ Αἰλιανοῦ καὶ ⟨Σέξτου Καρμινίου⟩ Οὐέτερος. τοῦτον καὶ αὐτὸς ἐθεασάμην.

(X) Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος ἄρχοντος Ἀθήνησιν Ἰάσονος, a. 126 a. Chr.
ὑπατευόντων ἐν Ῥώμηι Μάρκου Πλα⟨υ⟩τίου [καὶ Σέξτου Καρμινίου] Ὑψαίου καὶ Μάρκου Φουλβίου Φλάκκου. δι' ἣν αἰτίαν ἡ σύγκλητος ἐκέλευσεν τοὺς ἱερομνήμονας ἀναγνῶναι τοὺς Σιβύλλης χρησμούς. καὶ ἐξηγήσαντο τοὺς χρησμούς. εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

A

1a ⟨*M*⟩ οἶραν ὀπισθομα⟨θῶν, τίν' ἕ⟩φυ πᾶς εἰς τόπον ἐλθ⟨εῖν⟩,
1 Ὅ σσα τέρα ⟨τε⟩ καὶ ὅσσα παθήματα δαίμονος Λίσης
Ἰ στὸς ἐμὸς λύσει, τὰδ' ἐνὶ φρεσὶν αἴ κε νοήσῃς
Ῥ ώμηι ἐῆι πίσυνος. καί τοί ποτέ φημι γυναῖκα
Ἀ νδρόγυνον τέξεσθ ⟨χοντά περ ἄρσενα πάντα

---

2 καὶ [τοι] He ⟨τῶν⟩ We 9 Μηουανίαι edd 11 Δεκίου Jac καὶ
δέκμου P 12 Ἀτερίου Meursius ἀστερίου P 20—21 λαμία αἰλιανοῦ οὐέτερος P
21—23 ⟨Σέξτου Καρμινίου⟩ aus c. X Klebs Pros. Imp. R. I 305, 368; II 262, 43.
23 Πλαυτίου Meursius πλατίου P Ὑψαίου Meursius θιαίου P 25 ἐξηγησαντο:
ηηη in rasur P¹ ιλα P² ('vielleicht stand dies unter der rasur' Stadtmueller)
28 Μοῖραν — ἐλθεῖν fügte hinzu und ergänzte aus der akrostichis v. 1—29 Diels
29 ⟨τε⟩ Emp(erius)

Ν ηπίαχαί θ' ὅσα θηλέτερμαι φαίνονται γυναῖκες·
Ο ὅσ' ἔτι δὴ κρέσσω, θυσίας δέ τοι ἐξαγορεύω
Π φαιφοντίδι Δήμητρι καὶ ἀγνῇ Περσεφονείῃ.
Ἰ σταῖσι δ' αὐτὴ ἑνοσσιγαῖα θεά, τὰ μὲν αἴ κε πίθηται.
Σ εμνοπάτῃ Δήμητρι καὶ ἀγνῇ Περσεφονείῃ·
Η ηπιάροιν μὲν πρῶτα νομίσματος εἷς ἐν ἀθρήσας.
Ὅ τι θέλεις ἀπὸ παμφίλων πόλεων τε καὶ αἰτῶν.
Μ ητρὶ Κόρης Δήμητρι κέλευ θυσίαν προτιθεσθαι.
Α ἰειρ δημοσίαι κέλομαί σε τρις ἐννέα ταῦρος
13a–g * * *
Φ ανὰς ἠπείρους θνέμεν ἱκετάριχας, αἱ κεν
Γ μετέραι γνώμῃ κάλλει προφερέστεραι ὦσιν.
Π αῦρις ὅσας πάρος εἶπα κέλευ Ἀχαιοὶ τάδ' ἔρδειν
Α θανάτην βασίλισσαν ἱκευχομένας θνέεσσιν
Σ εμνῶς καὶ καθαρῶς· τότε δὴ μετέπειτα δεχέσθω
Κ μετὰ δ' ἀφ' ὑμετέρων ἀλόχων ἱερ', αὐτὰρ ἐπ' αὐτοῖς
Ἰ στῶσι ἐμῶσι πίσυνοι λαμπρὸν φάος αἴδε φερόντων
Σ εμνοπάτῃ Δήμητρι. τὸ δεύτερον αὖτε λαβοῦσαι
Τ ρις τόσα, νήφαλα πάντα, πυρὸς μαλερόιο τιθέντων
Ὅ σσαι ἐπισταμένως θυσίαν γραῖαι προτίθενται.
Π ρυφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λαβοῦσαι
Ὅ σσαι ἐν ἡλικίῃ νεοθηλέα θυμὸν ἔχουσιν,
Ν ηπιαχοί, σεμνὴν Πλουτωνίδα παντοδίδακτον
Ἐ ν πάτραι εὐχέσθων μίμνειν πολέμου κρατέοντος,
Λ ήθην ⟨δ'⟩ Ἑλλήνεσσι πεσεῖν πόλεώς τε καὶ αὐτῆς·
Θ ηαυρὸν δὲ κόροι καὶ παρθένοι ἔνθα φερόντων
29a–c * * *

B

* * *

30 Ἰ στῶι θειοπαγεῖ, καὶ ὑφάσματα ποικίλα σεμνή
Π λουτωνὶς κοσμείσθω, ὅπως σχέσις ἦισι κακοῖσι.

---

1 νηπιαχοι? Diels  δ' add P²  4 ἱστῶι Diels ἱστω P  αἴ κε Diels εἶκε P  πίθηαι Xyl(ander) πίθησα P  10 * * Keller  14 ἐπευχομένας We —νην P  18 αὖτε We αὖται P  20 γραῖαι Nauck γρααὶ P  22 νεοθηλέα Nauck —θαλέα P  28 παντοδίδακτον Xyl —οι P  25 λήθην ⟨δ'⟩ ἐν στήθεσσι λεσεῖν πολέμου καὶ ἀυτῆς Emp αὐτῆς: ἀυτῆς P  26 δὲ κόροι Emp δ' ἕτεροι P  28 zweites orakel stellt fest und erg. die akrostichis Diels ⟨Οἷα πάθη Μοίρας, τὰ μὲν αἴ κε τις ἐλθὼν ἀλύξας⟩ Ἵππωι ἀγαλλόμενος, πάλιν αὖ ⟨κα⟩κὸν εἰς νέον ἥξει· Αὐτὰ⟨ρ καὶ τότε οἱ λύσις ἔσσεται, αἴ κε πίθηται⟩.  30 καὶ ὑφάσματα Emp νυμφάσματα P  30—31 σεμνὴ Πλουτωνὶς κοσμείσθω Emp σεμνην πλούτωνι κοσμειτο P  31 σχέσις ἦισι Xyl σχεσίησι P σχεσίῃσι p¹

Π ροφρονέως δ' ὅτι κάλλιστον καὶ εἰκτὸν ἐτ' αἶαν
Ω ς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο, καὶ τὸ φέρεσθαι
Ἰ στῶι σύμμικτον δῶρον βασιληίδι κούρηι.
Α ὐτὰρ ὅτ' ἂν Δήμητρι καὶ ἀγνῆι Περσεφονείηι,
Γ αίας ὑμετέρας ἀπεριπλόμεναι ζυγὸν αἰεί,
Α ἰδωνεῖ Πλούτωνι βοὸς κυανότριχος αἷμα
Α μπροῖς εἵμασι κοσμητοὺς μετὰ ποιμένος ὄστις
Α ἵματι ὧι πίσυνος βοὸς ἄρταμος αὐτὸς δ' ἔσται,
Ὅ σσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ' ἔασι·
Μ ὴ γὰρ ἀπιστόφιλος θυσίαισιν ἀνὴρ παρεπέσθω,
Ἔ ξω δ', ἔνθα νομιστὸν ἐπέπλετο φωτὶ τάδ' ἔρδειν
Ν ηπίστωι καὶ ἄδαιτον ἔχειν θυσίαν. κατὰ δ' αὐτήν,
Ὅ στις ἂν ἡμετέρων χρησμῶν ἴδρις ἐς τόδ' ἵκηται,
Σ εμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι
Π ροφρονέως βωμοῖς ἔπι πίονα μηρία καύσας
Α ἰγῶν πανλευκῶν νειάτην· ἀτὰρ οἴδατε πάντες,
Α ισσέσθω Φοῖβον Παιήονα κρᾶτα πικάσσας
Ἰ κτήρ, ἐσπίπτοντος ὅπως λύσις ἦισι κακοῖο.
Ν οστήσας δ' ἀπὸ τοῦ βασιλήίδα πότνιαν Ἥρην
Ἀ ργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν·
Ὑ μνεῖν ⟨δ'⟩ αἴ κε γένει προφερέστεραι ὥσ' ἐνὶ λαοῖς
* * *
Κ αὶ νήσων ναέται τὴν ἀντιπάλων δτ' ἂν αἶαν
Ο ὐ δόλωι, ἀλλὰ βίαι Κυμαίδα πρόφρονες αὖτε
Ν άσσωνται, σεμνῆς βασιληίδος οἴδε τιθέντων
Ἐ ν πατρίοισι νόμοις Ἥρας ξόανόν τε καὶ οἶκον.
Ἴ ξει δ', ἂν μύθοισιν ἐμοῖς τάδε πάντα πίθηαι
Σ εμνοτάτην βασίλισσαν ἐπελθὼν ἐν θυσίαισιν
Ν ήφαλα † κεν ῥέξας, ὅσαι ἡμέραι εἴσ' ἐνιαυτοῦ,
Ἔ ν πολλῶι χρόνωι αὖ τόδ' ἐφ' ὕστερον, οὐκ ἔτ' ἐπ' αὐτοῖς.

---

8 σύμμικτον 'verderbt' (σύμπειστον?) Diels 6 *Αἰδωνεῖ* Cobet *αἰδωνῆ* P 7 εἵμασι Xyl *ἱμάσι* P 8 *λήματι ὧι* Nauck Cobet *ἡματίω* P ἄρταμος Nauck 7 ἄρτεμος P 11 *ἔνθα νομιστὸν* Xyl *ἐνθ' ἀνο—* P 12 *νηπίστωι* Diels *νούπιστοι* P καὶ ἄδαιτον Emp κατάδαιτον P 16 *πανλευκῶν* Diels *πα‖‖λεύκων* P ‖18 *ἰκτήρ*, *ἐσπίπτοντος* Nauck *ἰκτῆρες πίπτοντος* P *λύσις ἦισι κακοῖο* Emp *λυσίης ἀκακοιο* P 21 ⟨δ'⟩ Emp αἴ Xyl αἱ P *προφερέστεραι*? Diels 22 * * Emp 23 *τὴν ἀντιπάλων*: *τῶν ἀγχιάλων* C Mueller 24 αὖτε Emp αὖται P 25 οἴδε *τιθέντων* Emp οἵ σε *τίθενται* P 26 καὶ Emp κατ' P 27 *πίθηαι* Emp *τίθηνται* P 28 *ἐπελθὼν* Diels *ἐπελθη‖ς* P 29—30 umgest. Diels 29 *κεν*: τε Diels εἴσ' *ἐνιαυτοῦ* Nauck *εἰς —ὸν* P 30 *τόδ'* Diels *τόθ'* P *τότ'* Meursius οὐκ ἔτ' Diels ὅς κεν P

Ὅ ς κε τάδε ῥέξῃι, κείνου κράτος ἔσσεται αἰεί·
Ν ηφαλίμων ἀρνῶν τε ταμὼν χθονίοις τάδε ῥέξον.
Ἦ μος ἂν ἤδη ἔχηις μεγάλ' Ἥρης οἰκί' ἀπάντηι,
Ξ εστά θ' ὅτ' ἂν ξόαν' ἧισι καὶ τἄλλ' ὅσ' ἔλεξα, σάφ' ἴ⟨σθι⟩,
Ἔ ν πετάλοισιν ἐμοῖς (ὑπὸ κερκίδος ἀμφὶ καλύπτραν
Ἴ μέρτ' ὅσσ' ἔβαλον γλαυκῆς ἐλάας πολυκάρπου
Ἀ γλαὰ φύλλα λαβοῦσα) λύσιν κακοῦ· ἦμος ἂν ἔλθηι
Ἴ μμι χρόνος μάλα κεῖνος, ἐν ὧι ποτε τἄλλα νεόγν' ἦι,
Τ ρὼς δῆτ' ἐκλύσει σε κακῶν, ἅμα δ' Ἑλλάδος ἐκ γῆς.
Ἀ ὐτὰρ σοῦ μεταβᾶσαν ἐποτρύνεις ἀγορεῦσαι

* * *

(XI) Ἐν δὲ Μεσσήνηι οὐ πρὸ πολλῶν ἐτῶν, ὡς φησιν Ἀπολλώνιος, συνέβη πίθον λίθου πεποιημένον ῥαγῆναι χειμώνων βίαι καὶ ὕδατος πολλοῦ ἐπενεχθέντος, προχυθῆναι δὲ αὐτοῦ κεφαλὴν τριπλασίαν τῆς ἀνθρωπίνης. τοὺς δὲ ὀδόντας ἔχειν διστοίχους. ἀναζητούντων δέ τινος εἴη ἡ κεφαλή, δηλῶσαι τὴν ἐπιγραφήν· Ἴδεω γὰρ ἐγκεχάρακτο. ἕτερον οὖν δημοσίαι κατασκευάσαντες πίθον ἐνέθεσαν καὶ ἀσφαλέστερον ἐκήδευσαν τὸν ἥρωα οἱ Μεσσήνιοι, τοῦτον ἰδόντες ὄντα, περὶ οὗ φησιν Ὅμηρος (Il. *I* 558—60)·

Ἴδεω θ' ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν
τῶν τότε· καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης.

(XII) Ἐν Δαλματίαι τε ἐν τῶι τῆς Ἀρτέμιδος καλουμένωι σπηλαίωι ἔστιν ἰδεῖν πολλὰ σώματα, ὧν τὰ τῆς πλευρᾶς ὀστᾶ ὑπερβάλλειν ἑκκαίδεκα πήχεις.

(XIII) Ἀπολλώνιος δὲ ὁ γραμματικὸς ἱστορεῖ ἐπὶ Τιβερίου Νέρωνος 20 p. Chr. σεισμὸν γεγενῆσθαι καὶ πολλὰς καὶ ὀνομαστὰς πόλεις τῆς Ἀσίας ἄρδην ἀφανισθῆναι, ἃς ὕστερον ὁ Τιβέριος οἰκείαι δαπάνηι πάλιν ἀνώρθωσεν. ἀνθ' ὧν κολοσσόν τε αὐτῶι κατασκευάσαντες ἀνέθεσαν παρὰ τῶι τῆς Ἀφροδίτης ἱερῶι, ὃ ἔστιν ἐν τῆι Ῥωμαίων ἀγορᾶι, καὶ τῶν πόλεων ἑκάστης ἐφεξῆς ἀνδριάντας παρέστησαν. (XIV) ἔπαθον δὲ καὶ τῆς Σικελίας ὑπὸ τοῦ σεισμοῦ οὐκ ὀλίγαι πόλεις καὶ τὰ πλησίον Ῥηγίου. ἐσείσθη δὲ οὐκ ὀλίγα καὶ τῶν ἐν Πόντωι ἐθνῶν. κατὰ δὴ τῆς γῆς τὰς διαστάσεις ἐφάνη σώματα εὐμεγέθη, ἃ ἐκπλαγέντες οἱ ἐπιχώριοι κινῆσαι μὲν ὤκνησαν,

---

1 ῥέξῃι Nauck ῥέξει P 3 ἔχηις — ἀπάντηι Diels ἔχοις μεγαλήιην οὐ καπαντῆι P 4 ξεστά — ἧισι Diels ξεστοδοταν ξοανησιν P σάφ' ἰσθι Keller σαφι· P 5 καλύπτραν Diels —ας P 6 ἱμέρτ' ὅσσ' ἔβαλον Diels ἱμερτος σε βάλεν P 8 νεόγν' ἦι Diels νεογνη P 9 ὄῆτ' ἐκλύσει Nauck ὀητεκαυσει P 10 σοῦ: ποῦ Emp 13 λίθωι We ⟨ἐκ⟩ λίθου? 23 ὑπερβάλλειν (sc. φησὶν Ἀπολλώνιος) P —ει edd 24—1183, 20: XIII—XVI verband Jac XV—XVI Leopardi 32 σώματα εὐμεγέθη Nauck σωμάτων μεγέθη P o. ὑπερμεγέθη?

δείγματος δ' ἕνεκεν ἔπεμψαν εἰς τὴν Ῥώμην ὀδόντα ἑνός, οὐ ποδιαῖον μόνον ἀλλ' ὑπερβάλλοντα καὶ τοῦτο τὸ μέτρον. ἐπιδείξαντες δὲ Τιβερίωι οἱ πρέσβεις εἴροντο, εἰ βούλεται κομισθῆναι τὸν ἥρω πρὸς αὐτόν. ὁ δὲ πρὸς ταῦτα ἐμφρόνως ἐβουλεύσατο, μήτε τῆς γνώσεως τοῦ μεγέθους ἑαυτὸν ἀποστερήσας τό τε ἀνόσιον τῆς νεκροσυλίας παραιτησάμενος. γεωμέτρην γάρ τινα τῶν οὐκ ἀφανῶν Ποῦλχρον ὀνόματι, τιμώμενον ὑπ' αὐτοῦ διὰ τὴν τέχνην, καλέσας πρόσωπον ἐκέλευσε πλάσαι πρὸς τὸ μέγεθος τοῦ ὀδόντος. ὁ δὲ σταθμησάμενος ἡλίκον ἂν γένοιτο τό τε σύμπαν σῶμα καὶ τὸ πρόσωπον αὐτοῦ τῶι τοῦ ὀδόντος ὄγκωι, ἐργασάμενος διὰ ταχέων ἐκόμισε τῶι αὐτοκράτορι. κἀκεῖνος εἰπὼν ἀρκεῖσθαι τῆι θέαι ταύτηι ἀποπέμπει τὸν ὀδόντα ἐκεῖσε ὅθεν καὶ ἐκομίσθη. (XV) οὐ χρὴ δὲ ἀπιστεῖν τῶι εἰρημένωι, ἐπεὶ καὶ τῆς Αἰγύπτου Νιτρίαι εἰσὶν τόποι, ἐν αἷς δείκνυται σώματα οὐκ ἐλάττω τούτων, οὐ κεκρυμμένα γῆι ἀλλ' ἐμφανῆ ἀφειμένα· οὔτε συγκέχυται οὔτε συμπεφύρηται ἀλλ' ἐν τάξει κεῖται, ὡς γνωρίσαι προσελθόντα τοῦτο μὲν μηρῶν ὀστᾶ, τοῦτο δὲ κνημιῶν καὶ τῶν ἄλλων μελῶν. διὸ οὐ χρὴ οὐδὲ τούτοις ἀπιστεῖν, ἐννοουμένους ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα ἅπαντα ἐγγὺς θεῶν ἐκουροτρόφει, μαραινομένου δὲ τοῦ χρόνου συμμεμάρανται καὶ τὰ μεγέθη τῶν φύσεων. (XVI) καὶ τὰ ἐν τῆι Ῥόδωι δὲ παρειλήφαμεν ὀστᾶ ηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι.

(XVII) Ὁ δὲ αὐτός φησιν νῆσόν τινα εἶναι Ἀθηνῶν νῆσόν τινα εἶναι, ταύτην δὲ τοὺς Ἀθηναίους βούλεσθαι τειχίσαι. σκάπτοντας οὖν τοὺς θεμελίους τῶν τειχῶν εὑρεῖν σορὸν ἑκατὸν πηχῶν, ἐν ἧι εἶναι σκελετὸν ἴσον τῆι σορῶι, ἐφ' ἧς ἐπιγεγράφθαι τάδε· 'τέθαμμ' ὁ Μακρόσειρις ἐν νήσωι μικρᾶι, ἔτη βιώσας πεντάκις τὰ χίλια.'

(XVIII) Εὔμαχος δέ φησιν ἐν Περιηγήσει (178 F 2) Καρχηδονίους περιταφρεύοντας τὴν ἰδίαν ἐπαρχίαν εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς ἐν σοροῖς κειμένους, ὧν τοῦ μὲν εἰκοσιτέσσαρας εἶναι πήχεις τὴν σύνθεσιν, τοῦ δὲ ἑτέρου εἰκοσιτρεῖς.

(XIX) Θεόπομπος δέ φησιν ὁ Σινωπεὺς ἐν τῶι Περὶ σεισμῶν ἐν τῶι Κιμμερικῶι Βοσπόρωι αἰφνιδίως σεισμοῦ γενομένου τῶν παρ' αὐτοῖς τινα ἀναρραγῆναι λόφον καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὴν σύνθεσιν τοῦ σκελετοῦ πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησιν τὰ ὀστᾶ τοὺς περιοικοῦντας βαρβάρους εἰς τὴν Μαιῶτιν ῥῖψαι λίμνην.

---

7 μέγεθος P μῆκος? Keller 12 Νιτρίαι Nauck (Strab. XVII 1, 23; Steph. Byz. s. v.) λίτραι P 14 συμπεφύρηται Nauck —ὄρηται P 17 ἐκυοφόρει Meineke 18 φύσεων: σωμάτων, ἀνθρώπων, ζώιων o. ä.? 21—22 ταύτην δὴ vulg 23 τειχῶν Franz τοίχων P 24 ἐπιγεγράφθαι Leopardi ἐπιγέγραπται P 25 μικρᾶι He μακρᾶι P 31 τῶν Emperius τὸν P

(XX) *Παιδίον πρὸς Νέρωνα ἐκομίσθη τετρακέφαλον, ἀνάλογα ἔχον καὶ* 61 p. Chr.
*τὰ ἄλλα μέλη, ἄρχοντος Ἀθήνησιν Θρασύλλου, ὑπατευόντων ἐν Ῥώμῃ Ποπλίου Πετρωνίου Τουρπιλιανοῦ καὶ ⟨Λουκίου⟩ Καισεννίου Παίτου.* (XXI) *καὶ ἕτερον ἐγεννήθη ἐπὶ τοῦ ἀριστεροῦ ὤμου κεφαλὴν ἐκπεφυκυῖαν ἔχον.*

(XXII) *Ἐγένετο σημεῖον παράδοξον ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησιν* 49 p. Chr.
*Δεινοφίλου, ὑπατευόντων ἐν Ῥώμῃ Κοίντου Οὐηρανίου καὶ Γ[ν]αίου Πομπηίου Γάλλου. Ῥαικίου γὰρ Ταύρου, ἀνδρὸς στρατηγικοῦ, τῆς γυναικὸς θεράπαινα τῶν τετιμημένων ἀπεκύησε πίθηκον.*

(XXIII) *Κορνηλίου Γαλλικανοῦ ἡ γυνὴ παιδίον ἔτεκεν κεφαλὴν ἔχον* 65 p. Chr.
*Ἀνούβιδος ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησιν Δημοστράτου, ὑπατευόντων ἐν Ῥώμῃ Αὔλου Λικιννίου Νερούα Σιλ[αν]ιανοῦ καὶ Μάρκου Οὐεστίνου Ἀττικοῦ.*

(XXIV) *Γυνὴ ἀπὸ πόλεως Τριδέντου τῆς Ἰταλίας ἀπεκύησεν ὄφεις* 83 p. Chr.
*ἐσφαιρωμένους, ὑπατευόντων ἐν Ῥώμῃ Δομετιανοῦ Καίσαρος τὸ ἕνατον καὶ Πετιλίου Ῥούφου τὸ δεύτερον, ἐν Ἀθήναις ἀναρχίας οὔσης.*

(XXV) *Ἐν Ῥώμῃ δικέφαλόν τις ἀπεκύησεν ἔμβρυον, ὃ ὑποθήκαις* 112 p. Chr.
*τῶν θυοσκόων εἰς τὸν Τίβεριν ποταμὸν ἐνεβλήθη, ἄρχοντος Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ αὐτοκράτορος Τραιανοῦ τὸ ἕκτον καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ.*

(XXVI) *Δωρόθεος δέ φησιν ὁ ἰατρὸς ἐν Ὑπομνήμασιν ἐν Ἀλεξανδρείαι τῇι κατ' Αἴγυπτον κίναιδον τεκεῖν, τὸ δὲ βρέφος ταριχευθὲν χάριν τοῦ παραδόξου φυλάττεσθαι.*

(XXVII) *Ἐν Γερμανίαι ἐν τῶι στρατῶι τῶν Ῥωμαίων, ὃς ἦν ὑπὸ* 56 p. Chr.
*Τίτωι Κουρτιλίωι Μαγκίαι, τὸ αὐτὸ τοῦτο ἐγένετο. δοῦλος γὰρ στρατιώτου ἔτεκεν, ἄρχοντος Ἀθήνησιν Κόνωνος, ὑπατευόντων ἐν Ῥώμῃ Κοίντου Οὐ⟨ο⟩λουσίου Σατορνίνου καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος.*

(XXVIII) *Καὶ Ἀντίγονος* (c. 110) *δὲ ἱστορεῖ ἐν Ἀλεξανδρείαι μίαν γυναῖκα ἐν τέτρασιν τοκετοῖς εἴκοσι τεκεῖν καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι.*

(XXIX) *Καὶ ἑτέρα τις γυνὴ κατὰ τὴν αὐτὴν πόλιν πέντε ἐν ἑνὶ τοκετῶι ἀπεκύησεν παῖδας, τρεῖς μὲν ἄρρενας, δύο δὲ θηλείας, οὓς αὐτοκράτωρ Τραιανὸς ἐκέλευσεν ἐκ τῶν ἰδίων χρημάτων τρέφεσθαι. πάλιν δὲ μετ' ἐνιαυτὸν ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν.*

---

3 *Τουρπιλιανοῦ* edd *τουσπαλιανοῦ* P ⟨*Λουκίου*⟩ Jac *κεσεννιου πέτου* P 4 *Καισωνίου Παίτου* edd 6 *Οὐηρανίου* Meursius *οὐηρατίου* P *Γαίου* Meursius; s. Pros. Imp. R. III 66, 470 11 *Λικιννίου* edd *λουκηννίου* P *Σιλιανοῦ* Keller 18 *οὐηεστίνου* P 18 ⟨*ὕστερον*⟩ *γενομένου* Leopardi 26 *Οὐολουσίου* Keller 29 *γυνή*: *Serapias Alexandrina mulier* Digest. 34, 5, 7, 7 31 *Τραιανός*: *Ἀδριανός* Meursius (Digest. a. o.)

(XXX) Ἱππόστρατος (III) δέ φησιν ἐν τῶι Περὶ Μίνω Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυρρόης τῆς Νείλου πεντήκοντα υἱοὺς γεννῆσαι. (XXXI) Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς τῆς Νείλου Εὐρώπης πεντήκοντα θυγατέρας ἔσχεν.

(XXXII) Κράτερος δέ φησιν, ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφός (III), γινώσκειν τινὰ ἄνθρωπον, ὃν ἐν ἑπτὰ ἔτεσιν παῖδα γενέσθαι καὶ μειράκιον καὶ ἄνδρα καὶ γέροντα καὶ γήμαντα καὶ παιδοποιησάμενον ἀποθανεῖν.

(XXXIII) Μεγασθένης (III) δέ φησιν τὰς ἐν Πανδαίαι κατοικούσας γυναῖκας ἑξαετεῖς γενομένας τίκτειν.

(XXXIV) Εὑρέθη ἐν Σαύνηι τῆς Ἀραβίας πόλει ἱπποκένταυρος ἐπὶ ὄρους μάλα ὑψηλοῦ, ὅ ἐστιν γέμον φαρμάκου θανασίμου. καλεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῆι πόλει, ὀξύτατον δὲ καὶ ἀντικώτατον τῶν ὀλεθρίων καθέστηκεν. τὸν δὲ ἱπποκένταυρον συλλαβὼν ὁ βασιλεὺς ζωὸν ἀποπέμπει σὺν ἑτέροις δώροις πρὸς Καίσαρα εἰς τὴν Αἴγυπτον. τροφὴ δὲ ἦν αὐτοῦ κρέα. οὐ φέρων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος τελευτᾶι, καὶ οὕτως ὁ ἔπαρχος τῆς Αἰγύπτου ταριχεύσας ἀπέστειλεν εἰς Ῥώμην. καὶ πρῶτον ἐν τοῖς βασιλείοις ἀπεδείχθη, τὸ μὲν πρόσωπον ἀγριώτερον τοῦ ἀνθρωπίνου ἔχων, χεῖρας δὲ καὶ τοὺς τούτων δακτύλους τετριχωμένους, πλευρὰ δὲ συναφῆ τοῖς πρώτοις σκέλεσι καὶ τῆι γαστρί. ὁπλαὶ δὲ ἦσαν αὐτῶι ἵππου στερεαὶ καὶ ἐπίξανθοι χαῖται, καίπερ ὑπὸ τῆς ταριχείας συμμελαινόμεναι τῶι δέρματι. μέγεθος δὲ ἦν οὐχ οἱοίπερ οἱ γραφόμενοι, οὐδ' αὖ πάλιν μικρόν. (XXXV) Ἐν δὲ τῆι προειρημένηι πόλει Σαύνηι ἐλέγοντο καὶ ἕτεροι εἶναι ἱπποκένταυροι. τὸν δὲ πεμφθέντα εἰς Ῥώμην εἴ τις ἀπιστεῖ, δύναται ἱστορῆσαι· ἀπόκειται γὰρ ἐν τοῖς ὁ⟨ρ⟩ρίοις τοῦ αὐτοκράτορος τεταριχευμένος, ὡς προεῖπον.

## (ΠΕΡΙ ΜΑΚΡΟΒΙΩΝ).

**37** (29) Cod. Pal. gr. 398: (I) Οἱ ἑκατὸν ἔτη ζήσαντες Ἰταλῶν, ὡς ἐξ αὐτῶν τῶν ἀποτιμήσεων ἀναζητήσαντες οὐ παρέργως ἐμάθομεν. [1] Λούκιος Κορνήλιος, Λουκίου υἱός, πόλεως Πλακεντίας. [2] Λούκιος Γλαύκιος Οὐῆρος, Λουκίο⟨υ υἱός⟩, πόλεως Πλακεντίας. [3] Λούκιος Οὐετούστιος

2—3 Εὐρυρρόης — Εὐρώπης C Mueller aus Tzetz. Chil. VII 368—71 εὐρυόπης — εὐρυόπης P [τῆς Νείλου Εὐρυόπης] He 9 Πανδαίαι C Mueller παλαιᾶι P 10 γενομένας Nauck γιν— P 18 ἐπεδείχθη He 25 ὁρρίοις (= horreis) Keller ὁρίοις P 28 περὶ τῶν ἑκατὸν ἔτη ζησάντων P mg 29 ὡς: οὓς? Jac 30 Λουκίου P mg zu no. 4 κορνίου P 30—31 Γλαύκιος Nauck γλαύκκειος P 31 Λουκίου υἱός We λούκιος P

*Σεκοῦνδος, Λουκίου υἱός, πόλεως Πλακεντίας.* [4] *Λούκιος Λικίννιος Πάλος, Λουκίου ἀπελεύθερος, πόλεως Πλακεντίας.* [5] *Λούκιος Ἀκίλιος Μάρκελλος, Λουκίου υἱός, πόλεως Πλακεντίας.* [6] *Λούκιος Οὐέττιος, Μάρκου υἱός, ⟨πόλεως⟩ Βριξέλλων.* [7] *Λούκιος Κουσσώννιος, Λουκίου υἱός, πόλεως Κορνηλίας.* [8] *Λούκιος Γαβίνιος, Λουκίου υἱός, πόλεως Βελείας.* [9] *Γάιος Ὀρτήσιος Φρόντων, Σέξτου υἱός, πόλεως Βονωνίας.* [10] *Γάιος Νώνιος Μάξιμος, Ποπλίου υἱός, πόλεως Βριξέλλων.* [11] *Γάιος Ἀμούριος Τείρων, Γαίου υἱός, πόλεως Κορνηλίας.* [12] *Γάιος Κάσσιος Πούδης, Τιτ[ί]ου υἱός, πόλεως Πάρμης.* [13] *Γάιος Τίτ⟨ι⟩ος Κόμμουνις, Γαίου ἀπελεύθερος, πόλεως Πάρμης.* [14] *Γάιος Οὐάτιος Τέρτιος, Σπορίου υἱός, πόλεως Πλακεντίας.* [15] *Γάιος Ἰούλιος Πόθος, *, πόλεως Ῥαβέννης.* [16] *Γάιος Οὐαλέριος Πρῖμος, Κοίντου υἱός, πόλεως Βελείας.* [17] *Καισέλλιος Κῦρος, *, πόλεως Πλακεντίας.* [18] *Κατία, Γαίου θυγάτηρ, πόλεως Φαουεντίας.* [19] *Πόπλιος Φούλβιος Φρύξ, Λουκίου ἀπελεύθερος, πόλεως Πολλησίας.* [20] *Πόπλιος Ναίβιος, Λουκίου υἱός, πόλεως Βασιλείας.* [21] *Πόπλιος Δεκέννιος Δημοσθένης, Ποπλίου ἀπελεύθερος, πόλεως Ἀριμίνου.* [22] *Πετρωνία Κοίντου, Λουκίου ἀπελευθέρα, πόλεως Πλακεντίας.* [23] *Πόλλεια Πῶλα, Σπορίου θυγάτηρ, πόλεως † Λιτωσίας.* [24] *Μάρκος Οὐιλώνιος Σευῆρος, *, πόλεως Οὐελείας.* [25] *Μάρκος Τερέντιος Ἄλβιος, Μάρκου ἀπελεύθερος, πόλεως Πλακεντίας.* [26] *Μάρκος Ἀντώνιος, Λουκίου υἱός, πόλεως Πλακεντίας.* [27] *Μάρκος Τάλπιος Οὐιτᾶλις, Μάρκου υἱός, πόλεως Πλακεντίας.* [28] *Μάρκος Ἀκίλιος, Μάρκου υἱός, πόλεως Βονωνίας.* [29] *Μάρκος Νιρέλλιος, Γαίου υἱός, πόλεως Πάρμης.* [30] *Τίτος Οὐίβιος Θάλβιος, Σπορίου υἱός, πόλεως Πάρμης.* [31] *Τίτος Αἰμίλιος, Κοίντου υἱός, πόλεως Ῥηγίου.* [32] *Τίτος Οὐιτεράνιος, Ποπλίου υἱός, πόλεως Βονωνίας.* [33] *Τίτος Νουμέριος, Τίτου υἱός, πόλεως Πλακεντίας.* [34] *Τίτος Σερούιος Σεκοῦνδος, Τίτου υἱός, πόλεως Βονωνίας.* [35] *Τίτος Πετρώνιος, ⟨Σ⟩πορίου υἱός, πόλεως Πλακεντίας.* [36] *Τίτος Ἀντώνιος, Μάρκου υἱός, πόλεως Ῥηγίου.* [37] *Τίτος Σερούιος Πωλλίων, Γαίου υἱός, πόλεως Βονωνίας.* [38] *Τίτος Καμόριος Τέρτιος, Τίτου υἱός, πόλεως Φειδεντίας.* [39] *Τουρέλλη † Φόρτσις, Γαίου ἀπελευθέρα, πόλεως Βονωνίας.* [40] *Κούιντος Κάσσιος Ῥοῦφος, Κουίντου υἱός, πόλεως Ῥηγίου.* [41] *Κούιντος Λουκρήτιος Πρῖμος, Κουίντου υἱός, πόλεως Ῥηγίου.* [42] *Κούιντος Οὐέλιος, Ποπλίου υἱός, πόλεως Βελίας.*

---

4 ⟨πόλεως⟩ edd Κουσσώνιος Franz 5 Γαβίνιος Bergk γαμίνιος P 6 Ὀρτήσιος Bergk πορτήσιος P 8 Κάσσιος Πούδης Nauck καστοπουδης P Τίτου Nauck 9 Τίτιος Keller 11 * Jac 12—13 * Jac καισειλίας (Καισέλλιος Bergk) Κῦρος scheint korrupt 15 Ναίβιος Nauck νέβιος P 16 Δεκέννιος We δεκέμιος P ἀριμήνου P 21 Τάλπιος edd τάνπιος P Τάμπιος? Keller 22 Ἀκίλιος Bergk ἀκκέλιος P 24 Σπορίου We σοιρίου P 25 Ῥηγίου C Mueller ῥηγίας P 29 Σερούιος Nauck ἐρούσιος P 30 Φόρησις = *Forensis* Keller

48 Ἀντωνία Σεκούνδα, Ποπλίου θυγάτηρ, πόλεως Βελίας. 44 Ἀλβατία Σαβίνα, *, πόλεως Πάρμης. 45 Σαλουία Οὐάρηνα, Ποπλίου θυγάτηρ, πόλεως Βασιλείας. 46 Βαιβία Μαρκέλλα, Σέξτου θυγάτηρ, πόλεως Ὀρτησίας. 47 Βαστία Ἀστικόσου, Μακεδὼν ἀπὸ Φιλίππων. 48 Βόνζης Τόνου, Παροικοπόλεως, Μακεδών. 49 Φρόντων Ἀλβουτίου, Μακεδὼν ἀπὸ Φιλίππων. 50 Σάρκη Σκίλα, Μακέτις, Ἀμφιπολῖτις. 51 Αἰδέσιος Δίζα, Παροικοπόλεως Μακεδών. 52 Βίθυς Διζάστου, Παροικοπόλεως τῆς Μακεδόνων. 53 Ζακεδένθης Μουκάσου, Παροικοπολίτης, Μακεδών. 54 Μάντις Καιπρίζου, Μακεδὼν ἐξ Ἀμφιπόλεως. 55 Ἀλέξανδρος Δημητρίου, Τιανὸς ἀπὸ Πόντου καὶ Βιθυνίας. 56 Γάζα Τίμωνος, Τιανὴ ἀπὸ Πόντου καὶ Βιθυνίας. 57 Χρήστη Ἀντιπάτρου, Τιανή. 58 Χρυσίον Θεοφίλου, Τιανή. 59 Ἱέρων Ἱέρωνος, Τιανός. 60 Μούζακος Μουκαντίου, Νικομηδεὺς Βιθυνίας. 61 Λούκιος Φιδικλάνιος Νέπως, Σινωπεύς. 62 Ἀλούκιος Ἀπιλιούτας, ἀπὸ Λουσιτανίας πόλεως Ἰντεραμνησίας. 63 Ἄμβατος, Δοκουρίου υἱός, τῆς αὐτῆς πόλεως. 64 Κάμαλος, Καντολγουνίου υἱός, τῆς αὐτῆς πόλεως. 65 Κέλτιος, Πελλίου υἱός, πόλεως Ἀπειλοκαρίου. 66 Ἀρρούντιος, Ἀππίου υἱός, πόλεως Κονιμβριγησίας. 67 Τάμφιος, Κελτίου υἱός, πόλεως τῆς αὐτῆς. 68 Δοκκούριος, Ἀλουκκίου υἱός, πόλεως Αἰβουροβισυγγησίας.

(II) Οἱ ἀπὸ ἑκατὸν ἑνὸς ἐτῶν μέχρι ἑκατὸν δέκα ἀπογραψάμενοι.

